JJ

[illegible]

12 [illegible] 187[illegible]

[illegible]

Θ. σῦ ἴθι, καὶ φράσαι μῦθον.

Τί ὁ βίος; ἐκ τύμβοιο θορών,
ἐπὶ τύμβον ὁδεύεις.

εἰς ταφὴν ἐξ ὠδίνης, ἐπὶ φθορᾷ. καὶ τοῦτο
ὁδεύεις.

ΤΟΥ

ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΣΑΑΚ

ΕΠΙΣΚΟΠΟΥ ΝΙΝΕΥΙ ΤΟΥ ΣΥΡΟΥ

ΤΑ

ΕΥΡΕΘΕΝΤΑ ΑΣΚΗΤΙΚΑ

ΑΞΙΩΣΕΙ ΜΕΝ

ΤΟΥ

ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΘΕΙΟΤΑΤΟΥ ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΤΗΣ ΑΓΙΑΣ ΠΟΛΕΩΣ ΙΕΡΟΥΣΑΛΗΜ

ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ

ΚΥΡΙΟΥ

ΚΥΡΙΟΥ ΕΦΡΑΙΜ

ΕΠΙΜΕΛΕΙΑ ΔΕ

ΝΙΚΗΦΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΤΟΥ ΘΕΟΤΟΚΟΥ

ΗΔΗ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΝΤΑ.

Ἐν Λειψίᾳ τῆς Σαξονίας

ἐν τῇ Τυπογραφίᾳ τοῦ Βρεϊτκόπφ.

ἔτει αψο.

ΜΑΚΑΡΙΩΤΑΤΩ ΘΕΙΟΤΑΤΩ

ΚΑΙ ΣΟΦΩΤΑΤΩ

ΚΥΡΙΩ

ΚΥΡΙΩ ΕΦΡΑΙΜ

ΠΑΤΡΙΑΡΧΗ

ΤΗΣ ΑΓΙΑΣ ΠΟΛΕΩΣ ΙΕΡΟΥΣΑΛΗΜ

ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ

ΤΩ ΕΝ

ΧΡΙΣΤΩ ΣΕΒΑΣΜΙΩΤΑΤΩ ΜΟΙ

ΠΑΤΡΙ ΚΑΙ ΔΕΣΠΟΤΗ.



Τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεὺς, ΜΑΚΑΡΙΩΤΑΤΕ καὶ ΘΕΟΔΟΞΑΣΤΕ ΔΕΣΠΟΤΑ, οἷός γε δὴ ΣΥ ὑπὸ τῆς ὑπερτάτης καὶ πάντα καλῶς ῥυθμιζούσης Προνοίας προορισθεὶς, καὶ ἐπὶ τὸν τῆς ἁγίας Σιὼν ἀποστολικὸν καὶ πάνσεπτον Θρόνον τεθεὶς, ἐν τοῖς δὲ τοῖς καθ' ἡμᾶς καιροῖς ἀνεφάνης. ἐν ΣΟΙ γὰρ τὴν περὶ τὸν βίον ὁσιότητα, καὶ τὸ κατὰ τὴν ψυχὴν ἄκακον, τό, τε ἐν τοῖς ἤθεσιν ἀμίαντον καὶ τὸ ἐν ταῖς πράξεσιν ἀπαράμιλλον, ἐναργῶς καθορῶντες, ζῶσάν τε καὶ ἔμψυ-

ἔμψυχον πρὸ ὀφθαλμῶν ἔχομεν τὴν τῦ μεγάλυ Ἀρχιερέως ΧΡΙΣΤΟΥ εἰκόνα. καὶ αὐτῇ δὲ τῇ ἐκ πρώτης ἡλικίας ἀγωγῇ, καὶ τῷ μετὰ ταῦτα ὑψηλῷ καὶ κοινωφελεῖ ἐπαγγέλματι, καὶ τῇ τάξει καὶ νόμῳ πνευματικῇ ἀναβάσει ΣΟΥ εἴγε τὸν νῦν ἐπιςῆσαι θελήσαιμεν, μεγίςην ἂν ἐκ τύτων ἐπικαρποσώμεθα τὴν ὄνησιν. καὶ γὰρ ἐν κομιδῇ νεαρᾷ ἔτι τῇ ἡλικίᾳ, διακαεῖς ἔρωτας μαθήσεως καὶ μονήρυς βίυ, τῶν δύω ἁπάσης ἀκρότητος κλιμάκων, τῇ ἱερᾷ ΣΟΥ ἐνσκήψαντος ψυχῇ, ὅλον σεαυτὸν τῇ παιδείᾳ καὶ ἀσκήσει φέρων ἀνέθηκας. τῇ μὲν, τὴν θεωρίαν διϊθύνων Θεοφιλῶς· τῇ δὲ, τὴν πρᾶξιν προσεπικαταρτίζων θαυμασίως. τοῖς Ἀθήνησι δὲ, τῷ σῷ φίλῳ ἐδάφει, παιδευτηρίοις τοῖς ὑπὸ τῦ χρόνυ καὶ τῆς αἰχμαλωσίας ἡμῖν ἐναπολειφθεῖσιν αὐτάρκως πρότερον ἐκπαιδευθεὶς, εἶθ᾽ ὕτως ἐπὶ τὴν Πάτμον ἀφικόμενος, ὑπὸ Γερασίμῳ ἀνδρὶ ἀρετῇ ὐχ ἧττον ἢ παιδείᾳ διαπρέψαντι (καὶ γὰρ τὸ σεβάσμιον τύτυ σκῆνος τὰ τῆς ἁγιότητος ἀρίδηλα ἐκφαῖνον σήμαντρα ἐν Κρήτῃ, ὥς φασι, σωζόμενον καθορᾶται.) πρὸς ἀμφοτέρας τοσῦτον ἐξησκήσωτε καὶ ἐπέδωκας, ὅσον μόλις πυ ἕτερός τις πρὸς μόνην τὴν ἑτέραν. διὸ δὴ μετ᾽ ὐ πολὺ ἡ Κύπρος ὅλη τῦ ἰδίυ ξυμφέροντος πάνυ καλῶς προνοϐμένη, καθηγητὴν ἑαυτῆς ἀνηγόρευσέ ΣΕ καὶ διδάσκαλον. αὐτὴν

γῦν

γῦν ταῖς τῶν σοφῶν λόγων διαυγέσι φωταγωγίαις, ϗ τῷ τῶν ἡρωϊκῶν ΣΟΥ ἔργων περιλαμπεῖ καταφωτίσας ὑποδείγματι, τοσῦτον τὸ σέβας ἀπηνέγκω καὶ τὸ κλέος, ὥςε ȣ μόνον τὸν ΣΟΝ λόγον ἐν πᾶσιν ἡγεῖσθαι νόμον, ἀλλάγε καὶ πανδημεὶ ἐπὶ τὴν ἀρχιεπισκοπικὴν ἐφέλκειν ΣΕ ποιμεναρχίαν παραιτȣ́μενόν τε καὶ φεύγοντα. ὡς Μωϋσῆς γὰρ ὁ μέγας ἀναδυόμενος, ἐμάκρυνας φυγαδεύων, τȣ̃ βαθμȣ̃ συνειδὼς τὸ μέγεθος, καὶ οἷα ΧΡΙΣΤΟΥ καὶ μαθητὴς καὶ μιμητὴς ὑπὸ τῆς ταπεινοφροσύνης ἡττώμενος. χάρις δὲ ἦν, ἡ πόῤῥωθεν τὰς τῶν μεγάλων πραγμάτων ἀρχὰς παραδόξως προδιατιθέναι εἰδȣ̃σα, ἡ καὶ τὴν ΣΗΝ φυγαδείαν ȣ̃τω προνοητικῶς κατοικονομήσασα καὶ πανσόφως. τὸν μὲν γὰρ Ἰωσὴφ ἀδελφῶν φθόνῳ ἀπεμπολȣ́μενον, εἰς Αἴγυπτον προέπεμπε· ΣΕ δὲ ὑπὸ τȣ̃ τῆς ὑψηλῆς ἐγχειρήσεως δέȣς ἐξελαυνόμενον, εἰς Ἱεροσόλυμα προεξαπέςελλεν. ἵνα ὥσπερ ἐκεῖνον τῆς Φαραωνίτιδος εἱρκτῆς ἐξάρασα, ἀξίᾳ βασιλείῳ τετίμηκε σιτοδότην ἁπάσης τῆς γῆς ἐκείνης καταςήσασα· ȣ̃τω δὴ ϗ ΣΕ παρὰ τῶν κατὰ τὴν Παλαιςίνην ἀσκητηρίων παραλαβȣ̃σα, τῷ ὑπερτάτῳ τῶν τῆς ἱερωσύνης βαθμῶν προβιβάσῃ· προβιβάσασα δὲ, εἰς τὴν ἀποςολικὴν τȣ̃ ΑΔΕΛΦΟΘΕΟΥ ἀνυψώσῃ Καθέδραν· ἀνυψώσασα δὲ, τὸν λύχνον ἐπὶ τῆς λυχνίας τεθέντα προθῆ-

ται,

ται, Φωταγωγὸν, καὶ μύστην, καὶ λόγου διανομέα τῷ εὐσεβοῦντι πληρώματι ἀναδείξασα. καὶ γὰρ πολὺς ἀτεχνῶς καὶ ὁ ζῆλος, ὃν διατελῶν ἔχεις ὑπὲρ τῶν εὐαγῶν καὶ ἁγίων ἐν Ἱεροσολύμοις Σεβασμάτων, πολλοὶ δὲ καὶ οἱ κάματοι, οὓς ὑπὲρ αὐτῶν ἀνατλᾷς, καὶ οἱ ἀγῶνες, καὶ οἱ μέχρις αἵματος κίνδυνοι, ὧν καὶ αὐτόπτην με γενέσθαι ξυμβέβηκεν· ἀλλὰ τὸ τῆς ἀποστολικῆς καὶ ὀρθοτόμου ΣΟΥ διδασκαλίας δαψιλὲς καὶ ἀγλαόκαρπον οὐκ ἂν ῥᾳδίως ἐξισχύσειέ τις ἀνατυπώσασθαι. πυκναὶ μὲν γάρ, μᾶλλον δὲ συνεχεῖς αἱ κατ' ἰδίαν εἰσηγήσεις τε καὶ ὑποθῆκαι, αἷς τινῶν μὲν τὸν βίον καταπεπτωκότα ἐπανορθοῖς, τινῶν δὲ διακλονούμενον ἐπιστηρίζεις, τινῶν δὲ καὶ τὸν ἐπὶ τοῦ καλοῦ ἑδραῖον ἐπὶ τὸ τελεώτερον προσάγεις· ἄφθονον δὲ καὶ ἀέναον καὶ τὸ ἐπὶ κοινοῦ ἐκρέον τῶν παραινετικῶν λόγων γλυκύρροον νᾶμα, ᾧπερ αἱ τῶν πιστευόντων καρδίαι πλουσίως ἐπαρδευόμεναι, ἀειθαλεῖς τῇ εὐσεβείᾳ ἐναποδείκνυνται, τοὺς τῆς ἀρετῆς αὐτῶν καρποὺς ἀποδιδοῦσαι, καὶ ἐν πᾶσι κατευοδούμεναι. ἀλλ' ὡς ἔοικε τούτοις γε, καίπερ πολλοῖς, μὴ ἀγαπῶν, καινόν τινα ἄλλον μυσταγωγίας τρόπον ἐπινενόηκας τὴν τῶν βίβλων ἐκτύπωσιν. ὡς ἂν μὴ μόνον οἱ τῆς θεσπεσίου καὶ μελιρρύτου φωνῆς ΣΟΥ ἀκροώμενοι ἐπωφελοῖντο, ἀλλὰ καὶ οἱ ταύταις ἐντυγχάνοντες τοὺς τῆς εὐζωΐας

τρόπους

τρόπους εἰσηγούμενοι, πρὸς δικαιοσύνην ἀπευθύνοιντο. ἔνθενται πρότερον ὁ Λαύσας, καὶ τὸ περὶ τῆς σεβασμίας μονῆς τοῦ Κύκου συνταχθὲν ΣΟΙ ἐγχειρίδιον, καὶ τὰ εἰς τὸ τέταρτον τοῦ Θεοδώρου ὑπομνήματα, οὐ πρὸ πολλοῦ δὲ καὶ Μελέτιος ὁ Πηγᾶς, καὶ ἡ ὀρθόδοξος ὁμολογία, καὶ τὸ περὶ τῆς Ἱερουσαλὴμ συνταγμάτιον σπουδῇ τε καὶ ἀναλώμασι τοῖς ΥΜΕΤΕΡΟΙΣ εἰς φῶς προαχθέντα ἀνακεκοίνωται. νῦν δ᾽ αὖ τῶν ἐν Παλαιστίνῃ μοναστῶν, κἂν τῶν τοῖς ἀλλαχοῦ ὑπὸ ΣΕ ἡσυχαστηρίοις εἰδικὴν πρόνοιαν ποιούμενος, βέλτιον δὲ φάναι, ἁπάντων τῶν μοναζόντων τὸν βίον ἐκπαιδεύειν καὶ τελειοῦν ἐπειγόμενος, τὴν βίβλον ταύτην, γνώμονα οὖσαν τοῦ καθ᾽ ἡσυχίαν πολιτεύματος ἀκριβέστατον, ἐκδοῦναι προείλου. ἰδοὺ οὖν, ΜΑΚΑΡΙΩΤΑΤΕ καὶ ΘΕΙΟΤΑΤΕ ΠΑΤΕΡ καὶ ΔΕΣΠΟΤΑ, κοινὸς ἤδη ὁ ΣΟΣ ΙΣΑΑΚ, καὶ πεπολλαπλασιασμένος κατάγε τὴν ΣΗΝ προτροπὴν καὶ ἀξίωσιν. ἀλλ᾽ ὡς ἔδειγε ἄρα, οὕτω δὴ καὶ ἐπεξείργαστο, ἢ ὡς ἔτυχεν; ὡς οἷόν τε φημὶ δὴ ἔγωγε. ὅπερ καὶ ΘΕΩ, καὶ ΥΜΙΝ, εὖ οἶδα, φίλον. τῶν ἐφ᾽ ἡμῖν μὲν γὰρ ὁ πόνος, οὐμενοῦν καὶ ἡ εὐδοκίμησις. ἀλλὰ γὰρ ἡ δέλτος αὐτὴ καθ᾽ αὑτὴν καλὴ καὶ σωτήριος, κἂν ὁποιονδήποτοῦν ᾖ τὸ ὑπ᾽ ἐμοῦ ἐν αὐτῇ πεποιημένον. ἥν τινα δήπουθεν καὶ οὐκ ἄλλωτῳ, ὅτι μὴ τῷ τῆς εἰς φῶς

προα-

προαγωγῆς αὐτῆς παραιτίῳ προσαχθεῖσαν ἀνατεθῆναι νόμιμόν τε τυγχάνει καὶ δίκαιον. καὶ αὐτὴ μὲν τῷ πανσεβάςῳ ΥΜΩΝ περισεμνωθεῖσα ὀνόματι, πολὺ προσκλήσεται τὸ γάνος καὶ τὸ κλέος· ἡ δ' αὖ ΥΜΕΤΕΡΑ ΜΑΚΑΡΙΟΤΗΣ ςήλην αἰώνιον ἕξει αὐτὴν, ἐγκεχαραγμένα φέρουσαν τοῦ ΥΜΕΤΕΡΟΥ διαπύρου ζήλου τὰ περίβλεπτα καὶ περιφανέςατα κατορθώματα.

ΤΗΣ ΥΜΕΤΕΡΑΣ

ΣΟΦΩΤΑΤΗΣ ΚΑΙ ΘΕΟΔΟΞΑΣΤΟΥ

ΜΑΚΑΡΙΟΤΗΤΟΣ

ἐν Λειψίᾳ ἔτει αψο.
Μαρτίου. κζ.

Τέκνον ἐν Χριςῷ εὐπειθέςατον

ΝΙΚΗΦΟΡΟΣ ΙΕΡΟΜΟΝΑΧΟΣ
Ο ΘΕΟΤΟΚΗΣ.

ΝΙΚΗ-

ΝΙΚΗΦΟΡΟΣ ΙΕΡΟΜΟΝΑΧΟΣ
Ο ΘΕΟΤΟΚΗΣ
ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Οὐδ᾽ ὁ ΙΣΑΑΚ ὁ ΣΥΡΟΣ ἔμελλεν ἄρα εἰς τέλος ἑαυτὸν ἐναποκρύπτειν. οὐκοῦν ἐγκατορωρυγμένος αἰῶνας τοσούτους κατέκειτο, τὸν ἀνορύξοντα καὶ εἰς μέσον προθησόμενον περιμένων. ὁποῖος δ᾽ ἄρ᾽ ἦν ὃν ἀπεκδέχετο, τὰ πράγματα προφανῶς ἐναπέδειξαν. οὐκ ἀμύητός τις τῶν ὑπ᾽ αὐτοῦ εἰσηγουμένων, οὐδέ τις τῶν ἄκροις, τὸ τοῦ λόγου, γευσαμένων τοῖς χείλεσιν, ἀλλ᾽ ὁ καλῶς μυηθεὶς, καὶ ἐς κόρον μετασχὼν, κἂν τῇ τούτων ἀποχρόντως τελεσιουργηθεὶς μελέτῃ· ὑψηλὸς τὴν ἀρετὴν, πολὺς τὴν παίδευσιν, ἀκάματος τὴν ἐν τοῖς καλοῖς προθυμίαν, καὶ ἐν πᾶσι δὲ τοῖς τὸ κοινὸν λυσιτελεῖν δυναμένοις, κἂν ἐξ ἐναντίας οἱ καιροὶ καὶ αἱ περιστάσεις ἀπαντῶσιν, ἐνεργὸς καὶ δραστήριος. ὁ Πατριάρχης ἐστὶν οὗτος τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ, ὁ ΕΦΡΑΙΜ, ὁ οὐχ ἧττον τῆς εὐσεβείας καὶ τῆς ἀρετῆς, ἢ τῆς προεδρίας ΙΑΚΩΒΟΥ τοῦ ἀδελφοῦ τοῦ ΚΥΡΙΟΥ γνήσιός τε καὶ νόμιμος διάδοχος. αὐτὸς ἐν τῇ κατὰ τὴν Παλαιστίνην Λαύρᾳ τοῦ ἁγίου Σάββα τὰ τοῦ ΙΣΑΑΚ Φιλοπονήματα εὑρὼν, συντόνῳ σπουδῇ ἐμελέτησε·

μελετήσας δὲ, μὴ ἀνακοινῶσαι οὐκ ἠνέχετο. ἐνθαῦτοι ἐπ' ἐμὲ ὁ τοῦ ὑπεργήματος τῆς ἐκδόσεως κλῆρος. ὅντινα δὴ καίπερ ἐπίπονον, παραιτήσασθαι δ' οὖν ὅμως οὐκ ἦν, διὰ τὴν τοῦ ἀνδρὸς ἀξίαν, καὶ ἀρετὴν, καὶ τὸ ἐμὸν πρὸς αὐτὸν ἰδιαίτερον χρέος καὶ σέβας. ἐπεὶ οὖν τὴν τοῦ ἔργου διακονίαν ἀνεδεξάμην, φέρε περὶ τοῦ ΙΣΑΑΚ πρῶτον, εἶθ' οὕτω καὶ περὶ τῶν τούτου συγγραμμάτων, ἔμην ἀλλὰ καὶ περὶ τῆς ἀνὰ χεῖρας ἐκδόσεως βραχέα διελθεῖν πειράσομαι.

Ἐκ τῆς Ἕω τοίνυν, ἐν ᾗ ἀνεφύη, καὶ ἐξ ἧς πάντα προΐασι τὰ σωτήρια, ὁ ὅσιος ΙΣΑΑΚ ὁρμώμενος, Σύρος μὲν ἦν τὸ γένος, πατρὶς δ' αὐτῷ ἡ Νινευΐ, (1) οἱ δὲ τούτου γεννήτορες ἀφανεῖς ἡμῖν, καὶ οὐδαμόθεν γνώριμοι. ἐν ἀκμαζούσῃ δὲ τῇ νεότητι, καὶ πάνυ ἀνθηρᾷ τῇ ἡλικίᾳ κόσμου τε καὶ τῶν ἐν κόσμῳ ἑαυτὸν χωρίσας, ἐπὶ τὸ φροντιστήριον, ὃ τοῦ ἁγίου ΜΑΡ ΜΑΤΘΑΙΟΥ ὄνομα ἔχει, ὅπου πολλοὶ οἱ τὸ τῶν Ἀγγέλων ἐν σώματι μετιόντες πολίτευμα, σὺν τῷ ἰδίῳ ὁμαίμονι ἀφίκετο, καὶ σχῆμα καὶ τρόπον καὶ βίον τὸν μοναδικὸν ἀνελόμενος. ἐν αὐτῷ γοῦν τοῖς ἀσκητικοῖς σκάμμασι προγυμνασθεὶς, καὶ εἰς ἱκανὸν ἀρετῆς μέτρον ἐλάσας, τῷ τῆς βαθυτέρας ἡσυχίας πόθῳ ἐγκατατιτρώσκεται, καὶ καταφλέγεται τοῖς ἐρημικοῖς ἄνθραξι τὴν καρδίαν. ἀπὸ τοῦ Κοινοβίου τοιγαροῦν πόῤῥω μακρύνας, καὶ ἐν ἐρημικῷ αὐλισθεὶς κελλίῳ, ἀγωγὴν διήθλει τὴν πάντη μεμονωμένην καὶ ἄμικτον, ἑαυτῷ μόνῳ καὶ τῷ Θεῷ προσανέχων. καὶ ὁ μὲν τούτου αὐτάδελφος τὴν τῆς προδιαληφθείσης Λαύρας προεδρίαν ἀνειληφὼς, ταῖς δι' ἐπιστολῶν δραστηρίοις προτροπαῖς ἀξιοῦν αὐτὸν οὐ διέλιπε, τὴν ἔρημον καταλιπόντα εἰς μονὴν ἐπανελθεῖν τὴν προτέραν. (2) ὁ δὲ, οὕτως

(1) Ὁ Ἀσεμάνιος ἐν Τόμ. 1. τῆς ἀνατολικ. βιβλιοθ. σελ. 463. ὁ δὲ τοῦ ἐκδοθέν. Ἐπιγράμ. συγγρ. ἐν Μεσοποταμίᾳ, οὐ πόῤῥω Ἐδέσης γεννηθῆναί φησιν, ἀνατραφῆναί τε καὶ παιδευθῆναι τὸν ὅσιον. ἐν σελ. ις.

(2) Ἡ δευτέρα τῶν τούτου ἐπιστολῶν τὴν πρὸς τὸν ἀδελφὸν αὐτοῦ ἀπόκρισιν περιέχει. ἀλλ' ἐπιγέγραπται, πρός τινα φυσικὸν καὶ πνευματικὸν ἀδελφὸν ἐν κόσμῳ οἰκοῦντα. ἤτοι οὖν ἀντὶ τοῦ κοινοβίου εἴληπται ὁ κόσμος, (ἐπεὶ γὰρ οὐ μόνον φυσικὸς, ἀλλὰ καὶ πνευματικὸς ὁ ἀδελφὸς

ὕτως ἀπρὶξ τῆς ἐρήμου ἀντείχετο, ὥστε οὐδὲ μικρὸν ὅσον αὐτῆς ἀποστῆναι ἠνέχετο. ἀλλ᾽ ὅπερ ἀδελφικὴ ἱκεσία οὐκ ἐξετέλεσε πρότερον, τοῦτο ἀποκάλυψις θεία διανύσαι ἐξίσχυσεν ὕστερον. (1) ἀπειθήσας μὲν γὰρ τῷ ὁμαίμονι, καίπερ εἰς τὸ ἱερὸν παραγενέσθαι μοναστήριον αὐτὸν προτρέποντι, ὑπεῖξε τῷ ἄνωθεν καλοῦντι πατρὶ, ἐπὶ τὸ ἀρχιερατικὴν ἐπιστασίαν ἀναδεξάμενον τῆς τῶν Νινευιτῶν Ἐκκλησίας ἰθύνειν τὸ σκάφος. καταλιμπάνει τοιγαροῦν τὴν ἔρημον, ἧς τῷ πόθῳ ἡ καρδία αὐτοῦ καιομένη ἐτύγχανε, καὶ τῆς μεγαλοπόλεως Νινευὶ προχειρίζεται ἐπίσκοπος. καὶ γὰρ οὐκ ἔδει τὸν λύχνον ὑπὸ τὸν ἐρημικὸν κατακρύπτεσθαι μόδιον, ἀλλ᾽ ἐπὶ τὴν ποιμαντικὴν ἐπιτεθῆναι λυχνίαν, καὶ τῆς φωταυγοῦς ἀρετῆς πορρωτέρω τὰ πάμφωτα ἐκπέμψαι σελαγήματα. ἀλλ᾽ ἐν ὀλίγῳ πάντως, καὶ τοσοῦτον βραχεῖ τῷ χρόνῳ τοῦτ᾽ ἐγεγόνει, ὥστε μόλις ἐξανατεῖλαν ὤφθη τὸ φῶς, καὶ αὐτίκα μάλα πάλιν ὑπέδυ. οὐ γὰρ ἦν, ὡς ἔοικεν, ἄξιος τοῦ ἀνδρὸς ὁ κόσμος, παραπλήσια πεπονθότος τοῖς καὶ τῷ θείῳ Γρηγορίῳ τῷ Θεολόγῳ ποτὲ ἐπισυμβᾶσι, Σασίμων ἐπισκόπῳ χειροτονηθέντι, καὶ δρασμὸν ἅμα τῇ χειροτονίᾳ ἐννοήσαντι. (2) ἅπερ δὴ καί τοι τῶν θεοφιλεστέρων οὐ δοκεῖ, διὰ τὸ ἰδιοπραγοῦν καὶ ἀκαρτέρητον τοῦ φρονήματος, οὐκ ἐπίμωμα ὅμως, οὐδ᾽ ἐπιλήψιμα φαίην ἂν ἔγωγε, διὰ τὴν τῶν ἀνδρῶν ἀρετὴν καὶ τελειότητα. ἀνεπίληπτοι γὰρ οὗτοι τἄλλα, καὶ ἄμεμπτοι, καὶ πνευματοφόροι. » ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ᾽ οὐ» δενὸς ἀνακρίνεται.

Τὸ δ᾽ ἐπισυμβὰν αὐτῷ τότε συγκύρημα τοῦτό ἐστι. κατ᾽ αὐτὴν τὴν ἡμέραν, ἐν ᾗ τὴν τῆς ἀρχιερωσύνης ἔλαβε χειροτονίαν, ἐν τῷ τῆς ἐπισκοπῆς οἰκήματι καθημένῳ, δύω τινῶν αὐτῷ παραστάντων, ὁ μὲν τὸ δάνειον ἀπῄτει, ὁ δὲ τὸ χρέος καθομολογῶν, μικρᾶς τινος ἀντιβόλει τυχεῖν προθεσμίας. ὁ δανειστὴς δὲ ἔλεγεν· ἀλλ᾽ εἴγε οὗτος ἀποδοῦναί μοι παραιτεῖται

ἀδελφὸς αὐτοῦ προσηγόρευται, δῆλον ἄρα, ὅτι Μοναχὸς ἦν.) ἢ καὶ ἕτερον ἀδελφὸν εἶχεν ὁ Ἰσαὰκ ἐν κόσμῳ οἰκοῦντα.

(1) Τὸ ἐπίγραμ. ἐν σελ. 15. (2) Ὁ Γρηγόρ. εἰς τὸν βίον Γρηγορ.

ται ὅπερ ὀφείλει, ἢ μὴν παραχρῆμα τῷ κριτῇ αὐτὸν παραδώσω. πρὸς ὃν ὁ θεῖος ΙΣΑΑΚ· εἰ διὰ τὴν τοῦ ἱεροῦ εὐαγγελίου ἐντολὴν, μηδὲ τὰ ἀφαιρεθέντα ἐκζητεῖν σε χρεὼν· πολλῷ μᾶλλον ἄρα μίαν ἡμέραν ἐπ' αὐτῷ μακροθυμῆσαι, τὸ ὀφειλόμενον ἀποτίσοντι. ὁ δὲ ἀπηνὴς ἐκεῖνος ἀπεκρίνατο· ἀλλὰ νῦν ἄφες τὰ τοῦ εὐαγγελίου. τηνικαῦτα οὖν ὁ ΙΣΑΑΚ ἔφη· εἴπερ δὴ οὕτοι τοῖς εὐαγγελικοῖς οὐχ ὑπείκουσι τοῦ ΚΥΡΙΟΥ προστάγμασι, τί ἄρα αὐτὸς ἐνθάδε παραγέγονα ποιήσων; ὁρῶν δὲ καὶ τὸν ἐν τῇ ἡσυχίᾳ ἐθισθέντα αὐτῷ ἀπράγμονα καὶ ἀτάραχον βίον ὑπὸ τῶν τοῦ ἐπισκοπικοῦ ἐπαγγέλματος ἀσχολιῶν περισπώμενόν τε καὶ διαθορυβούμενον, τοῦ θρόνου ὑποχωρήσας, εἰς τὴν ἐν τῇ ἐρήμῳ πεφιλημένην αὐτῷ ἐπανῆκε σκήτην. ἐν ᾗ μέχρι θανάτου ἐγκαρτερήσας, οἵους κατά τε Δαιμόνων καὶ σαρκὸς διήνυσεν ἀγῶνας, καὶ οἷος ὑπῆρξε τὴν ἀρετὴν ὅσην τε ὁ πρακτικὸς καὶ ὅσην ὁ θεωρητικὸς χαρακτηρίζει βίος, καὶ εἰς οἵαν ἔφθασε τῆς ψυχῆς τελειότητα, καὶ ὅσης ἔτι τῷ βίῳ περιὼν ἀπήλαυσε τῆς χάριτος, περιττὸν ἂν εἴη λέγειν, ἐνὸν ἐκ τῶν αὐτοῦ ῥαδίως καταμαθεῖν συγγραμμάτων.

Ἐπειδὴ γὰρ ἐν μὲν τῷ εἰκοστῷ τρίτῳ τῶν ἑαυτοῦ λόγων (1) » φησὶν, ὥσπερ ὁ μὴ ἰδὼν τοῖς ὀφθαλμοῖς αὐτοῦ τὸν Ἥλιον, οὐ » δύναται διηγήσασθαί τινι τὸ φῶς αὐτοῦ ἐκ μόνης ἀκοῆς, οὔτε » μὴν αἰσθάνεται τοῦ φωτὸς αὐτοῦ, οὕτω καὶ ὁ μὴ γευσάμενος » τῇ ψυχῇ αὐτοῦ τῆς γλυκύτητος τῶν πνευματικῶν ἔργων· ἐν » δὲ τῷ εἰκοστῷ ἕκτῳ, (2) ἐν πολλῷ καιρῷ πειραζόμενος ἐν τοῖς » δεξιοῖς καὶ ἀριστεροῖς, καὶ ἑαυτὸν δοκιμάσας ἐν τοῖς δυσὶ τρό» ποις τούτοις πολλάκις, καὶ δεξάμενος ἐκ τοῦ ἐναντίου πληγὰς » ἀναριθμήτους, καὶ ἀξιωθεὶς μεγάλων ἀντιλήψεων κρυπτῶς, » ἐκομισάμην ἑαυτῷ πεῖραν ἐκ τῶν μακρῶν χρόνων τῶν ἐτῶν, » καὶ ἐν δοκιμασίᾳ καὶ Θεοῦ χάριτι ταῦτα ἔμαθον· κἂν τῷ δε» κάτῳ πέμπτῳ, (3) ταῦτα ἔγραψα πρὸς ἀνάμνησιν ἐμὴν, » καὶ παντὸς ἐντυγχάνοντος τῷδε τῷ συγγράμματι, καθὼς » κατείληφα ἀπότε τῆς θεωρίας τῶν γραφῶν καὶ τῶν ἀληθινῶν

(1) Σελ. 144. (2) Σελ. 159. (3) Σελ. 80.

» θινῶν στομάτων, καὶ μικρὸν ἀπ᾽ αὐτῆς τῆς πείρας· δῆλον ἄρα, ὅτι πεπραχὼς τὴν πρότερον, ὅσα γραφῇ παρεδίδου ὕστερον, καὶ πρακτικὸς ἐτύγχανε τῶν μυσταγωγουμένων διδάσκαλος. ἀλλὰ θεία τῷ ὄντι ἡ μυσταγωγία, ἅτε δὴ ἀρετὴν τὴν ὑψηλοτάτην ὑποτιθεμένη, καὶ τὴν τῆς τελειότητος ἀναπτύσσουσα ἀκρότητα, καὶ ὁ μυσταγωγὸς ἄρα θεῖος, καὶ ὑψηλὸς, καὶ τέλειος. πεῖραν γάρ φησιν ἔλαβον ὧν ὑπὸ τῆς θείας χάριτος μυηθεὶς, ἔμαθέ τε καὶ ἔγραψεν. ἧς καὶ τὴν ἐν αὐτῷ δραστήριον καὶ ὑπερήδιστον ἐνέργειαν παρασιωπῆσαι μὴ δυνηθεὶς ὁ ἀοίδιμος, ἐν ἄλλοις μὲν ἀμυδρῶς, ἐν τούτοις δὲ μά-
» λιστα ἐναργέστερον διετράνωσε, λέγων· πολλάκις ὅτε ταῦτα
» ἔγραφον, ὑπελείποντό μου οἱ δάκτυλοι ἐπὶ τὸν χάρτην, καὶ
» οὐχ ὑπέφερον κατέναντι τῆς ἡδονῆς τῆς ἐμπιπτούσης ἐν τῇ καρ-
» δίᾳ μου, καὶ τὰς αἰσθήσεις κατασιγαζούσης. (1) ἀλλὰ γὰρ καὶ τοῦτο ἔπεισι μάλιστα τῆς τοῦ ἀνδρὸς ἀρετῆς θαυμάζειν· τὸ, ἀπῳκισμένον μὲν εἶναι πάντων ἀνθρώπων, καταθέλγεσθαι δὲ ὑπὸ τῆς πρὸς αὐτοὺς ἀγάπης, ὡς αὐτὸς περὶ ἑαυτοῦ
» διαμαρτύρεται. ἀγαπητοὶ, γάρ φησι, (2) διότι γέγονα μω-
» ρὸς, οὐχ ὑπομένω φυλάξαι τὸ μυστήριον ἐν σιωπῇ, ἀλλὰ γίνο-
» μαι ἄφρων (συνῳδὰ ταῦτα τοῖς τοῦ Ἀποστόλου, γέγονα ἄφρων
» καυχώμενος, ὑμεῖς με ἠναγκάσατε.) διὰ τὴν ὠφέλειαν τῶν
» ἀδελφῶν. διότι αὕτη ἐστὶν ἡ ἀγάπη ἡ ἀληθινὴ, ἥτις οὐ δύνα-
» ται ὑπομεῖναι ἔν τινι μυστηρίῳ ἐκ τῶν ἀγαπητῶν αὐτῆς. διόπερ καὶ ἐξ ἐρήμου τὸ τῆς διδασκαλίας ἄχραντον καὶ ζωηρὸν νᾶμα, ᾧ τὰς τῶν ἀδελφῶν ψυχὰς ἀφθόνως κατήρδευεν ἀναπηγάζων διετέλει, καὶ ἀεννάως προχέων. ὁ γὰρ τὰ περὶ αὐτοῦ (3) συνοπτικῶς καθιστορήσας Ἀνώνυμος, τάδ᾽ ἐπὶ λέ-
» ξεως διέξεισι· διδάσκαλος δὲ καὶ καθηγητὴς ὢν πάντων τῶν
» Μοναχῶν, καὶ λιμὴν τῆς σωτηρίας ἁπάντων, ταῦτα τὰ περὶ μονα-

(1) Ἐν σελ. 241. (2) Αὐτ.

(3) Ταῦτα σώζονται μὲν ἐν τοῖς κώδιξι τῆς κατὰ τὴν Ῥώμην Οὐατικανῆς Βιβλιοθήκης Ἀράβων φωνῇ καὶ Σύρων στοιχείοις γεγραμμένα ἐν αὐτοῖς τοῖς προοιμίοις τῶν τοῦ Ἰσαὰκ τεσσάρων βιβλίων, περὶ ὧν κατωτέρω ἐροῦμεν· μεταβέβληνται δὲ εἰς τὴν Λατινίδα παρὰ Ἀσεμανίου τοῦ Συρομαρωνίτου. ἐξ ὧν ἃ περὶ τοῦ Ἰσαὰκ ἔφθημεν εἰπόντες ἐρανεισάμεθα.

„ μοναδικῆς πολιτείας τέσσαρα βιβλία μετὰ πολλῆς τῆς εὐφρα-
„ δίας συνέγραψεν.

Ὁ αὐτὸς δὲ καὶ περὶ τῶν χρόνων, ἐν οἷς περιῆν ὁ
„ ΙΣΑΑΚ τῷ βίῳ, φησίν· ἔζη ὁ ἅγιος ἔτος ἀρχομένης τῆς
„ ἑβδόμης ἀπὸ κτίσεως κόσμου χιλιάδος. συμβαίνει δὲ ταῦτα
οἷς περὶ τῶν Δαιμόνων αὐτὸς ὁ ΙΣΑΑΚ διελέχθη, εἰπών·
„ ἐξ ἐναντίας γὰρ τούτων τῶν ἐχόντων ἑξακισχιλίους χρόνους εἰ-
„ σφέρεις ἑαυτὸν δογματίσαι. (1) ἐξ ὧν δῆλον, ὅτι ἡνίκα τὸν
λόγον ἔγραφε, πεπληρωμένον ἦν ἤδη τὸ ἀπὸ κτίσεως κόσμου
ἑξακισχιλιοστὸν ἔτος. (2) ἀλλὰ τὰ περὶ τούτου ἐκ τῆς πρὸς
τὸν θαυμαστορίτην Συμεώνην ἐπιστολῆς αὐτοῦ ἀκριβέστερον μαν-
θάνομεν. οὗτος γὰρ ἔτη πρὸς τοῖς πέντε καὶ ἑβδομήκοντα
ζῶν διήρκεσεν, εἴτουν ἀπὸ τοῦ τετάρτου ἔτους τῆς Βασιλείας Ἰου-
στίνου τοῦ γέροντος, ὅπερ ἔτος ἦν ἀπὸ τοῦ σωτῆρος ΧΡΙΣΤΟΥ
πεντακοσιοστὸν εἰκοστὸν πρῶτον, ἄχρι τοῦ δεκάτου πέμπτου τῆς
τοῦ Μαυρικίου, ἤτοι τοῦ πεντακοσιοστοῦ ἐνενηκοστοῦ ἕκτου σωτηρίου
ἔτους. (3) καὶ ἐπεὶ ὁ μὲν Συμεώνης, πάνυ νέαν ἦγε τὴν
ἡλικίαν, ὅτε τὴν ἐπὶ κίονος δίαιταν ἠσπάσατο· (4) ὁ δὲ
ΙΣΑΑΚ, τῇ ἐπιστολῇ καὶ παραινῶν φαίνεται, καὶ τοὺς τοῦ
ἡσυχαστικοῦ βίου πρώτους κανόνας αὐτῷ ὑποτιθέμενος, (5) πρὸ
τῆς εἰς τὸν κίονα ἄρα ἀναβάσεως αὐτῷ ἐπέστειλεν. ἐκ τούτου οὖν
κατιδεῖν ῥᾴδιον, ὅτι ὁ Ἀββᾶ ΙΣΑΑΚ περὶ τὸ πεντακοσιο-
στὸν τριακοστὸν τέταρτον τῆς θείας οἰκονομίας ἔτος ἤκμαζεν, οὐ
μόνον τὴν ἀρετὴν τέλειος ὤν, ἀλλὰ καὶ τὴν ἡλικίαν. οὐκοῦν εἰ
οὐχ ὑπεργεγήρακε, πρὸ τοῦ ἑξακοσιοστοῦ σωτηρίου ἔτους ἀναμφι-
λέκτως εἰς τὰς οὐρανίους σκηνὰς μετέστη.

Ἐπισφαλῶς δέ τινες (6) τὸν ἡμέτερον ΙΣΑΑΚ ἐκεῖνον
εἶναι ὑπειλήφασιν, οὗ τὸν βίον ὁ ἐν ἁγίοις Γρηγόριος συνέγρα-
ψεν

(1) Ἐν σελ. 213. (2) Ὅρα τὴν ἐν τῇ 212. σελ. σημείωσ.
(3) Φαβρίκ. ἐν τῇ ἑλλην. βιβλιοθ. βιβλ. 5. κεφ. 34. σελ. 279.
(4) Νικηφ. ὁ Κάλλις. ἐν Τόμ. 2. βιβλ. 18. κεφ. 24.
(5) Ὅρα ἐπισ. Δ.
(6) Ὁ Οὔδινος ἐν Τόμ. 1. περὶ τῶν ἐκκλησιασ. συγγραφ. ἔτι δὲ
καὶ Λουβέρτιος, καὶ Λαμβέκιος, καὶ Καβέος. παρὰ Φαβρικ. ἐν βιβλ. 5.
κεφ. 41. σελ. 171. τῆς ἑλλην. βιβλιοθ.

ψαν ὁ Διάλογος. (1) τῦ μὲν γὰρ ἡμετέρου ἡ ὅλη περίοδος, ἐκ τῆς πατρίδος πρὸς τὸ κοινόβιον, ἐκ τῦ κοινοβίου πρὸς τὴν ἔρημον, ἐκ τῆς ἐρήμου πρὸς τὴν Νινδὶ, καὶ ἐξ αὐτῆς, πάλιν πρὸς τὴν ἔρημον· ἐκείνου δὲ, ἀπὸ ἀνατολῶν Ἡλίου, μέχρι δυσμῶν, ἀπὸ τῆς Συρίας δηλαδὴ, ἄχρι τῦ κατὰ τὴν Ἰταλίαν Σπολέτου. (2) ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς πρὸς τὸν Θαυμασορίτην ἐπιστολῆς ἀκριβῶς διακρίνειν ἔχομεν τοὺς ἄνδρας. ἐπειδὴ μὲν γὰρ, τοὺς ἰδίους λαθόντα μαθητὰς, καὶ τοὔνομα ἀμειψάμενον εἰς τὴν Ἰταλῶν παραγενέσθαι φησὶ τὸν ἑαυτοῦ ΙΣΑΑΚ ὁ Διάλογος ἐν τοῖς πρώτοις τῆς τῶν Γότθων ἐπικρατείας ἔτεσιν, (τὰ ἔτη τὰ ἐγγὺς τοῦ πεντακοσιοστοῦ τεσσαρακοστοῦ πρώτου σωτηρίου ἔτους πάντως νοητέον, ἐν οἷς ὁ Τώτιλας ἐν Ἰταλίᾳ βασιλεύειν ἤρξατο.) ἐπιδιαρκέσαι τε ζῶντα ἄχρι τῶν ἐσχάτων, τουτέστιν ἄχρι τοῦ πεντακοσιοστοῦ πεντηκοστοῦ δευτέρου ἀπὸ Χριστοῦ ἔτους, (ἐν ᾧ ὁ Τώτιλας ὑπὸ τοῦ Ναρσοῦ τροπωθεὶς ἀπώλετο) ἢ ἄχρι τοῦ πεντακοσιοστοῦ πεντηκοστοῦ τρίτου, (καθ' ὃ καὶ τοῦ Τείου ἀποκτανθέντος (3) ἡ τῶν Ἰταλῶν τῆς τῶν Γότθων τυραννίδος ἀπηλλάγη), καὶ οὕτως ἐπικρύψαι τ' ἀληθὲς αὐτοῦ ὄνομα, ὥστε ὑπὸ μόνου τοῦ ἀκαθάρτου πνεύματος, ὃ ἀπό τινος ἐξέβαλεν, ἐμφανισθῆναι, ἀπίθανον ἄρα καὶ ἀπαράδεκτον κατὰ τοὺς αὐτοὺς χρόνους τὸν ἐν τῷ ἐγγὺς τῆς Ἀντιοχείας θαυμαστῷ ὄρει μονάζοντα Συμεὼνην ἐπιστέλλειν αὐτῷ, οὐδ' ἀπὸ τοῦ ὀνόματος ἐν Σπολέτῳ γνωρίμῳ, κἀυτὸς ἐκείνῳ. καὶ ταῦτα μὲν τὰ περὶ τοῦ ΙΣΑΑΚ, ἀκόλουθον δὲ καὶ περὶ τῶν τούτου συγγραμμάτων εἰπεῖν.

Ὅτι μὲν οὖν τῶν ἄρτι ἐκδεδομένων ἀσκητικῶν διατάξεων γνήσιος πατὴρ ὁ ΙΣΑΑΚ οὗτος, συνεπιμαρτυροῦσι τοῖς ἀνὰ χεῖρας ἡμῶν δυσὶ παλαιοῖς χειρογράφοις, ὅ, τε ἐν τῇ κατὰ τὴν Παλαιστίνην Λαύρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα ἔτι ἐναποκείμενος παλαιὸς κώδιξ, (οὗτός ἐστι τυχὸν ὁ ὑπὸ τῶν ὁσίων πατέ-

(1) Ἐν βιβλ. 3. τῶν Διαλόγ. κεφ. 14. παρὰ Οὐδίν. ἐν Τόμ. 1. περὶ τῶν ἐκκλησιας. συγγραφ. σελ. 1401.

(2) Ὁ Διάλογ. αὐτ.

(3) Ὅρα τὸ 13. κεφ. τοῦ 17. βιβλ. τοῦ 2. Τόμ. τοῦ Νικηφ. τοῦ Καλλίσ.

πατέρων Ἀβραμίου καὶ Πατρικίου γραφεὶς) ὃν ὁ μακαριώτατος Πατριάρχης ΕΦΡΑΙΜ ἐκεῖ διατρίβων, πολλάκις ἀνέγνω, ὡς εἴρηται· καὶ ὁ ἐν πόλει Κερκύρᾳ, ὁ ἐν τῇ μονῇ τῆς ἁγίας παρθενομάρτυρος Αἰκατερίνης, ᾧ αὐτὸς ἐνέτυχον· καὶ ὁ ἐν τῇ καισαρικῇ βιβλιοθήκῃ, (1) οὗτινος ἡ μὲν ἐπιγραφὴ αὕτη· τοῦ
» ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀββᾶ ΙΣΑΑΚ Σύρου καὶ ἀναχωρη-
» τοῦ, τοῦ γενομένου ἐπισκόπου τῆς φιλοχρίστου πόλεως Νινευὶ λόγοι
» ἀσκητικοὶ εὑρεθέντες ὑπὸ τῶν ὁσίων πατέρων ἡμῶν τοῦ Ἀββᾶ
» Πατρικίου, καὶ τοῦ Ἀββᾶ Ἀβραμίου τῶν φιλοσόφων καὶ ἡσυχαστῶν
» ἐν τῇ Λαύρᾳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σάββα· οἱ δὲ ὑπ' αὐτοῦ
» περιεχόμενοι λόγοι, ὀγδοήκοντα ἑπτά· ἔτι δὲ καὶ ὁ ἐν τῇ Κοϊσλινιανῇ Βιβλιοθήκῃ, ὁ ἐπιγεγραμμένος ΙΣΑΑΚ τῷ Σύρῳ ἀναχωρητῇ, καὶ ἐπισκόπῳ τῆς Νινευὶ, καὶ λόγους ἐννενήκοντα καὶ δύω ἐμπεριέχων, ἐν ᾧ καὶ σχόλια ἐκ τῶν λόγων, ἢ συγγραμμάτων Ἀναστασίου, Ἀντιόχου, Ἀντωνίου, Ἀρσενίου, Ἀθανασίου, Βαρσανουφίου, Βασιλείου, Βουλγάρου, (τοῦ Θεοφυλάκτου) Καρίωνος τοῦ Ἀββᾶ, Καρπαθίου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἰωάννου τοῦ Κλίμακος, Κόπρεως, Κυρίλλου, Διαδόχου, Δωροθέου, Ἐφραίμ, Ἡσαΐου, Εὐαγρίου, Γρηγορίου τοῦ Θεολόγου, Ἡσυχίου, Ἰωάννου Μοναχοῦ, Ἰωσὴφ, Ἰσιδώρου, Λογγίνου τοῦ Ἀββᾶ, Μακαρίου, Μάρκου, Μαξίμου, Νείλου, Νιθερίου τοῦ Ἀββᾶ, Πέτρου τοῦ Ἀββᾶ, Πέτρου Ἀλεξανδρείας, Ποιμένος, Σισόου τοῦ Ἀββᾶ, Συμεώνου, Θαλασσίου, Θεοδώρου τοῦ Νόνου, Ζηγαβηνοῦ, καὶ Ζωσιμᾶ· (2) (πολύτιμος ὄντως ὁ κώδιξ, καὶ τῇ ἐκδόσει ταύτῃ, εἴπερ ἐνῆν αὐτὸν ἀνὰ χεῖρας ἔχειν, συντελέσαντος.) προσέτι καὶ οἱ ἐν τῇ Οὐατικανῇ βιβλιοθήκῃ κώδικες, ὅ, τε κγ, καὶ ὁ τμα, καὶ ὁ χε, καὶ ὁ ψλζ, ὧν ἕκαστος λόγους ἐννενήκοντα ὀκτὼ περιέχει ἐκ τῆς Σύρων φωνῆς εἰς τὴν Ἑλλήνων μετενεχθέντας ὑπὸ Πατρικίου καὶ Ἀβραμίου τῶν

Μονα-

(1) Τοῦτον πρὸ μηνῶν ἑπτὰ ἑωρακότες, καί τινας τῶν ἐπιγραφῶν τῶν ἐν αὐτῷ λόγων ταῖς τῶν τῆς ἐκδόσεως ταύτης παραθέντες, ὁμοίας εὕρομεν. τῆς δὲ τοῦ ὅλου παραθέσεως κατὰ θυμὸν ἡμῖν οὔσης, καὶ ἐπισπουδαζομένης ἀπεκώλυσεν ὁ φιλόκαλος βιβλιοθηκάριος, ὁ καλούμενος Κολλάριος.

(2) Μέμνηται τούτου ὁ Μοντφαυκόνιος παρὰ Φαβρικ. ἐν βιβλ. 5. κεφ. 41. σελ. 171. τῆς Ἑλλην. βιβλιοθ.

Μοναχῶν τȣ̃ ἁγίȣ Σάββα· (1) ἀλλὰ ϰ̀ ὁ τῶν ἐν Ἀγγλίᾳ χειρογράφων κατάλογος περὶ ἐννενήκοντα ἐννέα ἀσκητικῶν ὁμιλιῶν διαλαμβάνων (2) ὑπὸ Ἀβραμίȣ, καὶ Ἰσαακίȣ (τὸν Πατρίκιον ȣ̓κ ὀρθῶς καλεῖ Ἰσαάκιον, καθάπερ καὶ ὁ Καβέος) τῶν Μοναχῶν τῆς τȣ̃ ἁγίȣ Σάββα μονῆς ἐξελληνισθεισῶν, ὡσαύτως ϰ̀ περὶ ἑτέρων τριῶν τȣ̃ αὐτȣ̃ ΙΣΑΑΚ συριςὶ γεγραμμένων, καὶ σωζομένων ἐν τῷ οβ. κώδικι Θωμᾶ τȣ̃ Βοδλεΐȣ. (3)

Ὁ δὲ Ἐβὲδ Ἰησȣ̃ς ἐν τῷ τῶν Χαλδαίων βιβλίων καταλόγῳ ἀναγράφων τάδε, (4) » ΙΣΑΑΚ ὁ Νινευΐτης ἑπτὰ συνετάξατο τόμȣς, περὶ διοικήσεως πνεύματος, περὶ θείων μυςηρίων, » περὶ κρίσεων καὶ πολιτείας, ἤτοι ἄλλον τινὰ ΙΣΑΑΚ δηλοῖ, ϰ̀ ȣ̓χὶ τὸν ἡμέτερον, ἢ ἄλλας ἐπιγραφὰς ἐν τοῖς τȣ̃ ἡμετέρȣ συγγράμμασιν εὗρεν, ἢ οἱ μὲν περὶ θείων μυςηρίων ϰ̀ περὶ κρίσεων τόμοι, ἤτοι ἐξέλειπον, ἢ σώζονται ὅπȣ ȣ̓κ οἴδαμεν, οἱ δὲ περὶ διοικήσεως πνεύματος, οἱ περὶ ψυχῆς λόγοι τυχὸν εἰσιν. οἷον ὁ τῆς δε τῆς ἐκδόσεως νς, ϰ̀ ὁ νζ, ϰ̀ ὁ νθ· ϰ̀ οἱ περὶ πολιτείας, οἱ περὶ μοναδικῆς πολιτείας, ἤτοι ὁ α, ϰ̀ ὁ θ, ϰ̀ ὁ ι. τȣ́των τῶν ἑπτὰ τόμων ὁ Ἀσεμάνιος ἐν τῇ ὑπ᾽ αὐτȣ̃ συνταχθείσῃ » ἀνατολικῇ Βιβλιοθήκῃ μνείαν ποιȣ́μενός φησιν· ἓν μὲν τῶν » τόμων τȣ́των συριςὶ, τέσσαρα δὲ βιβλία ἀραβιςὶ γεγραμμένα » μετὰ τȣ̃τ᾽ εὐθὺς ἐπικρινȣ̃μεν. προτίθησιν ȣ̓̃ν πρῶτον τὰ τέσσαρα βιβλία τὰ ἐκ τῶν συριακῶν, ϰ̀ ἀραβικῶν, ϰ̀ ἑλληνικῶν τῆς ἐν Ῥώμῃ ȣ̓ατικανῆς Βιβλιοθήκης κωδίκων ὑπ᾽ αὐτȣ̃ συνερανισθέντα· ὧν τὸ μὲν πρῶτον, κη. ἐπιγραφαὶ λόγων σὺν ταῖς ἀρχαῖς αὐτῶν συναπαρτίζȣσι· τὸ δὲ δεύτερον, με· τὸ δὲ τρίτον, μθ· τὸ δὲ τέταρτον, κα. (ὑπεσημειώσατο δὲ καὶ τὸ, τίνες αὐτῶν μόνῃ τῇ Ἀράβων φωνῇ, ἢ μόνῃ τῇ Σύρων, ἢ ϰ̀ τῇ Ἑλλήνων γεγραμμένοι σώζονται.) εἶτα ϰ̀ τὰ περὶ τȣ̃ τόμȣ διαλαμβάνει, » λέγων· ἐν τῇ Βιβλιοθήκῃ τȣ̃ τῶν Μαρωνιτῶν γυμνασίȣ (τȣ̃ ἐν Ῥώμῃ)

(1) Ἀσεμάν. ἐν τῷ 1. Τόμ. τῆς ἀνατολικ. Βιβλιοθ. σελ. 446.
(2) Ἐν σελ. 35. ἀριθ. 256. καὶ σελ. 44. ἀριθ. 295.
(3) Φαβρίκ. ἐν βιβλ. 5. κεφ. 41. σελ. 172. τῆς ἑλλην. Βιβλιοθ.
(4) Ὁ αὐτὸς αὐτ.

» Ῥώμη) χειρόγραφον ἀπόκειται εἰς δέκα καὶ ἐννέα πραγμα-
» τείας διῃρημένον. ἔτινος ἡ μὲν ἐπιγραφὴ, βιβλίον κοινὸν πᾶσι
» τοῖς ἔθνεσιν, εἴτεν περὶ τῆς αἰτίας πασῶν τῶν αἰτιῶν· ἡ δὲ ἀρ-
» χὴ, αἰώνιε Θεὲ, ὁ ἀπ' αἰῶνος ἄναρχος, καὶ διαπαντὸς ἀναλλοίω-
» τος κτ. τῦτο δὲ ἄλλε τινὸς ΙΣΑΑΚ, Ἐδέσης ἐπισκόπε, καὶ
ἐχὶ τῦ Νινυΐτε γόνον εἶναι, ἀποχρόντως διϊσχυρίζεται.

Τῶν ἐν τέτοις τοῖς τέσσαρσι βιβλίοις ρλη. λόγων, (τὰς ἐπιγραφὰς καὶ ἀρχὰς αὐτῶν νοητέον) τινὲς μὲν, οἱ αὐτοί εἰσι τοῖς ἄρτι ἐκδεδομένοις· τινὲς δὲ, μέρη αὐτῶν. πάλιν ἔνιοι μὲν, ἐπιγραφὴν ἔχεσι τὴν αὐτὴν, ἢ ὁμοίαν τοῖς ἐκδοθεῖσιν, ἀρχὴν δὲ ἄλλην· ἔνιοι δὲ, τὸ ἀνάπαλιν· ἔνιοι δὲ, καὶ πάντη διαφέρειν δοκῦσι. ταύτῃ τοι τὰ τέσσαρα εἰρημένα βιβλία ἐκδόντες, ἐν τῷ τῆς βίβλε τέλει ἐθέμεθα. ἐν οἷς τῶν μὲν λόγων τῶν νομιζομένων ἀνεκδότων τάς τε ἐπιγραφὰς καὶ τὰς ἀρχὰς ἐξελληνίσαντες σεσημειώκαμεν, δηλώσαντες καὶ τὲς περιέχοντας αὐτὲς κώδικας· ἑκάςῳ δὲ τῶν λοιπῶν τὸν ταυτησὶ τῆς ἐκδόσεως ταυτὸν παρεγραψάμεθα. ὅτω μὲν γὰρ ἕκαςος ἐπιγνῶναι ἔχει τές τε ἐκδεδομένες καὶ ἀνεκδότες ἔτι τῶν τῦ ὁσίε λόγων.

Καὶ ὁ ἐν τοῖς προλεχθεῖσι δὲ ἑλληνικοῖς κώδιξι τῶν λόγων ἀριθμὸς, ἐχ ὁ αὐτὸς ἐν ἅπασιν, ἐν ἐνίοις δὲ καὶ τῦ τῶν προκειμένων μείζων. ἀλλ' ἡ μὲν τῶν λόγων ποσότης, ἡ αὐτὴ τυχὸν ἐν πᾶσιν, οἱ δ' ἀριθμοὶ ἄνισοι, διὰ τὴν διάφορον διαίρεσιν. καὶ γὰρ καὶ τῷ ἡμετέρῳ κώδικι, ὡς πάρεσι κατιδεῖν ἔν τε τοῖς ἀριθμοῖς τοῖς ἐν τῷ πίνακι τῷ ἐν τῇ ἀρχῇ τῆς Βίβλε, κἀν ἔντισι τῶν ἐν αὐτῇ σημειώσεων, ἄνισον μὲν ἔχετον τὸν περὶ τὲς λόγες ἀριθμὸν, ἔμενεν καὶ τὴν ποσότητα. ἡ δ' ἐκ ἐπίσης διαίρεσις, ἔκ τε τῦ ἐνίες αὐτῶν καὶ κεφάλαια, καὶ ἐρωτήσεις, καὶ ἀποκρίσεις, καὶ εὐχὰς περιέχειν, καὶ ἐκ τῦ ἓνα καὶ τὸν αὐτὸν ὡς τὰ πολλὰ περὶ διαφόρων διαλαμβάνειν ὑποθέσεων, καὶ οἱονεὶ ἐκ πολλῶν συγκροτεῖσθαι λόγων. καὶ ἐν τῇ τῶν πατέρων δὲ Βιβλιοθήκῃ (1) λόγος τις ὑπερμεγέθης κεῖται, λατινισὶ μόνον ἐκδεδομένος, (ἐκ τέτε ἐλήφθησαν τὰ ἐν τῇδε τῇ Βίβλῳ ὁρώμενα

(1) Ἐν Τόμ. ΙΙ. τῆς κατὰ τὸ Λεγδ. ἐκδόσ.

ὁρώμενα λατινικὰ ἀποσπασμάτια) βιβλίον περὶ καταφρονήσεως κόσμου ἀκούων, εἰς νγ. κεφάλαια ὡς ἔτυχε διῃρημένος, καὶ ψευδῶς ἐπιγεγραμμένος τῷ ἁγίῳ ΙΣΑΑΚ τῷ Σύρῳ τῷ τῆς Ἀντιοχείας πρεσβυτέρῳ. οὗτος μὲν γὰρ ὁ ΙΣΑΑΚ ἐπὶ τῆς Βασιλείας Λέοντος τοῦ μεγάλου, τοῦ ἐν ἔτει μὲν σωτηρίῳ τῷ υνζ. ἀναδησαμένου τὰ σκῆπτρα, ἐν ἔτει δὲ υοδ. τὸ ζῆν ἐκμετρήσαντος, τῶν τῇδε μετέστη· (1) ὁ δὲ λόγος, ἐκ δέκα καὶ πέντε τῶν τῆσδε τῆς ἐκδόσεως λόγων (2) σύγκειται. περὶ ἧς νῦν λεκτέον.

Τῶν ἀνὰ χεῖράς μοι δύω κωδίκων, παλαιᾶς χειρὸς καὶ τοῦ αὐτοῦ αἰῶνος ἔργων, καὶ συγχρόνων τῷ ἐν τῇ καισαρικῇ Βιβλιοθήκῃ, ὡς τῇ τῶν χαρακτήρων καὶ τοῦ χάρτου ἐτεκμηράμην ὁμοιότητι, τὸν μὲν ὁ ἱερώτατος μητροπολίτης Ἄρτης Νεόφυτος, ὁ τὴν μητρόπολιν καταλιπὼν, καὶ ἐν Ἄθῳ οὐ πρὸ πάνυ πολλοῦ τὸν βίον ἀσκητικῶς ἐκτελέσας τῷ ἐλλογιμωτάτῳ διδασκάλῳ κυρῷ Νεοφύτῳ Ἱεροδιακόνῳ τῷ Πελοποννησίῳ παρέδωκε· τὸν δὲ, ὁ αἰδεσιμώτατος ἱεροκήρυξ Ἀγάπιος, ὁ τῆς ἐν Γαλατᾷ Ἐκκλησίας τοῦ ἁγίου Νικολάου προϊστάμενος, οὐκ οἶδ' ὅθεν παραλαβὼν εἶχε. τῷ ἑτέρῳ οὖν τούτων, τῷ τοῦ Ἀγαπίου, πρωτοτύπῳ χρησάμενος, τοῦ ἑτέρου καὶ τὰς μικροῦ τινος λόγου ἀξίας ὑπεσημειωσάμην διαφοράς. προτέτακτο δὲ ἐν αὐτῷ τῶν τοῦ ΙΣΑΑΚ λόγων καὶ τὸ περὶ σιωπῆς καὶ ἡσυχίας ἐπίγραμμα, οὗτινος τὴν ἐπιτομὴν μόνην περιεῖχε τὸ τοῦ Νεοφύτου χειρί τε νεωτέρᾳ γεγραμμένην, καὶ κοινῇ τῇ διαλέκτῳ.

Τοῦ ἐπιγράμματος τούτου, (ὅπερ δὴ καὶ οὐκ ἄλλου του ἐκτετύπωται, εἰ μὴ διὰ τὸ βραχέα τινὰ περὶ τοῦ ΙΣΑΑΚ ἱστορεῖν) παιδαριώδης μὲν ὁ νοῦς, περιττὴ δὲ ἡ λέξις, ἀκατάλληλος δὲ ἡ τῶν τῆς θείας γραφῆς λογίων ἐφαρμογὴ, ἀμαθὴς δὲ

(1) Γενάδ. περὶ ἐκκλησιας. συγγραφ. παρὰ Φαβρικ. ἐν Βιβλ. 5. κεφ. 41. σελ. 171. τῆς ἑλλην. Βιβλιοθ.

(2) Τουτέστι τοῦ κγ, εἶτα κατὰ σειρὰν οὕτω, τοῦ ε, τοῦ νϛ, τοῦ κα, τοῦ ι, τοῦ ια, τοῦ κβ, τοῦ ιγ, τοῦ κδ, τοῦ πε, τοῦ κζ, τοῦ μϛ, τοῦ ιζ, τοῦ οβ, καὶ τοῦ ιη.

καὶ ἡ συνθήκη, ῥυθμόν τινα ἔχουσα ἄῤῥυθμον, ὃν σώζειν ἐπειγόμενος, περιττολογεῖ ματαίως, καὶ τὰ ἀσύμβατα ἐνίοτε συμβιβάζειν ἐθέλει ὁ συγγραφεύς. ἀλλὰ τίς ἄρ᾽ ἐστὶν οὗτος; μήτι γε ὁ Ἀβράμιος, ἢ ὁ Πατρίκιος; τοὺς γὰρ τὰ τοῦ ΙΣΑΑΚ μεταφράσαντας πονήματα, τούτους καὶ τὸν ἔπαινον αὐτῷ προσενεγκεῖν λίαν πιθανὸν ἔοικεν. ἄλλως τε, ἐπεὶ καὶ αὐτὴν τὴν τῶν λόγων μετάφρασιν εἰς πολλὴν ὁρῶμεν κατενηνεγμένην τὴν χυδαιότητα, κατὰ λέξιν τυχὸν ἐπεξεργασθεῖσαν, καὶ πρὸς κανόνας γραμματικοὺς ἐν πᾶσι μηδαμῶς ἀπευθυνομένην. ὅθεν καὶ ταῖς πολλοῖς τῶν λόγων ἡ ἀσάφεια περιγίνεται· ἥνπερ δὴ σὺν τῇ ἐκ τῆς ἐννοίας ἔν τισι συναντώσῃ, οὐκ αὐθαιρέτῳ τῇ γνώμῃ, ἀλλὰ τῇ τοῦ μακαριωτάτου ΠΑΤΡΙΑΡΧΟΥ σεβαστῇ ἀξιώσει, ἐκ μέσου ἆραι, ὅπου καὶ ὅσον ἡμῖν οἷόν τε, ταῖς σημειώσεσιν, ἐπειρασάμεθα, καὶ τῶν προφανῶν καὶ οὐδιορθώτων σολοίκων οὐκ ὀλίγα ἐπιδιορθώσαντες.

Ἐπεὶ δὲ οὐχ ἡ αὐτὴ τῶν λόγων ἀκολουθία ἐν ἑκατέρῳ τῶν ἡμετέρων κωδίκων, ἄλλη τε πάλιν ἡ ἐν τῷ καισαρικῷ, καὶ ἄλλη ἡ ἐν τοῖς τοῦ Ἀσεμανοῦ βιβλίοις, ἔτι δὲ ἀναμεμιγμένα ἐν αὐτοῖς τά τε κατ᾽ ἐρώτησιν καὶ ἀπόκρισιν κεφάλαια, καὶ αἱ ἐπιστολαί, καὶ οἱ περὶ τῆς αὐτῆς ὁπωσοῦν ὑποθέσεως λόγοι, οὕτως ἄρα ἔδοξε τὴν βίβλον συντάξασθαι, ὥστε τοὺς ὁπωσδήποτε παρεμφέροντας λόγους παρακολουθεῖν ἀλλήλοις. μὴ ἀλλοιωθεισῶν δὲ, οὐδὲ τῆς ἐν τῷ πρωτοτύπῳ διαιρέσεως, οὐδὲ τῶν ἐπιγραφῶν, ἅπαντες, πλὴν τῶν ἐπιστολῶν, λόγοι ἐκλήθησαν. περὶ ὧν ἰστέον, ὅτι δύω, ὅ, τε δεύτερος καὶ ὁ ἕβδομος οὐκ εἰσὶ τοῦ ἡμετέρου ΙΣΑΑΚ ποιήματα, ὡς ὁ Ἀσεμάνιος διαμαρτύρεται. (1) ἀλλ᾽ ὁ μὲν, ὁ εἰκοσός ἐστιν· (2) ὁ δὲ, ὁ ὄγδοος (3) Ἰωάννου Σάββα Μοναχοῦ τοῦ ὁρμωμένου μὲν ἐκ Νινευΐ, ἀκμάσαντος δὲ περὶ τὸ μέσον τοῦ ἕκτου τῆς

(1) Ἐν τῷ 1. Τομ. τῆς ἀνατολικ. Βιβλιοθ. σελ. 456, καὶ 457.

(2) Ἀσεμάν. ἐν τῷ καταλόγ. τῶν βιβλ. Ἰωάνν. Σάβ. ἐν Τομ. 1. τῆς ἀνατολικ. Βιβλιοθ. σελ. 437.

(3) Ὁ αὐτὸς αὐτ. ἐν σελ. 440.

τῆς ἐνσάρκου οἰκονομίας αἰῶνος ἐν τῇ μονῇ τῇ καλουμένῃ Διλαΐτῃ, τῇ πέραν τοῦ Τίγρεως.

Ἔχετε τοιγαροῦν, ὦ ἀββάδες Θεόκλητοι καὶ σεβάσμιοι, (ὑμῖν γὰρ μάλιστα αἱ Ἰσαάκιαι παραινέσεις οἰκεῖαί τε καὶ κατάλληλοι) ὅσοι ἐν ταῖς κατὰ τὴν Παλαιστίνην ἱεραῖς Λαύραις, ὅσοι τε ἐν Σιναίῳ τῷ ὄρει καὶ ὅσοι ἐν τοῖς κατὰ τὸν Ἄθω μεγάλοις μοναστηρίοις, καὶ σκήταις, καὶ ἡσυχαστηρίοις, καὶ ὅσοι ἀλλαχοῦ ἔρωτι θείῳ τὸν χρηστὸν τοῦ ΧΡΙΣΤΟΥ μου ζυγὸν ἐπωμάδιον ἄραντες, ἐφησυχάζειν ᾑρετίσασθε τὸν ἀγγελικὸν ἐν σώματι βίον διάγοντες, οἵ τε τῶν πρώτων τῆς εἰς οὐρανὸν ἀναγούσης κλίμακος βαθμίδων ἐφαψάμενοι, καὶ οἱ τὰ μέσα αὐτῆς ἤδη καταλαβόντες, καὶ οἱ τῆς ὕψου ἄκρας ἐπιλαβόμενοι, οἵ τε νῦν καὶ οἱ μετέπειτα ἅπαντες τὴν ἱερὰν ταύτην βίβλον παντὸς ἀσκητικοῦ μαθήματος ἄριστον παιδευτήριον. αὕτη μὲν γὰρ τὴν ἀληθῆ τοῦ κόσμου καὶ τῶν ἐν κόσμῳ ἀποταγὴν, τὴν ἁπάντων τῶν τοῦ πολεμήτορος πειρασμῶν ἐπίγνωσιν, τὴν τῶν πολυποικίλων παθῶν ἀκριβῆ διάκρισιν, τὴν νοερὰν προσευχὴν καὶ ψυχικὴν ἀνάβασιν, τὴν ἐν τῇ ἀσκήσει καὶ ἡσυχίᾳ τελειότητα, καὶ ἵνα συνελὼν εἴπω, ἅπασαν θεωρητικήν τε καὶ πρακτικὴν ἀρετὴν κάλλιστα εἰσηγεῖται, καὶ διερμηνεύει ἀκριβέστατα, καὶ αὐτὰ τὰ τῆς μονήρους πολιτείας μυστικώτερα, καὶ ἐκ μόνης τῆς πρακτικῆς θεωρίας ἐπιγινωσκόμενα καθαρῶς προσαναπτύσσουσα. ταύτῃ γοῦν ἐντυγχάνοντες, τῷ μὲν τῆς ἐκδόσεως παραιτίῳ, ΕΦΡΑΙΜ τῷ πανσεβάστῳ Πατριάρχῃ δαψιλεῖς ἐξαιτήσασθε τὰς ἀνταποδώσεις τὰς ἄνωθεν· ἐμοὶ δὲ, (εἴπερ καὶ αὐτός τι πονήσας συνεισέφερον) καὶ τὸ κοινὸν, τὸ, ὁ Θεὸς συγχωρήσοι αὐτῷ, ἱκανόν μοι παρ' ὑμῶν ἐπιλεγόμενον.

Ἀλλὰ γὰρ ἐνταῦθα γενόμενος ὅπερ ἀξιόλεκτόν τε καὶ ἀξιομνημόνευτόν ἐστιν, ὑπομνῆσαι οὐκ ἂν κατοκνήσαιμι ὑπὸ τοῦ τῆς ἀληθείας χρέους καταναγκαζόμενος. καὶ Νεκτάριος, καὶ Δοσίθεος, καὶ Χρύσανθος οἱ ἀείμνηστοι τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ Πατριάρχαι πολλὰς πάλαι συνταξάμενοι βίβλους εἰς μέσον προὔθηκαν, τῶν μὲν ὀρθοτομούντων τὸν τῆς ἀληθείας

λόγον

λόγον ἐπωφελέστατα μαθήματα, κατὰ δὲ τῶν ἀπὸ τῆς ὀρθοδοξίας ἐκκλινάντων, καὶ κατ' αὐτῆς ἐκμαινομένων ὅπλα ἰσχυρότατα καὶ κραταιότατα. καὶ ὁ μακαριώτατος δὲ ΕΦΡΑΙΜ ὁ καὶ μιμητὴς αὐτῶν καὶ διάδοχος οὐκ ὀλίγας σωτηρίους ἐξέδωκε βίβλους; καὶ ἄλλας δὲ εὖ οἶδ', ὅτι ἐκδώσει. οἱ ἄρα τὸ ἔλεος αὐτῶν τῷ ΠΑΝΑΓΙΩ καὶ ΘΕΟΔΕΓΜΟΝΙ ΤΑΦΩ προσφέροντες, οὐ μόνον μιμηταὶ τυγχάνουσι τῶν ἀρχαίων ἐκείνων εὐσεβῶν τῶν κατὰ μίαν σαββάτων τιθέντων, καὶ θησαυριζόντων ὅ,τι ἂν ἕκαστος εὐοδοῦτο, ὑπὲρ τῶν ἐν Ἱεροσολύμοις Ἁγίων· ἔτι δὲ καὶ ὑπερασπισταὶ τῶν πανσέπτων ἐκείνων Σεβασμάτων, ἐκπλήρωσιν μὲν ὄντως τῆς τῶν πιστῶν εὐλαβείας, δεῖγμα δὲ τῆς τοῦ Θεανθρώπου λόγου Θεανδρικῆς οἰκονομίας ἐναργέστατον, καὶ τοῦ τῶν ὀρθοδόξων γένους εὔκλειάν τε καὶ σέμνωμα· προσέτι δὲ καὶ προστάται τῶν ἐκεῖ ὀρφανῶν, καὶ χηρῶν, καὶ πτωχῶν, καὶ ἀντιλήπτορες πολλῶν ψυχῶν, διακινδυνευουσῶν μὲν διὰ τὰς ἐνδείας καὶ ἀνάγκας, ἐπιστηριζομένων δὲ τῇ εὐσεβείᾳ καὶ σωζομένων τῇ παρὰ τοῦ ΖΩΟΔΟΧΟΥ ΤΑΦΟΥ ἐπιχορηγουμένῃ αὐτοῖς βοηθείᾳ· ἀλλ' ἐπὶ πᾶσι τούτοις καὶ τοῦ κοινοῦ τῆς Ἐκκλησίας πληρώματος κηδεμόνες καὶ εὐεργέται ἀναδείκνυνται. καθότι τῷ ἐλέει αὐτῶν οἱ μακαριώτατοι Πατριάρχαι βίβλους ἀνακοινοῦσι πᾶσαν εὐσεβῆ ψυχὴν λυσιτελῆσαι δυναμένας. τοιγαροῦν, ὅτι μυριοπλασίων τῶν πρὸς τοῦ μισθαποδότου ἀντιμισθιῶν οἱ τοιοῦτοι ἐπιτεύξονται ἀρίδηλόν τε καὶ ἀναμφίλεκτον. προσφορὰν γὰρ αὐτῷ τελείαν, ἁγίαν, εὐάρεστον, καὶ καρποφόρον προσάγουσιν.

ΕΠΙ-

ΕΠΙΓΡΑΜΜΑ

ΣΥΝ ΘΕΩ

ΠΕΡΙ ΣΙΩΠΗΣ, ΚΑΙ ΗΣΥΧΙΑΣ,

καὶ βίου ἠρέμου τοῦ συνίστασθαι δυναμένου, πρὸ παντὸς ἔργου, ἀπὸ ἐποχῆς γλώττης καὶ πραείας καρδίας.

ἐν ᾧ καὶ μικρὸς ἔπαινος ἀπὸ ἰδιωτικῶν χειλέων προσφερόμενος τῷ ὁσίῳ Πατρὶ

ΙΣΑΑΚ ΤΩ ΣΥΡΩ.

οὗ πρὸς τὸ τέλος καὶ πίναξ τῶν Θεοσόφων λογίων αὐτοῦ.

Μέγιστα ἁμαρτήματα, καὶ πάνυ δυσίατα, ἃ ἐπ᾽ ἄκρης ταῖς τῶν ταλαιπώρων ἀνθρώπων ψυχαῖς ἔσπειραν ὁ παμπόνηρος ἐχθρὸς τῆς σωτηρίας τε καὶ τιμῆς, καὶ τῆς ἀθανάτου ἐκείνης ἁγίας ζωῆς ὁ κατάρατος. καὶ τίνα ταῦτα; τὰ αὐτῷ τῷ δαίμονι προσφιλῆ, καὶ οἰκεῖα τούτῳ νοσήματα· ἤγουν τὴν οἴησιν καὶ ἀλαζονείαν καὶ ἔπαρσιν, τὴν κακὴν δόξαν, καὶ τὴν μετ᾽ αὐτὴν κεκατηραμένην ὑπερηφανίαν, καὶ τὸν κάκιστον φθόνον αὐτοῦ, καὶ τὸ ψεῦδος. αὗται γὰρ αἱ κακίαι τοῦ ἀντικειμένου ἐχθροῦ τήν τε αὐταρέσκειαν ἡμῖν κατέθεντο καὶ δεινὴν φιλαυτίαν, καὶ ἑξῆς

τὴν ἀσπλαγχνίαν τε καὶ ἀναίδειαν, καὶ τὸ τῶν κακῶν τῶν ἐπιλοίπων δυσδιεξήγητον ἕτερον ἄπειρον σμῆνος. ἡ γὰρ ἐμπαθὴς φιλαυτία, καὶ ἡ ἀναίδεια ἀνερυθριάστως πείθουσι τοὺς τὰ φαῦλα φιλοῦντας, οὐ τὰ ἀπρεπῆ, καὶ ἀνήκουσα φθέγγεσθαι, καὶ ἐργάζεσθαι, ἀλλὰ καὶ πρὸς πᾶσαν ἄλλην θείαν λέγω παίδευσιν, καὶ νουθέτησιν ἀνερυθριάστως ἀεὶ ἀντιλέγειν, καὶ μὴ ὑπακούειν ποτέ. τούτοις γὰρ τοῖς ἀπλέτοις κύκλοις ἐκεῖνος ὁ πρῶτος θεόδμητος ἄνθρωπος, καὶ προπάτωρ ἡμῶν συσχεθείς, τὸν μὲν τῆς μετανοίας τρόπον καὶ τόπον, μετὰ τὸ κακῶς ἁμαρτῆσαι, εὑρεῖν οὐ δεδύνηται· τὸν δὲ τῆς αἰτιολογίας, εἶχεν ἐπὶ χειλέων. διὰ τοῦτο καὶ τὴν Εὔαν εὐθέως οὗτος κατέκρινε, καὶ διέσυρε. καὶ ἡ Εὔα αὖθις τὸν ὄφιν. ταύταις ἐπίσης τοῖς προπάτορσι καὶ ὁ αἱμοβόρος υἱὸς αὐτῶν Κάϊν ὁ ἀδελφοκτόνος, ταῖς παγίσι τοῦ Σατὰν συλληφθείς, μετὰ τὸ κακῶς προσενέγκαι, καὶ τὸν φόνον τελέσαι, ἐξεταζόμενος, λαθεῖν ἐσπούδαζε τὸν ἀλάθητον Κύριον, ἀναιδῶς ὁ τάλας φθεγγόμενος μάταια, καὶ ψευδόμενος πρὸς τὸν ὕψιστον. σὺ δέ, ὦ ἀκροατὰ εὐσεβέστατε, ὅρα τὸν φιλάνθρωπον Κύριον, ὃς οὐκ ἐν τῷ εὐεργετεῖν ἡμᾶς φιλάνθρωπος δείκνυται, ἀλλὰ δὴ καὶ ἐν αὐτῷ τῷ καιρῷ, ἐν ᾧ παραπικραίνομεν αὐτόν, καὶ παροργίζομεν, πῶς μακροθύμως φέρει τὰ ἡμῶν ἀνομήματα. καίποτε ἐὰν ἴσως παιδεύσῃ, πῶς εὐσπλάγχνως παιδεύει. τοῦ Κάϊν γὰρ τῆς ἀληθείας καταψευδομένου, αὐτὸς ἔτι ἀνέχεται καὶ χρηστεύεται, καὶ οὐ καίει τοῦτον εὐθύς, ἀλλὰ πανσόφως παιδεύει μᾶλλον μετανοεῖν, οὐ μὴν ἀντιλέγειν, καὶ τῷ ψεύδει ἀναιδῶς θρασύνεσθαι, καὶ ἐπαίρεσθαι. Διὸ καί φησι πρὸς αὐτὸν

Γεν. δ. ζ. „ἥμαρτες; ἡσύχασον· τουτέστι μὴ ἀναιδεύου ἔτι, μὴ προστίθει

τοῖς

τοῖς μώλωψι τραύματα· ἡσύχασον, καὶ ἐπίγνωθι καθ' ἑαυτὸν τί πέπραχας. καὶ μετὰ τὴν ἐπίγνωσιν, μετανόει ἐφ' οἷς ἥμαρτες. Ὁρᾷς, ὦ φιλήσυχε ἀκροατὰ, πῶς ἁπάντων πρώτιστος διδάσκαλος καθέστηκεν ὁ λόγος τοῦ Θεοῦ, πρὸς μετάνοιαν ὁδηγῶν ἡμᾶς, καὶ τὴν ἡσυχίαν τοὺς ἤδη προημαρτηκότας, καὶ αὐτῷ προσκρούσαντας; οὕτω καὶ ὁ μονογενὴς υἱὸς, καὶ λόγος αὐτοῦ, καὶ Θεὸς ἡμῶν ἐν εὐαγγελίοις ἐκήρυξε λέγων „ οὑτωσί· μετανοεῖτε. Καὶ οὐκ εἶπε μετανοήσατε· ἀλλὰ τί; μετανοεῖτε ἀεὶ ἄνθρωποι. ὅτι καὶ ἀεὶ ἕως ἂν τούτῳ τῷ βίῳ, καὶ τῷ σκήνει, καὶ τῷ αἰῶνι ἐστὲ, ἁμαρτάνειν μέλλετε· καὶ ἕως θανάτου αὐτοῦ, ὡς εὐέμπτωτοι, καὶ ἔνοχοι, καὶ ὀλισθηροὶ, μετανοεῖν ὀφείλετε ἐν ὥρᾳ πάσῃ, καὶ παντοίῳ καιρῷ. Διὸ σχο„ λάσατε ἀπὸ τῶν πονηριῶν ἡμῶν, καὶ τῶν θεομισῶν καὶ κακίστων ἐργασιῶν, καὶ γνῶτε, ὅτι Θεός εἰμι ἐγὼ, ὁ κηρύσσων, „ Ἐγώ εἰμι ὁ υἱὸς τοῦ Θεοῦ, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ἐγὼ „ καὶ ὁ πατὴρ ἐξ ἀνάρχου ἀρχῆς ἕν ἐσμεν ἀεί. Ἐγώ εἰμι, ὁ ἐτά„ ζων καρδίας, καὶ νεφροὺς, καὶ μυελοὺς ἐρευνῶν· καὶ ὅσα „ κρύφια, καὶ τρίχας ἀριθμῶν, καὶ πλήθη ἄστρων, καὶ πᾶ„ σιν αὐτοῖς ὀνόματα καλῶν· ἐγώ εἰμι ὁ πάντων τῶν γεγενημένων ποιητὴς, ὁ καὶ τῆς γῆς ἁπάσης τὸν χοῦν, καὶ τῆς θαλάσσης τὴν ψάμμον μεμετρημένα κεκτημένος· ἐγώ εἰμι ὁ ἀπαραλόγιστος κριτὴς, ὁ ἰσχυρὸς, καὶ δίκαιος, καὶ ἀδέκαστος, ὁ τὰ κρύφια ἡμῶν, καὶ πάντων ὁμοῦ τῶν ἀνθρώπων πρὸ τῆς γενέσεως αὐτῶν καὶ γεννήσεως ἀκριβῶς ἐπιστάμενος, ὁ καὶ ἀποδοῦναι ὀφείλων ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ἀλλὰ ταῦτα μὲν ὁ σωτὴρ ἡμῶν ἔφη κηρύσσων· ὁ δὲ Θεὸς, καὶ πατὴρ αὐτοῦ, τῷ Κάϊν εἶπε, ἡσύχασον, σίγησον, σιώπησον, μηκέτι

Μάρκ. α΄. ιε΄.
Ψαλμ. με΄. ιά.
Ἰωάν. η΄. ιβ΄.
Ἰωάν. ι΄. λ΄.
Ἱερεμ. ιζ΄. ι΄.
Ψαλ. ρμζ΄. δ΄.

ψευδῶς, καὶ ἀναιδῶς ἐνώπιον ἐμοῦ αἱρεῖ ἀντιφθέγγεσθαι, καὶ ταῖς σαῖς πρωτολογίαις, καὶ πλοκωταῖς ἀντιφάσεσιν ἐπείγου λαθεῖν ἐμὲ τὸν ἀλάθητον. Εἰ γὰρ καὶ τὸ πρότερον οὐκ ἐπέσχεσε τὴν φονικὴν χεῖρα ὁ ἐμὸς φόβος, ὅταν κατὰ τοῦ μηδὲν ἠδικηκότος σε Ἄβελ ταύτην ἐξέτεινας φθόνῳ ἀπανθρώπῳ, καὶ βασκανίᾳ, καὶ τοῦτον ἀώπιόν μου ἀπέκτεινας, ἀλλ᾿ οὖν κἂν ἄρτι τὴν σὴν γλῶτταν ἐπίσχες, καὶ παῦσον τοῦ κακοῦ δόλου, καὶ ψεύδους, καὶ ἐπὶ τὰ χείλησου δὸς φυλακὴν, καὶ τὸ σὸν στόμα κλεῖσαν, καὶ θύρωσον, καὶ ἡσύχασον. τρόμαξον, στέναξον, καὶ μετανόησον ἐφ᾿ οἷς ἀπανθρώπως τετόλμηκας. μηκέτι λέγε πολλὰ, ἀλλὰ σιώπα, καὶ θρήνει ἀεί. εἴωθε γὰρ ἡ ἀπολελυμένη γλῶττα μεγαλαυχεῖν, καὶ λέγειν μάταια, καὶ ψευδῆ. σὺ λοιπὸν σίγησον, καὶ ἡσύχασον. ὅτι ὁ γλωσσώδης οὐδέ ποτε κατευθυνθήσεται, οὔτε ὁ μεγαλορρήμων, καὶ πολυρρήμων, κἂν πάνυ λέγῃ καλῶς. καὶ ἀντὶ τῆς πολυλογίας, χρῶ τὴν βραχυλογίαν. ἡ κεκρυμμένη σοφία ἀκολουθεῖ, ὥσπερ καὶ τῇ μακρολογίᾳ, ἡ μωρία καὶ ἀμαθία. ἀδύνατον γὰρ ἁμαρτίαν φυγεῖν τὸν πολλὰ λαλεῖν θέλοντα, διὰ τὸ θρασυνόμενα λέγειν ἔστιν ὅτε, οὐ μόνα ἐκεῖνα, ἅπερ ἴσως ἐφθάσαμεν ἰδεῖν καὶ ἀκοῦσαι, ἀλλὰ καὶ ἃ οὐκ ἑωράκαμεν, οὔτε ἀκηκόαμεν. καὶ πῶς οὐ συμφέρει σιγᾷν τὸν ἐθελοκάκως, καὶ ἀπροσέκτως ἐκ τῆς γλώττης αὐτοῦ ὀλισθαίνοντα, καὶ λαλοῦντα ψευδῆ ποτὲ, καὶ ἄλλοτε πρὸς καταλαλιὰν κινούμενον, καὶ λοιδορίαν, καὶ μέμψιν, καὶ λόγον τοῦ πέλας, καὶ διαβολὴν, καὶ ὀνείδη, καὶ μώμους, καὶ βλασφημίας πολλάκις; ἐξ ὧν ἁπάντων οὐδὲν ἀγαθὸν τίκτεται, ἡ ἀπέχθειαί τε, καὶ ψιθυρισμοὶ κατ᾿ ἀλλήλων, καὶ πλοκολογίαι, καὶ λαθροκακουργίαι, καὶ μῶμοι χείρον-

χείρονες, καὶ μείζονες ὕβρεων, μίσος τε ἀκατάλλακτον καὶ μνησικακία ἄκρα, ἡ δυσίατος, τάχα δὲ καὶ ἀνίατος ἐνίοις, διὰ τὴν διηνεκῆ καὶ ἐγκάρδιον τούτων πονηρίαν. καὶ γὰρ πᾶς φλύαρος, καὶ τὴν γλῶτταν ἀφύλακτος, μεμψίμοιρός ἐστι, καὶ φιλοκατήγορος, καὶ θωπευτὴς, κολακεύων ποικίλως μετὰ πανουργίας, καὶ δόλου, ἀλλοιούμενός τε μυριάκις τῆς ὥρας, καὶ ὑποκρινόμενος. Φιλεῖ μὲν τὸν εὐδαιμονοῦντα τὴν σήμερον, διὰ τὴν βιωτικὴν εὐπραγίαν ἴσως αὐτοῦ. τὰ δὲ κατὰ τὸν βίον τούτου ἀκριβολογούμενος, καὶ ἐξερευνῶν οὐ παύεται, καὶ πολυπραγμονῶν φιλοπραγμόνῳ γλώττῃ· ὅπως ἔχῃ ὕλην γλωσσαλγίας ἐν τῷ καιρῷ τῆς δαιμονιώδους ἀθυροστομίας αὐτοῦ. ὅστις ἠρεμῆσαι οὐκ ἴσχυσεν, οὐδὲ μεταγνῶναι δεδύνηται, οὐδὲ ἐπιγνῶναι τί ἐστιν ἡ μετάνοια· ἥτις ἐστιν ἡ ὑπακοὴ πρὸς τὸν ἐντειλάμενον τὸ, « σχολάσατε καὶ γνῶτε, οὔτε μὴν τίς ἡ εἰρηναία τῆς καρδίας κατάστασις πέφυκε, καὶ ὁποῖα τὰ ἐκ τῆς αὐτῆς τικτόμενα καθαρότητος. Ἐὰν ἡσυχάζῃ ἀεί ποτέ τις, ναήσει. (Ψαλμ. μέ. ιά.)

Ἀγγελικὸς βίος ὄντως ὁ ἤρεμος καὶ ἡσύχιος, μᾶλλον μὲν οὖν καὶ θείου τρόπου μίμησις. ἐν ἡσύχῳ γὰρ μόνῳ τῷ νεύματι διοικοῦνται ἄνω τὰ θεῖα στρατεύματα. ὁ ἡσύχιος ἄνθρωπος, κἂν ἐν τόπῳ ζοφώδει προσκάθηται, τὸ θεῖον φάος τούτου τὰ κύκλῳ φωτίζει ἀεί. μᾶλλον δὲ καὶ ὡς πόλις ἐπάνω ὄρους ὑπέρκειται, κἂν λανθάνειν σπουδάζῃ τοὺς βλέποντας. καὶ ὁ βίος τούτου λάμπει ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὄπισθεν. διότι κέκτηται ὕπερθεν τῆς αὐτοῦ κεφαλῆς τὸν αὐτὸν (1) καταλάμποντα ἀρρήτῳ φωτὶ, ὡς ἡσύχως τηρῶν τὰ

(1) Ἴσ. τὸν Θεόν.

θεῖα τέτε πάντα προςάγματα. εἰς δόξαν αὐτῦ φημὶ τῦ προςάξαντος, δι᾽ ὃν σεσίγηκε, καὶ ἠρέμησαν. ἡσυχία ὃ βία τίς πέφυκε τῶν δεσποτικῶν ἐντολῶν, ἀλλὰ σύςασις ἁπασῶν, καὶ περιεκτική· ὡς τὰς ἄλλας πάσας σωέχυσα μετὰ πολλῆς ἰχύος τῆς ἐν αὐτῇ συμπαραμενέσης χρισομιμήτε, καὶ ἀληθινῆς ταπεινώσεως. Καὶ μίαν ἥντινα σιωπὴν ἐάντις λύσῃ, καὶ ὅτω διδάξῃ, ἐλάχισος ὄντως κληθήσεται. τίς ἀδόκιμος πρὸς σιγὴν, ὀχ᾽ ἕτοιμος εἰς κραυγὴν, καὶ θυμὸν, καὶ πρὸς ἕτερα χείρονα, τὰ καὶ τῦτον τὸν πρωταίτιον βλάπτοντα, καὶ τὲς τέτῳ προσέχοντας πάντοτε;

Ἀπὸ τῆς ἀθύρε γλώττης ὀδεὶς τεταπείνωται. ὃ πρὸς δάκρυα ὅλως κεκίνηται καὶ κατάνυξιν, διὰ θείαν παράκλησιν. ὃ πραέων τὸν τρόπον ἐζήλωσεν, ἢ δικαιοσύνην ἐτήρησεν, ἀδικεῖσθαι μὴ ἀνεχόμενος. ὀκ ἠλέησε τὸν ὑβρίζοντα καὶ κολάζοντα, ἀνθυβρίζειν καὶ κολάζειν αἱρέμενος. κάθαρσιν καρδίας ὀδέποτε κτήσεται, ὅτε τὴν εἰρήνην θεάσεται τὴν πάντα νῦν ὑπερέχυσαν. ὀκ ἀνέξεται διωχθῆναι ὁ ἀθυρόςομος. ὀκ ὀνειδισμὸν ὑποίσει, ἢ ῥήματι, ὃ λέγω ψόυδὲς κατ᾽ αὐτῦ προτεινόμενον, ἀλλ᾽ ὀδὲ τὸ ἀψόυδῶς εἰς ἔλεγχον αὐτῦ ὑπότε φθεγγόμενον.

Εἰ ζητεῖς ἅλας πάσης τῆς γῆς, ὄντως ἅλας ὁ ἥσυχος, ἢ ὀυθὺς ὁδηγὸς ἁπάντων τῶν σωθῆναι ζητέντων· ὃ τοσῦτον ἐν λόγῳ τέτες παιδόυων, καὶ πρὸς τὸ σωτήριον ὁδηγῶν, ἀλλ᾽ ἐν βίῳ, καὶ τρόπῳ ἡσύχῳ, τῷ ὄντως ἅλατι ἠρτυμένῳ, τῷ τῆς πρᾳότητος. ᾧ δὴ καὶ πάντας ἀντιλαμβάνεται, καὶ πάντων ἀνέχεται. τί γὰρ ἕτερον πρέπει ἀνθρώπῳ παντὶ, ὀυλαβεῖ καὶ μονάζοντι, γηραιῷ, φημὶ, καὶ νεάζοντι; καὶ ἡ ἡσυχία,

ἡσυχία καὶ ἡ πραότης, αὕτη καὶ σοφία κληθήσεται, καὶ μήτηρ τῶν ἁπασῶν ἀρετῶν. καὶ ἔτις γέγονεν ἐν γνώσει, καὶ ἀληθείᾳ σιωπηλὸς διὰ Κύριον, ἔτος ὄντως ἔσαι καὶ ὑπομονητικὸς ἀνὴρ, καὶ μακρόθυμος, καὶ πολὺς ἐν φρονήσει, καὶ ἀνδρεῖος κατὰ ψυχὴν τε καὶ νοῦν, πρὸς τὸ φέρειν πειρασμοὺς, καὶ συμφορὰς γενναίως καὶ ἀνδρικῶς, οἷον, τὴν πεῖναν λέγω, καὶ δίψαν, τὴν γύμνωσιν, τὰς νόσους τοῦ σώματος, τὰς ὁρμὰς τῶν παθῶν, λοιδορίαν καὶ ἀτιμίαν, στενοχωρίαν καὶ θλῖψιν, πληγὰς, φυλακὰς, ἀφαιρέσεις τῶν ὑπαρχόντων, ἀγγαρίας, ἀκαταστασίας, καὶ ἄλλο ἔτι εὑρίσκεται παρεμπίπτον τῇ τῶν πειρασμῶν ποικιλίᾳ· οἷον, τὴν συντριβὴν τῆς καρδίας, τὴν δοκιμαστικὴν κάμινον, καὶ τὴν ἐξ αὐτῆς πύρωσιν· ἣν ὑποδέξεται ὡς χρυσὸς ἐν χωνείᾳ, διὰ τὸ μὴ ἀποτυχεῖν τῆς ὑψοποιοῦ ταπεινώσεως, τῆς παρασχεῖν δυναμένης τῷ σπουδαιοτάτῳ ἀγωνιστῇ τὴν κάθαρσιν τῶν ἰδίων ἁμαρτημάτων, καὶ τὸν ἀμαράντινον στέφανον τὸν ἐκ τῆς ὑπομονῆς, ὃν ἐλπίζει ἀξίως, ὡς χριστομιμήτως πολιτευσάμενος, ὑποδέξασθαι.

Ὄντως ἰσχυρὸς λιμενήτωρ ἡ γλῶσσα ἡ ἄσχετος. ὁ δὲ σιγηλὸς, οὐ γίνεταί ποτε φίλος τοῖς πολυλόγοις, ἀλλὰ μιμεῖται τοὺς βραχυλόγους, ὡς δύναμις, τὰς βαττολογίας παραβλέπων ἀεὶ, καὶ ὡς θανάσιμα φάρμακα ταύτας ἀποποιούμενος. διότι ἐκ τούτων τίκτεσθαι πεφύκασιν αἱ ἀργολογίαι, καὶ σαπρολογίαι, καταλαλιαὶ παντοῖαι καὶ φαυλισμοὶ, ἀφροσύναι, λοιδορίαι, διαβολαί τε καὶ ψόγοι, ἡ παῤῥησία ἡ ἀναιδὴς, ἡ ἀκρασία ἡ ἄσχετος, ἡ θρασύτης, καὶ ἀντιλογία, καὶ ἔρις. οὐκ ἔστιν ὄντως, οὐκ ἔσαι ὁ ἰσχύων νηστεῦσαι, ἢ ἀναγνῶναι, ἢ ἀγρυ-

ἀγρυπνῆσαι, εἴτε προσεύξασθαι ὅλως, χωρὶς ἡσυχίας, καὶ σιωπῆς.

Ὁ σιωπηλὸς, καὶ ἡσύχιος ἐ τρέμει δεσμὰ, φυλακὴν ἐ πτοεῖται. ἤδη γὰρ ἐν τέτοις πεπαίδευται. ὁ σιγηλὸς ἐ βέλεται ἀλλαλάξαι, ἐδὲ ἐν ψαλμοῖς. ἐ τραχυλογήσει μετά τινος. μωρὲ τῷ ἀδελφῷ ἐκ ἐρεῖ. πρὸς μάχας, καὶ ἔριδας ἐχ εὑρίσκεται, ἐξ ὧν ὀργαὶ, καὶ κραυγαὶ, καὶ θυμὸς, καὶ ὁ φόνος ἐξῆς, καὶ ἐχάτως ἡ γέεννα· ἀλλ' αἰδεῖται πάντας, καὶ πάντων ἀφίσαται, ἐνώπιον αὐτῶ τὸν Χριςὸν ἀεὶ προορώμενος. ὁ σιωπηλὸς, ἢ φιλέρημος μνησθῆναι ἐ δύναται ὅ,τι ἔχει τὶς κατ' αὐτῶ. πῶς γὰρ, ὃν ἐ λόγῳ, ἐκ ἔργῳ λελύπηκε, καταλλαγῆναι τέτῳ αἱρήσεται; ἀντίδικον ἐ κέκτηται ἀπαιτῶντα τῶτον τὴν εὔνοιαν. ἐ δέδοικε κριτὴν, ἐ τὲς ὑπηρέτας αὐτῶ. ἔτε φυλακὴν οἰκήσει, ὡς γέγραπται, ἔτε δώσει κοδράντην τὸν ἔχατον. ὁ ἡσύχιος ἐκ ὀμνύει ποτὲ, ἐκ ἐπιορκεῖ, ἐ μικρὸν ἐ μέγαν ὅρκον γινώσκει. διότι καὶ αὐτὸ τὸ ναὶ αἰδεῖται, καὶ τὸ ἐ ἐγκρατεύεται, ὡς τὰς ὁμιλίας ἀποποιέμενος. ἀντιςῆναί τινὶ ἐχ αἱρεῖται, κἂν ἴσως ὑβρισθῇ, καὶ ῥαπισθῇ, σιγῶν καταδέχεται. ἀλλ' ἐδὲ τὸν χιτῶνα αὐτῶ ἐκζητήσει τὸν αἴροντα, εὐσπλαγχνίαν πρὸς τῶτον δεικνύμενος μάλιςα. ὁ σιωπηλὸς ἢ ἡσύχιος ἀγγαρείαν ἐ δέδοικε πώποτε. ἐχθρῶν καὶ φίλων ὁμῶ ὑπερεύχεται, μὴ εἰδὼς τὸν ἐχθραίνοντα. ἀλλὰ καὶ πᾶσι φιλέμενος μάλιςα, τῆς φιλίας ἀνάξιον ἑαυτὸν ἔχει πάντοτε. ὁ σιωπηλὸς καὶ ἡσύχιος προσευχόμενος, ἐ τῆς κέλλης κλείει μόνον τὴν θύραν, ἀλλὰ καὶ αὐτὰς τὰς αἰσθήσεις φυλάσσει, καὶ τὸν λογισμὸν θυρωρὸν καθιςᾷ, τῶ τηρεῖν ἑαυτὸν, καὶ αὐτὰ τὰ ἴδια χείλη μέγα διᾶραι αἰδεῖται. τὴν δὲ γλῶτταν

Ματθ. ε. κϛ΄.

ταν ἡσύχως μόνον κινεῖ, καὶ καθ᾽ ὅσον αὐτῷ ἐφικτόν ἐστι, καθαρὰς τὰς εὐχὰς τῷ Χριστῷ ἀποδίδωσιν. ἐπιστάμενος ἐνωτίζεσθαι τὸν ἀκοίμητον τῆς ἡσύχου τούτου δεήσεως, ἐθνικὴν βαττολογίαν τινὰ τὸν λογισμὸν αὐτοῦ οὐδέποτε ἐᾷ ὑποδέξασθαι, βδελυττόμενος πάντα τὰ γήϊνα, καὶ τὴν τούτων τύρβην καὶ μέριμναν ὡς οὐδὲν λογιζόμενος, μόνον δὲ τοῦ Κυρίου τὸ θέλημα καὶ τηρῶν, καὶ ποιῶν κατὰ δύναμιν. ὁ σιωπηλὸς, καὶ ἡσύχιος ἐχθρὸν οὐκ ἔχει, ᾧ ἀφήσει τὰ παραπτώματα. ὅτι πάντα ἄνθρωπον τὸν αὐτὸν ἀδικοῦντα καὶ θλίβοντα, ἀεὶ σκεπάζει τῇ ἰδίᾳ ἁπλότητι, καὶ τῇ σιωπῇ, καὶ πραότητι. ὁ σιωπηλὸς, καὶ ἡσύχιος λαμβάνειν δῶρα οὐ πείθεται, θησαυροὺς φυλάττειν οὐδόλως ἀνέχεται, ὡς αὐτὸς ὑπάρχων ὁ ἥσυχος θησαυρὸς ἀκένωτος, καὶ ἀσύλητος. ὁ σιωπηλὸς, καὶ φιλέρημος οὐ ῥιψόφθαλμος, ἀλλ᾽ ἀπόνηρος πέφυκεν, ὡς πλήρης θείου φωτὸς γεγονὼς, καὶ δαιμονιώδους σκότους ἐκτός. ὁ κατέχων τὴν γλῶτταν αὐτοῦ, δυσὶ κυρίοις ὕμνοις προσφέρειν οὐ δύναται, ἤγουν τῷ Θεῷ, καὶ ἀνθρώποις, ἀλλ᾽ ἀεὶ κολακείας ἀνώτερος γίνεται, μαμμωνᾶν πλεονεξίας μισῶν, καὶ τοῦτον μακρὰν ἀπωθέμενος τῆς κέλλης αὐτοῦ.

Ὁ φιλήρεμος, καὶ φιλήσυχος πᾶσαν τὴν ἐλπίδα αὐτοῦ πρὸς τὸν Κύριον ἀνατέθεικεν, ᾧ καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα παρέθετο. ὁ φιλήσυχος, γεοῦχος οὔποτε γέγονεν, ἀλλ᾽ ἀκτήμων ἀεί. οὐ σπείρειν μεμάθηκεν, οὐ θερίζειν καὶ συνάγειν τὰ δράγματα. οὐ φροντίζει ἐνδύματος, ὅτι μόνην πίστιν ἅπαξ ἐκτήσατο, καὶ ἀρίστην πεποίθησιν πρὸς τὸν ὕψιστον. ὁ ἥσυχος ἄνθρωπος καρυκείας τῶν ποικίλων βρωμάτων βδελύττεται, ἐπιούσιον ἄρτον ζητῶν τὸν οὐράνιον.

Ὁ ἡσύχιος, καὶ πραότατος οὐ θέλει κρῖναι τινὰ ἐφ' οἷς πράττει κακῶς, ἀλλὰ μόνα ἀεὶ τὰ αὐτοῦ καθορᾷ, καὶ διαπτύει θερμῶς ἐν καιρῷ παντί. ὁ φιλήσυχος, καὶ πραότατος κάρφος τοῦ πλησίον οὐδόλως ὁρᾷ, οὐδὲ λόγοις τινὰ θεραπεύειν ἐπείγεται, ἀλλ' ἡσύχῳ φωνῇ, καὶ ἠρέμῳ εὐχῇ, κατανύξει τε καὶ δάκρυσιν ἱκετεύει ἀπαύστως τὸν Κύριον, ὅπως ἵλεως γένηται ταῖς ἑκάστου ἁμαρτίαις, καὶ ἀγνοίαις, καὶ γνώσεσιν, ἃς ὡς ἄνθρωποι πταίομεν καὶ μικροὶ καὶ μεγάλοι ἑκάστοτε. ὁ ἡσύχιος καὶ πραότατος ἀτενίσαι εἰς ἅγια οὐ τολμᾷ. καὶ πῶς οὗτος δώσει τὸ ἅγιον τοῖς κυσίν, ὅστις φρίττων καὶ τρέμων, τοῖς μαργαρίταις σπανίως προσέρχεται, καὶ μετὰ φόβου πολλοῦ; ὁ τὸν ἤρεμον βίον πρεπόντως φιλῶν, συνεχῶς ταῖς προσευχαῖς καὶ δεήσεσι προσανέχειν ἐφίεται, ψαλμοῖς τε καὶ ὕμνοις, καὶ κατανύξει, καὶ δάκρυσι τοῖς τῇ ἡσυχίᾳ, καὶ τῇ μετανοίᾳ ἀνήκουσι. καὶ ἄλλη αἴτησις τούτῳ πρὸς τὸν γνώστην τῶν κρυφίων φιλάνθρωπον οὐδέποτε γίνεται, ἀλλ' ἡ καθ' ἑκάστην ἡμέραν ἐπείγεται ἀναβάσεις φιλοθέους ἐν τῇ καρδίᾳ τιθέναι, ὡς γέγραπται, καὶ τῆς τοῦ ἐχθροῦ παντοίας ἐνέδρας φυλάττεσθαι, καὶ τῶν ἀκαθάρτων ἐννοιῶν καὶ παθῶν· ὧν καὶ μόνων ἕνεκα τὰς δεήσεις ποιεῖ προσευχόμενος. καὶ ὑπὲρ τούτων κράζει, καὶ ἱκετεύει διηνεκῶς ἐν ἁγνείᾳ τηρηθῆναι τὴν ψυχὴν αὐτοῦ σὺν τῷ σώματι, καὶ τῷ πνεύματι, καὶ τῷ φθέγματι, καὶ τῆς εὐσπλαγχνίας τὴν πύλην ἀνοιγῆναι αὐτῷ. ὁ φιλήρεμος, καὶ ἡσύχιος, οὗτος ὄντως ἠγάπησε τὴν ὁδὸν τὴν στενὴν, οἷα δὴ τῶν θλίψεων γέμουσαν, καὶ πρὸς ζωὴν αἰώνιον τάχει ἀπάγουσαν. ἣν οἱ πλείονες ὄντες ἄφρονες, φεύγουσι. παρορᾷ δὲ ἀείποτε τὴν ψυχόλεθρον ἄνετον, ὡς πλατεῖαν αὐτὴν καὶ

Ψαλμ. πγ'. ζ'.

εὐρύχω-

εὐρύχωρον, καὶ γλυκεῖαν τοῖς ῥαθύμοις ὑπάρχουσαν. ὁ φιλήσυχος, καὶ φιλήρεμος οὐ σπεύδει ποιεῖν τοὺς καρποὺς πονηροὺς, ἀλλ᾽ ὡραίους αὐτοὺς καὶ καλοὺς, πρὸς βρῶσιν παντὶ συνετῷ χρησιμεύοντας. τὴν σαπρίαν γὰρ πάνυ βδελύττεται, οἷα ὕλην πυρὸς χρηματίζουσαν.

Ὁ τὸν πρᾶον καὶ ἤρεμον ἐκμιμεῖσθαι βουλόμενος Κύριον, ἡσυχίαν ὀφείλει ἀσπάζεσθαι, καὶ αὐτοῦ τὸ πανάγιον ὄνομα συνεχῶς κατέχειν ἐν χείλεσι, καὶ τὸ θέλημα τούτου ἐργάζεσθαι ὁλοψύχως ἐκ πόθου ἀείποτε. ὁ πραότατος, καὶ ἡσύχιος οὐκ ἀκούει ἁπλῶς τὰ σωτήρια λόγια, ἀλλὰ σπεύδει, ὡς δύναται, καὶ ποιεῖν τοῦ Χριστοῦ τὰ προστάγματα, ὡς θεράπων αὐτοῦ γνησιώτατος. ὁ ἡσύχιος, καὶ πραότατος ἐπὶ πέτραν τὴν οἰκίαν αὐτοῦ ἐπήξατο, καὶ τοὺς ἐκ βροχῆς ποταμοὺς, καὶ βιαίων ἀνέμων πνοὰς εἰς οὐδὲν ἐλογίσατο, φρονιμώτατος ὄντως γενόμενος. ὁ ἡσύχιος, καὶ πραότατος, οὗτος τὴν ἰδίαν πραότητα, ὥσπερ στέγην τῷ Κυρίῳ ἡτοίμασε, καὶ μονὴν τὴν προσήκουσαν νουνεχῶς ἀπειργάσατο, καὶ αὐτὸν τὸν σωτῆρα Χριστὸν ὑπεδέξατο ἐπὶ πραείᾳ ψυχῇ, καὶ ἁπλότητι. ἐν ἡσύχῳ ἀνδρὶ καὶ φιλοῦντι τὸν Κύριον φωλεοὺς αἱ ἀλώπεκες οὐχ εὑρήσουσιν, οὔτε μὴν κατασκηνώσωσιν ἕξουσι τὰ ἐξ οὐρανοῦ ἐκπεσόντα πετεινὰ πονηρά. ὁ ἡσύχιος, καὶ πραότατος, οὗτος ἀληθὴς μαθητὴς τοῦ σωτῆρος γενέσθαι ἐφίεται· ῥυπαροὺς δὲ, καὶ νεκροὺς λογισμοὺς ἀποστρέφεται, κἂν πατρῷοι τῷ χρόνῳ ὑπάρχωσι, καὶ ἀρχέγονοι.

Ὁ σιωπηλὸς, καὶ ἡσύχιος καὶ κατὰ πνευμάτων ἀκαθάρτων λαμβάνει τὴν δύναμιν, καὶ εὐχῇ ἐκβάλλει ταῦτα ὁ πανάγιος, ὁ οἰκῶν ἐν αὐτῷ, καὶ λαλῶν δι᾽ αὐτοῦ. ὁ ἡσύχιος,

καὶ πρᾳότατος ὑπὸ ἀδελφῶν, καὶ γονέων, καὶ φίλων, καὶ συγγενῶν εἰς θάνατον προδιδόμενος, εἴτε καὶ ἀπαγόμενος, χαριέντως ἀπέρχεται, πάσχειν ὀρεγόμενος διὰ Κύριον. ὁ φιλήρεμος, καὶ ἡσύχιος διωκόμενος ἀπὸ ταύτης τῆς χώρας, καὶ ἐκ τῆσδε τῆς κώμης, ἢ καὶ τῆς πόλεως διὰ Κύριον, εὐφροσύνως πρὸς τὴν ἄλλην πορεύεται. τῇ προστάξει γὰρ ὑπείκει αὐτοῦ τοῦ κελεύσαντος ὑπομένειν τὰ τοιαῦτα ἑκάστοτε, ἕως παρουσίας τῆς αὐτοῦ, καθὼς γέγραπται. ὁ ἡσύχιος, καὶ πρᾳότατος τῶν κακούντων αὐτὸν ἀνεχόμενος πάντοτε, καὶ θλιβόντων δεινῶς, μαθητὴς τοῦ Χριστοῦ ἀναδείκνυται, καὶ ὡς πάσχων ἀδίκως ὁ δίκαιος, εὐφροσύνης πληροῦται καὶ χάριτος. ὁ ἡσύχως βιῶν διὰ Κύριον, οὐ φοβεῖται τὸν θάνατον, ὃν οἱ πλείονες φρίττουσί τε καὶ τρέμουσιν, ἀλλὰ καὶ αὐτοὺς τοὺς αὐτὸν ἀποκτένοντας, οἷα φίλους καλοὺς ἀγαπᾷ, καὶ ἀσπάζεται. ἕνα γὰρ μόνον φρίττει ὡς δίκαιον, τὸν δυνάμενον σύσσωμον τὴν ψυχὴν ἀπολέσαι πρὸς γέενναν.

Ματθ. ί. κβ΄.

Ὁ πρᾳῢς, καὶ ἡσύχιος τοῖς κινδύνοις ἀεὶ συνεχόμενος, καὶ παντοίως θλιβόμενος, οὐκ ὀκλάζει, οὐ θλίβεται πώποτε, ἀλλὰ φέρει τὰς θλίψεις, καὶ χαίρει δι᾽ αὐτὸν τὸν φιλάνθρωπον Κύριον τὸν εἰδότα πᾶν κρύφιον, ὡς ἀλάθητον.

Ὁ σιωπηλὸς, καὶ φιλήρεμος, καὶ ἡσύχιος εἰ καὶ ἐξ ἀνθρώπων συστέλλεται διὰ Κύριον, ἀλλ᾽ ὁμολογῶν ἐν ἔργοις, καὶ λόγοις τὴν πίστιν οὐ παύεται, καὶ κήρυξ μᾶλλον ταύτης οὗτος λαμπρότερος δείκνυται, ὡς ἐξ ἔργων χρηστῶν ἣν ἐκτήσατο πίστιν δεικνύων τρανῶς, ὅτι ζῶσαν κατέχει αὐτὴν ἐν βυθῷ τῆς καρδίας αὐτοῦ. πᾶς γὰρ ἄπρακτον ἔχων τὴν πίστιν, ἀβέβαιος καὶ ἀνίσχυρος πέφυκεν, ὡς ἐν ῥήμασι μόνοις ἀψύχοις

ὑπάρ-

ὑπάρχων ἀνείσφρακτος. ὅς τις ὑπεμφαίνει νεκρὰν καὶ τὴν πίστιν αὐτοῦ. ὁ σιωπηλὸς, καὶ πραῢς, καὶ ἡσύχιος, οὗτος τὴν τοῦ πνεύματος μάχαιραν ἔλαβεν, ἣν εἰς γῆν κατελθὼν ὁ φιλάνθρωπος τοῦ βαλεῖν ἀπεφήνατο. ἐκ πατρὸς διχάσαι υἱὸν προαιρούμενος, καὶ ἀπὸ μητρὸς θυγατέρα, καὶ γενέσθαι τὴν νύμφην κατὰ τῆς αὐτῆς πενθερᾶς. εἰμὴ γὰρ ἐδέξατο ὁ φιλήσυχος τὴν τοῦ πνεύματος μάχαιραν, οὐκ ἂν σὺν πᾶσι τούτοις ἠρνήσατο διὰ Κύριον κατὰ δύναμιν τῆς αὐτοῦ σαρκὸς τὴν ἀνάπαυσιν, καὶ τὸ θέλημα, καὶ αὐτὰς αὐτοῦ τὰς αἰσθήσεις παντοίως ἐνέκρωσεν. ὁ ἡσύχιος, καὶ πραότατος, οὗτος ὄντως ἔχθραν ἔθετο ἀναμέσον ἑαυτοῦ, καὶ τῶν οἰκειακῶν παντοίων· φημὶ, οἷον, γονέων, φίλων, συγγενῶν, γνωστῶν, συνήθων, καὶ αὐτῶν τῶν αἰσθήσεων, καὶ τῶν ἄλλως ἔκπαλαι τῶν χρόνῳ ἐθίμων. καὶ γὰρ τετρωμένος καλῶς τοῦ Κυρίου τῷ ἔρωτι, οὐ φιλεῖν πατέρα, ἢ μητέρα ἀνέχεται, οὐχ υἱὸν, καὶ θυγατέρα ὑπὲρ τὸν σωτῆρα αὐτοῦ· ἵνα μὴ ὡς ἀρνητὴς τοῦ Χριστοῦ εὑρεθῇ, καὶ συνιστῶν ἃ προφθάσας κατέλυσεν. ἀλλ' ὡς φοιτητὴς πανάριστος, καὶ παντέλειος, καὶ αὐτοῦ τοῦ καλέσαντος τοῦτον ἐπάξιος αἴρειν τὸν σταυρὸν οὐκ αἰσχύνεται, καὶ κατόπιν τοῦ καλοῦ διδασκάλου βαδίζειν, ὡς γέγραπται· ὅπως εὕρῃ τὴν ψυχὴν αὐτοῦ ἐν ἡμέρᾳ τῆς κρίσεως, ἣν ἐν τούτῳ τῷ κόσμῳ πρὸς θάνατον, καὶ ἀπώλειαν δέδωκε, παραβλέπων ἀεὶ τῆς σαρκὸς ἅπαν θέλημα.

Ματθ. ι. λδ'.

Μαρκ. η. λδ'.

Ὁ σιωπηλὸς, καὶ ἡσύχιος τὸν Θεὸν καὶ πατέρα ἐδέξατο, καὶ τὸν τούτου υἱὸν, ὡς Θεὸν ἐκ Θεοῦ προσελάβετο, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἀχωρίστως αὐτῶν τῶν τριῶν τῆς Θεότητος. καὶ ἐν ταύτῃ τῇ ἁγίᾳ τριάδι φρουρούμενος, οὐ προφήτην

 ἀπώσε-

ἀπώσεται, οὔτε δίκαιον· οὐ μικρὸν ἐν τῇ πίστει γνωρίσει, οὐ μέγιστον, ἀλλ᾽ ἐν καθαρᾷ τῇ καρδίᾳ αὐτοῦ, ὥσπερ μαθητὰς τοῦ Κυρίου τοὺς πάντας προσδέξεται. κἂν ποτίσῃ, κἂν θρέψῃ καὶ ἄδικον, εἴτε δὴ καὶ αὐτὸν τὸν ἀκάθαρτον καὶ τὸν ἄπιστον, τὸν μισθὸν οὐκ ἀπολέσει τὸν μέλλοντα. ὁ σιωπηλὸς, καὶ ἡσύχιος ὑπακούει καλῶς τῷ κελεύοντι, πρὸς ἐμὲ οἱ πάντες κατάκοποι, καὶ βαρύφορτοι δεῦτε ἔλθετε, τοῦ λαβεῖν τὸν ἐμὸν ζυγὸν τὸν χρηστότατον, καὶ τὸν φόρτον τὸν κοῦφον καὶ ἄπονον, πρὸς ἀνάπαυσιν. καὶ ἵνα συντόμως εἴπω τὸ μεῖζον καὶ κρεῖττον, ὁ φιλέρημος, καὶ φιλήσυχος, καὶ πραότατος, οὐ μαθητὴς καὶ μιμητὴς ὑπάρχει μόνον ὡς ἄνωθεν εἴρηται τοῦ κοινοῦ σωτῆρος ἡμῶν, ἀλλὰ καὶ ἀδελφὸς γνησιώτατος, καὶ σύνδρομος αὐτῷ. διότι καὶ οὗτος ὡς αὐτὸς ὁ Κύριος ὁ εἰπὼν τὸ, μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν, καταδέχεται οὐ μόνον φυλακὰς, καὶ δεσμοὺς, ἀλλὰ καὶ ῥαπίσματα, καὶ κατάκρισιν, καὶ κολάφισιν. δίδωσι καὶ τὸν νῶτον εἰς μάστιγας, καὶ τὸ πρόσωπον εἰς ἐμπτύσματα. παρίσταται ὡς δοῦλος τοῖς κρίνουσι. τάχα μιμητὴς καὶ εἰς τοῦτο τὸ μέγα θαῦμα, καὶ πρᾶγμα εὑρίσκεται. ποῖον δὴ τοῦτο; τὸ προσαναβῆναι τῷ ξύλῳ τοῦ σταυροῦ, καὶ συσταυρωθῆναι τῷ Χριστῷ, διὰ τὸ καὶ συνδοξασθῆναι. ἔτι ζητεῖ καὶ συγκαθηλωθῆναι τούτῳ τοῖς ἥλοις, καὶ τὴν πλευρὰν διορυγῆναι. εἶτα τοῦ ὄξους, καὶ τῆς χολῆς, ὡς ἐδώδους τροφῆς καθ᾽ ἑκάστην ἡμέραν ἐν πικρίᾳ ψυχῆς ἀπογεύεσθαι. καὶ ὀνείδη, καὶ ἐμπαιγμοὺς καταδέχεται, καὶ τὸ ἀναγκαιότερον, καὶ σωτηριωδέστερον τὸ, τῶν κακοποιῶν ὑπερεύχεσθαι, καὶ ὑπὲρ αὐτῶν ἐν ἀτίμῳ θανάτῳ ἀποθανεῖν.

Ματθ. ιά. κή.

Ματθ. ιά. κθ'.

Ὅρα τοιγαρῦν καὶ αὖθις, ὦ ἀκροατὰ, τὸν Φιλήρεμον, καὶ ἡσύχιον, καὶ πραότατον, πῶς ἀραράτως ἐδέξατο ἐν ταῖς λαγόσι τῆς ἰδίας ψυχῆς τὸν πανάγιον σπόρον τῦ παναγάθυ, καὶ ὑπεραγάθυ σπορέως, Χριςῦ φημὶ τῦ Θεῦ ἡμῶν. καὶ πῶς διδόναι ἐπείγεται καρπὸν ἀξίως τὸν κατ᾽ ἐπίδοσιν· ἤγυν πρῶτον μὲν, τὸν εἰς τριάκοντα ἀρχαρικῶς εἰπεῖν προβιβαζόμενον· εἶθ᾽ ὕτω, τὸν μέσον τὸν εἰς ἑξήκοντα· καὶ ἑξῆς τὸν ἑκατοςὸν, ὡς παντέλειον. ὄντως ὗτος ἄριςος κληθήσεται γραμματεὺς ὁ ἡσύχιος, ὡς μεγαλοπρεπῶς μαθητευθεὶς, ϗ παιδευθεὶς τὴν ὁδὸν τὴν ἀπλανῆ ὁδεύειν, τὴν ἀπάγυσαν εἰς τὴν βασιλείαν τῶν ὐρανῶν. ὄντως ὗτος ἐπίςαται ἐκβάλλειν πάντοτε ἐκ τῦ θησαυρῦ αὐτῦ καινὰ, καὶ παλαιά.

Ὁποῖος δὴ πεφανέρωται, καὶ ἐγνώρισαι καὶ Ἰσαὰκ ὗτοσὶ ὁ μακάριος, ὁ τὴν ἱερὰν καὶ παναγίαν ταύτην βίβλον σωτηριωδῶς συντάξάμενος πόνῳ καὶ μόχθῳ πολλῷ· ὁ θεοκινήτως τὴν ὁδὸν τῆς ἡσυχίας ὑποδείξας ὡς δεῖ τοῖς ποθῦσι καὶ θέλυσι. διὸ δὴ προτρέχων παρακαλῶ, μήτις τῶν ἁπάντων τοῖς πανσόφοις τύτυ τῦ σοφῦ συγγράμμασιν ἀμελῶς ἐγκυπτέτω, μὴ παροδικῶς ἀναγινωσκέτω ταῦτα μηδείς· μελίῤῥυτα γάρ εἰσι, καὶ σωτήρια τὰ τύτυ πάντα διδάγματα, καὶ σοφίας θείας πεπληρωμένα καὶ χάριτος. ὄντως πολὺς ἐν συνέσει καὶ ἁγιότητι γέγονεν ὁ ἀξιάγαςος ὗτος ἀνὴρ, καὶ θεσπέσιος· πάν τὰ κατ᾽ αὐτὸν ὅπως ἔχον ἀρχῆθεν, ἀξίως ἀφ᾽ ἡμῶν τῶν ἀναξίων ἅπαντα ἀπεκρύβησαν. τίς δέ ἐςιν ὗτος ὁ Ἰσαάκ; ὐρανοπολίτης ἄνθρωπος, καὶ ἐπίγειος Ἄγγελος, ὁ τῦ θεομακαρίςυ ἐκείνυ, ϗ θεομιμήτυ Ἀβραὰμ ὐχ υἱὸς, ἀλλ᾽ ἀπόγονος· Ἀβραὰμ τῦ φιλοξένυ, καὶ ὑπηκόυ ἐν πᾶσι τῷ φιλανθρώπῳ Θεῷ.

Θεῷ. ἀπόγονον δέ φημι τετονὶ τὸν Ἰσαὰκ ἐκείνε τε μεγάλε Ἀβραάμ, ὅσον ἐν τοῖς τῆς θεογνωσίας τρόποις, καὶ θεοφοβίας, καὶ θεοσεβείας, καὶ καθαρωτάτης καὶ τελείας ὑπακοῆς. Ἰσαάκ, ὁ τὴν σειρὰν τε γάνες ἀπὸ Σύρων ἕλκειν ἀξιώμενος, καὶ ἐ πόῤῥω Ἐδέσσης ἐκείνης τῆς ἐν Μεσοποταμίᾳ ἀνατραφείς. ἐκεῖθεν δὲ ὥρμηται ὡς μανθάνομεν ἀπὸ τῶν ἁγίων γραφῶν καὶ ὁ προῤῥηθεὶς φιλόξενος Ἀβραὰμ ἐκεῖνος ὁ θαυμαςός. ἐν Μεσοποταμίᾳ τοίνυν καλῶς γεννηθείς, καὶ τραφείς, καὶ εἰς μέτρον ἡλικίας ἐλάσας ὁ ὅσιος, ἐκεῖθέν τε καὶ τῶν ἱερῶν καὶ πανσόφων γραμμάτων τὴν ἀθόλωτον πηγὴν ἀρυσάμενος τὴν ἀείζωον καὶ ἀκένωτον καὶ ἀείῤῥυτον, (ὡς ἔξεσιν ἐκ τῶν συγγραμμάτων αὐτε γνῶναι) καὶ τὲς ἀσκητικὲς ἀγῶνας τὲς ὑπερφυεῖς καὶ μεγάλες ἀγωνισάμενος, θείᾳ ψήφῳ τῆς φιλοχρίςε πόλεως Νινευΐ, δι' ἀποκαλύψεως τὴν ἐπισκοπὴν ἀξίως προσεδέξατο, οἷα πολυμαθής, καὶ φιλάρετος ἅμα καὶ πολυάρετος βαθύς τε τῇ γνώσει, καὶ τῷ λόγῳ ἡδύς. τίς γάρ ποτε τῶν ἐκεῖθεν φυέντων ἀνθρώπων, ὡς ἔτος ὤφθη, τὸ τῆς ἁμαρτίας κέντρον εἰς ἄκρον καλῶς βδελυξάμενος, ὡς ὕβρεως ἄξιον, καὶ φαυλίσας τετο ἐν πράγμασι, καὶ ςηλιτεύσας ἐν γράμμασιν, εἰς θρίαμβον πᾶσι προέθετο; ὅπερ δέλεαρ ἐκ ἐν τῷ τέλει τῆς αὐτε ἡλικίας, ἐδ' ἐν τῷ γήρᾳ, ἀλλ' ἐν τῷ βιασμῷ τῆς νεότητος, καὶ τῷ τῆς χαριεςάτης αὐτε ἡλικίας ἀπανθίσματι ποσὶ τιμίοις αὐτε ςεῤῥῶς κατεπάτησε, καὶ ἐλέπτωσε, καὶ ἐλέανε, καὶ εἰς χεν ἀπετέλεσεν. εἶτα καὶ εἰς πρόσωπον τὸ ἀναίσχυντον τε Βελίαρ τετο ἀπέῤῥιψεν, ὥσπερ λεῖχειν ἔμπαλιν τὸ οἰκτρόν, καὶ κατάπτυςον δόλιον δέλεαρ, αὐτὸν τὸν πανδόλιον τετε

δημιεργ-

δημιεργὸν τὸν ἀκάθαρτον, ὡς σκολιοβάμονα ὄφιν, καὶ κατάρατον δαίμονα.

Μέγιςός ἐςιν, ὦ ἀδελφοὶ, ὁ πανίερος ἔτος ἀνὴρ, ἐ μόνον νοήματι καὶ φρονήματι, ἀλλὰ κἀν τῷ βίῳ φημὶ τέτῳ τῷ διδασκαλικῷ τε καὶ σωτηρίῳ· κἀν ἐν ἐχάτοις καιροῖς πεφανέρωται, πολλῷ ὕςερον μετὰ τὲς ἀρχῆθεν ἢ πρώτες ἐκείνες λέγω ὁσίες πατέρας ἡμῶν τὲς μεγάλες· οἷον, τὲς περὶ τὸν ἅγιον Ἀντώνιον τὸν παγκόσμιον, καὶ Ἀρσένιον, ἢ Ἀμμώνιον, ἢ Παλάμωνα, ἢ Παχώμιον, ἢ Παφνέτιον. πλὴν εἰ ἢ τῷ χρόνῳ τέτων κατὰ πολὺ ὕςερον ἐγεγόνει, ἀλλ᾽ ἐ μὴν ἢ τῷ τρόπῳ αὐτῶν, ἢ τῷ βίῳ. οἷα ὑπάρχων ἐμπράκτε μέτοχος λόγε καὶ θεοφωτίςε, καὶ βίε θεοκυβερνήτε καὶ ἐλλογίμε. ἀπαράμιλλος γὰρ, ὡς ἡ ἀλήθεια παριςᾷ, γινώσκεται ὁ ἰσάγγελος, πανσιώετος, πάνσοφος, πᾶσαν ἄκρως γραφὴν ἐπιςάμενος παλαιὰν, ἢ καινὴν, ἢ τὴν θύραθεν. ὡς τοῖς νενεχέσι παριςῶσι τὰ τέτε συγγράμματα καὶ διδάγματα. ἅπερ δὴ προφθάσας κατώρθωσεν ὁ σώφρων, ἢ πάναγνος, ἢ πανάγιος, ἢ πρᾳότατος, ἢ φιλάδελφος, ἢ φιλόξενος, ἢ φιλόπτωχος. τῶν ἐγκρατῶν κανὼν ὁ ἀκρότατος, καὶ τῆς ἡσυχίας διδάσκαλος, Ἰσαὰκ ὁ τρισμέγιςος καὶ ἀοίδιμος, ὁ πονικώτατος ἀσκητὴς, ἢ ἀναχωρητὴς ὁ φιλήρεμος ἢ φιλέρημος, ὁ τὸν ὅλον κόσμον, καὶ τὰ ἐν κόσμῳ, καὶ πατρίδα αὐτὴν, ἢ γεννήτορας, ἢ συγγένειαν, ἢ σῶμα, ἢ φύσιν ἰδίαν, ἢ θέλημα ἅπαν, ἢ αὐτὴν τὴν κατὰ ἄνθρωπον αἴθησιν, ὥσπερ ἄλλος ἐδεὶς, διὰ Χριςὸν ἀρνησάμενος. διὰ ταῦτα γὰρ ἅπαντα τὰ πλεονεκτήματα, ἐν τῇ ἁγίᾳ αὐτε ψυχῇ κατεσκήνωσεν ἡ τριπλοκοσιώθετος αὕτη, καὶ λιθομαργαροχρυσόδετος τιμία

σειρᾷ ἐν ἁγίῳ πνεύματι· σοφία θεία, λόγος, καὶ δύναμις. καὶ ἐδίδαξαν οὐκ ἀκαταλλήλως, ἀλλ' ἐμπράκτως ἐν ἀληθέσι ῥήμασί τε καὶ πράγμασι, καὶ πᾶσαν λεπτότητα λογισμῶν κρυφίων συνήγαγε, καὶ εἰς φῶς ἐξέβαλε, καὶ τούτων ἀπέδειξε τὸ μέλαν τε καὶ τὸ κόκκινον, ἤτοι τὸ ψεῦδος τῆς πλάνης τὸ ζοφερὸν, καὶ τὴν ὥσπερ ἥλιον ἀλήθειαν διαυγάζουσαν· ἵν' ἐν φωτὶ καθαρῷ τε καὶ διαυγεῖ ὁδεύωσιν οἱ τὴν ἐργασίαν ἀσπασάμενοι τὴν ἡσύχιον καὶ σωτήριον, καὶ τῆς κληρονομίας τῶν ἀκηράτων ἀγαθῶν ἐκείνων μὴ ἀποτύχωσιν, ὡς καλῶς ὑπακούσαντες τῷ διαταξαμένῳ σωτῆρι ἡμῶν, τὴν ἀγαθὴν μερίδα ἐκλέγεσθαι τοὺς ἐχέφρονας τὴν ἄτυρβον καὶ ἀμέριμνον.

Μήτις οὖν, καὶ αὖθις ἐρῶ, προσέλθοι τοῖς πεφωτισμένοις τοῦδε τοῦ ἀνδρὸς, καὶ θειοτάτοις συγγράμμασι πλαζομένῳ νοΐ. ὁ γὰρ ἔντισι πλαζόμενος ὑλικοῖς, καὶ περιπετείαις τοῦ βίου ποσῶς συμφυρόμενος, μάτην καὶ προσέρχεται τῷ ζῶντι τούτῳ λόγῳ καὶ ἐνεργεῖ. καὶ οὐκ ἔτι λοιπὸν ᾑρετίσατο φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς, οὔτε μὴν τῷ δεσποτικῷ ὑπεῖξε προστάγματι τοῦ κηρύξαντος καὶ ἀσπάσασθαι τὴν μετάνοιαν, (1) ὅπως ἀξίους τοὺς καρποὺς αὐτῆς ἐπιδείξηται. καὶ ἐπεὶ ὑπακοῦσαι οὐ βούλεται τῷ πανσόφως τε καὶ εὐφυῶς ὁδηγῆσαι ἰσχύοντι πρὸς νομὴν τὴν σωτήριον, ἵνα τί καὶ τῶν ἀψαύστων ἅπτεται ὁ ταλαίπωρος ἀμελῶς, καὶ οὐ κάθηται ἐν ἀποκρύφῳ τῆς ἰδίας κακίας θησαυρίζων, ὡς εἴωθεν, ἐσμὸν ἁμαρτημάτων πολλῶν, καὶ δειπνῶν τῇ ἰδίᾳ ἀβελτηρίᾳ διὰ τῆς τύρβης, καὶ πολυκτησίας τῆς ἐνεργουμένης ἐν τῷ πολυπεριστάτῳ βίῳ τούτῳ τῷ μοχθηρῷ, καὶ συγκ-

(1) Ἴσ. τοῦ κηρύξαντος ἀσπάσασθαι τὴν μετάνοιαν.

συγνητῷ, καὶ μισητῷ, καὶ ῥυπαρῷ, καὶ τῆς πολυειδοῦς ἁμαρτίας πεπληρωμένῳ, τῷ μόνοις τοῖς κοσμικοῖς ἀφωρισμένῳ, ὡς τῆς στενῆς ὁδοῦ καὶ τεθλιμμένης πόῤῥω αἱρεμένοις περιπατεῖν ἀεὶ καὶ διὰ παντὸς, καὶ τῆς εὐρυχώρου καὶ πλατείας αὐτός;

Ὁ μέντοιγε διαδρᾶσαι τὸν παλαμναῖον αἱρούμενος δαίμονα, καὶ ἐπιθυμίαν ἀπώσασθαι γλιχόμενος βδελυρὰν, καὶ τὴν κεφαλὴν ἐξάξαι τὴν ἑαυτοῦ τῆς χειρὸς, καὶ πονηρίας, καὶ τῶν παγίδων τῶν ἀποστατικῶν καὶ σκοτεινῶν τε ἐξουσιῶν, καὶ ἐπιθυμίαν ἐρεθίστειραν τὴν νικῶσαν πάντα τὰ ἔξωθεν καὶ ἔνδοθεν αἰσθητήρια μαρᾶναι θεοφιλῶς, μὴ συγναζέτω τῇ εἰσόδῳ τοῦ σκάμματος τῆς ἀσκήσεως, καὶ διαβαλλέτω ἑαυτὸν αὐτὸς πρὸς παλαίστραν τε καὶ ἀντίστασιν, ὡς ἀνίσχυρον. μὴ ἀνατρεπέτω τὴν ἑαυτοῦ ὁρμὴν, τὴν πρὸς τὰ κρείττονά τε καὶ βέλτιστα κινουμένην ἀρίστως. μὴ ἀθαύμαστον τὸν ἀσκητικὸν, καὶ θαυμάσιον βίον θελήσειε δεῖξαι. μὴ τὸν σταυροβασανοτύπωτον, ἀνεκταβροδίαιτον ὁμοῦ καὶ φιλόσωμον, δι' οἰκείαν νωχελίαν τε καὶ ῥαθυμίαν κακῶς ἐκφαυλίσειεν. ἀλλὰ μᾶλλον κἂν ἀδόκιμός τις ᾖ τῷ κόσμῳ καὶ ἀφερέπονος, εὐδόκιμος καὶ πολύτλας συστάτω ὀφθῆναι ἐν καιρῷ ἐπαγωγῆς θλιβερῶν ὑλικῶν καὶ αὔλων, τῶν κατὰ σάρκα λέγω προσγινομένων καὶ πνεῦμα, ἐξ ἐπηρείας πάντως τοῦ πολεμήτορος. πᾶσα γὰρ τοιαύτη πεῖρα πρὸς ἡμᾶς τοὺς ταλαιπώρους γινομένη ἀνθρώπους, ἢ πρὸς δοκιμὴν τῆς ἡμετέρας ὑπομονῆς γίνεται, ἢ διὰ τὰς ἁμαρτίας ἡμῶν, ἢ διὰ τὴν ὑπερηφανίαν ἡμῶν, ἢ ὅπως προκόψωμεν μειζόνως, καὶ μάθωμεν τὴν ταπείνωσιν ἐκ τοῦ ἐπιγνῶναι τὴν ἑαυτῶν ἀσθένειαν, καὶ τὴν τοῦ βοηθοῦντος ἡμῖν ἀκαταμάχητον δύναμιν.

Πολλαί εἰσιν αἱ οἰκονομίαι, καὶ ἀκατάληπτοι τοῦ τὰ πάντα ἐφορῶντος, καὶ πάντα διέποντος τὰ ἡμέτερα ἀῤῥήτοις λόγοις, καὶ τρόποις, καὶ οἰκονομικοῖς αὐτοῦ ἐννοήμασι. διὸ ὁ στεφανωθῆναι αἱρούμενος τοῖς ἑαυτοῦ ἀγωνίσμασιν, ἐκμιμείσθω τῶν φοιτητῶν τοῦ σωτῆρος ἡμῶν, μὴ τοὺς ἀπελθόντας εἰς τὰ ὀπίσω, ὡς ἐν εὐαγγελίοις ἠκούσαμεν, ἀλλὰ τοὺς προθύμως ἐκείνῳ ἀκολουθήσαντας, καὶ ὑπομεμενηκότας ἀσκανδαλίστως πάντα τὰ σκάνδαλα, ὅσα δὴ αὐτῷ τῷ κοινῷ ἡμῶν δεσπότῃ προσήγγισαν ἐξ ἀρχῆς αὐτῆς φημὶ τοῦ κηρύγματος, καὶ μέχρι τοῦ ἐπονειδίστου σταυρικοῦ πάθους αὐτοῦ, καὶ θανάτου πικροῦ. μαθητὰς ἐκείνους τοὺς μετὰ τὴν ἁγίαν ἀνάστασιν καὶ χαρίεσσαν τὸν γῦρον τοῦ ὅλου κόσμου ὁδεύσαντας, καὶ κηρύξαντας, καὶ μὴ ἀποδράσαντας τὰ ποικίλα σκάμματα, καὶ τὴν κάκωσιν, ἥνπερ κατὰ τόπους τούτων ἕκαστος, καὶ πόλιν, καὶ κώμην, καὶ χώραν ἀσμένως ἐδέχετο, ἕως ἂν καὶ τὸν ἴδιον χοῦν τῷ χοῒ ἐναπέθετο, καὶ τὸ πνεῦμα αὐτοῦ εἰς τὰς ἁγίας χεῖρας τοῦ Κυρίου καὶ Θεοῦ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ταῦτα τοίνυν ἅπαντα, καὶ τὰ τούτων πλείονα ἕτερα πάντες ἀκριβῶς γινώσκομεν, καὶ καλῶς ἐπιστάμεθα. καὶ οἱ αἱρούμενοι ἀναγινώσκειν τὰ θεῖα ταῦτα τοῦ ὁσίου συγγράμματα, καὶ πράττειν σπεύδομεν, ὡς τὰ ἀναγινωσκόμενα ὑποτίθενται. ἀπαραχάρακτος γὰρ ἡ ἀλήθεια ἐν πᾶσι τούτοις τοῖς πανσόφοις συγγράμμασι καθορᾶται, κἂν ποικίλην ἔχωσι τὴν κατήχησιν, καὶ τὴν παίδευσιν, καὶ τὴν ἄσκησιν, καὶ νουθέτησιν. ὅτι καὶ τῆς ἡσυχίας ἅπαν τὸ κάλλος, ἀρχῆθεν ἕως τέλους, καλλίστως ὑπέφηνε, καὶ τῆς σιωπῆς τὸ μέγα κλέος τρανῶς ἐμακάρισε, καὶ τοὺς τόπους, καὶ τοὺς τρόπους, καὶ τὰς αἰτίας τῶν ἐν τῷ μέσῳ τῆς ἀσκή-

ἀσκήσεως ὀλίθων ἀραρώτως ἐφαύλισε. καὶ ὅθεν, καὶ ὅπως συμβαίνουσι, καὶ πῶς τὴν ἴασιν δέχονται, καὶ πῶς καλῶς θεραπεύονται τὰ ψυχικὰ παντοίως νοσήματα, οὐδόλως ἀπέκρυψε. καὶ οὐ ταῦτα μόνα καλῶς ἐξεπαίδευσε καὶ ἄγαν ἀρίστως, ἀλλὰ καὶ τὰ τούτων ἄλλα κρύφια πράγματα, ἀσκητικά φημι, καὶ θεωρητικὰ, ὑψηλότερά τε καὶ μείζονα, καὶ πολλοῖς ἀθεώρητα, αὐτὸς οὗτος ὁ ὅσιος μεθόδοις ξέναις, καὶ λογίοις πανσόφοις τοῖς μαθεῖν ποθοῦσι γνωρίσαι ἐσπούδασε.

Μὴ οἰέσθω δέ τις, ὡς οὐκ ἐπίσης τῇ τάξει τῶν ὅλων ἀσκητικῶν τοῦ μεγάλου καὶ θειοτάτου πατρὸς ἡμῶν Βασιλείου καὶ οὗτος τοὺς ἰδίους λόγους συνετῶς, καὶ θαυμαστῶς ἐζωγράφησεν. ὄντως εἴ τις ἔχει γνῶσιν, καὶ σύνεσιν, καὶ πεῖραν ἀκριβῆ τῶν ἀσκητικῶν συνταγμάτων τοῦ μεγάλου ἐκείνου πατρὸς, ἁπάντως ἐκείνῳ τὸ παράλληλον, οὐχ ἁπλῶς, ἀλλὰ πάνυ καταλλήλως εὑρήσει, καὶ γνωρίσει προκείμενον. καὶ τὸ χρήσιμον μᾶλλον, οὐ ποικίλον μόνον, ἀλλὰ καὶ νόσιμον, καὶ σωτήριον, καὶ ὠφέλιμον ἀρχαρίοις, καὶ μέσοις, καὶ τοῖς τελείοις. πρωτοτύπως γὰρ προοιμιάζεται οὑτοσὶ ὁ πανόσιος, ἀρίστην ἀρχὴν τυγχάνειν τῆς ἀρετῆς οἷα δὴ καὶ θεμέλιον τὸν
„ εἰσαγωγικὸν φόβον τοῦ Θεοῦ, κατὰ τὸν εἰπόντα, ἀρχὴ σοφίας, Παροιμ. α. ζ'.
„ φόβος Κυρίου. καὶ τοῦτον τίκτεσθαι ἐκ τῆς πίστεως τῆς εὑρισκομένης οὐκ ἐν πᾶσιν ἀνθρώποις, ἀλλ᾽ ἐν ἐκείνοις, καὶ μόνοις τοῖς τὸν θεῖον σπόρον καλῶς δεξαμένοις ἐκείνου τοῦ μεγάλου σπορέως τοῦ σπείραντος πρὸς γῆν τὴν καλὴν, τὴν καὶ καρποφορήσασαν, καὶ ποιήσασαν, ἢ τριάκοντα, ἢ ἑξήκοντα, ἢ ἑκατόν. οἱ γὰρ ἄλλως πιστεύσαντες, κἂν δοκῶσι πιστεύειν οὕτως ἀκάρπως, ἀλλ᾽ οὖν οὐ συνῆκαν τὸν τῆς πίστεως λόγον. διάτοι

τῦτο καὶ μετὰ παῤῥησίας ὁ πονηρὸς ὑπέδυ τὰς καρδίας αὐτῶν, καὶ τὸν θεῖον σπόρον ἀφήρπασε. καὶ ἐοίκασιν ὗτοι οἱ ἄκαρποί τε καὶ ἄφοβοι, οἱ μὲν, τῇ δεξαμένῃ τὸν θεῖον σπόρον ὁδῷ, καὶ τοῖς πετεινοῖς τῦ ὀρανῦ ἀεὶ ἡπλωμένῃ, καὶ διατρεφέσῃ αὐτὰ τὰ μικρὰ καὶ ἀκάθαρτα πνεύματα· οἱ δὲ, τοῖς πετρώδεσι τόποις, τοῖς τὸν θεῖον σπόρον ὀλέσασι, διὰ τὸ ἑαυτῶν ὀλιγόγεων, καὶ τὸ ἐκ τῆς ῥίζης ἀςήρικτον, καὶ διὰ τὸ μὴ δύνασθαι ὑποφέρειν ὀνείδη, λύπας, καὶ ςεναγμὸς, καὶ κακώσεις τῆς ἰδίας σαρκός. οἱ δὲ ἐπίλοιποι, τοῖς ἀκανθώδεσι παρεικάθησαν, τοῖς δεξαμένοις μὲν καὶ αὐτοῖς τὸν λόγον τῦ Θεῦ, καὶ σωτῆρος ἡμῶν τῦ κηρύξαντος, ἀλλὰ διὰ τὸ ἔχειν μέριμναν τῦ ματαίυ τῦδε αἰῶνος, καὶ τῷ πλύτῳ τύτυ σφοδρῶς ἀπατᾶσθαι, συμπνιγῆναι τὸν σπόρον ὅλον, καὶ γενέσθαι αὐτὸν ἄκαρπον καὶ ἄχρηςον, καὶ ἀνέιαπρακτον. ἀλλὰ ταῦτα μὲν, ἐς τοσῦτον· τὰ δέγε ἐπιγράμματα τῶν λόγων ταύτης τῆς βίβλυ, ἔχυσιν ὗτως ὡς ἐν πίνακι προτιθέμενα. Ἀμήν.

ΠΙΝΑΞ
ΤΩΝ ΥΠΟ
ΤΗΣ ΒΙΒΛΟΥ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Ἐν ᾧ οἱ μὲν ἑλληνικοὶ ἀριθμοὶ, τὴν ἐν αὐτῇ τῶν λόγων σειρὰν ἐμφαίνουσιν· οἱ δὲ λατινικοὶ, τὴν ἐν τῷ πρωτοτύπῳ· οἱ δὲ ἀραβικοὶ, τὴν ἐν τῷ ἑτέρῳ χειρογράφῳ.

ΛΟΓΟΣ

ΛΟΓΟΣ

ΛΟΓΟΣ

ΛΟΓΟΣ

ΛΟΓΟΣ

ΛΟΓΟΣ

Πίναξ τῶν ὑπὸ τῆς βίβλου περιεχομένων.

ΤΟΥ

ΤΟΥ ΕΝ

ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΑΒΒΑ ΙΣΑΑΚ ΤΟΥ ΣΥΡΟΥ,

ἀσκητοῦ καὶ ἀναχωρητοῦ,

Τοῦ γενομένου ἐπισκόπου τῆς Φιλοχρίστου πόλεως Νινευὶ

λόγοι ἀσκητικοὶ γραφέντες μὲν παρ' αὐτοῦ ἰδίᾳ γλώσσῃ, ἑρμηνευθέντες δὲ (1) ὑπὸ τῶν ὁσίων πατέρων ἡμῶν,

τοῦτε ΑΒΒΑ ΠΑΤΡΙΚΙΟΥ καὶ τοῦ ΑΒΒΑ ΑΒΡΑΜΙΟΥ

τῶν Φιλοσόφων καὶ ἡσυχαστῶν,

τῶν ἐν τῇ Λαύρᾳ ἡσυχασάντων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ΣΑΒΒΑ.

ΛΟΓΟΣ Α.

ΠΕΡΙ

ΑΠΟΤΑΓΗΣ, ΚΑΙ ΜΟΝΑΧΙΚΗΣ ΠΟΛΙΤΕΙΑΣ.

Ο φόβος τοῦ Θεοῦ ἀρχή ἐστι τῆς ἀρετῆς. λέγεται δὲ εἶναι γέννημα τῆς πίστεως, καὶ σπείρεται ἐν τῇ καρδίᾳ, ὅταν ἀποχωρισθῇ ἡ διάνοια ἀπὸ τοῦ περισπασμοῦ τοῦ κόσμου, τοῦ συνάξαι τὰς νοήσεις αὐτῆς, τὰς ῥεμβομένας ἐκ

(1) Τὸ ἕτερον χειρόγραφον ἑρμηνευθέντες δὲ τῇ ἑλληνίδι διαλέκτῳ.

ἐκ τοῦ μετεωρισμοῦ, ἐν τῇ ἀδολεσχίᾳ τῆς μελλούσης ἀποκαταστάσεως. τὸ θεῖναι θεμέλιον τῆς ἀρετῆς, οὐδὲν κρειττότερον τοῦ ἐπιχεῖν τινὰ ἑαυτὸν ἐν τῇ ἀπαλλαγῇ τῶν τοῦ βίου πραγμάτων, καὶ διαμεῖναι ἐν τῷ νόμῳ τοῦ φωτὸς τῶν τρίβων τῶν εὐθειῶν καὶ ἁγίων, ὧν ἐν πνεύματι ὁ ψαλμῳδὸς ἐσήμανε καὶ ἐπωνόμασε. μόλις εὑρίσκεται ἄνθρωπος δυνάμενος φέρειν τὴν τιμὴν, (1) τάχα δὲ οὐδὲ παντελῶς εὑρίσκεται, (καὶ τοῦτο ἐκ τῆς ταχείας ὑποδοχῆς τῆς ἀλλοιώσεως, ὡς ἄντις λέγῃ) οὐδὲ ἐάντις ἰσάγγελος γένηται τοῖς τρόποις.

Ἡ ἀρχὴ τῆς ὁδοῦ τῆς ζωῆς, τὸ ἀεὶ μελετῆσαι τὸν νοῦν ἐν τοῖς λόγοις τοῦ Θεοῦ, ϗ ἐν πτωχείᾳ διατρίβειν. τὸ γὰρ (2) ἐκεῖθεν ἀρδεύεσθαι, συνεργεῖ εἰς τὴν ταύτης τελείωσιν· ἤγουν τὸ ἀρδεύεσθαι ἐκ τῆς μελέτης τῶν λόγων τοῦ Θεοῦ, βοηθεῖσθαι εἰς τὴν τῆς πτωχείας κατόρθωσιν. ἡ δὲ τῆς ἀκτημοσύνης κατόρθωσις, σχολὴν παρέχουσι τοῦ κατορθῶσαι τὴν μελέτην τῶν λόγων τοῦ Θεοῦ. ἡ δὲ βοήθεια τῶν δύω τούτων, συντόμως ἀναφέρει εἰς τὴν ἀνάβασιν πάσης οἰκοδομῆς τῶν ἀρετῶν. οὐδεὶς δύναται πλησιάσαι τῷ Θεῷ, εἰ μὴ ὁ ἀφιστῶν ἑαυτὸν ἐκ τοῦ κόσμου. ἀπόστασιν δὲ λέγω, οὐ τὴν ἐκδημίαν τοῦ σώματος, ἀλλὰ τῶν τοῦ κόσμου πραγμάτων. αὕτη δέ ἐστιν ἡ ἀρετὴ, ἵνα τὶς ἐν τῇ διανοίᾳ αὐτοῦ σχολάσῃ ἀπὸ τοῦ κόσμου. οὐ δύναται ἡ καρδία γαλη-

(1) Ὁ τὰς παρὰ τῶν ἀνθρώπων τιμὰς δεχόμενος, μόλις ἂν δυνηθείη τοὺς τῆς ὑπερηφανίας διαδρᾶναι βρόχους. τοῦτο δὲ δηλοῖ, ὡς οἶμαι, τὸ, μόλις εὑρίσκεται ἄνθρωπος δυνάμενος φέρειν τὴν τιμήν. τοῦτογε ἕνεκα καὶ ὁ τῶν ἁπάντων δεσπότης τοὺς ὑπὸ τῶν ἀνθρώπων ἐπαινουμένους ταλανίζει, λέγων· „οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες „οἱ ἄνθρωποι. Λουκ. ϛ΄. κϛ΄.

(2) Τὸ ἕτερ. χειρόγρ. τὸ τοῦ ἐκεῖθεν.

γαληνιάσαι, καὶ ἀφάντασος εἶναι, ὅσον αἱ αἰσθήσεις ἐνεργοῦσι τινά., οὐδὲ τὰ πάθη τὰ σωματικὰ καταργοῦνται, οὐδὲ οἱ πονηροὶ λογισμοὶ ἐκλείπουσιν ἄνευ τῆς ἐρήμου. ἕως ἂν κτήσηται ἡ ψυχὴ μέθην ἐν τῇ πίστει τοῦ Θεοῦ, ἐν τῇ ὑποδοχῇ τῆς δυνάμεως τῆς αἰσθήσεως αὐτῆς, οὔτε τὴν ἀσθένειαν τῶν αἰσθήσεων θεραπεύσει, οὔτε δυνάμει δύναται πατῆσαι τὴν ὕλην τὴν ὁρατήν, ἥτις ἐστὶ φραγμὸς τῶν ἔσω. καὶ οὐκ αἰσθάνεται τοῦ αὐτεξουσίου τὸ λογικὸν γέννημα, καὶ ὁ καρπὸς ἀμφοτέρων, ὁ ἐκκλινισμός. (1) ἄνευ τῆς πρώτης, οὐδὲ ἡ δευτέρα· ὅπου δὲ ἡ δευτέρα ὀρθοποδεῖ, ἐκεῖ ἡ τρίτη ὡς ἐν χαλινῷ δέδεται.

Ὅταν μὲν ἡ χάρις πληθυνθῇ ἐν ἀνθρώπῳ, τότε ἐν τῷ πόθῳ τῆς δικαιοσύνης ὁ φόβος τοῦ θανάτου εὐκαταφρόνητος αὐτῷ γίνεται, καὶ αἰτίας πολλὰς εὑρίσκει τὶς ἐν τῇ ψυχῇ αὐτοῦ, ὅτι δεῖ ὑπὲρ τοῦ φόβου τοῦ Θεοῦ ὑποφέρειν τὴν θλίψιν. καὶ ὅσα δοκοῦντα βλάπτειν τὸ σῶμα, καὶ αἰφνιδίως ἐπὶ τὴν φύσιν ἐπέρχονται, καὶ ἀκολούθως εἰς τὸ παθεῖν ἐτέθησαν, ὡς οὐδὲν λογίζονται ἐν ὀφθαλμοῖς αὐτοῦ ἐν συγκρίσει τῶν ἐλπιζομένων

(1) Τὸ ἕτερ. χειρόγρ. ἐκλινισμός. ὅπερ δὴ καὶ ὀρθότερον. ἀπὸ τοῦ ἐκλινίζω. ἐκλινέω δὲ, τὸ τὰς ἄρκυς ἐκφεύγω. ὁμοίως καὶ τὸ διαλινέω. διελινήσατο ὁ λαγωὸς, ἀντὶ τοῦ διέφυγε τὰ λίνα. (Εὐστάθ. ἐν Τόμ. Β. σελ. Φοδ.) τοῦτο οὖν τυχόν φησιν ὁ πατήρ. ὅτι ἐξ ἀμφοτέρων, εἴτουν ἐκ τῆς ἀποστάσεως τοῦ κόσμου, καὶ ἐκ τῆς μέθης τῆς πίστεως, ὁ ἐκλινισμὸς γίνεται. ὅπερ δηλοῖ, ὅτι οἱ ἀπὸ τοῦ κόσμου ἀποστάντες, καὶ πίστεως πληρωθέντες, ἐκφεύγουσι τὰ τῆς ἁμαρτίας θηρατικὰ δίκτυα. καὶ πρώτην μὲν λέγει, τὴν ἀπὸ τοῦ κόσμου ἀπόστασιν· δευτέραν δὲ, τὴν ἐκ τῆς πίστεως μέθην· τρίτην δὲ, τὴν αὐτεξουσιότητα, προσθεὶς καὶ τόδε· ἄνευ τῆς ἀπὸ τοῦ κόσμου ἀποστάσεως, οὐδεὶς ἂν πίστεως πληρωθείη. οὗ τινος δὲ ἡ ψυχὴ ταύτης πεπλήρωται, ἐκείνου καὶ τὸ αὐτεξούσιον ἐκ τοῦ θείου φόβου κεκαθήλωται.

ἀπὸ τοῦ νοῦ. καὶ οὐ δυνατὸν χωρὶς παραχωρήσεως τῶν πειρασμῶν γνῶναι ἡμᾶς τὴν ἀλήθειαν. πληροφορίαν δὲ περὶ τούτου ἐκ τῆς διανοίας ἀκριβῶς εὑρίσκει, καὶ ὅτι πρόνοιαν πολλὴν ἔχει ὁ Θεὸς ἐπὶ τὸν ἄνθρωπον, καὶ οὐκ ἔστιν ἄνθρωπος, μὴ ὢν ὑπὸ τὴν πρόνοιαν αὐτοῦ, καὶ μάλιστα ἐπὶ τοὺς ἐξελθόντας ζητῆσαι αὐτὸν, καὶ βαστάζοντας τὰ πάθη ὑπὲρ αὐτοῦ, δακτυλοειδῶς θεωρεῖ λαμπρῶς. ὅταν δὲ ἡ στέρησις τῆς χάριτος πληθυνθῇ ἐν ἀνθρώπῳ, τότε πάντα τὰ ῥηθέντα ἐναντία εὑρίσκονται πλησίον, καὶ ἡ γνῶσις μείζων τῆς πίστεως διὰ τὴν ἐξέτασιν, καὶ ἡ πεποίθησις τοῦ Θεοῦ οὐκ ἐν παντὶ πράγματι ἐπιτυγχάνει, καὶ οὐδὲ οὕτως ἡ πρόνοια τοῦ Θεοῦ περὶ τὸν ἄνθρωπον νομίζεται, ἀλλὰ ὑπὸ τῶν ἐνεδρευόντων τοῦ ἐν σκοτομήνῃ κατατοξεῦσαι αὐτῶν τὰ βέλη, ἐνδελεχῶς ἐνεδρεύεται ἐν τούτοις ὁ τοιοῦτος.

Ἀρχὴ τῆς ἀληθινῆς ζωῆς τοῦ ἀνθρώπου, ὁ φόβος τοῦ Θεοῦ. καὶ οὗτος σὺν τῷ μετεωρισμῷ τινῶν ἐν τῇ ψυχῇ διαμεῖναι οὐ πείθεται. διασκεδάζεται γὰρ ἡ καρδία ἐκ τῆς ἡδονῆς τοῦ Θεοῦ ἐν τῇ διακονίᾳ τῶν αἰσθήσεων. δέδενται γάρ φησιν αἱ ἔσω ἔννοιαι ἐν τῇ αἰσθήσει αὐτῶν ἐν τοῖς αἰσθητηρίοις τοῖς διακονοῦσιν αὐταῖς.

Διστάγμος καρδίας ἐπεισάγει τῇ ψυχῇ δειλίαν. ἡ δὲ πίστις, καὶ ἐν τῇ ἐκκοπῇ τῶν μελῶν δύναται κρατῦναι τὴν προαίρεσιν. ἐν ὅσῳ ὁ πόθος τῆς σαρκὸς ὑπερισχύει ἐν σοὶ, εὔθαρσος καὶ ἀπτόητος οὐ δυνήσῃ γενέσθαι ἐκ τῶν πολλῶν ἐναντιωμάτων τῶν διαμενόντων πλησίον τοῦ ποθουμένου.

Ὁ ἐφιέμενος τῆς τιμῆς, οὐ δύναται στερηθῆναι τῶν αἰτιῶν τῆς λύπης. οὐδείς ἐστιν ἄνθρωπος ἐν τῇ ἀλλοιώσει τῶν πραγμάτων, ὅς τις οὐ κτᾶται ἐν τῇ διανοίᾳ αὐτοῦ ἀλλοίωσιν πρὸς τὸ προκεί-

προκείμενον πρᾶγμα. ἐὰν ἡ ἐπιθυμία φησὶ γάννημα τῶν αἰσθήσεων ὑπάρχῃ, σιωπησάτωσαν λοιπὸν οἱ μετὰ περισπασμοῦ τὴν εἰρήνην τῆς διανοίας φυλάττειν ὁμολογοῦντες.

Σώφρων ἐστὶν, ὅστις οὐκ ἐν τῷ κόπῳ, καὶ τῷ καιρῷ τῆς πάλης καὶ τοῦ ἀγῶνος λέγων, (1) ὅτι παύονται ἐξ αὐτοῦ οἱ αἰσχροὶ λογισμοὶ, ἀλλ' ὃς τῇ ἀληθείᾳ τῆς καρδίας αὐτοῦ σωφρονίζει τὴν θεωρίαν τῆς διανοίας αὐτοῦ, τοῦ μὴ ἀτενίσαι ἀναιδῶς τοῖς ἀκολάστοις λογισμοῖς. καὶ ὅτε ἡ σεμνότης τῆς συνειδήσεως αὐτοῦ μαρτυρεῖ ἐκ τῆς θέας τῶν ὀφθαλμῶν αὐτοῦ τὸ πιστὸν, ἡ αἰδὼς ὥσπερ καταπέτασμά ἐστι κρεμαμένη ἐν τῷ κρυπτῷ χώρῳ τῶν λογισμῶν. καὶ ὡς σώφρων παρθένος γίνεται ἡ ἁγνεία αὐτοῦ τηρουμένη ἐν πίστει τῷ Χριστῷ. (2)

Οὐκ ἔστι τὶ οὕτως ἱκανὸν πρὸς ἀποτροπὴν τῶν προλήψεων τῆς ἀκολασίας ἐκ τῆς ψυχῆς, καὶ ἀποδιώκειν τὰς κινουμένας μνήμας τὰς ἐπανισταμένας ἐν τῇ σαρκὶ, καὶ ποιούσας ταραχώδη φλόγα, ὡς τὸ βαπτισθῆναι ἐν τῷ πόθῳ τῆς μαθήσεως, καὶ καταδιώκειν ὀπίσω τοῦ βάθους τῶν νοημάτων τῆς θείας γραφῆς. ὅτε οἱ λογισμοὶ καταβαπτισθῶσι τῇ ἡδονῇ τῆς καταδιώξεως ὀπίσω τῆς σοφίας τῆς τεθησαυρισμένης ἐν τοῖς λόγοις, ἐν τῇ δυνάμει, ἐν ᾗ ἀπομάσσεται ἐξ αὐτῶν τὴν φανέρωσιν, καταλιμπάνει ὀπίσω τοῦ νώτου αὐτοῦ ὁ ἄνθρωπος τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ λανθάνει, καὶ πάσας τὰς μνήμας, τὰς ἐνεργούσας εἰκόνας τῆς σωματώσεως τοῦ κόσμου, ἐξαλείφει ἐκ τῆς ψυχῆς, καὶ πολλάκις καὶ ἐκ τῆς χρείας τῶν ἐξ ἔθους λογισμῶν, τῶν ἐπισκεπτόντων τὴν φύσιν. καὶ αὐτὴ ἡ ψυχὴ ἐν

(1) Λέγει ὀρθότ. (2) Καὶ ὁ σώφρων παρθένος γίνεται, καὶ ἡ ἁγνεία αὐτοῦ τηρουμένη ἐν πίστει τῷ Χριστῷ· τὸ Ε. Χ.

ἐκςάσει διαμένει ἐν ταῖς καιναῖς ἀπαντήσεσι, ταῖς ἐκ τῆς Θαλάσσης τῶν μυςηρίων τῶν γραφῶν.

Καὶ πάλιν ἐὰν ὁ νοῦς νήχηται ἐπὶ τὴν ἐπιβολὴν (1) τῶν ὑδάτων, ἤτοι τῆς Θαλάσσης τῶν θείων γραφῶν, καὶ μὴ δυνηθῇ εἰς ὅλον τὸ βάθος βυθίσαι τὰ νοήματα αὐτοῦ, τοῦ κατανοῆσαι ὅλους τοὺς θησαυροὺς τοὺς ἐν τῷ βυθῷ αὐτῆς, ἀρκετὸν αὐτῷ αὕτη ἡ μελέτη ἐν τῷ πόθῳ αὐτῆς, τοῦ δῆσαι τοὺς λογισμοὺς αὐτοῦ ἰσχυρῶς ἐν ἑνὶ λογισμῷ τοῦ θαύματος, τοῦ ἐμποδίσαι αὐτοὺς μὴ δραμεῖν πρὸς τὴν φύσιν τοῦ σώματος, καθώς τις τῶν θεοφόρων ἔφησε. διότι ἡ καρδία χαύνη ἐςὶ, καὶ οὐ δύναται ὑποφέρειν τὰς κακίας τὰς ἀπαντώσας ἀπὸ τῶν ἔξω, καὶ τῶν ἔσω πολέμων. καὶ οἴδατε, ὅτι ὁ κακὸς λογισμὸς βαρύς ἐςι. καὶ ἐὰν ἡ καρδία μὴ ἀσχοληθῇ ἐν τῇ γνώσει, οὐ δύναται ὑπομεῖναι τὴν ταραχὴν τῆς ὁρμῆς τοῦ σώματος.

Καὶ καθάπερ τὸ βάρος τοῦ ςαθμοῦ τῇ ὀξύτητι τῆς ῥοπῆς τοῦ ζυγοῦ πρὸς τὴν ταραχὴν τῶν ἀνέμων, οὕτως ἡ αἰδὼς καὶ ὁ φόβος τῇ ῥοπῇ τῆς διανοίας. καὶ κατὰ τὴν ἀναλογίαν τῆς λείψεως τοῦ φόβου καὶ τῆς αἰδοῦς, αἰτία γίνεται τῷ νοῒ ῥέμβεσθαι ἀεὶ, καὶ ἐνταῦθα ὥσπερ τὸ αὐτεξούσιον κατὰ τὴν ἀναλογίαν τῆς ἀποςάσεως τοῦ φόβου ἐκ τῆς ψυχῆς, ταράσσεται ὁ ζυγὸς τῆς διανοίας ὧδε κἀκεῖσε. λοιπὸν ὥσπερ αἱ πλάςιγγες τοῦ ζυγοῦ ὑπὸ τοῦ βαρυτάτου ςαθμίου βαρυνθεῖσαι, οὐκ εὐχερῶς ὑπὸ τῆς τοῦ πνεύματος πνεύσεως ὁ ζυγὸς σαλεύεται, (2) οὕτω καὶ ἡ διάνοια βαρυνθεῖσα ὑπὸ τοῦ φόβου τοῦ Θεοῦ καὶ

(1) Τὸ Ε. Χ. ἐπιπολήν.

(2) Κατὰ λόγον συντάξεως ὀρθότερον οὕτω. λοιπὸν ὥσπερ αἱ πλάςιγγες τοῦ ζυγοῦ, ἐὰν ὑπὸ τοῦ βαρυτάτου ςαθμίου βαρυνθῶσιν, οὐκ εὐχερῶς

καὶ τῆς αἰδοῦς, οὐ ῥαδίως τρέπεται ὑπὸ τῶν σαλευόντων αὐτήν. καὶ καθ' ὅσον ἡ λεῖψις τοῦ Φόβου ἐν τῇ διανοίᾳ γίνεται, κατὰ τοσοῦτον κυριεύεται ὑπὸ τῆς τροπῆς καὶ τῆς ἀλλοιώσεως. σοφίσθητι τοῦ θεῖναι θεμέλιον ἐν τῇ ὁδοιπορίᾳ σου τὸν Φόβον τοῦ Θεοῦ, καὶ ἐν ὀλίγαις ἡμέραις ἀποκαθίσασαι ἐν τῇ πύλῃ τῆς βασιλείας χωρὶς κυκλεύσεως (1) ὁδοῦ.

Ἐν πᾶσι τοῖς συναντῶσί σοι ἐν ταῖς γραφαῖς, ἀνάκρινον τὸν σκοπὸν τοῦ λόγου, τοῦ βαθῦναι σεαυτὸν, καὶ κατανοῆσαι ἐν μεγάλῃ διαγνώσει τὸ βάθος τῶν νοημάτων τῶν ἁγίων· οἱ ἐκ τῆς θείας χάριτος ἐν τῇ πολιτείᾳ αὐτῶν ὁδηγούμενοι τοῦ Φωτισθῆναι, ἀεὶ αἰσθάνονται ὡς ἀκτῖνός τινος νοητῆς διαπορευομένης ἐν μέσῳ τῶν στίχων τῶν γεγραμμένων, καὶ διακρινούσης ἔμπροσθεν τῆς διανοίας τῶν ψιλῶν λόγων ἐκ τῶν πραγμάτων τῶν λεγομένων ἐν μεγάλῃ διανοίᾳ τῇ ψυχικῇ συνέσει.

Ἄνθρωπος ἀναγινώσκων ἐν μεγάλοις στίχοις ψιλῶς, ψιλοῦται καὶ ἡ καρδία αὐτοῦ, καὶ σβάννυται ἐκ τῆς ἁγίας δυνάμεως τῆς παρεχούσης τῇ καρδίᾳ γλυκυτάτην γεῦσιν ἐν κατανοήσει ψυχῆς θαυμαστῇ.

Ἕκαστόν τι πρὸς τὸ συγγενὲς αὐτοῦ τρέχειν εἴωθε. καὶ ψυχὴ ἔχουσα μέρος πνεύματος, ὅταν ἀκούσῃ ῥήματος τοῦ ἔχοντος ἐγκεκρυμμένην ἐν ἑαυτῷ δύναμιν πνευματικὴν, διαπύρως ἕλκει τὴν ὑπόθεσιν αὐτοῦ. οὐ πάντα ἄνθρωπον ἐξυπνίζει εἰς τὸ θαυμάζειν πρᾶγμα πνευματικῶς λεγόμενον, καὶ ἔχον ἐν ἑαυτῷ ἐγκεκρυμμένην δύναμιν μεγάλην. ὁ λόγος ὁ περὶ ἀρετῆς

χρήζει

ρῶς κτ. ἢ οὕτω λοιπὸν ὥσπερ τῶν πλαστίγγων τοῦ ζυγοῦ ὑπὸ τοῦ βαρυτάτου σταθμίου βαρυνθεισῶν, ἐκ δυσχερῶς κτ.

(1) Ἴσ. κυκλήσεως, ἢ κυκλώσεως.

χρήζει καρδίας σχολαζούσης ἀπὸ τῆς γῆς καὶ τῆς ὁμιλίας αὐτῆς. ἀνθρώπου δὲ, οὗτινος ἡ διάνοια μοχθεῖ ἐν τῇ φροντίδι τῶν παρερχομένων, τὰ τῆς ἀρετῆς πράγματα οὐκ ἐξυπνίζουσι τὸν λογισμὸν αὐτοῦ πρὸς πόθον, καὶ ζήτησιν τῆς κτήσεως αὐτῶν. ἡ λύσις ἡ ἐκ τῆς ὕλης προτερεύει τῇ γενέσει αὐτῆς τοῦ πρὸς Θεὸν δεσμοῦ, εἰ καὶ πολλάκις ἐν τῇ οἰκονομίᾳ τῆς χάριτος εὑρίσκεται προλαμβάνων οὗτος ἐκείνης ἔντισιν, ὡς πόθος καλύπτει πόθον. ἡ τάξις τοῦ ἔθους τῆς οἰκονομίας ἄλλη ἐστὶ παρὰ τὴν τάξιν τῆς κοινότητος τῶν ἀνθρώπων. σὺ δὲ τὴν κοινὴν τάξιν φύλαξον. ἐὰν δὲ προλάβῃ ἐν σοὶ ἡ χάρις, αὐτῆς ἐστὶ τοῦτο· εἰ δὲ μὴ, ἐν τῇ ὁδῷ τῶν πάντων ἀνθρώπων, ἐν ᾗ ὥδευσαν κατὰ τὴν ἀναλογίαν τῆς διαδοχῆς, ἀνάβηθι εἰς τὴν ἀνάβασιν τοῦ πνευματικοῦ πύργου.

Ἕκαστόν τι ἐνεργούμενον ἐν τῇ θεωρίᾳ, καὶ πληρούμενον δι' ἐντολῆς τῆς ὑπὲρ αὐτοῦ, ἀθεώρητόν ἐστιν ὅλον τοῖς τοῦ σώματος ὀφθαλμοῖς. καὶ ἕκαστόν τι ἐν τῇ πράξει ἐνεργούμενον, σύνθετόν ἐστιν, ὅτι ἡ ἐντολὴ ἡ μία μόνη, ἤγουν ἡ πρᾶξις, τῶν ἀμφοτέρων δεῖται, τῆς θεωρίας καὶ τῆς πράξεως, ἕνεκα τῶν σωματικῶν καὶ τῶν ἀσωμάτων. ἡ σύνθεσις γὰρ τῶν ἑκατέρων, μία ἐστί. τὰ ἔργα τὰ φροντίζοντα τῆς καθαρότητος οὐκ ἀναχαιτίζουσι τὴν αἴσθησιν τῆς μνήμης τῶν παρελθόντων ἐγκλημάτων, ἀλλὰ τὴν λύπην τῆς μνήμης ἐκ τῆς διανοίας λαμβάνουσι. καὶ γίνεται ἀπὸ τοῦ νοῦ ἡ τῆς μνήμης διάβασις ἐν τῇ διανοίᾳ ἐπωφελῶς. πλεονεκτεῖ ἡ πλεονεξία τῆς ψυχῆς ἐν τῇ κτήσει τῆς ἀρετῆς τὸ μέρος τῆς ὁρατῆς ἐπιθυμίας τοῦ ὁμοζύγου σώματος. πᾶν πρᾶγμα τὸ μέτρον κοσμεῖ. χωρὶς γὰρ μέτρου, καὶ τὰ νομιζόμενα καλὰ εἶναι, εἰς βλάβην μεθίστανται.

Θέλεις

Θέλεις κοινωνῆσαι τῷ Θεῷ ἐν τῷ νοΐ σου ἐν τῇ λήψει τῆς αἰσθήσεως ἐκείνης τῆς ἡδονῆς, τῆς μὴ καταδεδουλωμένης ταῖς αἰσθήσεσιν; ἀκολούθησον τῇ ἐλεημοσύνῃ, ἥτις ὅταν εὑρεθῇ ἔνδον σου, εἰκονίζεται ἐν σοὶ ἐκεῖνο τὸ κάλλος τὸ ἅγιον, ἐν ᾧ ὡμοιώθης. τὸ καθολικὸν τοῦ πράγματος τῆς ἐλεημοσύνης, (1) ἐν οὐ καιρῷ τινὶ μεσιτευομένῳ πρὸς τὴν ἑνότητα τῆς δόξης τῆς λαμπρότητος, τῆς Θεότητος κοινωνίαν ἐμποιεῖ τῇ ψυχῇ.

Ἡ ἕνωσις ἡ πνευματικὴ ἐστι μνήμη ἀσφράγιστος· ἥτις ἐν διαπύρῳ πόθῳ ἀδιαστάτως ἐν τῇ καρδίᾳ πυρσεύεται, ἐκ τῆς διαμονῆς τῆς πρὸς τὰς ἐντολὰς δύναμιν λαμβάνουσα πρὸς τὸν δεσμὸν, οὐ καταχρηστικῶς, οὐδὲ φυσικῶς. ἐκεῖ γὰρ εὑρίσκει ὕλην τῇ ψυχικῇ θεωρίᾳ ἐπιστηριχθῆναι ὑπ' αὐτὴν ὑποστατικῶς. διὰ τοῦτο ἔρχεται εἰς ἔκπληξιν ἡ καρδία τοῦ καμμῦσαι τὰς διπλὰς αἰσθήσεις αὐτῆς, τὰς σαρκικὰς, καὶ τὰς ψυχικάς. οὐκ ἔστιν ἄλλη τρίβος πρὸς τὴν πνευματικὴν ἀγάπην, ἥτις εἰκονίζει τὴν ἀόρατον εἰκόνα, ἐὰν μὴ πρῶτον ἄρξηταί τις τοῦ οἰκτειρῆσαι, καθὼς εἴρηκεν ὁ Κύριος ἡμῶν πρὸς τὴν τελειότητα τοῦ πατρός. καὶ γὰρ οὕτως ἐνετείλατο τοῖς ὑπακούουσιν αὐτῷ, τοῦ θεῖναι τοῦτο θεμέλιον. (2)

Ἄλλος

(1) Τὸ καθολικὸν τοῦ πράγματος τῆς ἐλεημοσύνης οὐδὲν ἕτερόν ἐστιν, ὅτι μὴ ἡ ἀγάπη. αὕτη μὲν γὰρ καθολικὴ ἀρετὴ, καὶ γενικὴ, καὶ τῆς ἐλεημοσύνης μήτηρ. ἐπεὶ οὖν „ ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ „ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ, (α. Ἰωάν. δ. ιϛ.) διὰ τοῦτο εἶπε, τὸ τῆς ἐλεημοσύνης καθολικὸν, οὐδενὸς χρόνου μεσιτεύοντος πρὸς τὸ ἑνῶσαι ἡμᾶς τῇ τῆς λαμπρότητος δόξῃ, τὴν ψυχὴν κοινωνὸν τῆς Θεότητος ἀπεργάζεται. ὅπερ δηλοῖ, ὅτι ὁ τὴν ἀγάπην κτησάμενος, ἔχει ἅμα καὶ τὸν Θεὸν μένοντα ἐν αὐτῷ. καὶ ὅπου ἀγάπη, ἐκεῖ ἅμα καὶ Θεός.

(2) „ Ποῦ ἐνετείλατο τοῦτο ὁ Κύριος; ἐν τῷ, γίνεσθε οὖν οἰκτίρμονες, κα-

Ἄλλος ἐςὶν ὁ λόγος τῆς πράξεως, καὶ ἄλλος ὁ καλὸς λόγος. καὶ χωρὶς πείρας τῶν πραγμάτων, οἶδεν (1) ἡ σοφία κοσμῆσαι τὰς λόγες αὐτῆς, καὶ τῷ λαλῆσαι ἀλήθειαν μὴ γινώσκεσα αὐτὴν, καὶ τῷ φανερῶσαι περὶ τῆς ἀρετῆς, καὶ αὐτὸς μηδέποτε λαβὼν πεῖραν τῷ ἔργω αὐτῆς. Ὁ λόγος ὁ ἐκ τῆς πράξεως, ταμεῖον τῆς ἐλπίδος· καὶ ἡ ἄπρακτος σοφία, παραθήκη αἰσχύνης.

Ὥσπερ τεχνίτης ἐςὶ ζωγραφῶν τὸ ὕδωρ ἐν τοῖς τείχεσι, καὶ ἐ δύναται τὸ ὕδωρ ἐκεῖνο τὴν δίψαν αὐτῷ ἀναψύξαι, καὶ ὥσπερ ἄνθρωπος θεωρῶν ἐνύπνια καλὰ, ἕτω καὶ ὁ ἄπρακτος λόγος. ὁ ἐκ τῆς πείρας τῷ ἔργω αὐτῷ λαλῶν περὶ ἀρετῆς, μεταδίδωσι τῷ ἀκέοντι αὐτῷ, ὥσπερ τις μεταδίδωσιν ἐκ τῷ χρήματος τῆς πραγματείας αὐτῷ. καὶ ὡς (2) ὁ ἐκ τῶν κτημάτων αὐτῷ σπείρει τὴν διδασκαλίαν εἰς τὰ ὦτα τῶν ἐνωτιζόντων αὐτὸν, καὶ ἀνοίγει τὸ ςόμα αὐτῷ ἐν παῤῥησίᾳ μετὰ τῶν πνευματικῶν αὐτῷ τέκνων, καθὼς ὁ γηραιὸς Ἰακὼβ τῷ σώφρονι Ἰωσὴφ ἔφη· ἰδὲ δέδωκάσοι ἐν μέρος περισσότερον τῶν ἀδελφῶν σε· ὅπερ ἔλαβον ἐκ τῶν Ἀμοῤῥαίων τῷ ξίφει με, καὶ τῷ τόξῳ με. (Γεν. μη. κβ.)

Ἕκαςος

„ θὼς καὶ ὁ πατὴρ ἡμῶν οἰκτίρμων ἐςί. (Λεκ. ϛ. λϛ.) καὶ ἐν τῷ, εἰ θέλεις
„ τέλειος εἶναι, ὕπαγε πώλησόν σε τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ
„ ἕξεις θησαυρὸν ἐν ἐρανῷ, καὶ δεῦρο ἀκολέθει μοι. (Ματθ. ιθ. κα.) καὶ
„ ἐν τῷ, ἔσεσθε ἐν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς ἐρανοῖς τέ-
„ λειός ἐςι. (Ματθ. ε. μη.)

(1) Ἴσ. ἐκ οἶδεν ἡ σοφία.

(2) Ἴσ. καὶ ὃς ἐκ τῶν κτημάτων αὐτῷ σπείρει τὴν διδασκαλίαν εἰς τὰ ὦτα τῶν ἐνωτιζόντων αὐτὸν, ἀνοίγει τὸ ςόμα αὐτῷ κτ.

Ἕκαστος ἄνθρωπος ἔχων πολιτείαν μεμολυσμένην, ἡ πρόσκαιρος ζωὴ ποθεινὴ αὐτῷ ἐστὶ, καὶ ὁ τούτου δεύτερος, (1) ὁ ἐστερημένος γνώσεως. καλῶς εἴρηκέ τις, ὅτι ὁ φόβος τοῦ θανάτου λυπεῖ ἄνδρα καταγινωσκόμενον ὑπὸ τῆς συνειδήσεως αὐτοῦ· ὁ δὲ ἔχων μαρτυρίαν ἀγαθὴν ἐν ἑαυτῷ, οὗτος ἐφίεται τοῦ θανάτου ὥσπερ ζωῆς. μὴ ψηφίσῃς τινὰ σοφὸν ἀληθινὸν, τὸν ὑπὲρ ταύτης τῆς ζωῆς τῇ δειλίᾳ καὶ τῷ φόβῳ καταδουλοῦντα αὐτοῦ τὴν διάνοιαν. ὅλα τὰ ἀγαθὰ καὶ τὰ κακὰ τὰ συμβαίνοντα τῇ σαρκὶ, ἐνύπνια λογίζου εἶναι. οὐκ ἐν τῷ θανάτῳ γὰρ μόνῳ ἔχεις λυθῆναι ἐξ αὐτῶν, ἀλλὰ πολλάκις πρὸ τοῦ θανάτου καταλιμπάνουσί σε, καὶ ἀπέρχονται. ἐὰν δέ τινα ἐξ αὐτῶν ἔχωσί τινα κοινωνίαν ἐν τῇ ψυχῇ σου, αὐτὰ νόμιζε ἔχειν κτήματά σου εἰς τὸν αἰῶνα τοῦτον, καὶ εἰς τὸν μέλλοντα μετὰ σοῦ ὑπάγουσι. καὶ ἐὰν ὦσι καλὰ, εὐφραίνου, καὶ εὐχαρίστησον τῷ Θεῷ ἐν τῇ διανοίᾳ σου· ἐὰν δὲ ὦσι κακὰ, ἔσο περίλυπος, καὶ στέναξον, καὶ ζήτησον τὴν ἀπαλλαγὴν ἐξ αὐτῶν, ἐν ὅσῳ εἶ ἐν τῷ σώματι. ἕκαστον ἀγαθὸν ἐνεργούμενον ἐν σοὶ νοητῶς, καὶ ἐν τῷ κρυπτῷ ἔχε αὐτὸ ἀκριβῶς. ὅτι τὸ βάπτισμα, καὶ ἡ πίστις γεγόνασί σοι μεσῖται πρὸς αὐτὸ, ἐν οἷς ἐκλήθης ὑπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἀγαθὰ ἔργα αὐτοῦ σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι· ᾧ ἡ δόξα, καὶ τιμὴ, καὶ εὐχαριστία, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Ὁ μεμολυσμένον ἔχων τὸν βίον, ἐκεῖνός ἐστι καὶ φιλόζωος. ἀλλὰ τίνος χάριν ὁ ἐστερημένος γνώσεως, τοῦ φιλοζώου δεύτερος; ἢ ὅτι καὶ ὁ ἄνους ἐκείνου βελτίων. ὁ γὰρ ἐν τοῖς κακοῖς δεύτερος, κρείττων τοῦ πρώτου. ὁ δὲ πρῶτος, τοῦ δευτέρου χείρων. ἢ καὶ ἄλλως. δύω οἱ φιλόζωοι, ὅ, τε ἄφρων καὶ ὁ ἁμαρτωλός. ὧν ὁ μὲν, ἧττον· ὁ δὲ, μᾶλλον ἐφίεται τῆς προσκαίρου ζωῆς. ἐκ τούτου οὖν ἐκεῖνον δεύτερον τούτου εἶπε.

ΛΟΓΟΣ Β.

ΠΕΡΙ ΑΠΟΤΑΓΗΣ ΚΟΣΜΟΥ, ΚΑΙ ΑΠΟΧΗΣ ΤΗΣ ΠΡΟΣ ΑΝΘΡΩΠΟΥΣ ΠΑΡΡΗΣΙΑΣ.

Ὅταν ἀγαπήσωμεν φυγεῖν ἐκ τοῦ κόσμου, καὶ ξένοι τῶν κοσμικῶν γενέσθαι, οὐδὲν οὕτως ἡμᾶς χωρίζει ἐκ τοῦ κόσμου, οὐδὲ θανατοῖ τὰ πάθη ἐξ ἡμῶν, καὶ διεγείρει καὶ ζωογονεῖ ἡμᾶς εἰς τὰ πνευματικὰ, ὡς τὸ πένθος, καὶ ὁ καρδιακὸς πόνος ὁ μετὰ διακρίσεως. πρόσωπον γὰρ αἰδήμονος μιμεῖται τὴν ταπείνωσιν τοῦ ἠγαπημένου. καὶ πάλιν οὐδὲν ἡμᾶς ποιεῖ συναναστραφῆναι τῷ κόσμῳ, καὶ τοῖς ἐν τῷ κόσμῳ, καὶ τοῖς ἐν αὐτῷ μεθύσαις καὶ ἀσώτοις, καὶ οὐδὲν ἡμᾶς χωρίζει τῶν θησαυρῶν τῆς σοφίας καὶ τῆς γνώσεως τῶν Θεοῦ μυστηρίων, ὡς ὁ γελοιασμὸς, καὶ ὁ μετὰ παῤῥησίας μετεωρισμός. καὶ τοῦτό ἐστι τὸ ἐπιτήδευμα τοῦ δαίμονος τῆς πορνείας. ἐπειδὴ δέ σε πεπείραμαι τῆς φιλοσοφίας, ὦ ἀγαπητὲ, παρακαλῶ σε ἐν ἀγάπῃ, παραφυλάττεσθαι ἐκ τῆς ἐπηρείας τοῦ ἐχθροῦ· ἵνα μὴ ἐν τῇ εὐτραπελίᾳ τῶν λόγων ψυχράνῃς τὴν ψυχήν σου ἐκ τῆς θέρμης τῆς ἀγάπης τοῦ Χριστοῦ, τοῦ διὰ σὲ χολῆς γευσαμένου ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ. καὶ ἀντὶ τῆς γλυκείας ἐκείνης μελέτης, καὶ τῆς πρὸς Θεὸν παῤῥησίας ἐμπλήσῃ αὐτὴν φαντασιῶν πολλῶν, καὶ σοῦ ἐγρηγορότος, καθεύδοντος δὲ, αἰχμαλωτίσῃ αὐτὴν τοῖς ἀτόποις ἐνυπνίοις. ὧν τὴν δυσοσμίαν οἱ

ἅγιοι

ἅγιοι Ἄγγελοι τοῦ Θεοῦ οὐκ ἀνέχονται. καὶ γένη ἄλλοις ὀλίσθημα, καὶ σεαυτῷ σκόλοψ. παραβίασαι οὖν σεαυτὸν μιμήσασθαι τὴν ταπείνωσιν τοῦ Χριστοῦ, ἵνα μᾶλλον ἐξαφθῇ τὸ πῦρ τὸ ἐν σοὶ παρ' αὐτοῦ καταβληθέν· ἐν ᾧ ἐκριζοῦνται πᾶσαι αἱ κινήσεις τοῦ κόσμου, αἱ ἀποκτείνουσαι τὸν καινὸν ἄνθρωπον, καὶ μιαίνουσαι τὰς αὐλὰς τοῦ Κυρίου τοῦ ἁγίου καὶ δυνατοῦ. ἐγὼ γὰρ „ θαῤῥῶ λέγειν, κατὰ τὸν ἅγιον Παῦλον, ὅτι ναὸς Θεοῦ ἐσμέν· α. Κορινθ. γ. 16. ἁγνίσωμεν οὖν τὸν αὐτοῦ ναὸν, ὡς αὐτὸς ἁγνός ἐστιν, ἵνα ἐπιθυμήσῃ κατασκηνῶσαι ἐν αὐτῷ. ἁγιάσωμεν αὐτὸν, ὡς καὶ αὐτὸς ἅγιός ἐστι· καὶ κοσμήσωμεν αὐτὸν ἐν πᾶσιν ἔργοις ἀγαθοῖς καὶ τιμίοις. θυμιάσωμεν αὐτὸν τῷ θυμιάματι τῆς ἀναπαύσεως τοῦ θελήματος αὐτοῦ διὰ καθαρᾶς καὶ καρδιακῆς προσευχῆς· ἣν τῇ κοινωνίᾳ τῶν κοσμικῶν συνεχῶν κινήσεων κτήσασθαι ἀδύνατον. καὶ οὕτως (1) ἐπισκιάσει τῇ ψυχῇ ἡ νεφέλη τῆς δόξης αὐτοῦ, καὶ διαυγάσει τὸ φῶς τῆς μεγαλωσύνης αὐτοῦ ἔνδοθεν τῆς καρδίας. καὶ ἐμπλησθήσονται χαρᾶς καὶ εὐφροσύνης πάντες οἱ οἰκήτορες τοῦ σκηνώματος τοῦ Θεοῦ. οἱ δὲ ἀναιδεῖς καὶ ἀναίσχυντοι τῇ φλογὶ τοῦ ἁγίου πνεύματος ἐκλείψουσιν.

Ὀνείδιζε οὖν σαυτὸν ἀδελφὲ διαπαντὸς, καὶ λέγε· οὐαί μοι, ὦ ἀθλία ψυχὴ, ἤγγικέ σου ἡ ἐκ τοῦ σώματος διάλυσις. ἵνα τί εὐφραίνῃ εἰς ἃ σήμερον μέλλεις καταλεῖψαι, καὶ ὧν τῆς θέας στερηθήσῃ εἰς τοὺς αἰῶνας; πρόσεχε τοῖς ἔμπροσθέν σου, καὶ διαλογίζου ἃ ἔπραξας, πῶς καὶ τίνα εἰσὶ, καὶ μετὰ τίνος διήνυσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἢ τίς ἐδέξατο τὸν

(1) Τὸ Ρ. Χ. καὶ πάντως ἐπισκιάσει.

κόπον τῆς ἐργασίας τῆς γεωργίας σου, καὶ τίνα εὔφρανας ἐν τῇ σῇ παλαίστρᾳ, ἵνα πρὸς ἀπάντησίν σου ἐξέλθῃ ἐν τῷ καιρῷ τῆς ἐξόδου σου. τίνα δὲ ἔτερψας ἐν τῷ σῷ δρόμῳ, ἵνα ἐν τῷ λιμένι αὐτοῦ ἀναπαυθῇς. τίνος δὲ χάριν ἐταλαιπώρησας κοπιῶσα, ἵνα φθάσῃς εἰς αὐτὸν ἐν χαρᾷ, τίνα τε ἐκτήσω φίλον ἐν τῷ μέλλοντι αἰῶνι, ἵνα σε ἄρτι ὑποδέξηται ἐν τῇ ἐξόδῳ σου. ἐν ποίῳ ἀγρῷ ἐθητεύσω, καὶ τίς ὁ μέλλων σοι παρασχεῖν τὸ μίσθωμα ἐν τῇ δύσει τοῦ ἡλίου τοῦ χωρισμοῦ σου.

Σὺ ἐξέτασον σαυτὴν, ὦ ψυχὴ, καὶ βλέπε πρὸς ποίαν γῆν ἡ μερίς σου, καὶ εἰ διεπέρασας τὸν ἀγρὸν τὸν καρποφοροῦντα πικρίαν τοῖς γεωργοῦσιν αὐτὸν, κράζον ἢ βόησον ἐν στεναγμῷ καὶ ἀδημονίᾳ, τὰ ἀναπαύοντα τὸν Θεόν σου ὑπὲρ τὰς θυσίας, καὶ τὰ ὁλοκαυτώματα. βρυέτω τὸ στόμα σου ὀδυνηρὰς φωνὰς, αἷς οἱ ἅγιοι Ἄγγελοι ἐπιτέρπονται. βάψον σου τὰς παρειὰς ἐν τῷ κλαυθμῷ τῶν ὀμμάτων σου, ἵνα ἐπαναπαύσηταί σοι τὸ ἅγιον πνεῦμα, καὶ ἀπολέσῃ σε τοῦ ῥύπου τῆς κακίας σου. ἐξιλέωσαί σου τὸν Κύριον ἐν δάκρυσιν, ἵνα πρὸς σὲ παραγένηται. ἐπικάλεσαι Μαρίαν καὶ Μάρθαν διδάξαι σε πενθικὰς φωνάς. βόησον τῷ Κυρίῳ.

Εὐχή. Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ Λαζάρῳ κλαύσας, καὶ δάκρυα λύπης, καὶ συμπαθείας στάξας ἐπ᾿ αὐτῷ, δέξαι δάκρυα πικρίας μου. τοῖς πάθεσί σου, τὰ πάθη μου θεράπευσον. τοῖς τραύμασί σου, τὰ τραύματά μου ἰάτρευσον. τῷ αἵματί σου, τὸ αἷμά μου καθάγνισον, καὶ συγκέρασον τῷ σώματί μου τὴν ὀσμὴν τοῦ ζωοποιοῦ σου σώματος. ἡ χολὴ, ἣν παρὰ τῶν ἐχθρῶν

ἐποτί-

ἐποτίσθης, γλυκάναι με τὴν ψυχὴν ἀπὸ τῆς πικρίας, ἧς με ὁ ἀντίδικος ἐπότισε. τὸ σῶμά σου τὸ ἐπὶ ξύλου σταυροῦ τανυσθὲν, διαπετάσαι με τὸν νοῦν πρὸς σὲ, τὸν ὑπὸ τῶν δαιμόνων κάτω ἑλκυσθέντα. ἡ κεφαλή σου, ἣν ἐπὶ τοῦ σταυροῦ ἔκλινας, ὑψώσαι μου τὴν κεφαλὴν τὴν κολαφισθεῖσαν ὑπὸ τῶν ἀντιπάλων. αἱ πανάγιαί σου χεῖρες αἱ καθηλωθεῖσαι ὑπὸ ἀπίστων ἐν τῷ σταυρῷ, ἀναγαγέτωσάν με πρὸς σὲ ἐκ τοῦ χάσματος τῆς ἀπωλείας, ὡς ὑπέχετο τὸ πανάγιόν σου στόμα. τὸ πρόσωπόν σου τὸ δεξάμενον ῥαπίσματα καὶ ἐμπτύσματα ὑπὸ τῶν καταράτων, σιλβωσάτω μου τὸ πρόσωπον τὸ χρανθὲν ἐν ταῖς ἀνομίαις. ἡ ψυχή σου, ἣν ἐπὶ τοῦ σταυροῦ ὢν τῷ πατρί σου παρέδωκας, ὁδηγησάτω με πρὸς σὲ ἐν τῇ χάριτί σου. οὐκ ἔχω καρδίαν ὀδυνηρὰν πρὸς ἀναζήτησίν σου, οὐκ ἔχω μετάνοιαν, οὐδὲ κατάνυξιν, τὰ ἐπανάγοντα τὰ τέκνα πρὸς τὴν ἰδίαν κληρονομίαν. οὐκ ἔχω δέσποτα δάκρυον παρακλητικόν. ἐσκότισταί μου ὁ νοῦς ἐν τοῖς βιωτικοῖς, καὶ οὐκ ἰσχύει ἀτενίσαι πρὸς σὲ ἐν ὀδύνῃ. ἔψυκταί μου ἡ καρδία ἐκ τοῦ πλήθους τῶν πειρασμῶν, καὶ οὐ δύναται θερμανθῆναι τοῖς δάκρυσι τῆς πρὸς σὲ ἀγάπης. ἀλλὰ σὺ Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς, ὁ θησαυρὸς τῶν ἀγαθῶν, δώρησαί μοι μετάνοιαν ὁλόκληρον, καὶ καρδίαν ἐπίπονον, ἵνα ἐξέλθω ὁλοψύχως εἰς ἀναζήτησίν σου. χωρὶς γὰρ σοῦ, παντὸς ἀγαθοῦ ξενωθήσομαι. χάρισαι οὖν μοι ὦ ἀγαθὲ τὴν χάριν σου. ὁ πατὴρ ὁ προαγαγών σε ἐκ τῶν κόλπων αὐτοῦ ἀχρόνως καὶ ἀϊδίως, ἀνακαινισάτω ἐν ἐμοὶ τὰς μορφὰς τῆς σῆς εἰκόνος. κατέλιπόν σε, μή με ἐγκαταλίπῃς. ἐξῆλθον ἀπὸ σοῦ, ἔξελθε εἰς ἀναζήτησίν μου, καὶ εἰσάγαγέ με εἰς τὴν νομήν σου, καὶ συγκαταρίθμησόν με τοῖς προβάτοις τῆς ἐκλεκτῆς σου ποίμνης, καὶ διαθρεψόν-

ψόν με σὺν αὐτοῖς ἐκ τῆς χλόης τῶν θείων μυστηρίων σου· ὧν ἡ καθαρὰ καρδία καταγώγιόν σου ὑπάρχει, καὶ καθορᾶται ἐν αὐτῇ ἡ ἔλλαμψις τῶν σῶν ἀποκαλύψεων, ἥτις ἐστὶ παράκλησις καὶ ἀναψυχὴ τῶν κοπιασάντων διὰ σὲ ἐν ταῖς θλίψεσι, καὶ ταῖς παντοδαπαῖς αἰκίαις. ἧς τινος ἐλλάμψεως καὶ ἡμεῖς ἀξιωθείημεν χάριτι καὶ φιλανθρωπίᾳ σοῦ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Γ.

ΠΕΡΙ ΑΝΑΧΩΡΗΣΕΩΣ.

Καὶ ὅτι οὐ δεῖ δειλιᾷν καὶ φοβεῖσθαι, ἀλλὰ στηρίζεσθαι τὴν καρδίαν τῇ εἰς Θεὸν πεποιθήσει, καὶ θαρρεῖν τῇ ἀδιστάκτῳ πίστει, ὡς ἔχοντας φρουρὸν καὶ φύλακα τὸν Θεόν.

Ἐάν ποτε εὑρεθῇς τῆς ἀναχωρήσεως ἄξιος, τῆς ἐχούσης ἐλαφρὰ τὰ φορτία ἐν τῇ βασιλείᾳ τῆς ἐλευθερίας αὐτῆς, μὴ κατεπείξῃ σε ὁ λογισμὸς τοῦ φόβου κατὰ τὴν συνήθειαν αὐτοῦ ἐν πολλοῖς τρόποις τῆς ἀλλοιώσεως τῶν λογισμῶν, καὶ τῆς ἀναστροφῆς αὐτῶν, ἀλλὰ μᾶλλον ἔσο πιστεύων, ὅτι ὁ φύλαξ σου μετὰ σεαυτοῦ ἐστί, καὶ πληροφορήθητι ἐν τῇ σοφίᾳ σου ἀκριβῶς, ὅτι σὺ μετὰ πάσης τῆς κτίσεως ὑπὸ ἑνὶ δεσπότῃ ἐστὲ, ἐν νεύματι τὰ πάντα κινοῦντι, καὶ σαλεύοντι, καὶ πραΰνοντι, καὶ οἰκονομοῦντι. καὶ οὐδεὶς σύνδουλος δύναται βλάψαι

τινὰ

τινὰ τῶν πιωδέλων αὐτȣ̃, δίχα τῆς ἐπιτροπῆς τȣ̃ προνοȣ̃ντος τῶν πάντων, καὶ διϊθύνοντος. καὶ εὐθέως ἀνάςα, καὶ θάρσει. καὶ ἐὰν ἐδόθη ἡ ἐλευθερία τισὶν, ἀλλ' ἐκ ἐν παντὶ πράγματι. ἔτε γὰρ οἱ δαίμονες, ἔτε τὰ θηρία τὰ φθαρτικὰ, ἔτε οἱ ἐν κακίᾳ ἄνθρωποι δύνανται πληρῶσαι τὸ θέλημα αὐτῶν εἰς φθορὰν καὶ ἀπώλειαν, εἰ μὴ τὸ τȣ̃ κυβερνῶντος ἐπιτρέψειε βέλημα, καὶ δοίη τόπον ποσότητος. ἐ γὰρ τὴν ἐλευθερίαν ἐπιτρέπει ἐλθεῖν εἰς ἐνέργειαν ἅπασαν. εἰ γὰρ τȣ̃το ἦν, ἐκ εἶχε ζῆσαι πᾶσα σάρξ. ἐκ ἐᾷ γὰρ ὁ Κύριος τὴν κτίσιν αὐτȣ̃, ἵνα πλησιάσῃ αὐτῇ ἡ τῶν δαιμόνων ἐξȣσία καὶ τῶν ἀνθρώπων, καὶ ἐνεργήσῃ ἐν αὐτῇ τὸ θέλημα αὐτῶν. διὰ τȣ̃το λέγε ἀεὶ τῇ ψυχῇ σȣ, ἔχω φύλακα φυλάσσοντά με, καὶ ἐ δύναταί τι τῶν κτισμάτων φανῆναι ἐνώπιόν μȣ, μόνον εἰ μὴ ἄνωθεν γένηται κέλευσμα. πίςευσον δὲ, ὡς ἐδὲ θεαθῆναι τοῖς ὀφθαλμοῖς σȣ, καὶ τοῖς ὠσὶν ἀκȣτίσαι σȣ τὰς αὐτῶν ἀπειλὰς τολμῶσιν. εἰ γὰρ εἶχον ἐπιτροπὴν ἄνωθεν ἐκ τȣ̃ ἐπȣρανίȣ, ἐκ ἦν ἀνάγκη λόγȣ καὶ λόγων, ἀλλὰ τῷ ἑαυτῶν θελήματι καὶ τὸ ἔργον ἐπηκολȣ́θει.

Πάλιν δὲ λέγε σεαυτῷ, ὅτι, εἰ τὸ θέλημά ἐςι τȣ̃ δεσπότȣ μȣ τὸ κατεξȣσιάσαι τȣ̀ς πονηρȣ̀ς τȣ̃ πλάσματος, ἐδὲ ἐγὼ τȣτὶ δέχομαι δυσχερῶς, ὥσπερ τις μὴ θέλων καταργῆσαι τὸ θέλημα τȣ̃ Κυρίȣ αὐτȣ̃. καὶ ἕτως ἐν τοῖς πειρασμοῖς σȣ χαρᾶς πλησθήσῃ, ὥς τις γνȣ̀ς, καὶ ἀκριβῶς αἰσθηθεὶς, ὅτι τὸ νεῦμα τȣ̃ δεσπότȣ διακυβερνᾷ σε, καὶ διευθύνει σε. λοιπὸν ςήριξον τὴν καρδίαν σȣ ἐν τῷ πεποιθέναι πρὸς Κύριον, καὶ μὴ φοβηθῇς, μήτε ἀπὸ φόβȣ νυκτερινȣ̃, μήτε ἀπὸ βέλȣς πετωμένȣ ἡμέρας. ἡ πίςις γάρ φησι

τοῦ δικαίου, ἡ πρὸς τὸν Θεὸν, ἐξημεροῖ τὰ θηρία τὰ ἄγρια, ὡς τὰ πρόβατα. (1)

Οὐκ εἰμὶ φησὶ δίκαιος, ἵνα πεποιθὼς ὦ ἐπὶ Κύριον. Ἀλλὰ σὺ ἀληθῶς διὰ τὴν ἐργασίαν τῆς δικαιοσύνης ἐξῆλθες εἰς τὴν ἔρημον τὴν πλήρη θλίψεων, καὶ διὰ τοῦτο ὑπήκοος γένου τῷ θελήματι τοῦ Θεοῦ. λοιπὸν ματαίως κοπιᾷς, ὅταν βαστάζῃς τούτους τοὺς κόπους, οὐχ ὅτι ὁ Θεὸς θέλει τὸν κόπον τῶν ἀνθρώπων, εἰ μὴ σὺ προσφέρῃς αὐτῷ θυσίαν ἀγάπης, τὴν σεαυτοῦ θλίψιν. ταύτην τὴν διάκρισιν δεικνύουσι πάντες οἱ ἀγαπῶντες τὸν Θεὸν, θλίβοντες ἑαυτοὺς ὑπὲρ τῆς εἰς αὐτὸν ἀγάπης. οἱ γὰρ εὐδοκοῦντες ἐν τῷ φόβῳ τοῦ Θεοῦ ζῆσαι ἐν Χριστῷ Ἰησοῦ, θλίψιν αἱροῦσι, καὶ διωγμὸν ὑπομένουσι. κἀκεῖνος ἐν ἐξουσίᾳ γενέσθαι ποιεῖ αὐτοὺς τῶν ἑαυτοῦ κρυπτῶν θησαυρῶν.

Περὶ προκοπῆς, τῆς ἐκ τῶν πειρασμῶν γινομένης, τοῖς μετὰ εὐχαριστίας, καὶ ἀνδρείας αὐτοὺς ὑπομένουσιν. (2)

Εἶπε γάρ τις τῶν ἁγίων, ὅτι ἦν τὶς τῶν ἀναχωρητῶν γέρων τίμιος, καὶ ἀπῆλθον πρὸς αὐτὸν ἅπαξ, καὶ ἤμην ἐν λύπῃ ἐκ τῶν πειρασμῶν. αὐτὸς δὲ ἦν ἀσθενῶν, κατακείμενος, καὶ ὅτε ἠσπασάμην αὐτὸν, ἐκάθισα πρὸς αὐτὸν, καὶ εἶπον αὐτῷ· εὖξαι ὑπὲρ ἐμοῦ πάτερ, ὅτι πάνυ λυποῦμαι ἐκ τῶν πειρασμῶν τῶν δαιμόνων. ὁ δὲ ἀνοίξας τοὺς ὀφθαλμοὺς αὐτοῦ, προσέχε μοι, καὶ εἶπε· τέκνον, σὺ νεώτερος εἶ, καὶ οὐκ ἀφίησιν ὁ Θεὸς ἐπὶ σὲ πειρασμούς. κἀγὼ εἶπον αὐτῷ· ναὶ νεώτερός εἰμι, πειρασμοὺς

(1) „Ἴσ. ἐλήφθη ἐκ τοῦ, οἱ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, „εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων. Ἑβρ. ια. λγ.

(2) Τὴν ἐπιγραφὴν ταύτην οὐδὲ ἐν τῷ ἑτέρῳ χειρογράφῳ εὕρομεν, (συνημμένον γὰρ ἦν τὸ, εἶπε γάρ τις τοῖς ἀνωτέρω.) οὐδὲ ἐν τοῖς τῶν χειρογράφων πίναξιν. ὡσαύτως καὶ τὴν ἑξῆς. ταύτῃ τοι καὶ ἐν τοῖς ἄκροις αὐτὰς ἐθέμεθα.

ρασμοὺς δὲ ἰσχυρῶν ἔχω ἀνδρῶν. κἀκεῖνος πάλιν εἶπε· λοιπὸν θέλησε ὁ Θεὸς σοφίσαι. κἀγὼ εἶπον· πῶς σοφίσει με; ἐγὼ γὰρ καθ' ἡμέραν γεύομαι τοῦ θανάτου. κἀκεῖνος αὖθις· ὁ Θεὸς εἶπεν ἀγαπᾶσε, σιώπα. μέλλει ὁ Θεὸς δοῦναί σοι τὴν χάριν αὐτοῦ. ἔφη δὲ πάλιν, γνῶθι τέκνον, ὅτι τριάκοντα χρόνους πόλεμον μετὰ τῶν δαιμόνων ἐποίησα, καὶ τὸν εἰκοσὸν παραδραμὼν, οὐκ ἐβοηθήθην τὸ σύνολον. ἡνίκα δὲ καὶ τὸν πέμπτον τοῦτον παρελάσας ἐτύγχανον, (2) ἠρξάμην εὑρίσκειν ἀνάπαυσιν. καὶ ὁδῷ τοῦ χρόνου βαδίζοντος, ἐπληθύνετο. τοῦ δὲ ἑβδόμου παραῤῥυέντος, καὶ τοῦ μετ' αὐτὸν ἐπιστάντος ὀγδόου, εἰς πλῆθος ἐπετείνετο πλεῖον. παρατρέχοντος δὲ καὶ τοῦ τριακοστοῦ, καὶ πρὸς τὸ τέλος καταφθάνοντος ἤδη, οὕτως ἐκραταιώθη ἡ ἀνάπαυσις, ὡς μηδὲ τὸ μέτρον αὐτῆς εἰς ὅσον προέβη γινώσκειν με. καὶ ἐπέφερεν· ὅτι, ὅτε ἀναστῆναι θελήσω εἰς τὴν λειτουργίαν μου, μίαν δόξαν λειτουργῆσαι ἀφίεμαι, εἰς δὲ τὰ λοιπὰ, ἐὰν στῶ τρεῖς ἡμέρας, εἰς ἔκπληξιν μετὰ τοῦ Θεοῦ γίνομαι, καὶ τοῦ κόπου οὐδ' ὅλως αἰσθάνομαι. ἰδοὺ τὸ ἔργον τοῦ πολλοῦ καιροῦ ποίαν ἀνάπαυσιν ἀπλήρωτον ἀπεγέννησεν.

Οὗτος ὁ πόλεμος τοῦ ὕπνου ἦν. (1)

Ἦν τις τῶν πατέρων, καὶ ἦν ἐσθίων δεύτερον τῆς ἑβδομάδος, καὶ εἶπεν ἡμῖν, ὅτι ἐν τῇ ἡμέρᾳ, ἐν ᾗ λαλῶ τινὶ, τὸν κανόνα τῆς νηστείας κατὰ τὴν συνήθειάν μου, οὐ δυνατόν μοι φυλάξαι, ἀλλ' ἀναγκάζομαι καταλῦσαι. καὶ ἐνοήσαμεν, ὅτι ἡ φυλακὴ τῆς γλώττης, οὐ μόνον ἐξυπνίζει τὸν νοῦν πρὸς τὸν Θεὸν, ἀλλὰ

Ὅτι ἡ φυλακὴ τῆς γλώσσης οὐ μόνον ἐξυπνίζει τὸν νοῦν πρὸς τὸν Θεὸν, ἀλλὰ καὶ τῇ ἐγκρατείᾳ συμβάλλεται.

(1) Καὶ τοῦτο ἐν τῷ ἄκρῳ τοῦ ἑτέρου τῶν χειρογράφων ἦν γεγραμμένον.

(2) Τὸ Ε. Χ. ἡνίκα δὲ τὸ εἰκοσὸν πέμπτον τούτου, κοῦφος ἐτύγχανον, ἠρξάμην κτ.

ἀλλὰ ἢ τοῖς ἔργοις τοῖς φανεροῖς, τοῖς διὰ τȣ̃ σώματος ἐνεργȣμένοις, ἰσχὺν μεγάλην κρυπτῶς παρέχει εἰς τὸ τελεσθῆναι αὐτὰ, φωτίζει τε καὶ ἐν τῇ κρυπτῇ ἐργασίᾳ, καθὼς εἶπον οἱ πατέρες· ὅτι ἡ φυλακὴ τȣ̃ σόματος ἐξυπνίζει τὴν συνείδησιν πρὸς τὸν Θεὸν, ἐὰν ἐν γνώσει τὶς σιωπᾷ. ȣ̃τος ὁ ἅγιος συνήθειαν εἶχε πολλὴν εἰς τὴν ἀγρυπνίαν τῆς νυκτός. ἔλεγε γὰρ, ὅτι τὴν νύκτα ἐκείνην, καθ᾽ ἣν ἵσαμαι ἕως πρωῒ, μετὰ τὴν ψαλμῳδίαν ἀναπαύομαι, μετὰ δὲ τὸ τȣ̃ ὕπνȣ ἐξυπνισθῆναί με, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γίνομαι ȣ̃τως, ὡς ἄνθρωπός τις μὴ ὢν ἐν τῷ κόσμῳ τȣ́τῳ, ἢ λογισμοὶ τινὲς γήϊνοι ἐν τῇ καρδίᾳ μȣ ȣ̓δαμῶς ἀναβαίνȣσιν, ȣ̓δὲ τῶν ὡρισμένων κανόνων χρείαν ἔχω, ἀλλ᾽ ἐν τῇ ἐκπλήξει γίνομαι ὅλην τὴν ἡμέραν ἐκείνην.

Ἐν μιᾷ ȣ̃ν τῶν ἡμερῶν ἤμην ἐσθίων, τεσσάρων παρελθȣσῶν πρότερον, μηδενὸς τὸ παράπαν γȣσάμενος, ἢ ὅτε ἀνέστην εἰς τὴν τῶν ἑσπερινῶν λειτȣργίαν, καὶ ȣ̃τως ἵνα γȣ́σωμαι, ἔστην ἐν τῇ αὐλῇ τȣ̃ κελλίȣ μȣ, ὅτε ἦν ἥλιος πολὺς, καὶ ἀρξάμενος μόνον εἰς μίαν δόξαν, ἠσθήθην τῆς λειτȣργίας μȣ, καὶ ἔκτοτε ἔμεινα, μὴ γινώσκων ὅποι τυγχάνω, ἢ ἤμην ȣ̃τως, ἕως τȣ̃ ἀνατεῖλαι πάλιν τὸν ἥλιον εἰς τὴν ἐπιȣ̃σαν ἡμέραν, καὶ θερμᾶναι τὸ πρόσωπόν μȣ. καὶ τότε, ὅτε ὁ ἥλιος ἐπὶ πλεῖον ἐβάρυνέ με, καὶ κατέκαυσέ μȣ τὸ πρόσωπον, ἐστράφη ὁ νȣ̃ς μȣ πρὸς ἐμὲ, καὶ ἰδȣ̀ εἶδον, ὅτι ἄλλη ἡμέρα ἐςὶ, καὶ ηὐχαρίστησα τῷ Θεῷ, ὅτι πόσον ἡ χάρις αὐτȣ̃ ὑπερεκχεῖται ἐπὶ τὸν ἄνθρωπον, καὶ εἰς ποίαν μεγαλωσύνην ἀξιοῖ τȣ̀ς καταδιώκοντας αὐτόν. λοιπὸν αὐτῷ πρέπει μόνῳ ἡ δόξα, καὶ ἡ μεγαλοπρέπεια εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ

ΛΟΓΟΣ Δ.

ΠΕΡΙ ΤΟΥ ΠΟΘΟΥ ΤΟΥ ΚΟΣΜΟΥ.

Ὁ λόγος τοῦ Κυρίου ὁ ἀληθινὸς, ὃν εἴρηκεν, ὅτι οὐ δύναταί τις μετὰ τοῦ πόθου τοῦ κόσμου τὴν ἀγάπην κτήσασθαι τοῦ Θεοῦ, οὐδὲ μετὰ τῆς κοινωνίας αὐτοῦ δυνατὸν κοινωνίαν κεκτῆσθαι πρὸς τὸν Θεὸν, οὐδὲ σὺν τῇ μερίμνῃ αὐτοῦ ἔχειν τὴν μέριμναν τοῦ Θεοῦ. (1) ὅταν ταῦτα τὰ τοῦ Θεοῦ καταλείψωμεν διὰ τὴν κενοδοξίαν, ἢ πολλάκις διὰ τὴν ἔνδειαν τῆς χρείας τοῦ σώματος, κλίνουσι πολλοὶ ἐξ ἡμῶν εἰς ἄλλα· οἵτινες ἐξωμολογήσαντο ἐργάσασθαι τὰ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ οὐ μνημονεύουσι τῆς ἐπαγγελίας τοῦ Κυρίου, ἧς εἴρηκεν· ἐὰν πᾶσαν μέριμναν ὑμῶν ποιήσητε περὶ τῆς βασιλείας τῶν οὐρανῶν, οὐ στερήσω ὑμᾶς τῶν τῆς χρείας τῆς φύσεως τῆς ὁρωμένης, ἀλλ᾽ ἔρχεται ὑμῖν πάντα μετὰ τῶν λοιπῶν. οὐ γὰρ ἀφήσω ὑμᾶς μεριμνῆσαι περὶ αὐτῶν. (2) περὶ τῶν ἀψύχων πετεινῶν τῶν δι᾽ ἡμᾶς κτισθέντων μεριμνᾷ, καὶ ἡμῶν ἀμελήσειεν; οὐδαμῶς. ὁ μεριμνῶν εἰς τὰ πνευματικὰ, ἢ περί τινος ἐξ αὐτῶν, τὰ σωματικὰ εὐτρεπίζονται αὐτῷ χωρὶς τῆς περὶ αὐτὰ μερίμνης πρὸς τὴν συνοχωρίαν

(1) „Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. ἢ γὰρ τὸν ἕνα μισήσει, „ καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. „ οὐ δύνασθε Θεῷ δουλεύειν, καὶ μαμμωνᾷ. Ματθ. ϛ. κδ.

(2) „Αἰτεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην „ αὐτοῦ, καὶ ταῦτα πάντα προσεθήσεται ὑμῖν. Ματθ. ϛ. λγ.

χωρίαν αὐτῶν, καὶ πρὸς τὸν καιρόν. (1) ὁ δὲ ἐν τοῖς σωματικοῖς μεριμνῶν πέρα τȣ͂ δέοντος, ἀκȣσίως ἐκπίπτει καὶ τȣ͂ Θεȣ͂. ἐὰν δὲ ἡμεῖς σπȣδάσωμεν μεριμνῆσαι εἰς ταῦτα, τὰ διὰ τὸ ὄνομα τȣ͂ Κυρίȣ, αὐτὸς μεριμνᾷ καὶ περὶ τῶν ἀμφοτέρων, κατὰ τὸ μέτρον τȣ͂ ἀγῶνος ἡμῶν.

Ὅμως ἡμεῖς τὴν πεῖραν τȣ͂ Θεȣ͂, μὴ ἐν τοῖς σωματικοῖς ζητήσωμεν, ἀντὶ τῶν ἔργων τῶν ψυχῶν ἡμῶν, ἀλλὰ περὶ τῆς ἐλπίδος τῶν μελλόντων τρέψωμεν πάντα τὰ ἔργα ἡμῶν. ὁ γὰρ προσάπαξ ἐξ ἀγάπης τῆς ψυχῆς ἑαυτȣ͂ ἐκδȣ̀ς ἑαυτὸν εἰς ἀρετὴν, καὶ ἐπιθυμήσας τὴν ἐργασίαν αὐτῆς τελειῶσαι, ȣ̓ μεριμνᾷ πάλιν περὶ τῶν σωματικῶν, εἴτε εἰσὶν, εἴτε καὶ μή. περὶ ὧν πολλάκις παραχωρεῖ πειραθῆναι ἐν τοῖς τοιȣ́τοις τȣ̀ς ἐναρέτȣς, καὶ ἐκ παντὸς τόπȣ ἀφίησιν ἐξυπνιασθῆναι κατ᾽ αὐτῶν. (2) καὶ πλήττει αὐτȣ̀ς ἐν τῷ σώματι αὐτῶν, κατὰ τὸν Ἰὼβ, καὶ εἰσφέρει αὐτȣ̀ς εἰς πτωχείαν, καὶ εἰς ἀποστασίαν τῆς ἀνθρωπότητος, (3) καὶ πλήττει αὐτȣ̀ς εἰς ἅπερ κέκτηνται. μόνον δὲ ταῖς ψυχαῖς αὐτῶν ȣ̓ προσεγγίζει βλάβη. ȣ̓ δυνατὸν γὰρ, ὅταν ἐν τῇ ὁδῷ τῆς δικαιοσύνης ὁδεύωμεν, μὴ ἀπαν-

(1) Τῆς περὶ αὐτὰ μερίμνης πρὸς τὴν συνοχωρίαν αὐτῶν, καὶ πρὸς τὸν καιρόν. ἤτοι τȣ͂τό φησι. τῆς περὶ αὐτὰ μερίμνης, ἣν καταβάλλειν δεῖ ὑπὲρ τῆς δυχερείας τῆς κτήσεως αὐτῶν, καὶ τȣ͂ καιρȣ͂, καθ᾽ ὃν ἔνεστιν ἕκαστον τȣ́των εὑρεῖν. ἢ τȣ͂το. εὐτρεπίζονται αὐτὰ ἀναλόγως τῇ συνοχωρίᾳ αὐτȣ͂, καὶ τῷ τῆς ἀνάγκης καιρῷ, χωρίς τινος περὶ αὐτὰ μερίμνης.

(2) Ἀφίησιν ἐξυπνιασθῆναι κατ᾽ αὐτῶν. ἀλλὰ τί; ἢ ὅτι τȣ̀ς διαφόρȣς πειρασμȣ́ς.

(3) Εἰς ἀποστασίαν ἀνθρωπότητος. τȣ͂το τυχὸν δηλοῖ, ὅτι συγχωρεῖ παρεμπεσεῖν αὐτȣ̀ς εἰς πτωχείαν, καὶ εἰς ἀποστάτας, καὶ πονηρȣ̀ς ἀνθρώπȣς.

ἀπαντῆσαι ἡμῖν συγνότητα, καὶ τὸ σῶμα ἐν νόσοις μὴ κάμνειν καὶ πόνοις, καὶ ἀναλλοίωτον μένειν, εἴπερ ἐν τῇ ἀρετῇ ζῆν ἀγαπήσομεν. ἄνθρωπος δὲ διάγων ἐν τῷ ἑαυτȣ̃ θελήματι, ἢ ἐν φθόνῳ, (1) ἢ ἐν τῷ ἀφανισμῷ τῆς ψυχῆς αὐτȣ̃, ἢ ἐν τινι ἄλλῳ τῶν βλαπτόντων αὐτὸν, κατάκρισιν ἔχει. ἐὰν δὲ, ὅτε πορεύθείη (2) ἐν τῇ ὁδῷ τῆς δικαιοσύνης, καὶ ποιεῖται τὴν πορείαν αὐτȣ̃ πρὸς τὸν Θεὸν, πολλάς τε τȣ̀ς ὁμοίȣς αὐτῷ κέκτηται, καὶ (3) ἀπαντήσῃ τι τῶν τοιȣ́των, ȣ̓ πρέπει αὐτῷ ἐκκλῖναι ἐξ αὐτῆς, ἀλλὰ μετὰ χαρᾶς ὑποδέξασθαι δεῖ ἀνεξετάσως, καὶ εὐχαριστῆσαι τῷ Θεῷ, ὅτι ἔπεμψεν αὐτῷ τὴν χάριν ταύτην. καὶ ἠξιώθη δι' αὐτὸν εἰς πειρασμὸν ἐμπεσεῖν, καὶ κοινωνὸς γενέσθαι τῶν παθημάτων τῶν Προφητῶν τε καὶ Ἀποστόλων, καὶ τῶν λοιπῶν ἁγίων, τῶν ὑπὲρ τῆς ὁδȣ̃ ταύτης ὑπομεινάντων τὰς θλίψεις, εἴτε ἐξ ἀνθρώπων ἔλθωσιν, εἴτ' ἐκ δαιμόνων, εἴτ' ἐκ τȣ̃ σώματος. (χωρὶς γὰρ νεύματος Θεȣ̃ ἐλθεῖν ταῦτα, καὶ παραχωρηθῆναι, ȣ̓κ ἐνδέχεται.) ἵνα γένηται αὐτῷ ἀφορμὴ εἰς δικαιοσύνην. ȣ̓ δυνατὸν γὰρ (4) ἄλλως πῶς ποιῆσαι τὸν Θεὸν εὐεργετηθῆναι τὸν ἐπιθυμήσαντα εἶναι πρὸς αὐτὸν, ἢ ἐνέγκαι αὐτῷ πειρασμȣ̀ς ὑπὲρ τῆς ἀληθείας. διὰ τὸ μὴ δύνασθαι τȣ̃τον ποιῆσαι ἑαυτὸν ἀξιωθῆναι τῆς μεγαλω-

(1) Τὸ Ε. Χ. ἐν φόβῳ, ἢ ἐν τῷ ἀφανισμῷ κτ.

(2) Ἴσ. πορεύεται.

(3) Τὸ καὶ, περιττόν.

(4) Οὐ δυνατὸν γὰρ κτ. ταῦτα σαφέστερον εἴποις ἂν ȣ̃τως· ȣ̓ γὰρ δύναται ὁ Θεὸς ἄλλως πῶς εὐεργετῆσαι τὸν ἐπιθυμήσαντα συνεῖναι αὐτῷ, ἢ τῷ ἐνέγκαι αὐτῷ τȣ̀ς ὑπὲρ τῆς ἀληθείας πειρασμȣ́ς. ȣ̓δὲ γὰρ δύναται ȣ̃τος ἀφ' ἑαυτȣ̃ ἀξιῶσαι ἑαυτὸν τῆς μεγαλωσύνης ταύτης, τȣ̃ εἰσελθεῖν εἰς πειρασμȣ̀ς, ἵνα τῶν θείων τȣ́των ἀπολαύσῃ, καὶ πλησθῇ χαρᾶς, χωρὶς τȣ̃ ὑπὸ τȣ̃ Χριστȣ̃ ἐπιβραβευομένȣ χαρίσματος.

γαλωσιώυης ταύτης· ἀντὶ τῶν θείων τέτων, εἰσελθεῖν εἰς πειρασμὲς, καὶ χαρίσαι χωρὶς χαρίσματος παρὰ τῦ Χριςῦ. μαρτυρεῖ δὲ τῦτο ὁ ἅγιος Παῦλος. τοσῦτον γὰρ τῦτο τὸ πρᾶγμα μέγα ἐςὶν, ὡς Φανερῶς καλεῖν αὐτὸ χάρισμα, τὸ παρασκευάζεσθαί τινα ὑπὲρ τῆς εἰς Θεὸν ἐλπίδος παθεῖν. λέγει γὰρ, τῦτο ἐκ τῦ Θεῦ ἐδόθη ἡμῖν, τὸ, ὐ μόνον εἰς Χριςὸν „ πιςεύειν, ἀλλὰ καὶ τὸ, ὑπὲρ αὐτῦ πάχειν. καὶ ὥσπερ ὁ ἅγιος Πέτρος ἔγραψεν ἐν τῇ ἑαυτῦ ἐπιςολῇ, ὅτι ὅταν πάχητε ὑπὲρ „ τῆς δικαιοσιώης, μακάριοι ἐςὲ, ὅτι κοινωνοὶ τῶν παθημάτων τῦ „ Χριςῦ γεγόνατε. λοιπὸν ὐχ᾽ ὅταν γένῃ ἐν πλατυσμῷ χαίρειν σε δέον, ἐπὶ δὲ ταῖς θλίψεσι τῷ προσώπῳ ἐπισυγνάζειν, ἢ ὡς ἀλλοτρίας τῆς ὁδῦ τῦ Θεῦ ταύτας λογίζεσθαι. ἐξ αἰῶνος γὰρ καὶ ἀπὸ γενεῶν ἐν ςαυρῷ ἢ θανάτῳ πατεῖται ἡ τρίβος αὐτῦ. πόθεν δὲ σὺ τῦτο; (1) ἵνα μαθήσῃ, ὡς ἔξωθεν τῆς ὁδῦ τῦ Θεῦ εἶ, ἢ ἐξ αὐτῆς λείπῃ. ὐχὶ κατ᾽ ἴχνος τῶν ἁγίων ἐθέλεις ὁδεῦσαι, ἢ ἄλλιω ὁδὸν ἰδίαν ἑαυτῷ βέλει σκευάσαι, καὶ ἀπαθῶς διατρίψαι ἐν αὐτῇ.

Φιλιπ. α. θ. — α. Πέτρ. γ. ιδ.

Ἡ ὁδὸς τῦ Θεῦ ςαυρὸς καθημερινός ἐςιν. (2) ὐδεὶς γὰρ ἐν τῷ ὐρανῷ ἀνῆλθε μετὰ ἀνέσεως. τιὼ γὰρ ταύτης ὁδὸν γινώσκομεν ὅποι καὶ καταλύει. τὸν ἐν ὅλῃ καρδίᾳ ἐκδόντα ἑαυτὸν τῷ Θεῷ, ὐδέποτε βέλεται ὁ Θεὸς ἀμέριμνον εἶναι. τῦτο δὲ μεριμνᾷν ὑπὲρ τῆς ἀληθείας. ἀλλὰ ἢ ἐκ τέτε γινώσκεται, ὅτι ἐκ τῦ Θεῦ προνοεῖται, ὅταν πέμψῃ αὐτῷ ἀεὶ λύπας.

Οἱ ἐν πειρασμοῖς διάγοντες, ὐδέποτε παραχωρῦνται ὑπὸ τῆς προνοίας ἐλθεῖν εἰς τὰς χεῖρας τῶν δαιμόνων. μάλιςα ἐὰν

(1) Ἴσ. πόθεν δῆσοι τῦτο;
(2) Τὸ Ε. Χ. θάνατος καθημερινός.

ἐὰν τὺς πόδας καταφιλῶσι τῶν ἀδελφῶν, καὶ σκεπάζωσι τὰς αἰτίας αὐτῶν, καὶ κρύπτωσιν αὐτὰς, ὡς τὰς ἑαυτῶν. ὁ θέλων ἐν τῷ κόσμῳ τύτῳ εἶναι ἀμέριμνος, καὶ τῦτο ἐπιθυμῶν, καὶ τῇ ἀρετῇ διατρίβειν ἐπιποθῶν, ὗτος κενός ἐςιν ἐκ ταύτης τῆς ὁδῦ. οἱ δίκαιοι γὰρ ὐ μόνον τῷ ἑαυτῶν θελήματι ἀγωνίζονται ἐν τοῖς ἀγαθοῖς ἔργοις, ἀλλὰ καὶ ὑπὸ τῶν πειρασμῶν ἀκυσίως ἐν μεγάλῳ ἀγῶνι τυγχάνυσι, πεῖρας ἕνεκεν τῆς ὑπομονῆς αὐτῶν. ψυχὴ γὰρ ἡ κατέχυσα τὸν φόβον τῦ Θεῦ, ὐ φοβεῖται ἐκτινος βλάπτοντος αὐτὴν σωματικῶς. ὅτι ἐν αὐτῷ ἐλπίζει ἀπὸ τῦ νῦν, καὶ εἰς τὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ε.

ΠΕΡΙ ΤΟΥ ΜΑΚΡΥΝΕΣΘΑΙ ΤΟΥ ΚΟΣΜΟΥ, ΚΑΙ ΠΑΝΤΩΝ ΤΩΝ ΘΟΛΟΥΝΤΩΝ ΤΟΝ ΝΟΥΝ.

Πολλὴν ὁ Θεὸς δέδωκε τοῖς ἀνθρώποις τὴν τιμὴν τῇ διπλῇ μαθήσει, (1) δι' ἧς αὐτοῖς ἐχαρίσατο, (2) καὶ παντα-

(1) Τῆς διπλῆς μαθήσεως, ἣν ὁ Θεὸς τοῖς ἀνθρώποις ἐχαρίσατο, ἡ μὲν, φυσική ἐςιν· ἡ δὲ, ἐπίκτητος. καὶ φυσικὴ μέν ἐςιν ὁ ὑπὸ Θεῦ τῇ τῶν ἀνθρώπων φύσει ἐμφυτευθεὶς νόμος, δι' ὗ τὰ τῦ Θεῦ ποιήματα νοῦντες ἡμεῖς, τὰ ἀόρατα αὐτῦ, τὴν ἀΐδιον δῆθεν δύναμιν καὶ θειότητα, καθορῶμεν, καθάπερ ἔφη ὁ θεῖος Ἀπόςολος. (Ῥωμ. α. κ.) ἔνθεντοι καὶ ὁ θεοφόρος ὗτος πατὴρ κατωτέρω φησὶν, ὁ ὑπὸ Θεῦ δοθεὶς ἐν πρώτοις φυσικὸς νόμος τῷ ἀνθρώπῳ, ἡ θεωρία ἐςὶ τῶν κτισμάτων αὐτῦ. ὑπ' αὐτῆς δὲ τῆς μαθήσεως ὅ, τε πρωτόπλαςος καὶ πάντες οἱ πρὸ νόμυ προπάτορες ὁδηγύ-

πανταχόθεν αὐτοῖς ἤνοιξε θύραν κεκλεισμένην, τοῦ εἰσελθεῖν εἰς τὴν σωτηριώδη ἐπίγνωσιν. θέλεις δὲ μάρτυρα τινὸν τῶν εἰρημένων, σὺ εἰς ἑαυτὸν γενοῦ, καὶ οὐ μὴ ἀπόλῃ. εἰ δὲ καὶ ἔξωθεν βούλει τοῦτο γνῶναι, ἔχεις ἄλλον διδάσκαλον καὶ μάρτυρα ὁδηγοῦντάσε ἀπλανῶς πρὸς τὴν ὁδὸν τῆς ἀληθείας.

Νοῦς ἐμπεφυρμένος οὐ δύναται φυγεῖν τὴν λήθην. καὶ ἡ σοφία τὴν ἑαυτῆς θύραν τῷ τοιούτῳ οὐκ ἀνοίγει. ὁ δυνηθεὶς καταλαβεῖν ἐν ἀκριβεῖ γνώσει πρὸς ποίαν ἰσότητα τὸ πέρας τῶν πάντων περαιοῦται, πρὸς ἀποταγὴν τῶν βιωτικῶν ἄλλου διδασκάλου οὐ δέεται. ὁ ὑπὸ Θεοῦ δοθεὶς ἐν πρώτοις φυσικὸς νόμος τῷ ἀνθρώπῳ, ἡ θεωρία ἐστὶ τῶν κτισμάτων αὐτοῦ. ὁ δὲ διὰ γραμμάτων νόμος, μετὰ τὴν παράβασιν προσέθεται.

Ὁ μὴ μακρύνων ἑαυτὸν τῶν αἰτίων τῶν παθῶν ἑκουσίως, ἀκουσίως ὑπὸ τῆς ἁμαρτίας ἀνθέλκεται. ταῦτα δέ εἰσι τὰ

αἴτια

ὁδηγούμενοι, τὸν ἀληθινὸν Θεὸν ἐπεγίνωσκον, καὶ τὴν προσκύνησιν καὶ λατρείαν αὐτῷ προσέφερον. ὅταν οὖν εἰς ἑαυτόν τις ἔλθῃ μακρύνας ἑαυτὸν ἀπὸ τῆς τῶν παθῶν συγχύσεως καὶ σκοτομήνης, οὐδενὸς διδασκάλου δεῖται. καὶ γὰρ αὐτὴ διευθύνει αὐτὸν πρὸς τὴν σωτηρίαν, τὴν ἰσότητα, καὶ τοὺς ὅρους, καὶ νόμους, οἷς τὰ πάντα συνέχονται καὶ διοικοῦνται, οἷα χειραγωγός τις, ἐπιδεικνύουσα. ἐπίκτητος δὲ μάθησις, ὁ γραπτὸς νόμος ἐστίν, ὁ μετὰ τὴν ἀδαμιαίαν παράβασιν προσεθεὶς, ἵνα τὸν ὑπὸ τῆς ἁμαρτίας νεκρωθέντα φυσικὸν νόμον ἀναζωοποιήσῃ. καὶ οὗτός ἐστιν ὁ ἕτερος διδάσκαλος, καὶ μάρτυς, ὁ ὁδηγῶν ἀπλανῶς πρὸς τὴν ὁδὸν τῆς ἀληθείας. ἣν γὰρ ἐπήγαγε πλάνην τῇ φύσει ἡ ἁμαρτία, ταύτην ἀποκρουόμεθα τῇ τούτου ὁδηγίᾳ.

(2) Τί ἐχαρίσατο; φωτισμόν; διάκρισιν; σύνεσιν; ἐχαρίσατό φησι. τὸ δὲ τί, παρασιωπεῖ. εἰ οὖν οὐδὲν οἱ γραφεῖς παρέδραμον, ὀρθότερον ἂν εἴη, ἣν αὐτοῖς ἐχαρίσατο.

Ὁ Λατῖνος· Multum honorem dedit Deus hominibus doctrinam duplicem, qua eis aperuit &c. πολλὴν τιμὴν δέδωκεν ὁ Θεὸς τοῖς ἀνθρώποις τὴν διπλῆν μάθησιν, δι' ἧς ἤνοιξεν αὐτοῖς. κτ.

αἴτια τῆς ἁμαρτίας. Ὁ οἶνος, καὶ αἱ γυναῖκες, καὶ ὁ πλȣ̃τος, καὶ ἡ ὑγεξία τȣ̃ σώματος. ȣ̓χ ὅτι φυσικῶς ἁμαρτίαι εἰσὶ ταῦτα, ἀλλ᾽ ὅτι ἡ φύσις ἐξ αὐτῶν εὐκόλως κλίνει πρὸς τὰ πάθη τῆς ἁμαρτίας. καὶ διὰ τȣ̃το ἐκ τȣ́των ὀφείλει ὁ ἄνθρωπος παραφυλάττεσθαι σπȣδαίως. Ἐὰν διαπαντὸς τῆς σῆς ἀσθενείας μνημονεύῃς, ȣ̓ μὴ διαβῇς τὸν ὅρον τῆς παραφυλακῆς. παρὰ μὲν ἀνθρώποις, βδελυκτὴ ἡ πενία· παρὰ δὲ Θεῷ, πολὺ πλέον ψυχὴ ὑψηλοκάρδιος, καὶ νȣ̃ς μετέωρος. παρὰ μὲν ἀνθρώποις, τίμιος ὁ πλȣ̃τος· παρὰ δὲ τῷ Θεῷ, ψυχὴ τεταπεινωμένη.

Ὅταν θέλῃς ἀρχὴν ποιήσασθαι καλῆς ἐργασίας, πρῶτον ἑτοίμασον σεαυτὸν πρὸς τȣ̀ς πειρασμȣ̀ς τȣ̀ς ἐπαγομένȣς σοι, καὶ μὴ διστάσῃς τῇ ἀληθείᾳ. ἔθος γάρ ἐστι τῷ ἐχθρῷ, ὅταν ἴδῃ τινὰ μετὰ θερμῆς πίστεως ἀρξάμενον ἀγαθῆς πολιτείας, προσυπαντᾷν αὐτῷ ποικίλοις, καὶ φοβεροῖς πειρασμοῖς, ἵνα ἐντεῦθεν εἰς φόβον ἐλθὼν, ψυγήσοιτο τῆς καλῆς προαιρέσεως, καὶ ȣ̓δαμῶς ἔξοι θέρμην προσεγγίσαι τῇ θεαρέστῳ ἐργασίᾳ. ȣ̓χ ὅτι δὲ τοιαύτην ἔχει δύναμιν ὁ ἀντικείμενος, (ἐπεὶ ȣ̓κ ἄντις ἐδύνατό ποτε ποιεῖν τὸ ἀγαθὸν) συγχωρεῖται δ᾽ ὅμως ὑπὸ τȣ̃ Θεȣ̃, ὡς ἐπὶ τȣ̃ δικαίȣ Ἰὼβ μεμαθήκαμεν. σὺ ȣ̓̃ν ἑτοίμασον σεαυτὸν ἀνδρείως ἀπαντῆσαι τοῖς πειρασμοῖς τοῖς ἐπαγομένοις ταῖς ἀρεταῖς, καὶ τότε τῆς ἐργασίας τȣ́των ἄρξαι. εἰ γὰρ μὴ προσυτρεπισθῇς πρὸς τὴν τῶν πειρασμῶν ἀπάντησιν, τῆς τῶν ἀρετῶν ἐργασίας ἀπόσχȣ.

Ἄνθρωπος διστάζων βοηθὸν εἶναι τῆς καλῆς ἐργασίας Θεὸν, ȣ̓̃τος ὑπὸ τῆς ἰδίας σκιᾶς ἐκφοβεῖται, καὶ ἐν τῷ καιρῷ τῆς εὐθηνίας, καὶ τῆς πλησμονῆς ἔκπεινός ἐστι, καὶ ἐν τῇ οἰκείᾳ γαλήνῃ ζάλης πληρȣ̃ται. ὁ δὲ πεποιθὼς ἐπὶ τῷ Θεῷ, στερεȣ̃-

 ται

ται τὴν καρδίαν. καὶ ἐπὶ πάντας ἀνθρώπες φανεῖται αὐτῆ τὸ τίμιον· καὶ ὁ ἔπαινος αὐτῆ, ἐνώπιον τῶν ἐχθρῶν αὐτῆ.

Αἱ τῆ Θεῆ ἐντολαὶ ὑπὲρ πάντας τὲς θησαυρὲς τῆ κόσμε. καὶ ὁ ταύτας κτησάμενος ἐντὸς αὐτῆ (1) εὑρίσκει τὸν Θεόν. ὁ ἀεὶ κοιταζόμενος ἐν φροντίδι τῆ Θεῆ, τῆτον ταμειῆχον ἐκλήσατο. κ ὁ ἐπιθυμῶν αὐτῆ τὰ θελήματα, τὲς ἐπερανίες Ἀγγέλες ἕξει ὁδηγές. ὁ φοβέμενος τὰς ἁμαρτίας, ἀπροσκόπως διαπεράσει τὴν περίφοβον πορείαν, καὶ ἐν καιρῷ σκοτώδει ἔμπροσθεν, καὶ ἔνδοθεν αὐτῆ φῶς εὑρίσκει. τῆ φοβεμένε τὰς ἁμαρτίας, ὁ Κύριος διαφυλάσσει τὰ διαβήματα, καὶ ἐν καιρῷ ὀλισθήματος προφθάσει αὐτὸν τὸ τῆ Θεῆ ἔλεος. ὁ λογιζόμενος τὰ πλημμελήματα αὐτῆ μικρὰ εἶναι, πίπτει εἰς χείρονα τῶν πρώτων, καὶ ἑπταπλασίως ἀποτίσει τὴν δίκην.

Σπεῖραι τὴν ἐλεημοσύνην ἐν ταπεινώσει, καὶ θερίσεις ἔλεον ἐν τῇ κρίσει. ἐν οἷς ἀπώλεσας τὸ ἀγαθὸν, ἐν αὐτοῖς πάλιν κτῆσαι αὐτό. ὀβολὸν χρεωςεῖς τῷ Θεῷ, ἐ δέχεται ἐκ σῆ ἀντ' αὐτῆ μαργαρίτην. οἷον, τὴν σωφροσύνην ἀπώλεσας, ἐ δέχεται ἐκ σῆ ἐλεημοσύνην ὁ Θεὸς, σῆ ἐπιμένοντος τῇ πορνείᾳ, διότι τὸν ἁγιασμὸν τῆ σώματος θέλει ἀπὸ σῆ. ἐπεὶ παρέβης τὴν ἐντολὴν, μὴ δοκῶν τὴν κτῆσιν καταλελοιπέναι τῆ κόσμε, ὑπὲρ ἄλλων πολεμήσεις; τὸ φυτὸν κατέλιπες, καὶ ἄλλοις ἦλθες πολεμεῖν;

Εἶπεν ὁ ἅγιος Ἐφραὶμ, ὅτι ἐν καιρῷ θέρες, ἐκ ἐν τοῖς ἱματίοις τῆ χειμῶνος τῷ καύσωνι ἀνταγωνίζῃ. ὅτως ἕκαςος ὃ σπείρει, τῆτο κ θερίσει. καὶ πᾶν ἀῤῥώςημα τοῖς οἰκείοις φαρμάκοις

(1) Τὸ Ε. Χ. ἐντὸς αὐτῶν.

μάκοις θεραπεύεται. καὶ σὺ τυχὸν ὑπὸ τοῦ φθόνου νικώμενος, τί τῷ ὕπνῳ πολεμῆσαι σπουδάζεις; ἐν ὅσῳ μικρὸν, καὶ ἀνθηρὸν (1) τὸ παράπτωμα, ἔκτιλον αὐτὸ, πρὶν πλατυνθῇ, καὶ περκάσῃ. μὴ ἀμελήσῃς, ὅταν μικρόν σοι φαίνηται τὸ ἐλάττωμα· ἐπεὶ ὕστερον εὑρήσεις αὐτὸ δεσπότην ἀπάνθρωπον, καὶ ὡς παῖς δέσμιος ἔμπροσθεν αὐτοῦ δραμῇ. ὁ δὲ ἐξ ἀρχῆς κατὰ τοῦ πάθους ἀνταγωνιζόμενος, ταχέως αὐτοῦ κατακυριεύσει.

Ὁ δυνάμενος ὑπενεγκεῖν τὴν ἀδικίαν μετὰ χαρᾶς, καίτοι ὑπὸ χεῖρα ἔχων τὸ ἀποκρέσασθαι, οὗτος θεόθεν τὴν παράκλησιν ἐδέξατο, διὰ τῆς εἰς αὐτὸν πίστεως. καὶ ὁ μετὰ ταπεινοφροσύνης τὰς κατ᾽ αὐτοῦ κατηγορίας ὑπομένων, οὗτος πρὸς τὴν τελείωσιν κατήντησε, καὶ ὑπὸ ἁγίων Ἀγγέλων θαυμάζεται. οὐδεμία γὰρ ἄλλη τοιαύτη ἀρετὴ μεγάλη, καὶ δυσκατόρθωτος.

Μὴ πιστεύσῃς σεαυτῷ, ὅτι δυνατὸς εἶ, ἕως ἂν πειρασθῇς, καὶ εὕρῃς σεαυτὸν ἀναλλοίωτον. οὕτω καὶ ἐν πᾶσι δοκίμασον σεαυτόν. κτῆσαι πίστιν ὀρθὴν ἐν σεαυτῷ, ὅπως καταπατήσῃς τοὺς ἐχθρούς σου, καὶ ἔχε τὸν νοῦν σου ἀμετέωρον, καὶ μὴ θαῤῥήσῃς τῇ σῇ δυνάμει, ἵνα μὴ παραχωρηθῇς εἰς τὴν τῆς φύσεως ἀσθένειαν, καὶ τότε ἐκ τῆς οἰκείας πτώσεως μαθήσῃ τὴν ἰδίαν ἀσθένειαν. μηδὲ τῇ σῇ γνώσει πιστεύσῃς, ἵνα μὴ μεσιτεύσας ὁ ἐχθρὸς, τῇ ἑαυτοῦ πανουργίᾳ παγιδεύσῃ σε. ἔχε τὴν γλῶσσαν πραεῖαν, καὶ οὐ μήσοι παντελῶς ἀτιμία προσυπαντήσῃ. κτῆσαι γλυκέα τὰ χείλη, καὶ πάντας φίλους ἕξεις. μὴ καυχήσῃ ποτὲ ἐν γλώσσῃ σου ἐν τοῖς ἔργοις σου, ἵνα μὴ καταισχυνθῇς.

(1) Τὸ Ε. Χ. μικρὸν, καὶ εὐτελὲς ἔχεις τὸ παράπτωμα.

ἕκαςον γὰρ πρᾶγμα, εἰς ὃ καυχᾶται ὁ ἄνθρωπος, ἐν τέτῳ παραχωρεῖ αὐτῷ ὁ Θεὸς ἀλλοιωθῆναι, ἵνα ταπεινωθῇ, καὶ μάθῃ τὴν ταπείνωσιν. (1) διὰ τȢτο δεῖσε πάντα τῇ τȢ ΘεȢ προγνώσει παραχωρεῖν, καὶ μὴ πιςεύειν, ὅτι ἔςι τὶ ἐν τῷδε τῷ βίῳ ἀναλλοίωτον.

Οὕτω δὲ γυμνάμενος, διαπαντὸς τὸ σὸν ὄμμα πρὸς τὸν Θεὸν ἀνάτεινε. ὅτι ἡ σκέπη τȢ ΘεȢ, καὶ ἡ πρόνοια κυκλοῖ ἐπὶ πάντας ἀνθρώπȢς. ȣ̓χ ὁρᾶται δὲ, εἰ μὴ ὑπὸ τῶν καθαρισάντων ἑαυτȢ̀ς ἀπὸ τῆς ἁμαρτίας, ἢ ἐν τῷ Θεῷ, ἢ μόνῳ ἐχόντων τὴν μελέτην αὐτῶν διηνεκῶς. ἐξαιρέτως δὲ φανερȢ̃ται τȢ́τοις ἡ πρόνοια τȢ ΘεȢ, ὅταν εἰσέλθωσιν εἰς πειρασμὸν μέγαν ὑπὲρ τȢ ΘεȢ. τότε γὰρ ταύτης αἰσθάνονται, ὡσανεὶ τοῖς σωματικοῖς ὀφθαλμοῖς ὁρῶντες αὐτὴν, ἕκαςος κατὰ τὴν ἀναλογίαν, καὶ αἰτίαν τȢ συμβαίνοντος πειρασμȢ. ὅπως πρὸς ἀνδρείαν τȢ̀ς ἀγωνιςὰς ἀλείψῃ, ὡς ἐπὶ τȢ Ἰακὼβ, καὶ ἸησȢ τȢ Ναυῒ, καὶ τῶν τριῶν Παίδων, καὶ ΠέτρȢ, καὶ τῶν λοιπῶν ἁγίων. οἷς ἐν ἀνθρωπίνῳ σχήματι τινὶ ἐφαίνετο, θαρσοποιȢ̃σα, καὶ ςηρίζȢσα πρὸς τὴν εὐσέβειαν. εἰδὲ λέγεις ταῦτα τοῖς ἁγίοις οἰκονομικῶς δεδόσθαι παρὰ τȢ ΘεȢ, καὶ ἰδίως τῶν τοιȢ́των ὀπτασιῶν ἠξιȢ̃ντο, ἔςωσάν σοι πρὸς ἀνδρείας ὑποδείγματα οἱ ἅγιοι μάρτυρες. οἵτινες πολλάκις μὲν πολλοὶ, ἐνίοτε δὲ εἷς καθεὶς, καὶ ἐν πολλοῖς τόποις, ἢ διαφόροις, διὰ Χριςὸν ἠγωνίσαντο, καὶ τῇ ἐν αὐτοῖς ἐληλυθυίᾳ δυνάμει ἀνδρείως ὑπέμειναν πηλίνοις σώμασι τὰς ξέσεις τȢ σιδήρȢ, καὶ τὰς παντοδαπὰς κολάσεις, πράγματα ὑπὲρ φύσιν. τοῖς τοιȢ́τοις

(1) Τὸ Ε. Χ. ἵνα ταπεινωθῇ ὁ ἄνθρωπος.

τοις γὰρ φανερῶς ἐφαίνοντο οἱ ἅγιοι Ἄγγελοι, ἵνα μάθῃ ἕκαστος, ὅτι δαψιλῶς ἡ θεία πρόνοια ἐπ' ἐκείνες πρόεισι, τὲς κατὰ πάντα τρόπον, καὶ πάντα πειρασμὸν, καὶ πᾶσαν θλίψιν δι' αὐτὸν ὑπομένοντας, πρὸς ἐπίδειξιν τῆς αὐτῶν ἀνδραγαθίας, καὶ αἰσχύνην τῶν ἐχθρῶν αὐτῶν. καὶ γὰρ ὅσον οἱ ἅγιοι ταῖς τοιαύταις ὀπ]ασίαις ἐνδρίζοντο, τοσῦτον οἱ ὑπεναντίοι τῇ αὐτῶν καρτερίᾳ ἐθυμομάχεν, καὶ ἐμαίνοντο.

Καὶ τί χρὴ λέγειν περίτε ἀσκητῶν, τῶν τῦ κόσμε ξένων, καὶ ἀναχωρητῶν, οἵτινες τὴν ἔρημον ἐπόλισαν, καὶ Ἀγγέλων ἐποίησαν σκήνωμα, καὶ καταγώγιον; πρὸς ὃς ἀεὶ ἐφοίτων, διὰ τὴν τῆς πολιτείας αὐτῶν κατάστασιν, καὶ ὡς ἑνὸς δεσπότε ὑπασπισαὶ κατὰ καιρὸν ἀλλήλοις, ὡς συνασπισαὶ συνεγίνοντο· οἵτινες πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν τὴν ἐρημίαν ἠσπάζοντο, καὶ ἐν ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς τὴν κατοίκησιν εἶχον, διὰ τὴν πρὸς τὸν Θεὸν ἀγάπην. καὶ καθὼς τὰ γήϊνα καταλιπόντες, τὰ ἐράνια ἠγάπησαν, καὶ Ἀγγέλων μιμηταὶ γεγόνασι, κατὰ τῦτο δικαίως, καὶ αὐτοὶ οἱ ἅγιοι Ἄγγελοι τὴν αὐτῶν θέαν ἐκ ἀπέκρυψαν ἐξ αὐτῶν, καὶ τὴν τέτων θέλησιν ἐπλήρεν πᾶσαν. ἀλλὰ καὶ κατὰ καιρὲς αὐτοῖς ἐφαίνοντο, τὸ ὅπως χρὴ αὐτὲς πολιτεύεσθαι διδάσκοντες. καὶ ποτὲ μὲν, ἀπορέμενά τινα αὐτοῖς ἐσαφήνιζον· ποτὲ δὲ, αὐτοὶ οἱ ἅγιοι τέτες ἐπηρώτων τὸ δέον. καὶ ποτὲ μὲν, καθ' ὁδὸν πλανωμένες τέτες ὡδήγεν· ποτὲ δὲ, πειρασμοῖς περιπεσόντας ἐλυτρῦντο. καὶ ποτὲ μὲν, αἰφνιδίε συμπ]ώματος, καὶ κινδύνε ἐπερχομένε, ἐκ μέσε τέτες διήρπαζον, ὡς ἐξ ὄφεως, ἢ πέτρας, ἢ χίδακος, ἢ λίθε βολῆς· ποτὲ δὲ, φανερῶς τῦ ἐχθρῦ πολεμῦντος τοῖς ἁγίοις, ὀφθαλμοφανῶς ἐδείκνυντο,

κνιωτο, καὶ πρὸς βοήθειαν αὐτῶν ἀπεςάλθαι ἔλεγον, καὶ θάρσος, καὶ εὐτολμίαν, ἢ παραψυχλὼ αὐτοῖς ἀνεποίεν. καὶ ἄλλοτε μὲν, ἰάσεις δι' αὐτῶν ἐπετέλεν· ἐνίοτε δὲ, αὐτὲς τὲς ἁγίες πάθεσί τισιν ἐμπεσόντας ἰῶντο. καὶ ποτὲ μὲν, τὰ σώματα αὐτῶν ἀσιτείᾳ καταπεσόντα, ἀφῇ χειρὸς, ἢ λόγοις ὑπὲρ φύσιν ἀνεδυνάμεν, ἢ ἀνίσχυον· ποτὲ δὲ, τροφλὼ αὐτοῖς προσεκόμιζον, ἄρτες, ἔθ' ὅτε καὶ θέρμες, καὶ ἄλλα τινὰ προσφάγια. (1) καὶ τισὶ μὲν αὐτῶν, τλὼ μετάςασιν προεδήλεν· τισὶ δὲ, καὶ τὸν τρόπον τῆς μεταςάσεως. καὶ τί δεῖ πολλὰ καταριθμεῖν, τὰ τλὼ πρὸς ἡμᾶς τῶν ἁγίων Αγγέλων ἀγάπλω παριςῶντα, καὶ τλὼ εἰς τὲς δικαίες ἅπασαν ἐπιμέλειαν; ἢ γὰρ ὥς τινες ἀδελφοὶ τῶν μικροτέρων μείζονες, ὅτως ἡμῶν προνοῦνται. εἴρηνται δὲ ταῦτα, ἵνα πᾶς τις μάθῃ, ὅτι ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλεμένοις αὐτὸν ἐν ἀληθείᾳ. καὶ ὅσλω πρόνοιαν ποιεῖται εἰς τὲς ἐκδεδωκότας ἑαυτὲς τῇ αὐτῦ εὐαρεςήσει, καὶ ὁλοκαρδίως αὐτῷ ἀκολεθῦντας. (Ψαλμ. ρμδ. ιθ.)

Ἐὰν πιςεύσῃς, ὅτι ὁ Θεὸς πρόνοιάν σε ποιῆται, τί μεριμνᾷς, ἢ φροντίζεις περὶ προσκαίρων, καὶ τῶν τῆς σαρκός σε χρειῶν; εἰ δὲ ἐ πιςεύεις, ὅτι πρόνοιάν σε ποιεῖται ὁ Θεὸς, καὶ διὰ τῦτε φροντίζεις ἐκτὸς αὐτῦ τὰ περὶ τῆς χρείας σε, ταλαιπωρότερος εἶ πάντων ἀνθρώπων. καὶ ἵνα τί, καὶ ζῇς, ἢ καὶ ζήσῃ; ἐπίῤῥιψον ἐπὶ Κύριον τλὼ μέριμνάν σε, ἢ αὐτός σε διαθρέψει· καὶ ἐ μὴ πλοηθῇς πλόησιν ἐπερχομένλω σοι. (Ψαλ. νδ. κε. Παρ. γ. κε.)

Ὁ κα-

(1) Τὸ Ε. Χ. ἀφῇ χειρὸς, ἢ λόγοις ἀνεδυνάμεν ὑπὲρ φύσιν, καὶ ἰσχλὼ ἀνετίθεσαν. ποτὲ δὲ, παρεῖχον ἄρτες, ἔθ' ὅτε καὶ θερμὲς, καὶ ἄλλα τινά.

Ὁ καθάπαξ ἑαυτὸν ἀφιερώσας τῷ Θεῷ, ἐν ἀναπαύσει νοὸς διάγει. ἐκτὸς ἀκτημοσύνης οὐ δύναται ἡ ψυχὴ ἐλευθερωθῆναι ἐκ τῆς ταραχῆς τῶν λογισμῶν· καὶ ἐκτὸς τῆς ἡσυχίας τῶν αἰσθήσεων, τῆς εἰρήνης τῆς διανοίας οὐκ αἰσθηθήσεται. ἐκτὸς τοῦ εἰσελθεῖν εἰς πειρασμοὺς, τὴν σοφίαν τοῦ πνεύματος οὐ μήτις κτήσηται· καὶ ἐκτὸς ἐπιπόνου ἀναγνώσεως, τὴν λεπτότητα τῶν λογισμῶν οὐ γνώσεται· καὶ ἐκτὸς γαλήνης τῶν λογισμῶν, ὁ νοῦς ἐν ἀποκρύφοις μυστηρίοις οὐ κινηθήσεται· καὶ ἐκτὸς τῆς διὰ πίστεως πεποιθήσεως, οὐ δύναται ἡ ψυχὴ μετὰ θάρσους κατατολμῆσαι τῶν πειρασμῶν· καὶ ἐκτὸς δὲ πείρας τῆς σκέπης τοῦ Θεοῦ ἐναργοῦς, ἐλπίσαι ἡ καρδία ἐπ' αὐτὸν οὐ δύναται· καὶ ἐκτὸς τοῦ γεύσασθαι τὴν ψυχὴν τῶν παθημάτων τοῦ Χριστοῦ ἐν γνώσει, κοινωνίαν μετ' αὐτοῦ οὐ μὴ σχῇ.

Τοῦτον ἄνθρωπον τοῦ Θεοῦ λογίζου εἶναι, τὸν διὰ πολλὴν εὐσπλαγχνίαν ἑαυτὸν θανατώσαντα τῆς ἀναγκαίας χρείας. ὁ γὰρ ἐλεῶν πτωχὸν, τὸν Θεὸν ἔχει μεριμνῶντα περὶ αὐτοῦ. καὶ ὁ δι' αὐτὸν πτωχεύων, εὗρε θησαυροὺς ἀνελλιπεῖς.

Ὁ Θεὸς οὐ χρήζει τινός. εὐφραίνεται δὲ ὅταν ἴδῃ τινὰ ἀναπαύοντα τὴν εἰκόνα αὐτοῦ, καὶ τιμῶντα αὐτὴν δι' αὐτόν. ὅταν τὶς αἰτήσηται ἐκ σοῦ ὅπερ ἔχεις, μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ἐάσω τοῦτο τῇ ψυχῇ μου, ἵνα ἀναπαύσωμαι ἐν αὐτῷ, καὶ ὁ Θεὸς μέλλει αὐτῷ χορηγῆσαι ἀλλαχόθεν τὴν χρείαν αὐτοῦ. ἀδίκων γάρ ἐστι τὰ ῥήματα ταῦτα, καὶ μὴ γινωσκόντων τὸν Θεόν. δίκαιος καὶ χρηστὸς ἄνθρωπος, τὴν ἑαυτοῦ τιμὴν οὐ δίδωσιν ἄλλῳ, οὐδὲ τὸν τῆς χάριτος καιρὸν ἀπράκτως συγχωρήσει παρελθεῖν. ὁ μὲν πτωχὸς καὶ ἐπιδεὴς ἄνθρωπος, χορηγεῖται ὑπὸ Θεοῦ· (διότι οὐδένα ἐγκαταλείπει Κύριος.) σὺ δὲ,

ἀπεστράφης τὴν ἐκ Θεȣ̃ τιμὴν σȣ, καὶ ἐμάκρυνας τὴν χάριν αὐτȣ̃ ἀπὸ σȣ̃, στρέψας τὸν πένητα. ὅταν ȣ̃ν δῷς, εὐφραίνȣ, καὶ εἰπέ· δόξα σοι ὁ Θεὸς, ὅτι ἠξίωσάς με εὑρεῖν τινὰ ἀναπαῦσαι. εἰδὲ ȣ̓κ ἔχεις ὃ δώσεις, μᾶλλον χάρηθι, καὶ εἰπὲ εὐχαριστῶν τῷ Θεῷ· εὐχαριστῶ σοι ὁ Θεός μȣ, ὅτι ἔδωκάς μοι ταύτην τὴν χάριν, καὶ τὴν τιμὴν, τȣ̃ πτωχεῦσαι ὑπὲρ τȣ̃ ὀνόματός σȣ, καὶ ἠξίωσάς με γεύσασθαι τῆς θλίψεως τῆς ἐν τῇ ὁδῷ τῶν ἀποστόλων σȣ τεθείσης, ἔν τε ἀῤῥωστίᾳ καὶ πτωχείᾳ, καθὼς ἐγεύσαντο οἱ ἅγιοί σȣ, οἱ περιπατήσαντες ἐν τῇ ὁδῷ ταύτῃ.

Καὶ ὅταν ἀσθενῇς, εἰπέ· μακάριος ὁ ἀξιωθεὶς ὑπὸ τȣ̃ Θεȣ̃ πειρασθῆναι ἐν οἷς κληρονομȣ̃μεν τὴν ζωήν. τὰς γὰρ ἀῤῥωστίας διὰ τὴν ὑγείαν τῆς ψυχῆς ἐπάγει ὁ Θεός. εἶπε γάρ τις τῶν ἁγίων, (τȣ̃το ἐσημειωσάμην) ὅτι μοναχὸς μὴ θεαρέστως δȣλεύων τῷ Κυρίῳ, καὶ μὴ σπȣδαίως ἀγωνιζόμενος εἰς τὴν σωτηρίαν τῆς ἑαυτȣ̃ ψυχῆς, ἀλλ᾽ ἀμελῶς περὶ τὴν ἄσκησιν τῶν ἀρετῶν διακείμενος, πάντως παραχωρεῖται ὑπὸ τȣ̃ Θεȣ̃ πειρασμοῖς περιπεσεῖν, ἵνα μὴ ἀργήσῃ, καὶ ἐκ τῆς πολλῆς ἀργίας αὐτȣ̃ νεύσῃ ἐπὶ τὰ χείρονα. διὰ τȣ̃το γȣ̃ν ἐπιῤῥίπτει ὁ Θεὸς πειρασμȣ̀ς ἐπὶ τȣ̀ς ῥαθύμȣς καὶ ἀμελεῖς, ἵνα ἐν τȣ́τοις μελετῶσι, καὶ μὴ ἐν τοῖς ματαίοις· ποιεῖ δὲ τȣ̃το ὁ Θεὸς ἀεὶ ἐν τοῖς ἀγαπῶσιν αὐτὸν, ἵνα παιδεύσῃ, καὶ σοφίσῃ, καὶ διδάξῃ αὐτȣ̀ς τὸ θέλημα αὐτȣ̃. καὶ ὅταν δεηθῶσιν αὐτȣ̃, ȣ̓κ εἰσακȣ́ει αὐτῶν ταχέως, ἕως ἂν ἀτονήσωσι, καὶ μάθωσιν ἀσφαλῶς, ὅτι ἐκ τῆς ἀμελείας, καὶ ῥαθυμίας αὐτῶν συμβέβηκεν αὐτοῖς ταῦτα. γέγραπται γὰρ, „ὅταν ἐκτείνητε τὰς χεῖρας ὑμῶν „πρός με, ἀποστρέψω τȣ̀ς ὀφθαλμȣ̀ς μȣ ἀφ᾽ ὑμῶν. καὶ ἐὰν „πληθύνητε τὴν δέησιν, ȣ̓κ εἰσακȣ́σομαι ὑμῶν. καὶ γὰρ εἰ καὶ (Ἡσ. α. ιε.)

περὶ

περὶ ἄλλων τοῦτο εἴρηται, ἀλλ' οὖν περὶ τῶν ἐγκαταλιμπανόντων τὴν ὁδὸν τοῦ Κυρίου γέγραπται.

Ἐπειδὴ δὲ τὸν Θεὸν πολυέλεον εἶναι φάσκομεν, τίνος ἕνεκεν ἐν τοῖς πειρασμοῖς κράζοντες διηνεκῶς, καὶ δεόμενοι, οὐκ εἰσακουόμεθα, ἀλλὰ τὴν ἡμῶν δέησιν παρορᾷ; ἢ πάντως διδασκόμεθα τοῦτο παρὰ τοῦ Προφήτου λέγοντος· οὐ μικρὰ ἡ χεὶρ Κυ- Ἡσ. νθ. α.
» ρίου τοῦ ἐξελέσθαι, οὐδὲ βαρύκοός ἐστι τοῦ ἀκοῦσαι, ἀλλ' αἱ ἁμαρ-
» τίαι ἡμῶν διεχώρισαν ἡμᾶς ἀπ' αὐτοῦ, καὶ αἱ ἀνομίαι ἡμῶν ἀπέ-
» στρεψαν τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ εἰσακούειν. μνημόνευε τοῦ Θεοῦ ἐν παντὶ καιρῷ, καὶ μνημονεύσει σου καὶ αὐτὸς, ὅταν ἐμπέσῃς εἰς κακά.

Ἡ φύσις σου δεκτὴ τῶν παθῶν γέγονε, καὶ τοῦ παρόντος κόσμου οἱ πειρασμοὶ πολλοὶ γεγόνασι, καὶ οὐκ ἀπέχουσιν ἀπὸ σοῦ τὰ κακὰ, ἀλλ' ἔνδοθέν σου βρύουσί σοι καὶ ὑποκάτω τῶν ποδῶν σου. ἐκ τοῦ τόπου, ἐν ᾧ ἕστηκας, μὴ ἐξέλθῃς· καὶ ὅταν ὁ Θεὸς ἐπινεύσῃ, ἐλευθερωθήσῃ τούτων. καὶ καθάπερ ἐγγίζουσιν ἀλλήλοις τὰ βλέφαρα, οὕτω καὶ οἱ πειρασμοὶ ἐγγὺς τῶν ἀνθρώπων εἰσί. ταῦτα δὲ ᾠκονόμησεν ὁ Θεὸς ἐν σοφίᾳ, διὰ τὴν σὴν ὠφέλειαν· ὅπως ἐπιμόνως κρούῃς τὴν θύραν αὐτοῦ, καὶ τῷ φόβῳ τῶν θλιβερῶν ἐνσπαρῇ ἡ μνήμη αὐτοῦ ἐν τῇ σῇ διανοίᾳ, καὶ πλησιάσῃς αὐτῷ διὰ τῶν ἐντεύξεων, καὶ ἁγιασθῇ σου ἡ καρδία τῇ διηνεκεῖ αὐτοῦ μνήμῃ. καὶ δεομένου σου, εἰσακούσεταί σου. καὶ μαθήσῃ, ὅτι ὁ Θεός ἐστιν ὁ ἐξαιρούμενός σε· καὶ αἰσθηθήσῃ τοῦ πλάσαντός σε, καὶ προνοοῦντος, καὶ φυλάττοντος, καὶ τοῦ διὰ σὲ διττὸν κόσμον πεποιηκότος. ἕνα μὲν, ὡς διδάσκαλον, καὶ παιδευτὴν πρόσκαιρον· ἕτερον δὲ, ὡς πατρικὸν δόμον, καὶ τὴν κληρονομίαν αἰώνιαν. οὐκ ἐποίησέ σε ὁ Θεὸς ἀνεπίδεκτον τῶν λυ-

πηρῶν, ἵνα μὴ τῆς Θεότητος ἐφιέμενος, κληρονομήσης ὅπερ καὶ ὁ πρὶν ἑωσφόρος, ὕςερον δὲ διὰ τῆς ἐπάρσεως Σαλανᾶς γενόμενος, ἐκληρονόμησεν. ὁμοίως δὲ ὐδὲ ἀκλινῆ, καὶ ἀκίνητόνσε ἐποίησεν, ἵνα μὴ γάνη ὡς ἡ τῶν ἀψύχων φύσις. καὶ γένηταί σοι τὰ ἀγαθὰ ἀκερδῆ, καὶ ἄμισθα, ὡς τοῖς ἀλόγοις τὰ φυσικὰ πλεονεκτήματα τὰ κτηνώδη. ὁπόση γὰρ ὠφέλεια, καὶ εὐχαριςία, καὶ ταπείνωσις ἐντίκτεται ἐκ τῆς τῶν σκολόπων τέτων ἐπαγωγῆς, πᾶσι ῥᾳδιόν ἐςι καταμαθεῖν.

Φανερὸν ὖν ἐςὶν, ὅτι τὸ ἀγωνίσαθαι εἰς τὰ ἀγαθὰ, καὶ ἐκκλίναι ἀπὸ τῶν κακῶν, ἐν ὑμῖν ἐςί. καὶ ἡ τιμὴ, καὶ ἡ ἀτιμία, αἱ ἐκ τέτων γινόμεναι εἰς ἡμᾶς ἀναφέρονται. τῇ μὲν γὰρ ἀτιμίᾳ αἰσχυνόμενοι, φοβέμεθα· τῇ δὲ τιμῇ, τὴν εὐχαριςίαν τῷ Θεῷ προσάγομεν, καὶ πρὸς τὴν ἀρετὴν ἐπεκτεινόμεθα. τέτες τὲς παιδαγωγές σοι ὁ Θεὸς ἐπλήθυνεν, ἵνα μὴ ἐλεύθερος ὢν ἐξ αὐτῶν, καὶ ἀνεπίδεκτος τῶν θλιβερῶν, καὶ ὑπεράνω παντὸς φόβε, ἐπιλάθῃ Κυρίε τῦ Θεῦ σε, καὶ ἐκκλίνης ἀπ' αὐτῦ, καὶ ἐμπέσῃς εἰς πολυθεΐαν, καθώσπερ καὶ ἄλλοι πολλοὶ, καίτοι ὁμοιοπαθεῖς σοι ὄντες, καὶ τοῖς τοιέτοις λυπηροῖς μαςιζόμενοι, ἐν μιᾷ καιρῦ ῥοπῇ διὰ πρόσκαιρον καὶ εὐτελῆ ἐξεσίαν, καὶ εὐεξίαν, ὐ μόνον εἰς πολυθεΐαν ἐξέπεσον, ἀλλὰ καὶ ἑαυτὲς ἀφρόνως θεονυμῆσαι κατετόλμησαν. τέτε ὖν χάριν ἐν τοῖς θλιβεροῖς συνεχώρησέ σε εἶναι. ἐνίοτε δὲ, ἵνα μὴ ἐκκλίνας, παροργίσῃς αὐτόν· καὶ τῇ ἐπαγωγῇ τῆς τιμωρίας, ἐξολοθρεύσησε ἀπὸ προσώπε αὐτῦ. ἐῶ γὰρ λέγειν τὴν ἀσέβειαν, καὶ τὰς λοιπὰς βλασφημίας τὰς τικτομένας ἐκ τῆς τῦ βίε εὐημερίας καὶ ἀφοβίας, κἂν τὰ προειρημένα μὴ τολμήσῃ τὶς εἰπεῖν. τέτε χάριν, διά τε τῶν παθῶν, καὶ τῶν

λυπηρῶν ἐπλήθυνε τὴν μνήμην αὐτοῦ ἐν τῇ καρδίᾳ σου, καὶ τῷ φόβῳ τῶν ἐναντίων ἐξύπνισέ σε πρὸς τὴν τῆς εὐσπλαγχνίας αὐτοῦ πύλην. καὶ διὰ τῆς ἐκ τούτων ἀπολυτρώσεως, ἢ αἰτίας, τὴν πρὸς αὐτὸν ἀγάπην σοὶ ἐγκατέσπειρε. καταβαλὼν δὲ τὴν ἀγάπην, τῇ τῆς υἱοθεσίας τιμῇ προσήγγισέ σε, καὶ τὴν πλουσίαν αὐτοῦ χάριν, ὁπόση ἐστὶν ἐπιδείκνυσί σοι. πόθεν γὰρ ἐγίνωσκες τὴν τοιαύτην αὐτοῦ πρόνοιαν, καὶ κηδεμονίαν, εἰ μή σοι τὰ ἐναντία συνέβαινον; διότι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τούτων δυνατὸν πληθυνθῆναι τὴν ἀγάπην τοῦ Θεοῦ ἐν τῇ ψυχῇ σου, τουτέστιν ἐκ τῆς κατανοήσεως τῶν αὐτοῦ χαρισμάτων, καὶ τῆς μνήμης τοῦ πλήθους τῆς προνοίας αὐτοῦ. ταῦτά σοι πάντα τὰ ἀγαθὰ ἐκ τῶν λυπηρῶν γεννῶνται, ἵνα μάθῃς εὐχαριστεῖν. (1) λοιπὸν μνημόνευε τοῦ Θεοῦ, ἵνα σου καὶ αὐτὸς πάντοτε μνημονεύσῃ. καὶ μνημονεύσας, καὶ διασώσας σε, λήψῃ παρ' αὐτοῦ πάντα μακαρισμόν. μὴ ἐπιλάθου αὐτοῦ, μετεωριζόμενος ἐν τοῖς ματαίοις, ἵνα μή σου ἐπιλάθηται ἐν τῷ καιρῷ τῶν πολέμων σου. ἐν τῇ σῇ εὐθηνίᾳ γενοῦ αὐτῷ ὑπήκοος, ἵνα ἐν ταῖς θλίψεσι σχῇς πρὸς αὐτὸν παῤῥησίαν, διὰ τῆς καρδιακῆς καὶ ἐπιμόνου πρὸς αὐτὸν ἐντεύξεως.

Καθάρισον σεαυτὸν ἐνώπιον Κυρίου διαπαντὸς, ἔχων τὴν μνήμην αὐτοῦ ἐν τῇ καρδίᾳ σου, ἵνα μὴ χρονίσας ἔξωθεν τῆς μνήμης αὐτοῦ, ἀπαῤῥησίαστος γένῃ, ὅταν εἰσέλθῃς πρὸς αὐτόν. διότι ἡ παῤῥησία ἡ πρὸς τὸν Θεὸν ἐκ τῆς πρὸς αὐτὸν συνεχοῦς ὁμιλίας γίνεται, καὶ τῆς πολλῆς προσευχῆς. ἡ πρὸς ἀνθρώ-

(1) Ἐν τῷ ἑτέρῳ χειρογρ. εὕρομεν αὐτοῦ ἔναρξιν λόγου, ἐπιγεγραμμένου οὕτω. περὶ μνήμης Θεοῦ, καὶ ἐξαγορεύσεως, καὶ μετανοίας, καὶ βίου διορθώσεως.

πȣς σχέσις, καὶ διαμονὴ, διὰ τȣ̃ σώματός ἐστιν· ἡ δὲ πρὸς Θεὸν σχέσις, διὰ τῆς ψυχικῆς μνήμης, καὶ τῆς τῶν δεήσεων προσοχῆς, καὶ ὁλοκαυτώσεως. ἐκ δὲ τῆς πολλῆς διαμονῆς τῆς αὐτȣ̃ μνήμης, πρὸς ἔκπληξιν καὶ θαύματα κατὰ καιρὸν μετατί-

[Ψαλ. ρδʹ. γ.] „θεται. εὐφρανθήσεται γὰρ καρδία ζητȣ́ντων τὸν Κύριον. ζητήσατε τὸν Κύριον, ὦ κατάδικοι, καὶ κραταιώθητε τῇ ἐλπίδι, ζητήσατε τὸ πρόσωπον αὐτȣ̃ διὰ μετανοίας, καὶ ἁγιασθήσεσθε τῷ ἁγιασμῷ τȣ̃ προσώπȣ αὐτȣ̃, καὶ τῶν ἁμαρτιῶν ὑμῶν ἀποκαθαρισθήσεσθε. δράμετε πρὸς Κύριον, ὅσοι ἐν ἁμαρτίαις ὑπεύθυνοι, τὸν δυνάμενον συγχωρεῖν ἁμαρτήματα, καὶ παρορᾶν πλημμελήματα. μεθ' ὅρκȣ γὰρ εἴρηκε διὰ τȣ̃ Προ-

[Ἰεζ. λγ. ια.] φήτȣ λέγων· ζῶ ἐγὼ λέγει Κύριος· ȣ̓ βȣ́λομαι τὸν θάνατον

„ τȣ̃ ἁμαρτωλȣ̃, ὡς τὸ ἐπιστρέψαι καὶ ζῇν αὐτόν. καὶ πάλιν·

[Ἠσ. ξε. β.] ὅλην τὴν ἡμέραν διεπέτασα τὰς χεῖράς μȣ, πρὸς λαὸν ἀπει-

[Ἰεζ. λγ. ια.] θȣ̃ντα, καὶ ἀντιλέγοντα. καὶ πάλιν· ἵνα τί θανάτῳ ἀποθνή-

[Μαλ. γ. ζ.] σκετε οἶκος Ἰσραήλ; ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι

[Ἰεζ. λγ. ιδ. ιε.] πρὸς ὑμᾶς. καὶ πάλιν· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπιστραφῇ ὁ ἁμαρτωλὸς

„ ἀπὸ τῆς ὁδȣ̃ αὐτȣ̃, καὶ ἐπιστρέψῃ πρὸς Κύριον, καὶ ποιήσῃ κρί-

„ μα καὶ δικαιοσύνην, τῶν ἀνομιῶν αὐτȣ̃ ȣ̓ μὴ μνησθῶ· ζῶν δὲ

„ ζήσεται, λέγει Κύριος. καὶ ὁ δίκαιος ἐὰν ἐγκαταλείψῃ τὴν δι-

„ καιοσύνην αὐτȣ̃, καὶ ἁμαρτήσας ἀδικήσῃ, τῆς δικαιοσύνης αὐ-

„ τȣ̃ ȣ̓ μὴ μνησθῶ, ἀλλ' ὀλίσθημα θήσω ἐνώπιον αὐτȣ̃, καὶ ἐν τῷ

„ σκότει τῶν ἔργων αὐτȣ̃ ἀποθανεῖται, ἐπιμείνας αὐτοῖς. τίνος ἕνεκεν; διότι ὁ ἁμαρτωλὸς ȣ̓ σκελισθήσεται τῇ ἑαυτȣ̃ ἁμαρτίᾳ ᾗ ἂν ἡμέρᾳ ἐπιστρέψῃ πρὸς Κύριον. καὶ τȣ̃ δικαίȣ ἡ δικαιοσύνη ȣ̓ λυτρώσεται αὐτὸν, ᾗ ἂν ἡμέρᾳ ἁμάρτῃ, εἴγε ἐπιμείνῃ τῷ τοιȣ́τῳ ἁμαρτήματι. καὶ τῷ Ἱερεμίᾳ δὲ, ȣ̓́τως εἴρηκεν ὁ Θεός.

ἀνάλα-

» ἀνάλαβε σὺ Βεμβρδνίῳ, καὶ ὅσα ἄν σοι εἶπον, γράψον· ἀπὸ » τῶν ἡμερῶν Ἰωσίε τῦ βασιλέως Ἰέδα μέχρι τῆς σήμερον πάν» τα τὰ κακὰ, ἅσα σοι εἶπον ἐπάξαι τῷ λαῷ τέτῳ· ἵνα ἀκέσας, » καὶ φοβηθεὶς, καταλείψῃ ἄνθρωπος τὴν ὁδὸν αὐτῦ τὴν πο» νηρὰν, καὶ ἐπιστραφέντες, μετανοήσωσι, καὶ ἀφέλωμαι τὰς » ἁμαρτίας αὐτῶν. καὶ ἡ σοφία εἶπεν· ὁ κρύπτων τὴν ἁμαρ» τίαν αὐτῦ, ἐ χρησιμεύσει· ὁ δὲ ὁμολογῶν τὰς ἑαυτῦ ἁμαρ» τίας, καὶ διαπεράσας αὐτὰς, ἐλέες τεύξεται παρὰ τῦ Θεῦ. » καὶ ὁ Ἡσαΐας φησὶν, ἐκζητήσατε τὸν Κύριον, καὶ εὑρόντες, » ἐπικαλέσασθε αὐτόν· καὶ προσεγγίσαντες, καταλειψάτω τὴν » ἰδίαν ὁδὸν ὁ ἁμαρτωλὸς, καὶ ὁ ἄδικος ἀνὴρ τὰς ἑαυτῦ ἐνθυμή» σεις, καὶ ἐπιστράφητε πρός με, κἀγὼ ἐλεήσω ὑμᾶς. αἱ γὰρ » ἐνθυμήσεις μυ, ἐ κατὰ τὰς ὑμετέρας ἐνθυμήσεις, ἐδὲ αἱ » ὁδοί μυ, κατὰ τὰς ὑμετέρας ὁδές. Ἐὰν ἔν ἀκέσητέ μυ, τὰ » ἀγαθὰ τῆς γῆς φάγεσθε. δεῦτε πρός με, καὶ ὑπακέσατέ μυ, » καὶ ζήσεσθε τῇ ψυχῇ ὑμῶν. ὅταν φυλάξῃς τὰς ὁδὲς Κυρίε, καὶ ποιήσῃς τὰ θελήματα αὐτῦ, τότε ἔλπισον ἐπὶ Κύριον, καὶ ἐπικάλεσαι αὐτόν· καὶ ἐπιβοωμένε σε, ἐρεῖ σοι ἰδὲ πάρειμι.

Ἱερεμ. λς. β. γ.

Παροιμ. κη. ιγ.

Ἡσ. νε. ς. ζ. η. θ.

Ἡσ. α. ιθ.

Ἡσ. νε. γ.

Ἐπελθόντος τῷ ἀδίκῳ πειρασμῦ, ἐκ ἔχει πεποίθησιν ἐπικαλέσασθαι τὸν Θεὸν, ἐδὲ προσδοκῆσαι τὴν ἐξ αὐτῦ σωτηρίαν. διότι ἐν ἡμέραις ἀναπαύσεως αὐτῦ ἐμακρύνθη ἀπὸ τῦ θελήματος τῦ Θεῦ. πρὶν τῦ πολέμυ ἄρξῃ, ἐπιζήτησον τὴν συμμαχίαν· καὶ πρὸ τῦ ἀῤῥωστῆσαι, ἀναζήτησον τὸν θεραπευτήν. καὶ πρὶν ἐπέλθῃ σοι τὰ θλιβερὰ, πρόσευξαι, καὶ ἐν τῷ καιρῷ τῶν λυπηρῶν εὑρήσεις αὐτὸν, καὶ ἐπακέσεταί σε. πρὸ τῦ σε ὀλισθῆσαι, ἐπικάλεσαι, καὶ δεήθητι· καὶ πρὸ τῦ σε εὔξασθαι, ἑτοίμασον τὰς ὑποσχέσεις, τὰ ἐντεῦθεν φημὶ ἐφό-

ἐφόδια. ἡ κιβωτὸς τῦ Νῶε ἐν τῷ καιρῷ τῆς εἰρἰαὴς κατεσκυάσθη, καὶ πρὸ ἑκατοσῦ ἔτυς τὰ ξύλα αὐτῆς ἐφυτεύετο. ἐν δὲ τῷ καιρῷ τῆς ὀργῆς, οἱ μὲν ἄδικοι, ἀπώλοντο· τῷ δὲ δικαίῳ, σκέπη ἐγένετο.

Στόμα ἄδικον, διὰ προσευχῆς ἐμφράτλεται. ἡ γὰρ κατάγνωσις τῆς συνειδήσεως ἀπαῤῥησίασον ποιεῖ τὸν ἄνθρωπον. καρδία ἀγαθὴ, καταφέρει δάκρυα μετὰ χαρᾶς ἐν τῇ προσευχῇ. (1) οἷς ὁ κόσμος νενέκρωται, ὗτοι τὰς ἐπηρείας μετὰ χαρᾶς ὑπομένυσιν. οἷς δὲ ζῇ ὁ κόσμος, ὗτοι ὐ δύνανται ἀδικίαν ὑπομεῖναι· ἀλλ᾽ ἢ ὑπὸ τῆς κενοδοξίας κινέμενοι, (2) ὀργίζονται, ἢ ταράτlονται ἀλόγως κινέμενοι, ἢ ὑπὸ τῆς λύπης ἀλίσκονται. ὦ πῶς δυσκατόρθωτός ἐςιν ἡ τοιαύτη ἀρετὴ, ἢ πόσlω δόξαν κέκlηται παρὰ τῷ Θεῷ. ὁ θέλων τlὼ ἀρετlὼ ταύτlω κατορθῶσαι, ἤγυν τὸ ἀδικεῖσθαι, καὶ μακροθυμεῖν, χρήζει μακρυνθlῶναι τῶν ἰδίων αὐτῦ, καὶ ξενιτεῦσαι. διότι ὐ δύναται αὐτlὼ ἐν τῇ ἰδίᾳ πατρίδι κατορθῶσαι. τῶν γὰρ μεγάλων καὶ δυνατωτέρων (3) ἐςὶν ὑπομεῖναι τῆς ἀρετῆς ταύτης τlὼ ἀλγηδόνα, μέσον τῶν ἰδίων ὄντων, καὶ οἷς ὁ κόσμος ὗτος τέθνηκε, πάσης τῆς παρύσης παρακλήσεως ἀπελπίσασιν.

Ὥσπερ ἡ χάρις πλησιάζει τῇ ταπεινοφροσύνῃ, ὕτω καὶ τῇ ὑπερηφανίᾳ ὀδυνηραὶ συμβάσεις. ὀφθαλμοὶ Κυρίυ ἐπὶ τὺς ταπεινόφρονας, τῦ εὐφρᾶναι αὐτύς· πρόσωπον δὲ Κυρίυ, κατ᾽ ἐ-

(1) Ἐν τῷ ἑτέρῳ χειρογρ. ὧδε ἀρχὴ λόγυ ἑτέρυ, ὕτως ἐπιγεγραμμένυ. περὶ ὑπομονῆς καὶ μακροθυμίας, καὶ ταπεινώσεως.

(2) Τὸ Ε. Χ. νικώμενοι.

(3) Τὸ Ε. Χ. καὶ δυνατῶν ἐςὶν ὑπομεῖναι τlὼ ἀλγηδόνα ταύτlω μέσον τῶν ἰδίων, καὶ οἷς ὁ κόσμος τέθνηκεν ὗτος, καὶ πᾶσαι παρῦσαν παράκλησιν ἀπήλπισαι. τὸ δὲ ἀπήλπισαι, ἀνάγνωσ. ἀπήλπισε.

κατ᾽ ἐνώπιον ὑπερηφάνων, τοῦ ταπεινῶσαι αὐτούς. ἡ ταπείνωσις διαπαντὸς δέχεται παρὰ Θεοῦ τὸ ἔλεος· τῇ δὲ σκληροκαρδίᾳ καὶ ὀλιγοπιστίᾳ, συμαντήματα φοβερὰ προσυπαντῶσι. σμίκρυνον σεαυτὸν ἐν πᾶσι πρὸς πάντας ἀνθρώπους, καὶ ὑψωθήσῃ (1) ἐπάνω τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου. προκατάλαβε πάντας διὰ τοῦ σοῦ ἀσπασμοῦ, καὶ τῆς προσκυνήσεως, καὶ τιμηθήσῃ ὑπὲρ τοὺς δωροφοροῦντας χρυσίον σουφείρ.

Ἐξουτένισον σεαυτὸν, καὶ ὄψει τὴν δόξαν τοῦ Θεοῦ ἐν σεαυτῷ. ὅπου γὰρ βλυστάνει ἡ ταπείνωσις, ἐκεῖ ἡ τοῦ Θεοῦ δόξα βρύει. ἐὰν φανερῶς ἐξουδενωθῆναι ἀγωνίσῃ ὑπὸ πάντων ἀνθρώπων, ποιεῖ σε δοξασθῆναι ὁ Θεός· ἐὰν δὲ ἐν τῇ καρδίᾳ σου ἔχῃς τὴν ταπείνωσιν, ἐν τῇ καρδίᾳ σου δείκνυσί σοι ὁ Θεὸς τὴν δόξαν αὐτοῦ. γενοῦ ἐξουκαταφρόνητος ἐν τῇ μεγαλωσιωύῃ σου, καὶ μὴ μέγας ἐν τῇ ἐλαχιστίᾳ σου. (2) σπούδασον τοῦ καταφρονηθῆναι, καὶ τῆς τιμῆς τοῦ Θεοῦ ἐμπλησθήσῃ. μὴ ζητήσῃς τιμηθῆναι, πεπληρωμένος ὢν ἔσωθεν τραυμάτων. ψέξον τὴν τιμὴν, ἵνα τιμηθῇς, καὶ μὴ ἀγαπήσῃς αὐτὴν, ἵνα μὴ ἀτιμασθῇς. ὁ τρέχων ὄπισθεν τῆς τιμῆς, φεύγει ἀπὸ ἔμπροσθεν αὐτοῦ. καὶ ὁ φεύγων αὐτὴν, καταδιώκεται αὐτὸν, καὶ κήρυξ γίνεται πᾶσιν ἀνθρώποις τῆς ταπεινώσεως αὐτοῦ. εἰ καταφρονῇς σεαυτοῦ, ἵνα μὴ τιμηθῇς, ὁ Θεὸς δημοσιεύσει σε· εἰ δὲ διὰ τὴν ἀλήθειαν ψέξεις σεαυτὸν, ἐπιτρέπει ὁ Θεὸς πᾶσι τοῖς κτίσμασιν αὐτοῦ, ἐπαινέσαι σε. καὶ ἀνοίξουσιν ἔμπροσθέν σου τὴν θύραν τῆς δόξης τοῦ πλαστουρ-

(1) Τὸ Ε. Χ. ἐν πᾶσι καὶ ἐπάνω κτ.

(2) Καὶ ὧδε ἐπιγραφὴν εὕρομεν ἐν τῷ Ε. Χ. τοιάνδε· περὶ ταπεινοφροσύνης νουθεσία ὁσία.

πλαστουργοῦ σου, καὶ ἐπαινέσουσί σε. διότι σὺ ἐν ἀληθείᾳ κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν αὐτοῦ ὑπάρχεις.

Ἄνθρωπον ταῖς μὲν ἀρεταῖς διαλάμποντα, τοῖς δὲ ἀνθρώποις εὐτελῆ φαινόμενον, φωτεινὸν μὲν τῷ βίῳ, σοφὸν δὲ τῇ γνώσει, καὶ ταπεινὸν τῷ πνεύματι, τίς τεθέαται; μακάριος ὁ ταπεινῶν ἑαυτὸν ἐν πᾶσιν, ὅτι ὑψωθήσεται. ὁ γὰρ διὰ τὸν Θεὸν ταπεινῶν ἑαυτὸν ἐν πᾶσι, καὶ σμικρύνων, ὑπὸ τοῦ Θεοῦ δοξάζεται. καὶ ὁ διὰ τὸν Θεὸν πεινῶν, καὶ διψῶν, μεθύσει αὐτὸν ὁ Θεὸς τῶν ἀγαθῶν αὐτοῦ. καὶ ὁ διὰ τὸν Θεὸν γυμνητεύων, ἐνδύεται ὑπ' αὐτοῦ στολὴν ἀφθαρσίας καὶ δόξης. καὶ ὁ δι' αὐτὸν πτωχεύων, τῷ ἀληθινῷ αὐτοῦ πλούτῳ παρακαλεῖται. ἐξουδένωσον σεαυτὸν διὰ τὸν Θεὸν, καὶ σοῦ ἀγνοοῦντος, πληθυνθήσεταί σου ἡ δόξα ἐν πάσῃ τῇ ζωῇ σου. ἔχε σεαυτὸν ἁμαρτωλὸν, ἵνα δικαιωθῇς ἐν πάσῃ τῇ ζωῇ σου. γίνου ἰδιώτης ἐν τῇ σοφίᾳ σου, καὶ μὴ φανῇς σοφὸς, ἰδιώτης ὤν. καὶ ἐὰν τὸν ἀφελῆ, καὶ ἀμαθῆ ἡ ταπείνωσις ὑψοῖ, πόσης οἴει τιμῆς τοῖς μεγάλοις καὶ τιμίοις πρόξενον γίνεσθαι; (1)

Φεῦγε τὴν κενοδοξίαν, καὶ δοξασθήσῃ· καὶ φοβήθητι τὴν ὑπερηφανίαν, καὶ μεγαλυνθήσῃ. οὐ τοῖς υἱοῖς τῶν ἀνθρώπων διεμηνύθη (2) ἡ κενοδοξία, οὐδὲ ἡ ὑψηλοφροσύνη τῷ γένει τῶν γυναικῶν. εἰ ἑκουσίως ἀπετάξω πᾶσι τοῖς τοῦ βίου πράγμασι, περὶ μηδαμινοῦ πράγματος μηδαμῶς μετά τινος φιλονικήσῃς. εἰ τὴν κενοδοξίαν ἐβδελύξω, φεῦγε τοὺς ἀγρεύοντας αὐτήν. φεῦγε τοὺς φιλοκτήμονας, ὡς καὶ τὸ κτᾶσθαι. μάκρυνον σεαυτὸν

(1) Τὸ Ε. Χ. γενέσθαι τὴν ταπείνωσιν;
(2) Τὸ Ε. Χ. διενεμήθη.

αυτὸν ἀπὸ τῶν σπαταλώντων, ὡς καὶ ἀπὸ τῆς σπατάλης. Φεῦγε τοὺς ἀκολάστους, ὡς καὶ τὴν ἀκολασίαν. εἰ γὰρ ἡ ψιλὴ τῶν εἰρημένων μνήμη ταράττει τὴν διάνοιαν, πόσῳ μᾶλλον ἡ θεωρία, καὶ ἡ μετ᾽ αὐτῶν διαγωγή; προσέγγισον τοῖς δικαίοις, καὶ δι᾽ αὐτῶν τῷ Θεῷ πλησιάσεις. συναναστρέφου τοῖς ἔχουσι ταπείνωσιν, καὶ μαθήσῃ τοὺς τρόπους αὐτῶν. εἰ γὰρ ἡ θεωρία τῶν εἰρημένων ὠφέλιμος, πόσῳ μᾶλλον ἡ διδασκαλία τοῦ στόματος αὐτῶν;

Ἀγάπησον τοὺς πτωχοὺς, ἵνα (1) δι᾽ αὐτῶν καὶ σὺ τύχῃς τοῦ ἐλέους. μὴ προσεγγίσῃς τοῖς φιλονείκοις, ἵνα μὴ ἀναγκασθῇς ἔξω γενέσθαι τῆς σῆς γαλήνης. μὴ ἀηδῶς φέρε τὰς δυσοσμίας τῶν ἀῤῥώστων, καὶ μάλιστα τῶν πενήτων· ἐπειδὴ καὶ σὺ σῶμα περίκεισαι. μὴ ἐπιπλήξῃς τοὺς τεθλιμμένους τῇ καρδίᾳ, ἵνα μὴ τῇ ῥάβδῳ αὐτῶν μαστιχθῇς, καὶ ζητήσῃς παρακαλοῦντας, καὶ οὐ μὴ εὕρῃς. μὴ ἐκφαυλίσῃς τοὺς ἠκρωτηριασμένους, ὅτι πάντες εἰς τὸν ᾅδην ἰσοτίμως πορευσόμεθα. ἀγάπησον τοὺς ἁμαρτωλοὺς, μίσησον δὲ τὰ ἔργα αὐτῶν, καὶ μὴ καταφρονήσῃς αὐτῶν διὰ τὰ ἐλαττώματα αὐτῶν, μήποτε καὶ σὺ πειρασθῇς ἐν οἷς εἰσί. μνήσθητι, ὅτι κοινωνὸς εἶ τῆς γενερᾶς φύσεως, καὶ πᾶσιν εὖ ποίει. μὴ ἐπίπληττε τοὺς δεομένους τῆς σῆς εὐχῆς, καὶ τῶν μαλθακῶν λόγων τῆς παρακλήσεως μὴ ἀποστέρει· ἵνα μὴ ἀπόλωνται, καὶ ἀπαιτηθῇς τὰς ψυχὰς αὐτῶν· ἀλλὰ μίμησαι τοὺς ἰατροὺς, οἵτινες τὰ θερμότερα πάθη ἰῶνται τοῖς ψυχροτέροις φαρμάκοις, καὶ τὰ ψυχρότερα τοῖς ἐναντίοις.

F 2 Ἀνάγκα-

(1) Τὸ Ε. Χ. ὅτι δι᾽ αὐτῶν.

Ἀνάγκασον σεαυτὸν, ὅταν ὑπαντήσης τῷ πλησίον σȣ, ἵνα τιμήσης αὐτὸν ὑπὲρ τὸ μέτρον αὐτȣ̃. Φίλησον δὲ τὰς χεῖρας αὐτȣ̃, καὶ τὲς πόδας, καὶ κράτησον αὐτὰς πολλάκις μετὰ πολλῆς τιμῆς, καὶ ἐπίθες αὐτὰς ἐπὶ τὲς ὀφθαλμές σȣ, καὶ ἐπαίνεσον αὐτὸν καὶ εἰς ἅπερ ȣ̓κ ἔχει. ὅταν δὲ χωρισθῇ ἀπὸ σȣ̃, λάλησον περὶ αὐτȣ̃ πᾶν ἀγαθὸν, (1) καὶ ἔτι τίμιον. ἐν γὰρ τȣ́τοις, καὶ τοῖς τοιȣ́τοις ἕλκεις αὐτὸν εἰς τὸ ἀγαθὸν, καὶ ἀναγκάζεις αὐτὸν αἰσχυνέσθαι ἐκ τῆς προσηγορίας, ἧς προσηγόρȣσας αὐτόν. καὶ σπείρεις εἰς αὐτὸν σπέρματα ἀρετῆς. ἐκ δὲ τῆς τοιαύτης συνηθείας, ἧς σεαυτὸν ἐθίζεις, τυπȣ̃ται ἐν σοὶ τύπος ἀγαθὸς, καὶ ταπείνωσιν πολλὴν κτήσῃ ἐν σεαυτῷ, καὶ χωρὶς κόπȣ κατορθοῖς τὰ μεγάλα. ȣ̓ μόνον δὲ τȣ̃το, ἀλλὰ καὶ ἐὰν ἔχῃ τινὰ ἐλαττώματα, τιμώμενος ὑπὸ σȣ̃, εὐχερῶς δέχεται παρὰ σȣ̃ τὴν θεραπείαν, αἰσχυνόμενος ἐκ τῆς τιμῆς, ἧς ἐποίησας αὐτῷ. ȣ̃τος ὁ τρόπος ἔσω σοι ἀεὶ, τὸ εὐπροσήγορον καὶ τιμητικὸν εἶναι πρὸς πάντας. καὶ μὴ παροξύνῃς τινὰ, ἢ ζηλώσῃς, μήτε διὰ πίστιν, μήτε διὰ τὰ ἔργα αὐτȣ̃ τὰ κακά· ἀλλὰ φύλαττε σεαυτὸν, τȣ̃ μὴ μέμψασθαι, ἢ ἐλέγξαι τινὰ ἔν τινι. ἔχομεν γὰρ κριτὴν ἀπροσωπόληπτον ἐν ȣ̓ρανοῖς. εἰδὲ θέλεις ἐπιστρέψαι αὐτὸν πρὸς τὴν ἀλήθειαν, λυπήθητι ὑπὲρ αὐτȣ̃, καὶ μετὰ δακρύων, καὶ ἀγάπης εἰπὲ αὐτῷ λόγον ἕνα, ἢ δύω, καὶ μὴ πυρωθῇς τῷ θυμῷ κατ᾽ αὐτȣ̃, καὶ ὄψεται ἐν σοὶ σημεῖον ἔχθρας. ἡ γὰρ ἀγάπη ȣ̓κ οἶδε θυμȣ̃σθαι, ἢ παροξύνεσθαι, ἢ μέμφεσθαί τινα ἐμπαθῶς. ἔνδειξις τῆς ἀγάπης, καὶ τῆς γνώσεως

(1) Περὶ αὐτȣ̃ πάλιν πᾶν ἀγαθὸν καὶ τίμιον. τὸ El Xl ( )

γνώσεως ἐστὶν ἡ ταπείνωσις, ἥτις τίκτεται ἀπὸ συνειδήσεως ἀγαθῆς· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ϛ.

ΠΕΡΙ ΩΦΕΛΕΙΑΣ ΤΗΣ ΕΚ ΤΗΣ ΦΥΓΗΣ ΤΟΥ ΚΟΣΜΟΥ.

Ἰσχυρός ἐστιν ἀληθῶς, καὶ δυσχερὴς, καὶ δύσκολος ὁ ἀγὼν ὁ γινόμενος ἐν τοῖς πράγμασι. καὶ ὅσον ἐὰν δύνηται ὁ ἄνθρωπος γενέσθαι ἀήττητος, καὶ ἰσχυρὸς, ὅταν πλησιάσωσιν αὐτῷ αἱ τῶν προσβολῶν αἰτίαι τῶν πολέμων, καὶ τῶν ἀγώνων, φόβος προσκολλᾶται αὐτῷ, καὶ ταχὺς εἰς πτῶσιν γίνεται, πολὺ πλέον τῆς ἀπαντήσεως τοῦ φανεροῦ πολέμου τοῦ διαβόλου. διότι ὅσον οὐ μακρύνεται ὁ ἄνθρωπος ἔξω ὢν ἡ καρδία αὐτοῦ πτοεῖται, ἀεὶ γίνεται τῷ ἐχθρῷ αὐτοῦ τόπος κατ᾽ αὐτοῦ. καὶ ἐὰν μικρὸν νυστάξῃ, δυσχερῶς ἀπόλλυσιν αὐτόν. ὅταν γὰρ ἡ ψυχὴ κρατηθῇ ἐν ταῖς βλαβεραῖς ἀπαντήσεσι τοῦ κόσμου, αὗται αἱ ἀπαντήσεις γίνονται αὐτῇ σκόλοπες· καὶ ὡσανεὶ φυσικῶς ἡττᾶται, ὅταν αὐταῖς ἀπαντήσῃ. καὶ τοίνυν οἱ πατέρες ἡμῶν οἱ ἀρχαῖοι, οἱ πορευθέντες ἐν ταύταις ταῖς τρίβοις, ἐπιστάμενοι, ὡς οὐκ ἐν παντὶ καιρῷ ὁ νοῦς ἔρρωται, οὐδὲ δύναται ἵστασθαι ἐν τάξει μιᾷ ἀκλινῶς, καὶ τηρεῖν τὴν ἑαυτοῦ φρουρὰν, γίνεται δὲ ἐν καιρῷ μὴ

μὴ δύναϑαι κατιδεῖν εἰς τὰ βλάπτοντα αὐτὸν, διεσκέψαντο ἐν σοφίᾳ, καὶ ἠμφιάσαντο τὴν ἀκτημοσύνην, ὡς ὅπλον, τὴν ἐκ πολλῶν ἀγώνων ἐλευθέραν ὑπάρχουσαν, καθὼς γέγραπται. (ἵνα οὕτω διὰ τῆς ἐνδείας αὐτοῦ ὁ ἄνθρωπος ἐξειλῆσαι δυνηθείη ἐκ πολλῶν παραπτωμάτων.) καὶ ἀπῆλθον εἰς τὴν ἔρημον, ἐν ᾗ οὐκ ἔστι πράγματα· ἅπερ εἰσὶν αἰτίαι τῶν παθῶν. ἵνα μηδὲ ὅταν ὥρα γένηται αὐτοὺς ἀθανῆσαι, εὕρωσι τὰς αἰτίας τῶν πτώσεων· λέγω δὴ τοῦ θυμοῦ, καὶ τῆς ἐπιθυμίας, καὶ τῆς μνησικακίας, καὶ τῆς δόξης· ἀλλ᾽ ἵνα ταῦτά τε καὶ τὰ λοιπὰ τέτων ἐλαφρὰ γένωνται, διὰ τὴν ἔρημον ἐκείνην. ἐν αὐτῇ γὰρ ὠχύρωσαν ἑαυτοὺς, καὶ ἐτείχισαν, ὡς πύργῳ ἀκαταμαχήτῳ. καὶ τότε ἠδυνήθησαν ἕκαστος αὐτῶν τελειῶσαι τὸν ἑαυτοῦ ἀγῶνα ἐν ἡσυχίᾳ· ὅπου αἱ αἰσθήσεις οὐχ εὗρον βοήθειαν συγγενέσθαι τῷ ἀντιπαλαίοντι ἡμᾶς ἐν τῇ ἀπαντήσει τῶν βλαπτόντων. κρεῖσσον γὰρ ἡμῖν θάνατος ἐν τῷ ἀγῶνι, ἢ ζῆσαι ἐν τῷ πτώματι.

ΛΟΓΟΣ Ζ.

ΠΕΡΙ
ΤΑΞΕΩΣ ΤΩΝ ΑΡΧΑΡΙΩΝ, ΚΑΙ ΚΑΤΑΣΤΑΣΕΩΣ, ΚΑΙ ΤΩΝ ΑΝΗΚΟΝΤΩΝ ΑΥΤΟΙΣ.

Αὕτη ἐστὶν ἡ τάξις ἡ σώφρων, καὶ Θεῷ προσφιλὴς, τὸ μὴ περιβλέπειν τοῖς ὀφθαλμοῖς ὧδε κἀκεῖσε, ἀλλὰ πάντοτε τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι· καὶ μὴ ἀργολογεῖν, ἀλλὰ τὰ μόνα ἀναγκαῖα λαλεῖν, καὶ ἐνδύμασι πανιχροῖς αὐταρκεῖσθαι

κεῖσθαι πρὸς τὴν χρείαν τοῦ σώματος. καὶ οὕτω τοῖς βρώμασι τοῖς συνιςάνουσι τὸ σῶμα κεχρῆσθαι, καὶ μὴ τῇ γαςριμαργίᾳ. μεταλαμβάνειν ἀπὸ πάντων πρὸς ὀλίγον, καὶ μὴ τὰ μὲν ἐκφαυλίζειν, τὰ δὲ ἐκλέγεσθαι, καὶ ἐκ τούτων θέλειν ἐμπλῆσαι τὴν γαςέρα. μείζων πάσης ἀρετῆς ἡ διάκρισις. οἴνου δὲ, χωρὶς ἑταίρων, ἢ ἐκτὸς ἀσθενείας, ἢ ἀδυναμίας, μὴ μεταλαμβάνῃς. μὴ ἐκκόψῃς τὸν λόγον τοῦ λαλοῦντος, καὶ ὡς ἀπαίδευτος ἀντιφθέγξῃ, ἀλλ᾽ ὡς σοφὸς πάγιος ἔσο. καὶ ὅπου δ᾽ ἂν εὑρεθῆς, μικρότερον σεαυτὸν λογίζου, καὶ ὑπηρέτην τῶν ἀδελφῶν σου. μὴ γυμνώσῃς ἔμπροσθεν τινὸς τὶ τῶν μελῶν σου, μὴ δὲ προσεγγίσῃς σώματι τινὸς, ἐκτὸς ἀναγκαίας αἰτίας. μηδὲ τῷ σώματι τῷ σῷ τινὰ προσεγγίσαι ἐάσῃς, χωρὶς εὐλόγου, ὡς ἔφην, αἰτίας. ἔκκλινον ἀπὸ τῆς παῤῥησίας, ὡς ἀπὸ θανάτου. κτῆσαι δὲ σώφρονα τάξιν τῷ ὕπνῳ σου, ἵνα μὴ ἀπομακρυνθῇ ἀπὸ σοῦ ἡ δύναμις ἡ περιφρουροῦσά σε. ὅπου δ᾽ ἂν κοιμηθῇς, εἰ δυνατὸν, μηδείς σε θεάσηται. πτύελον ἔμπροσθεν τινὸς μὴ ῥίψῃς. ἐὰν δέοι βὴξ ἐπέλθῃ καθημένῳ ἐπὶ τῆς τραπέζης, ςρέψον σου τὸ πρόσωπον εἰς τοὐπίσω, καὶ οὕτω βῆξον. μετὰ σωφροσύνης φάγε, καὶ πίε, ὡς πρέπει τέκνοις Θεοῦ.

Μὴ ἐκτείνῃς τὴν χεῖρα τοῦ λαβεῖν τὶ ἀπ᾽ ἔμπροσθεν τῶν ἑταίρων σου ἀναιδῶς. ἐὰν δὲ καθίσῃ μετὰ σοῦ ξένος, πρότρεψον αὐτὸν ἅπαξ, καὶ δὶς εἰς τὸ φαγεῖν, καὶ εὐτάκτως παράθες τῇ τραπέζῃ, καὶ μὴ τεταραγμένως. εὐτάκτως κάθισον, καὶ συνεςαλμένως, μὴ γυμνῶν τὶ τῶν μελῶν σου. ὅταν χασμᾶσαι, σκέπαζέ σου τὸ ςόμα, τοῦ μὴ θεαθῆναι. κρατήσας γὰρ τὰς ἀναπνοάς σου, παρελεύσεται. ἐὰν εἰσέλθῃς εἰς τὸ κελλίον τοῦ σοῦ ἐπιςάτου, ἢ φίλου, ἢ μαθητοῦ, παραφυλάττου τοὺς σοὺς ὀφθαλμοὺς

θαλμοὺς, τοῦ μὴ ἰδεῖν τὶ τῶν ὄντων ἐκεῖ. ἐὰν δὲ ἀναγκασθῇς ὑπὸ τοῦ λογισμοῦ, πρόσχες, ἵνα μὴ ὑπακούσῃς, καὶ ποιήσῃς τοῦτο. ὁ γὰρ ἐν τούτοις ἀναιδῶς διακείμενος, ξένος ἐστὶ τοῦ μοναχικοῦ σχήματος, καὶ τοῦ Χριστοῦ, τοῦ τοῦτο τὸ σχῆμα (1) χαρισαμένου ἡμῖν. μὴ πρόσχῃς τοῖς τόποις, ἐν οἷς κέκρυπται τὰ σκεύη τοῦ κελλίου τοῦ φίλου σου. μετὰ γαλήνης ἄνοιξον τὴν θύραν, καὶ κλεῖσον, καὶ τὴν τοῦ ἑταίρου σου. μὴ αἰφνιδίως πρός τινα εἰσέλθῃς, ἀλλὰ κρούσας ἔξωθεν, καὶ προτραπεὶς, τότε εἴσελθε εὐλαβῶς.

Μὴ

(1) Τὸ σχῆμα, οὐ τὸ ἔξω καὶ σωματικὸν, τὴν περικεφαλαίαν, καὶ τὸ παλλίον, καὶ τὸν χιτῶνα, καὶ τὰ λοιπὰ τῶν μοναχῶν ἄμφια, ἀλλὰ τὸ ἔσω καὶ πνευματικὸν, ὡς ὁ αὐτὸς πατὴρ ἐν τῇ ἀρχῇ τοῦ ι. λόγου ἐπιβεβαιοῖ, λέγων· δεῖ οὖν τὸν μοναχὸν ἔχειν σχήματα ὡραῖα ἐκ πάντων τῶν μερῶν αὐτοῦ, ἤγουν ὑπεροψίαν τῶν ὁρωμένων, ἀκριβῆ ἀκτημοσύνην κτ. ὅρα δέ μοι, ὅπως ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ταῖς θείαις παραγγελίαις, καὶ τῷ θεαρχικῷ αὐτοῦ ὑποδείγματι τὴν μοναδικὴν πολιτείαν εἰσηγησάμενος, τὰ τῆς μοναχικῆς ψυχῆς ἀνέδειξεν
» ὑπερφυῆ καὶ ἄφθαρτα περιβόλαια. εἰ θέλεις, φησὶ, τέλειος εἶναι, ὕπα-
» γε πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν
» οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. (Ματθ. ιθ. κα.) ἰδοὺ ἡ ὁλόκληρος τῶν ἐν κόσμῳ πραγμάτων ὑπεροψία, καὶ ἡ ἀποξένωσις, αἱ πρῶται τῆς τελείας
» ταύτης διαγωγῆς βαθμίδες. καὶ πάλιν· εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχι-
» σαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. (Ματθ. ιθ. ι.) ἰδοὺ ἡ Παρθενία, τὸ τῶν μοναχῶν ἐπάγγελμα, τὸ τοὺς γηΐνους ἀνθρώπους τοῖς ἐπου-
» ρανίοις Ἀγγέλοις καθιστῶν ἐφαμίλλους. ἀλλαχοῦ δέ· εἴτις θέλει ὀπίσω μου
» ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν. τοῦτο, τὴν τῶν σαρκικῶν παθῶν, καὶ
» τὴν πάσης ἡδυπαθοῦς ἐπιθυμίας ἀπονέκρωσιν σημαίνει. καὶ ἀράτω τὸν
» σταυρὸν αὐτοῦ. (Ματθ. ιϛ. κδ.) τοῦτο δὲ, τὴν διηνεκῆ σκληραγωγίαν, καὶ τὴν ἐν τοῖς παθήμασιν ὑπομονὴν, ἢ τὴν μέχρι θανάτου ὑπακοήν· ἅπερ δὴ τὰ συστατικά εἰσι τοῦ μοναδικοῦ πολιτεύματος. τίνος δὲ χάριν ὁ Κύριος ἐν τῇ ἐρήμῳ παραγενόμενος, ἐνήστευσε· καὶ εἰς τὸ ὄρος ἀναβὰς, κατ' ἰδίαν, προσηύξατο; ἢ ὅτι τὰ τοῦ Ἀγγελικοῦ τούτου βίου θέμεθλα καταβαλεῖν βουλόμενος.

Μὴ σπεύδσης ἐν τῷ σῷ βαδίσματι, ἐκτὸς ἀναγκαίας χρείας κατεπειγέσης σε. γενȣ̃ τοῖς πᾶσιν ὑπήκοος ἐν παντὶ ἔργῳ ἀγαθῷ, πλὴν τοῖς φιλοκτήμοσιν, ἢ φιλαργύροις, ἢ κοσμικοῖς μὴ ἀκολȣθήσῃς, ἵνα μὴ γένηται ἔργον διαβολικόν. ἐν πραότητι πᾶσι διαλέγȣ, καὶ μετὰ σωφροσύνης πρὸς πάντας ἀτένισον, καὶ μὴ ἐμπλήσῃς σȣ̀ς ὀφθαλμȣ̀ς ἀπὸ προσώπȣ τινός. πορευόμενος ἐν τῇ ὁδῷ, μὴ προκαταλάβῃς τȣ̀ς μείζονάς σȣ· ἐὰν δὲ προκαταληφθῇ ὁ ἑταῖρός σȣ, μικρὸν προλαβὼν, ἔκδεξαι τȣ̃τον. ὁ γὰρ μὴ ποιῶν ȣ̃τως, ἄφρων ἐςὶ, καὶ χοίρῳ μὴ ἔχοντι νόμον παραπλήσιος. ἐὰν λαλήσῃ ὁ ἑταῖρός σȣ τισὶν ἀπαντήσασιν, ἐκδέχȣ αὐτὸν, καὶ μὴ κατεπείγῃς τȣ̃τον. ὁ ὑγιὴς λεγέτω τῷ ἀσθενȣ̃ντι πρὸ τȣ̃ καιρȣ̃, ποιήσωμεν τὴν χρείαν.

Μὴ ἐλέγξῃς τινὰ ἔν τινι παραπτώματι, ἀλλὰ σεαυτὸν ἡγȣ̃ ἐν πᾶσιν ὑπεύθυνον, καὶ τȣ̃ πταίσματος αἴτιον. πᾶν ἔργον εὐτελὲς ποιεῖν μετὰ ταπεινοφροσύνης, μὴ ἀπαναίνȣ, μήτε μὴν παραιτȣ̃. ἐὰν δὲ παραβιασθῇς γελάσαι, μὴ φανῶσί σȣ οἱ ὀδόντες. ἐὰν δὲ ἀναγκασθῇς λαλῆσαι γυναιξὶ, ςρέψον σȣ τὸ πρόσωπον ἐκ τῆς θέας αὐτῶν, καὶ ȣ̃τως αὐταῖς διαλέγȣ. ἀπὸ δὲ Κανονικῶν ἀπέχȣ, ὡς ἀπὸ πυρὸς, καὶ ὡς ἀπὸ παγίδος διαβόλȣ, ἔκ τε τῆς ἀπαντήσεως αὐτῶν καὶ συνομιλίας καὶ θέας· ἵνα μὴ ψυχρανθῇ ἡ καρδία σȣ ἐκ τῆς ἀγάπης τȣ̃ Θεȣ̃, καὶ χράνῃς σȣ τὴν καρδίαν τῷ βορβόρῳ τῶν παθῶν, κἂν ὦσί σȣ ἀδελφαὶ κατὰ σάρκα, ὡς ἀπὸ ξένων σαυτὸν παρατήρησαι. ἐκ τῆς μίξεως τῆς μετὰ τῶν ἰδίων σȣ παραφυλάττȣ, ἵνα μὴ ψυχρανθῇ ἡ καρδία σȣ ἐκ τῆς ἀγάπης τȣ̃ Θεȣ̃. τὰς μετὰ νεωτέρων παῤῥησίας, καὶ συντυχίας φεῦγε, ὡς φιλίαν διαβόλȣ. ἕνα ἔχε συνόμιλον, καὶ συμμύςην, τὸν φοβȣ́μενον τὸν Θεὸν,

καὶ

καὶ ἑαυτῷ προσέχοντα πάντοτε· πτωχὸν μὲν ὄντα, ἐν τῷ κατασκηνώματι αὐτοῦ· πλέσιον δὲ, ἐν τοῖς τοῦ Θεοῦ μυστηρίοις. ἀπὸ παντὸς κρύψον τὰ σὰ μυστήρια, καὶ τὰς σὰς πράξεις, καὶ τοὺς σοὺς πολέμους. μὴ καθίσῃς ἄνευ ἐπιῤῥιπαρίου ἔμπροσθεν τινός, ἐκτὸς ἀνάγκης· μετὰ δὲ σωφροσύνης εἰς τὴν ἀναγκαίαν χρείαν ἔξελθε, ὡς εὐλαβούμενος τὸν διατηροῦντά σε Ἄγγελον, καὶ μετὰ φόβου Θεοῦ διατέλεσον, καὶ ἀνάγκασον σεαυτὸν ἕως θανάτου, κἂν ἡ καρδία σου ἀπαρέσκηται.

Κρεῖσσόν σοι φαγεῖν ἰὸν θανάσιμον, ἢ μετὰ γυναικὸς ἐσθίειν, κἂν γένηταί σου μήτηρ, ἢ ἀδελφή. κρεῖσσόν σοι συνοικῆσαι δράκοντι, ἢ συγκαθεύδειν νεωτέρῳ, καὶ συσκεπασθῆναι, κἂν γένηταί σου ἀδελφὸς κατὰ σάρκα. ἐὰν εἴπῃ σοι πορευομένῳ ἐν ὁδῷ τὶς σοῦ μείζων, ἔρχου ἵνα ψάλλωμεν, μὴ παρακούσῃς αὐτοῦ. ἐὰν δὲ μὴ εἴπῃ, τῇ μὲν γλώττῃ, σιώπησον· τῇ δὲ σῇ καρδίᾳ, τὸν Θεὸν δοξολόγησον. μὴ ἀντιστῇς τινὶ περί τινος, μήτε μαχεσθῇς, μήτε ψεύσῃ, μήτε ὀμνύῃς ἐπὶ τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ σου. καταφρονήθητι, καὶ μὴ καταφρονήσῃς. ἀδικήθητι, καὶ μὴ ἀδικήσῃς. κρεῖσσον διαφθαρῆναι τὰ σωματικὰ μετὰ τοῦ σώματος, ἢ ζημιωθῆναί τι τῶν τῆς ψυχῆς. ἐν κρίσει μετά τινος μὴ εἰσέλθῃς, ἀλλ' ὑπόμεινον κατακριθεὶς, ἀκατάκριτος ὤν. μὴ ἀγαπήσῃς τῇ σῇ ψυχῇ τὶ τῶν κοσμικῶν, ἀλλ' ὑποτάγηθι τοῖς ἡγεμόνοις καὶ ἄρχουσι, καὶ τῆς μετ' αὐτῶν μίξεως ἀπέχου. αὕτη γὰρ παγίς ἐστι, παγιδεύουσα τοὺς ἀμελεστέρους εἰς ἀπώλειαν.

Ὦ γαστρίμαργε, ὁ τὴν ἰδίαν ζητῶν θεραπεῦσαι γαστέρα, κρεῖσσόν σοι βαλεῖν ἐν τῇ σῇ κοιλίᾳ ἄνθρακα πυρὸς, ἢ τὰ τηγανίσματα τῶν ἡγεμόνων, καὶ ἀρχόντων. ἐπίχεέ σου ἐπὶ πάντας

τὸ

τὸ ἔλεος, καὶ γίνε συνεσαλμένος ἀπὸ πάντων. ἐκ τῆς πολυλογίας σαυτὸν παρατήρησον. αὕτη γὰρ σβέννυσιν ἐκ τῆς καρδίας τὰς νοερὰς κινήσεις τὰς ἐκ Θεοῦ Φυομένας. Φεῦγε τοῦ δογματίσαι, ὡς ἀπὸ λέοντος ἀτάκτου· μήτε μὴν μετὰ τῶν τροφίμων τῆς ἐκκλησίας εἰς τοῦτο συνεισέλθῃς, μήτε μετὰ τῶν ἀλλοτρίων. καὶ εἰς τὰς πλατείας τῶν ὀργίλων, ἢ μαχίμων μὴ περάσῃς, ἵνα μὴ ἐμπλησθῇ σου ἡ καρδία θυμοῦ, καὶ κατακυριεύσῃ τῆς ψυχῆς σου τὸ τῆς πλάνης σκότος. ὑπερηφάνῳ μὴ συνοικήσῃς, ἵνα μὴ τοῦ ἁγίου πνεύματος ἡ ἐνέργεια ἀρθῇ ἀπὸ τῆς ψυχῆς σου, καὶ γένηται οἰκητήριον παντὸς πονηροῦ πάθους. ταύτας τὰς παραφυλακὰς ἐὰν Φυλάξῃς, ὦ ἄνθρωπε, καὶ ἀσχολήσῃς σεαυτὸν διαπαντὸς ἐν τῇ μελέτῃ τοῦ Θεοῦ, ἐν ἀληθείᾳ ὄψεταί σου ἡ ψυχὴ ἐν ἑαυτῇ τὸ Φῶς τοῦ Χριστοῦ, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ σκοτάσῃ. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Η.

ΠΕΡΙ ΤΑΞΕΩΣ ΛΕΠΤΗΣ ΤΗΣ ΔΙΑΚΡΙΣΕΩΣ.

Πρόσεχε σεαυτῷ, ὦ ἀγαπητὲ, ἀεὶ, καὶ ἴδε ἐν τῇ συνεχείᾳ τῶν ἔργων σου καὶ τὰς θλίψεις τὰς συναντώσάς σοι, καὶ τὴν χώραν τῆς ἐρήμου τῆς διαγωγῆς σου, καὶ τὴν λεπτότητα τοῦ νοός σου μετὰ τῆς στρυφνότητος τῆς γνώσεώς σου, καὶ τὸ μῆκος τὸ πολὺ τῆς ἡσυχίας σου μετὰ τῶν Φαρμάκων τῶν πολ-

λῶν, ἤτοι τῶν πειρασμῶν, τῶν ἐκ τοῦ ἀληθινοῦ ἰατροῦ ἐπαγομένων πρὸς ὑγείαν ἐκείνου τοῦ ἔσω ἀνθρώπου. ἐν καιρῷ δὴ, ἐκ τῶν δαιμόνων· καὶ ἐν καιρῷ, ἐν νόσοις, καὶ ἐν τοῖς πόνοις τοῦ σώματος· καὶ ἐν καιρῷ, ἐν πτοήσει τῶν νοημάτων τῆς ψυχῆς σου, ἐν ταῖς μνήμαις ταῖς δειναῖς, ταῖς μελλούσαις εἶναι εἰς τὰ ἔσχατα· ἐν καιρῷ δὲ, ἐν τῷ καντρισμῷ, καὶ περιδέσμῳ τῆς χάριτος τῆς θερμῆς, καὶ τῶν γλυκέων δακρύων, καὶ τῆς χαρᾶς τοῦ πνεύματος μετὰ τῶν λοιπῶν, ἵνα μὴ πληθύνω τοὺς λόγους. ἆρα ἐν πᾶσι τούτοις ἐντελῶς καθορᾷς, ὅτι τὸ ἕλκος σου ἤρξατο ὑγιαίνειν καὶ σφραγίζεσθαι; τοῦτο δέ ἐστιν, ἆρα τὰ πάθη ἤρξαντο ἀσθενεῖν; θοῦ τεκμήριον, καὶ εἴσελθε ἐν ἑαυτῷ διαπαντὸς, καὶ ἴδε ποῖα μὲν τῶν παθῶν ὁρᾷς, ὅτι ἠσθένησαν κατενώπιόν σου, ποῖα δὲ ἐξ αὐτῶν ἀπώλοντο, καὶ ἀπέστησαν παντελῶς, καὶ ποῖα ἐξ αὐτῶν ἤρξαντο σιωπᾶν ἐκ τῆς ὑγιείας τῆς ψυχῆς σου, καὶ οὐχὶ ἐκ τῆς ἀποστάσεως τῶν πτοούντων, καὶ ποῖα ἐκ τῆς διανοίας ἔμαθε κραταιοῦσθαι, καὶ οὐχὶ ἐκ τῆς στερήσεως τῶν αἰτιῶν. καὶ πρόσεχε πάλιν εἰ ἆρα βλέπεις παντελῶς αὐτὸς τῆς σήψεως τοῦ ἕλκους σου, ὅτι ἤρξατο σὰρξ ζῶσα ἀνέρχεσθαι. (1) ὅπερ ἐστὶν ἡ εἰρήνη τῆς ψυχῆς. Καὶ ποῖα μὲν τῶν παθῶν

(1) Ἡ μὲν πρὸ τῆς παραβάσεως τοῦ πρωτοπλάστου σάρξ, τοῖς διαβλητοῖς μὴ ὑπείκουσα πάθεσι, μηδὲ ὑπὸ τῶν φθοροποιῶν παραφθειρομένη ἡδονῶν, μηδὲ ὑπὸ τῶν ὀλεθρίων νενεκρωμένη ὀρέξεων, ἀπαθὴς ἦν, καὶ ἄφθαρτος, καὶ ζῶσα τὴν ὄντως ἀνεπαίσχυντον ζωὴν καὶ ἀνώδυνον· ἡ δὲ μετὰ τὴν παράβασιν, τοῖς αἰσχίστοις ὑπείξασα πάθεσι, καὶ ὑπὸ τῶν πονηρῶν ἐπιθυμιῶν καὶ ἡδονῶν διαφθαρεῖσα, ἐμπαθὴς γέγονε, καὶ νεκρὰ » τῇ τῆς ἀρετῆς ἐργασίᾳ, κατὰ τὸ, ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ θανάτῳ » ἀποθανεῖσθε. (Γεν. β. ιζ.) ἅμα γὰρ τῇ τοῦ ξύλου γεύσει ἀπονενέκρωται ἡ ἐν τῇ σαρκὶ τῶν προπατόρων πρὸς τὸ καλὸν ῥοπή. ἀλλ' ἔστι πάλιν, πίστει καὶ χάριτι τοῦ ὑπὲρ ἡμῶν σαρκωθέντος υἱοῦ τοῦ Θεοῦ, ἀποδύσασθαι

παθῶν ἀκολούθως, καὶ ἠπειγμένως ἐκβιάζονται, καὶ ἐν ποίῳ καιρῷ, καὶ καιρῷ. (1) καὶ εἰ εἰσὶ ταῦτα σωματικὰ, ἢ ψυχικὰ, ἢ σύνθετα καὶ σύμμικτα· καὶ εἰ ὡς ἀσθενῆ ἐν τῇ μνήμῃ κινοῦνται σκοτεινῶς, ἢ ἰσχυρῶς κατὰ τῆς ψυχῆς ἐπανίστανται· καὶ εἰ ἄρα ὡς ἐξουσιάζοντα, ἢ κλεψιμαίῳ τρόπῳ· καὶ πῶς προσέχει αὐτοῖς ὁ νοῦς ὁ βασιλεὺς, ὁ ἐξουσιάζων τῶν αἰσθήσεων. ὅταν κύψωσι, καὶ συνάψωσι πόλεμον, πολεμεῖ μετ' αὐτῶν, καὶ ἐξατονεῖν αὐτὰ ποιεῖ ἐν τῇ ἰσχύϊ ἑαυτοῦ, ἢ οὐδὲ πάλιν ἐν ὁράσει καθορᾷ αὐτὰ, καὶ ψηφίζει αὐτά; (2) καὶ ποῖα μὲν αὐτῶν ἀπηλείφησαν ἐκ τῶν παλαιῶν, ποῖα δὲ νεωστὶ ἐπλάσθησαν. καὶ τὰ πάθη δὲ, ἐν εἰκονισμῷ κινοῦνται, ἢ ἐν αἰσθήσει χωρὶς εἰκονισμῶν, καὶ ἐν μνήμῃ χωρὶς πάθους καὶ διαλογισμῶν, ἐκτὸς ἐρεθισμοῦ. καὶ ἐκ τούτων πάλιν δυνατὸν γνῶναι τὸ μέτρον τῆς ψυχῆς πῶς ἵσταται.

Ἐκεῖνα μὲν τὰ πρῶτα κατάστασιν οὐ πεφθάκασι. διότι ἀκμὴν ἀγὼν ἐπίκειται τῇ ψυχῇ, κἂν καὶ ἰσχυρότητα κατ' αὐτῶν δεικνύῃ. ταῦτα δὲ καθὼς εἶπεν ἡ γραφὴ, ἐν χρήσει· » ἐκάθισε λέγουσα Δαβὶδ ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἀνέπαυσεν αὐτὸν ὁ Θεὸς ἐκ τῶν

α. Βασ. ζ. α.

δύσασθαι μὲν τὴν νεκρὰν ἐκείνην καὶ παθητὴν σάρκα, ἐνδύσασθαι δὲ τὴν ἀπαθῆ καὶ ζῶσαν. νεκρωθέντων γὰρ τῶν παθῶν, αὐτίκα ἡ ζῶσα σὰρξ ἀνέρχεται, ὥς φησιν ὁ ὅσιος. ἕλκος μὲν γὰρ τὰ πάθη ἀνωτέρω καλέσας, ὑγείαν δὲ τούτου τὴν τῶν παθῶν ἀσθένειαν, προστίθησιν, αὐτὸς τῆς σήψεως τοῦ ἕλκους, ἤτουν ἐν τῇ τῶν παθῶν ἀτονίᾳ, καὶ διαφθορᾷ, τὴν ζῶσαν σάρκα ἀνέρχεσθαι. περὶ ἧς ὁ θεῖος Ἀπόστολος ἀπεφήνατο· » ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ. Γαλ. β. κ.

(1) Τὸ καὶ καιρῷ περιττόν.

(2) Τὸ ἢ οὐδὲ πάλιν ἐν ὁράσει καθορᾷ αὐτὰ, καὶ ψηφίζει αὐτὰ, ταυτὸν οἶμαι τῷ, οὐδόλως ὁρᾷ, οὐδὲ ἀναλογίζεται αὐτά.

„ ἐκ τῶν περικύκλω αὐτοῦ πάντων. (1) Ταῦτα, οὐ περὶ ἐν ὸς τῶν παθῶν νοήσεις, ἀλλὰ καὶ μετὰ τῶν παθῶν τῶν φυσικῶν, τῆς ἐπιθυμίας καὶ τοῦ θυμοῦ, καὶ τὰ πάθη τῆς φιλοδοξίας τῆς εἰκονιζούσης τὰ πρόσωπα, καὶ φανταζούσης, καὶ εἰς ἐπιθυμίαν καὶ ἔφεσιν διεγειρούσης. καὶ τὸ πάθος τῆς φιλαργυρίας αὖθις, ὅταν κοινωνῇ αὐτῷ ἡ ψυχὴ κρυπτῶς, κἂν καὶ οὐ πείθηται εἰς ἔργον ἐλθεῖν, ἀλλὰ τὰ εἴδωλα τῶν τῆς φιλαργυρίας πραγμάτων ἐν τῇ ὕλῃ τῆς συναγωγῆς τοῦ πλούτου εἰκονίζει ἐν τῷ νοΐ, καὶ τὴν ψυχὴν πείθει μελετῆσαι ἐν αὐτοῖς, καὶ πόθον ἐμποιεῖ κτήσασθαι αὐτὰ μετὰ τῶν λοιπῶν.

Οὐχὶ πάντα τὰ πάθη ἐν προσβολῇ πολεμοῦσιν. ἔστι γὰρ πάθη, τὰς θλίψεις μόνον δεικνύοντα τῇ ψυχῇ· ἀμέλεια, καὶ ἀκηδία, καὶ λύπη, οὐκ ἐν προσβολῇ, οὐδὲ ἐν ἀνέσει προσβάλλουσιν, ἀλλὰ βάρος μόνον ἐπιτιθέασι τῇ ψυχῇ. ἡ δὲ ἰσχὺς τῆς ψυχῆς, ἐν νίκῃ κατὰ τῶν ἐν προσβολῇ πολεμούντων δοκιμάζεται, καὶ τούτων πάντων γνῶσιν λεπτὴν, καὶ τεκμήρια χρὴ τῷ ἀνθρώπῳ ἔχειν, ὅπως αἰσθηθῇ εἰς ἕκαστον βῆμα, ὃ τίθησι, ποῦ ἔφθασε, καὶ ἐν ποίᾳ χώρᾳ ἤρξατο ἡ ψυχὴ αὐτοῦ πατῆσαι, ἐν τῇ γῇ τοῦ Χαναὰν, ἢ ἔξωθεν τοῦ Ἰορδάνου. (2)

Προσέ-

(1) „Καὶ ἐγένετο ὅτε ἐκάθισεν ὁ βασιλεὺς ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ „ Κύριος κατεκληρονόμησεν αὐτὸν κύκλῳ ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ „ τῶν κύκλῳ. οἱ ἑβδομ.

(2) „Τὰ ὅρια τῶν χαναναίων ἀπὸ Σιδῶνος, ἕως ἐλθεῖν εἰς Γεραρὰ, „ καὶ Γαζὰν, ἕως ἐλθεῖν ἕως Σοδόμων, καὶ Γομόῤῥας, Ἀδαμὰ, καὶ Σεβωῒν ἕως Δασά. (Γεν. ι. ιθ.) ἔστι δὲ ἡ γῆ Χαναὰν αὐτὴ ἡ τῆς ἐπαγγελίας „ γῆ, ἣν ἀπέναντι μόνον ἰδεῖν κατηξιώθη ὁ προφήτης Μωϋσῆς. ἀπέναντι, „ γάρ φησιν, ὄψει τὴν γῆν, καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ. (Ἐξ. λβ. νβ.) ἔξω„ θεν δὲ τοῦ Ἰορδάνου, τὰ Σόδομα, καὶ τὰ Γόμοῤῥα. οὐκοῦν ἡ μὲν τοῦ Χαναὰν γῆ, τὴν τῆς σαρκὸς καθαρότητα, καὶ τὴν τῆς ψυχῆς εἰρηναίαν κατάστασιν

Πρόσεχε δὲ καὶ τοῦτο. ἐὰν διὰ τοῦ Φωτὸς τῆς ψυχῆς ἱκανὴ ἡ γνῶσις πρὸς διάκρισιν τούτων, ἢ ἐν σκότει διακρίνῃ αὐτὰ, ἢ παντελῶς ἐξέρηται ἐκ τῶν τοιούτων, εὑρίσκεις ἄρα παντελῶς, ὅτι ἤρξατο ὁ λογισμὸς καθαρεύεσθαι; δίδωσι τόπον ὁ μετεωρισμὸς ἐν τῇ διανοίᾳ κατὰ τὴν ὥραν τῆς προσευχῆς; καὶ ποῖον ἄρα πάθος ταράσσει ἐν τῷ προσεγγίσαι τῇ προσευχῇ τὴν διάνοιαν; αἰσθάνῃ ἐν σεαυτῷ, ὅτι ἡ δύναμις τῆς ἡσυχίας ἐπεσκίασεν ἐπὶ τὴν ψυχὴν ἐν ἐπιεικείᾳ, καὶ γαλήνῃ, καὶ εἰρήνῃ, ἣν παρὰ τὸ ἔθος εἴωθε γεννᾷν ἐν τῇ διανοίᾳ; ἁρπάζεται ὁ νοῦς ἀεὶ ἔξωθεν τοῦ θελήματος εἰς τὰς ἐννοίας τῶν ἀσωμάτων, εἰς ἅπερ οὐκ ἐπετράπησαν αἱ αἰσθήσεις ἑρμηνεῦσαι αὐτά; ἐξάπτεται ἐν σοὶ ἐξαίφνης χαρὰ, ἡ κατασιγάζουσα τὴν γλῶσσαν; ἐν τῇ ἀνομοίῳ τρυφῇ ἑαυτῆς βρύει ἐκ τῆς καρδίας ἀεὶ ἡδονήτις, καὶ ἕλκει τὸν νοῦν ὅλον ἐξ ὅλου; (1)

Ἀνεπαισθήτως κατὰ καιρὸν, καὶ καιρὸν ἐμπίπτει εἰς ὅλον τὸ σῶμα τρυφήτις καὶ ἀγαλλίασις· ἅπερ γλῶσσα σαρκίνη οὐ δύναται αὐτὰ ἐξειπεῖν, ἕως ἂν πάντα τὰ ἐπίγεια αποδὸν καὶ σκύβαλα ἡγήσηται. ἐν τῇ μνήμῃ ταύτῃ, ἐκείνη γὰρ ἡ πρώτη ἡ τῆς καρδίας, (2) ἐν καιρῷ, ἐν ὥρᾳ τῆς προσευχῆς, καὶ ἐν καιρῷ

ςωσιν, καὶ τὴν ἐνδεχομένην τῷ ἀνθρωπίνῳ βίῳ ἐμφαίνει τελειότητα· τὰ δὲ ἔξωθεν τοῦ Ἰορδάνου, τὰς ἐκ τῶν παθῶν ἀκαθαρσίας, καὶ τὴν ἐκ τῆς ἁμαρτίας ταραχὴν, καὶ τὸ ἐμπαθὲς ὑπαινίττεται πολίτευμα.

(1) Τὸ, ἐν τῇ ἀνομοίῳ τρυφῇ ἑαυτῆς βρύει ἐκ τῆς καρδίας ἀεὶ ἡδονήτις, καὶ ἕλκει τὸν νοῦν ὅλον ἐξ ὅλου; ταυτὸν δοκεῖ τῷ, βρύει ἐκ τῆς καρδίας ἡδονήτις ἀνόμοιος τῇ ἑαυτῆς τρυφῇ, (τουτέστι τῇ σαρκικῇ) ἕλκουσα τὸν νοῦν ὅλον ἐξ ὅλου;

(2) Δύω ἐκ τῆς τῶν παθῶν ἀπονεκρώσεως ἐκφύουσιν ἡδοναί. ἡ μὲν, συνεχὴς, καὶ ἀδιάκοπος, καὶ ἐκ τῆς καρδίας βρύουσα· (βρύει, γάρ φησι

καιρῷ ἐν τῇ ἀναγνώσει, καὶ ἐν καιρῷ πάλιν ἐκ τῆς διηνεκοῦς μελέτης, καὶ τοῦ μήκους τῆς διανοίας (1) θερμαίνεται ὁ νοῦς. αὕτη δὲ ἡ ἐσχάτη, ὡς τὰ πολλὰ ἔξωθεν τούτων, καὶ ποσάκις ἐν ἔργῳ παρέργῳ, καὶ εἰς τὰ πολλὰ τῶν νυκτῶν ἐν τῷ αὐτῷ τρόπῳ· ὅτε μεταξὺ τοῦ ὕπνου, καὶ τῆς ἐγρηγόρσεως, ὡς ὑπνῶν, καὶ ὡς μὴ ὑπνῶν, καὶ ἐγρηγορὼς, καὶ οὐκ ἐγρηγορὼς ἐπισυμβαίνει. ὅταν δὲ ἐπιδημήσῃ τῷ ἀνθρώπῳ ἐκείνη ἡ τρυφὴ ἡ σφύζουσα ἐν ὅλῳ τῷ σώματι αὐτοῦ, οὕτω νομίζει ὁ τοιοῦτος ἐν ἐκείνῃ τῇ ὥρᾳ, ὡς οὐκ ἔστιν ἄλλο τὶ ἡ τῶν οὐρανῶν βασιλεία, ἢ τοῦτο.

Βλέπε πάλιν εἰ ἡ ψυχὴ ἐκτήσατο δύναμιν ψιλοῦσαν τὰς μνήμας τὰς αἰσθητὰς ἐν τῇ δυνάμει τῆς ἐλπίδος τῆς καταπραϋνούσης τῆς καρδίας, καὶ κραταιοῦσαν τὰς αἰσθήσεις τὰς ἐσωτικὰς ἐν ἀνερμηνεύτῳ πληροφορίας πεποιθοῖ. καὶ εἰ ἐξυπνίσθη ἡ καρδία, χωρὶς τῆς περὶ αὐτῆς προνοίας, αἰχμαλωτισθῆναι τῶν ἐπιγείων, (2) ἐν τῇ ἀπαύστῳ διηγήσει μετὰ τῆς ἐργασίας αὐτῆς τῆς ἀδιαλείπτου, τῆς οὔσης μετὰ τοῦ σωτῆρος ἡμῶν.

Κτῆσαι

σιν, ἐκ τῆς καρδίας ἀεὶ ἡδονή τις) καὶ αὕτη ἐστὶν ἡ πρώτη. ἡ δὲ, ἐκ διαλημμάτων, καὶ διακεκομμένη, καὶ εἰς ὅλον τὸ σῶμα ἐμπίπλουσα. (λέγει γὰρ, κατὰ καιρὸν, καὶ καιρὸν ἐμπίπλει εἰς ὅλον τὸ σῶμα τρυφή τις) καὶ αὕτη ἐστὶν ἡ ἐσχάτη.

(1) Μῆκος διανοίας, ἡ παραπεπταμένη, καὶ ἐπὶ πλεῖστον διαρκοῦσα θεωρία.

(2) Τὸ, χωρὶς τῆς περὶ αὐτῆς προνοίας αἰχμαλωτισθῆναι τῶν ἐπιγείων, ταυτοσήμαντον οἶμαι τῷ, ἐλευθέρα τῆς ὑπὲρ τοῦ μὴ αἰχμαλωτισθῆναι ὑπὸ τῶν ἐπιγείων προνοίας τε καὶ μερίμνης. μόνοι δὲ οἱ τέλειοι, οἱ πόῤῥω πάσης τῆς τῶν γηΐνων προσπαθείας καθεστηκότες, καὶ ὕψου παντὸς κοσμικοῦ φρονήματος ὑπεραρθέντες, καὶ δεδιότες ἥκιστα τὴν τῶν ὑλικῶν αἰχμαλωσίαν, ταυτησὶ τῆς φροντίδος τυγχάνουσιν ἀπηλλαγμένοι.

Κτῆσαι γνῶσιν τῆς διαφορᾶς τῆς κλήσεως αὐτῆς, καὶ τῆς διηγήσεως, ὅταν ἀκούσῃς. ταχέως δὲ γεύσασθαι τούτων ποιεῖ τῇ ψυχῇ ἡ μὴ διακοπτομένη ἡσυχία ἐν τῇ ἀδιαλείπτῳ ἐργασίᾳ αὐτῆς, καὶ διαμενούσῃ. ἀπόλλυνται γὰρ πάλιν μετὰ τὴν εὕρεσιν αὐτῶν ἐκ τῆς ἀμελείας τῶν δεχομένων, καὶ ἐν μακρῷ χρόνῳ αὖθις οὐχ εὑρίσκονται. ἐν τούτοις γὰρ τολμᾷ τις τοῦ εἰπεῖν, τεθαῤῥηκὼς τῇ μαρτυρίᾳ τῆς συνειδήσεως αὐτοῦ,
„ ὅπερ εἶπεν ὁ μακάριος Παῦλος φάσκων, πέπεισμαι, ὅτι οὔτε
„ θάνατος, οὔτε ζωή, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε τὰ λοι-
„ πὰ ἄλλα, χωρίσαι με τῆς ἀγάπης δύνανται τοῦ Χριστοῦ. οὔτε γὰρ θλίψεις αἱ τοῦ σώματος, καὶ μετ᾽ αὐτῶν αἱ τῆς ψυχῆς, οὔτε λιμός, οὐ διωγμός, οὐ γυμνότης, οὐ μόνωσις, οὐκ ἐγκλεισμός, οὐ κίνδυνος, οὐ μάχαιρα, ἀλλ᾽ οὐδὲ οἱ Ἄγγελοι τοῦ Σατανᾶ, οὔτε αἱ δυνάμεις αὐτοῦ ἐν τοῖς κακοῖς τρόποις τῶν μηχανημάτων, οὔτε ἡ καταργουμένη δόξα ἐν τῇ ἑαυτῆς προσβολῇ, τῇ προσβαλλούσῃ αὐτῷ, οὔτε συκοφαντίαι, καὶ μέμψεις ἐν κολαφισμῷ, δωρεὰν καὶ μάτην γινόμεναι.

Ῥωμ. η. λη.

Ἐὰν δὲ ταῦτα, ὦ ἀδελφέ, κατά τινα τρόπον πλεονάζειν, ἢ ὑστερεῖν, θεωρεῖσθαι ἐν τῇ ψυχῇ σου ἤρξαντο, οἱ κάματοί σου, καὶ αἱ θλίψεις, καὶ ἡ ἡσυχία σου ἅπασα, μόχθος ἐστὶν ἀνόνητος. καὶ οὐδὲ ἐὰν θαυμάσια ἐν ταῖς χερσί σου ἐργάζωνται, καὶ τοὺς νεκροὺς ἀνιστῶσιν, εἰς ὁμοίωσιν τούτων λογίζονται. καὶ δὴ ἀρτίως κίνησον τὴν ψυχήν σου, καὶ ἐν δάκρυσι πεῖσον τὸν σώζοντα τὰ πάντα, ἀφαιρεῖν τὸν βῆλον τῆς θύρας τῆς καρδίας σου, καὶ τὴν σκότωσιν τῆς καταιγίδος τῶν παθῶν ἐκτῖλαι τοῦ ἔνδοθεν στερεώματος, τοῦ ἀξιωθῆναί σε ἰδεῖν τὴν ἀκτῖνα τῆς ἡμέρας, ἵνα μὴ γένῃ ὡς νεκρὸς καθήμενος ἐν σκοτώσει εἰς τοὺς αἰῶνας.

Ἀγρυπνία διηνεκὴς μετὰ ἀναγνώσεως, καὶ μετάνοιαι συνεχεῖς ἐκ διαδοχῆς γινόμεναι ὑπό τινος, οὐ χρονίζουσι δοῦναι ταῦτα τὰ ἀγαθὰ τοῖς οὖσι σπουδαίοις. καὶ ὁ εὑρὼν αὐτὰ, ἐν τούτοις εὗρεν αὐτά. (1) Καὶ οἱ θέλοντες πάλιν ταῦτα εὑρεῖν, χρήζουσιν ἐμμεῖναι τῇ ἡσυχίᾳ, συνάμα τῇ ἐργασίᾳ τούτων, καὶ πρὸς τούτοις μὴ δεσμευθῆναι τὴν αὐτῶν διάνοιαν ἔν τινι, μηδὲ ἐν ἀνθρώπῳ, ἐκτὸς τῆς ψυχῆς ἑαυτῶν. ἐν τῇ ἐργασίᾳ δὲ τῆς ἀρετῆς τῇ ἔνδον, ἐργάζεσθαι. ἀλλὰ καὶ ἐν αὐταῖς τοῖς ἔργοις, ἐπ' αὐτοῖς τούτων εὑρίσκομεν μερικῶς ἐγγὺς ἡμῶν αἴσθησιν ἀκριβῆ, δι' ἧς καὶ περὶ τῶν λοιπῶν βεβαιούμεθα.

Ὁ ἐν τῇ ἡσυχίᾳ καθήμενος, καὶ πεῖραν τῆς χρηστότητος λαβὼν τοῦ Θεοῦ, οὐ χρήζει πολλῆς πιθανότητος, ἀλλ' οὐδὲ κατά τινα τρόπον ἀπιστίας νοσεῖ ἡ ψυχὴ αὐτοῦ, ὡς οἱ διστάζοντες τῇ ἀληθείᾳ. ἡ μαρτυρία γὰρ τῆς ἑαυτοῦ διανοίας ἱκανοῖ πεῖσαι ἑαυτὸν ὑπὲρ ἀπείρους λόγους, πείρας ὄντας χωρίς. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα, καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας. Ἀμήν.

(1) Τὸ Ε. Χ. καὶ ὁ εὑρὼν, ἐν τούτοις εὗρεν αὐτά.

ΛΟΓΟΣ

ΛΟΓΟΣ Θ.

ΠΕΡΙ ΤΑΞΕΩΣ ΤΗΣ ΜΟΝΑΧΙΚΗΣ ΠΟΛΙΤΕΙΑΣ, ΣΥΝΤΟΜΙΑΣ ΤΕ ΚΑΙ ΔΙΑΦΟΡΑΣ.

Καὶ πῶς τε καὶ ποίῳ τρόπῳ τίκτονται αἱ ἀρεταὶ ἐξ ἀλλήλων.

Ἐκ τῆς ἐργασίας τῆς βιαίας τίκτεται ἡ θέρμη ἡ ἄμετρος, ἡ πυρπολεμένη ἐν τῇ καρδίᾳ ἐκ τῶν θερμῶν ἐνθυμήσεων, τῶν καινῶς ἐπιπολαζουσῶν τῇ διανοίᾳ. αὕτη δὲ ἡ ἐργασία, καὶ ἡ φυλακὴ λεπτύνουσι τὸν νοῦν ἐν τῇ θέρμῃ αὐτῶν, καὶ παρέχουσιν αὐτῷ ὅρασιν. καὶ αὕτη ἡ ὅρασις τίκτει τοὺς θερμοὺς λογισμοὺς, οὓς προεῖπον, ἐν τῷ βάθει τῆς ὁράσεως τῆς ψυχῆς. ἥτις καλεῖται θεωρία. αὕτη δὲ ἡ θεωρία τίκτει τὴν θέρμην, καὶ ἐκ τῆς θέρμης ταύτης, τῆς ἐκ τῆς χάριτος τῆς θεωρίας ἐπιγινομένης, γεννᾶται ἡ ἐπιῤῥοὴ τῶν δακρύων. ἐξ ἀρχῆς μὲν μικρὸν κέρδος, (1) τουτέστιν ἐν μιᾷ ἡμέρᾳ πολλάκις ἐπέρχεται τῷ ἀνθρώπῳ δάκρυα, καὶ αὖθις ἐλλείπει, καὶ ἐκ τούτου ἔρχεται τὸ ἄπαυστον δάκρυον, καὶ ἐκ τῶν ἀπαύστων δακρύων δέχεται ἡ ψυχὴ τὴν εἰρήνην τῶν λογισμῶν. ἐκ δὲ τῆς εἰρήνης τῶν λογισμῶν, ὑψοῦται εἰς τὴν καθαρότητα τοῦ νοός. διὰ δὲ τῆς τοῦ νοῦ καθαρότητος, ἔρχεται ὁ ἄνθρωπος εἰς τὸ βλέ-

Η 2 πειν

(1) Μικρόν τι μέρος τὸ Ε. Χ.

ρεῖν τὰ μυστήρια τοῦ Θεοῦ. διότι ἡ καθαρότης σὺν τῇ ἀπὸ τῶν πολέμων εἰρήνῃ κεκρυμμένη ἐστί. μετὰ δὲ ταῦτα φθάνει ὁ νοῦς ἰδεῖν ἀποκαλύψεις καὶ σημεῖα, ὡς εἶδεν Ἰεζεκιὴλ ὁ προφήτης. ἅπερ εἰκονίζει τὰς τρεῖς τάξεις, (1) δι' ἃς προσεγγίζει τῷ Θεῷ ἡ ψυχή. τούτων ἁπάντων ἀρχὴ ἡ πρὸς Θεὸν ἀγαθὴ πρόθεσις, καὶ τὰ εἴδη τῶν ἔργων τῆς ἡσυχίας, τὰ ἀμετάτρεπτα. ἅπερ τίκτεται ἐκ τῆς πολλῆς ἐκκοπῆς, καὶ τοῦ μακρυσμοῦ τῶν βιωτικῶν. οὐ τοσοῦτον δὲ ἀναγκαῖόν ἐστι τὰ εἴδη τούτων τῶν ἔργων καθ' ἕκαστον εἰπεῖν. διότι τοῖς πᾶσιν εἰσὶν ἐγνωσμένα. ὅμως ἐπειδὴ

(1) Ἅπερ εἰκονίζει τὰς τρεῖς τάξεις. τούτων πρώτη μὲν, ὡς ἀνωτέρω ἔφη, ἡ βιαία ἐργασία, ἤτουν ἡ πεῖνα, ἡ ἀνάγνωσις, ἡ ὁλονύκτος καὶ νήφουσα ἀγρυπνία, καὶ τὰ λοιπὰ, ὅσα τούτοις συγκαταλέγει· δευτέρα δὲ, ἡ θεωρία· τρίτη δὲ, ἡ θέρμη, ἐξ ἧς τὸ ἄπαυστον δάκρυον. τρία δὲ καὶ τὰ σημεῖα, ἃ εἶδεν Ἰεζεκιὴλ ὁ Προφήτης. πρῶτον, πνεῦμα ἐξαῖρον ἀπὸ Βορρᾶ ἐρχόμενον· δεύτερον, φέγγος κύκλῳ αὐτοῦ· τρίτον, ἤλεκτρον ἐν μέσῳ τοῦ πυρός. (ἐν Κεφ. α. ἐδ. δ.) καὶ τὸ μὲν πνεῦμα, τὴν ἐργασίαν εἰκονίζει. βίαιον γὰρ, καὶ ἐξαῖρον τὸ ἀπὸ Βορρᾶ ἐρχόμενον πνεῦμα, καθάπερ καὶ ἡ ἐργασία βιαία, ὡς βίᾳ σωματικῇ ἐπιτελουμένη, καὶ βιαίως πάσης σαρκικῆς προσπαθείας ἡμᾶς ἐξαίρουσα. ταύτην δὲ τὴν ἐργασίαν αἰνίττεται καὶ τὸ ὑπὸ τοῦ Σωτῆρος εἰρημένον, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. (Ματθ. ια. ιβ.) τὸ δὲ φέγγος, τὴν θεωρίαν. τί γὰρ ἄλλο θεωρήσειεν ἄν τις διὰ τῆς θεωρίας ταύτης, εἰ μὴ τὸν Θεόν; φῶς δὲ ὁ Θεός. ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. (Ἰωαν. η. ιβ.) καὶ τοῖς τοῦτον θεωροῦσι φῶς ἀνατέλλει, φῶς γάρ φησιν ἀνέτειλε τῷ δικαίῳ, (Ψαλμ. ϛ. ια.) καὶ φῶς διαπαντὸς ἐνώπιον τῶν ὀφθαλμῶν αὐτῶν. φῶς δικαίοις διαπαντός. (Παροιμ. ιγ. θ.) τὸ δὲ καιόμενον ἤλεκτρον, τὴν οὐράνιον τῆς χάριτος θέρμην, τὴν ἐν τῇ καρδίᾳ ὑπερφυῶς συνισταμένην, καὶ ὑπερήδιστα ὅλην τὴν ψυχὴν διαθερμαίνουσαν, καὶ θείου πόθου, καὶ ἀγάπης ἐμπιπλῶσαν. ἥνπερ ὁ Κλεόπας σὺν τῷ συνοδοιπόρῳ ἐπαισθόμενοι, πρὸς ἀλλήλους ἔλεγον· οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; Λουκ. κδ. λβ.

ἐπειδὴ ἀζήμιος πέφυκεν ἡ τούτων ἔκθεσις τοῖς ἐντυγχάνουσιν, ἐπικερδὴς δὲ μᾶλλον, ὡς ἔγωγε φημὶ, οὐκ ὀκνητέον ἐκθέσθαι ταῦτα.

Ἅτινα εἰσὶν ἡ πεῖνα, ἡ ἀνάχωσις, ἡ ὁλονύκτιος καὶ νήφουσα ἀγρυπνία, κατὰ τὴν ἑκάστου δύναμιν, καὶ τὸ πλῆθος τῶν μετανοιῶν, ὅπερ ποιεῖν χρειῶδες ἐν τε ταῖς ὥραις τῆς ἡμέρας, καὶ ἐν νυκτὶ πολλάκις. ἔστω δὲ τὸ ἐλάχιστον τριάκοντα ποιῆσαι μετανοίας ἐφάπαξ, καὶ μετέπειτα προσκυνῆσαι τὸν τίμιον σταυρὸν, καὶ ἀναχωρῆσαι. εἰσὶ δέ τινες, οἵτινες προστιθέασι τῷ μέτρῳ τούτων κατὰ τὴν ἑαυτῶν δύναμιν. ἄλλοι ἐν μιᾷ εὐχῇ ποιοῦσι τρεῖς ὥρας, ἔχοντες τὸν νοῦν νήφοντα, καὶ ῥίπτοντες ἑαυτοὺς χωρὶς βίας, καὶ μετεωρισμοῦ λογισμῶν ἐπὶ πρόσωπον. καὶ ταῦτα τὰ δύω εἴδη δηλοῦσι καὶ ἐμφαίνουσι τοῦ πλούτου τὸ πλῆθος τῆς χρηστότητος, ἤτοι τῆς χάριτος. ἥτις ἑκάστῳ τῶν ἀνθρώπων κατὰ τὴν οἰκείαν ἀξίαν διαιρεῖται. τίς δὲ ὁ τρόπος τῆς ἑτέρας προσευχῆς, καὶ τῆς ἐν αὐτῇ τε διαμονῆς τῆς ἐλευθέρας ἀπὸ τῆς βίας, οὐ δίκαιον ἐλογισάμην ἐμφανίσαι, οὐδὲ λόγοις γλώττης, καὶ χαράγμασι ἐκφέρειν αὐτῆς τὴν τάξιν, ἵνα μὴ ὁ ἀναγινώσκων, καὶ μηδὲν εὑρεθεὶς καταλαβὼν ὧν ἀναγινώσκει, νομίσῃ ἀνόητα εἶναι τὰ γεγραμμένα. ἢ ἐὰν εὑρεθῇ εἰδὼς ταῦτα, γένηται ἐξουτελίζων τὸν μὴ εἰδότα τὴν τῶν πραγμάτων τάξιν. καὶ ἐκ τούτου μὲν, μέμψις· ἐκ δὲ τοῦ ἑτέρου, γέλως. καὶ εὑρεθήσομαι βάρβαρος ἐν τοῖς τοιούτοις πράγμασι, κατὰ τὸ τοῦ Ἀποστόλου λόγιον. ὅπερ περὶ τοῦ προφητεύοντος εἴρηκεν. ὁ οὖν ἐπιθυμῶν μαθεῖν ταῦτα, διοδευέτω ἐν τῇ ὁδῷ τῇ προγεγραμμένῃ, καὶ ἀκόλουθον ποιείτω τὴν ἐργασίαν τῇ διανοίᾳ.

καὶ ὅταν ἐν τούτοις γένηται ἐν ἔργῳ, αὐτὸς ἀφ᾽ ἑαυτοῦ μαθήσεται, καὶ οὐ δεηθήσεται πάντως τοῦ διδάξοντος. καθέζου γάρ φησιν ἐν τῷ κελλίῳ σου, καὶ αὐτὸ καθ᾽ αὐτὸ πάντα σε διδάξει. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Ι.

ΠΕΡΙ

ΤΟΥ ΕΝ ΤΙΝΙ ΔΙΑΦΥΛΑΤΤΕΤΑΙ ΤΟ ΚΑΛΛΟΣ ΤΗΣ ΜΟΝΑΧΙΚΗΣ ΠΟΛΙΤΕΙΑΣ,

καὶ τίς ὁ τρόπος τῆς τοῦ Θεοῦ δοξολογίας.

Δεῖ τὸν μοναχὸν εἶναι ἐν πᾶσι τοῖς ἑαυτοῦ σχήμασι, καὶ πράγμασι τύπον ὠφελείας τοῖς ὁρῶσιν αὐτόν. ὅπως ἐκ τῶν πολλῶν ἀρετῶν αὐτοῦ τῶν διαλαμπουσῶν ὡς ἀκτίνων, βλέποντες οἱ τῆς ἀληθείας ἐχθροὶ, καὶ μὴ βουλόμενοι ὁμολογήσωσιν, ὅτι ἐστὶ τοῖς χριστιανοῖς ἐλπὶς σωτηρίας βεβαία, καὶ ἀμετάπτωτος, πανταχόθεν τε ἐπιδράμωσι πρὸς αὐτὸν, ὡς καταφύγιον ὄντα. ὥστε ὑψωθῆναι τὸ κέρας τῆς ἐκκλησίας κατὰ τῶν ἐχθρῶν αὐτῆς, καὶ πολλοὺς κινηθῆναι πρὸς ζῆλον τῆς αὐτοῦ ἀρετῆς, καὶ τοῦ κόσμου ἐξελθεῖν, καὶ γενέσθαι αὐτὸν αἰδέσιμον ἐν πᾶσιν ἐκ τοῦ κάλλους τῆς πολιτείας αὐτοῦ. καύχημα γὰρ τῆς Χριστοῦ ἐκκλησίας ἡ μοναχικὴ πολιτεία.

Δεῖ οὖν τὸν μοναχὸν ἔχειν σχήματα ὡραῖα ἐκ πάντων τῶν μερῶν αὐτοῦ, ἤγουν ὑπεροψίαν τῶν ὁρωμένων, ἀκριβῆ ἀκτημοσύνην, καταφρόνησιν τελείαν τῆς σαρκὸς, νηστείαν ὑψηλὴν, διαμο-

διαμονὴν ἐν τῇ ἡσυχίᾳ, εὐταξίαν τῶν αἰσθήσεων, ὁράσεως παραφυλακὴν, πάσης ἔριδος περὶ πράγματος τοῦ αἰῶνος τούτου ἐκκοπὴν, τὴν ἐν λόγοις βραχύτητα, τὴν ἐκ μνησικακίας καθαρότητα, τὴν μετὰ διακρίσεως ἁπλότητα, ἀκεραιότητα καὶ ἀφελότητα καρδίας μετὰ συνέσεως, καὶ εὐτρεχείας, καὶ ἀγχινοίας. τὸ γινώσκειν, ὅτι περιττὴ ἡ παροῦσα ζωὴ, καὶ εὐπετὴς, καὶ ὅτι ἐγγύς ἐστιν ἡ ζωὴ ἐκείνη ἡ ἀληθινὴ, καὶ πνευματική. τὸ μὴ γινώσκεσθαι ὑπὸ τῶν ἀνθρώπων, ἢ καταγινώσκεσθαι. τὸ μὴ δεσμεύειν ἑαυτὸν ἐν ἑταιρείᾳ, ἢ ἑνώσει τινὸς τῶν ἀνθρώπων. τὸ ἔχειν τὸν τόπον τῆς οἰκήσεως ἥσυχον. τὸ φεύγειν ἀεὶ τοὺς ἀνθρώπους, καὶ ἀδιαλείπτως ἐγκαρτερεῖν ταῖς προσευχαῖς, καὶ ταῖς ἀναγνώσεσι. τὸ μὴ ἀγαπᾶν τὴν τιμὴν, μηδὲ χαίρειν ξενίοις. τὸ μὴ δεσμεύειν ἑαυτὸν τῇ ζωῇ ταύτῃ. τὸ ὑπομένειν γενναίως τοὺς πειρασμοὺς, τὸ ἀπαλλαγῆναι τῶν κοσμικῶν ἐφέσεων, καὶ τῆς ἐξερευνήσεως, καὶ μνήμης τῶν πραγμάτων αὐτῶν. τὸ διηνεκῶς φροντίζειν καὶ μελετᾶν εἰς τὴν χώραν τὴν ἀληθινήν. τὸ ἔχειν τὸ πρόσωπον συννοὸν, καὶ ἐρρικνωμένον. τὸ δακρύειν διηνεκῶς νυκτὸς καὶ ἡμέρας. καὶ τὸ πάντων τούτων πλέον, τὸ φυλάσσειν τὴν ἰδίαν σωφροσύνην, καὶ καθαρεύειν ἀπὸ τῆς γαστριμαργίας, καὶ ἀπὸ τῶν μικρῶν, καὶ ἀπὸ τῶν μεγάλων. αὗται γάρ εἰσιν αἱ ἀρεταὶ τοῦ μοναχοῦ ὡς ἐν συντόμῳ εἰπεῖν, αἱ μαρτυροῦσαι αὐτῷ τὴν ἀπὸ τοῦ κόσμου παντελῆ θνῆσιν, καὶ τὴν πρὸς Θεὸν ἐγγύτητα.

Δεῖ οὖν ἡμᾶς φροντίζειν αὐτῶν ἐν παντὶ καιρῷ, καὶ κτήσασθαι αὐτάς. ἐὰν δέτις εἴπῃ, τίς ἦν ἡ χρεία τοῦ κατὰ μέρος ὁρίζειν αὐτὰ, καὶ μὴ καθόλου, καὶ ἐν συντόμῳ περὶ αὐτῶν εἰπεῖν. ἐρῶ, ὅτι τοῦτο ἀναγκαίως γέγονεν, ἵνα ὅταν ζητήσῃ αὐτοὺς

τῶν

τῶν εἰρημένων ἐν τῇ ψυχῇ αὐτοῦ ὁ ἐπιμελούμενος τῆς ζωῆς αὐτοῦ, καὶ εὕρῃ ὅτι οὐδείς ἐστιν ἑνὸς τούτων τῶν ὡρισμένων, γνώσεται ἐντεῦθεν τὸ ἐλάττωμα αὐτοῦ ἐν πάσῃ ἀρετῇ, καὶ ἔσται αὐτῷ αὕτη ἡ τάξις ἐν μέρει ὑπομνήματος. ὅταν δὲ κτήσηται τὰ ὡρισμένα ἅπαντα ἐν ἑαυτῷ, τότε καὶ ἡ γνῶσις τῶν λοιπῶν, ὧν οὐκ ἐμνήσθην, δοθήσεται αὐτῷ. καὶ ἔσται τοῖς ἀνθρώποις τοῖς ἁγίοις αἴτιος δοξολογίας, τῆς εἰς Θεόν. κἀντεῦθεν ἑτοιμάσει τῇ ψυχῇ αὐτοῦ τόπον ἀνέσεως πρὸ τοῦ ἐξελθεῖν αὐτὸν ἐκ τοῦδε τοῦ βίου. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΙΑ.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΤΟΝ ΔΟΥΛΟΝ ΤΟΥ ΘΕΟΥ ΤΟΝ ΠΤΩΧΕΥΣΑΝΤΑ ΑΠΟ ΤΩΝ ΚΟΣΜΙΚΩΝ,

καὶ ἐξεληλυθότα εἰς ἀναζήτησιν αὐτοῦ, διὰ τὸ μὴ ἐφθακέναι τὴν κατάληψιν τῆς ἀληθείας, φόβῳ τούτου παύσασθαι τῆς ἀναζητήσεως, καὶ ψυχρανθῆναι τῆς θέρμης τῆς τικτομένης ἀπὸ τοῦ πόθου τῶν θείων, καὶ τῆς ἐρευνήσεως τῶν μυστηρίων αὐτῶν. Δι' ὧν τρόπων πέφυκεν ὁ νοῦς φύρεσθαι ἐν τῇ μνήμῃ τῶν παθῶν.

Τρεῖς εἰσὶ τάξεις, ἐν αἷς προκόπτει ὁ ἄνθρωπος. ἡ τάξις τῶν ἀρχαρίων, καὶ ἡ μέση, καὶ ἡ τῶν τελείων. καὶ ὁ μὲν ἐν τῇ πρώτῃ τάξει ὤν, εἰ καὶ τὸ φρόνημα αὐτοῦ εἰς τὸ ἀγαθὸν ῥέπει, ἀλλ' ἔτι ἡ κίνησις τῆς διανοίας αὐτοῦ ἐν τοῖς πάθεσιν ἐστίν.

ἐστίν. ἡ δὲ δευτέρα, μέση τίς ἐστιν ἐμπαθείας, καὶ ἀπαθείας, καὶ οἱ δεξιοὶ λογισμοὶ, καὶ οἱ ἐξ εὐωνύμων ἐξίσης κινοῦνται ἐν αὐτῷ. καὶ οὐ παύεται ὅλως βρύων τὸ φῶς, καὶ τὸ σκότος, ὡς ἤδη εἴρηται. ἐὰν δὲ παύσηται πρὸς ὀλίγον ἀπὸ τῆς συνεχοῦς ἀναγνώσεως τῶν θείων γραφῶν, καὶ τῆς φαντασίας τῶν θείων νοημάτων, ἐν οἷς φανταζόμενος ἐξάπτεται ἐν τοῖς τρόποις τῆς ἀληθείας κατὰ τὴν ἑαυτοῦ δύναμιν μετὰ τῆς παραφυλακῆς τῆς ἔξωθεν, ἐξ ἧς γίνεται καὶ ἡ ἐνδοτάτη φυλακὴ, καὶ τὸ ἔργον τὸ ἱκανὸν, μέλλει ἀνθέλκεσθαι εἰς τὰ πάθη. ἐὰν δὲ θρέψῃ τὴν φυσικὴν αὐτοῦ θέρμην ἐν οἷς ἔφην, καὶ μὴ ἐάσῃ τὴν ἀναζήτησιν, καὶ τὴν ἔρευναν, καὶ τὸν πρὸς αὐτὰ πόθον μακρόθεν, κἂν οὐχ ἑώρακεν αὐτὰ, ἀλλ᾽ ἐκ τοῦ νεύματος τῆς ἀναγνώσεως τῶν θείων γραφῶν τρέφων τοὺς λογισμοὺς αὐτοῦ, καὶ συνέχων, ἵνα μὴ κλίνωσιν εἰς τὰ ἀριστερὰ, καὶ μὴ δέξηται σπόρον τινὰ διαβολικὸν ἐν σχήματι ἀληθείας, φυλάξῃ δὲ μᾶλλον τὴν ἑαυτοῦ ψυχὴν μετὰ πόθου, καὶ αἰτήσηται τὸν Θεὸν μετὰ ἐμπόνου προσευχῆς καὶ ὑπομονῆς, αὐτὸς παρέξει αὐτῷ τὴν αἴτησιν αὐτοῦ, καὶ ἀνοίξει αὐτῷ τὴν θύραν αὐτοῦ, καὶ μάλιστα διὰ τὴν ταπείνωσιν αὐτοῦ. τὰ γὰρ μυστήρια τοῖς ταπεινόφροσιν ἀποκαλύπτονται. ἐὰν δὲ ἀποθάνῃ ἐπὶ ταύτῃ τῇ ἐλπίδι, εἰ καὶ μηδαμοῦ θεάσηται τὴν γῆν ἐκείνην ἐκ τοῦ συνέγγυς, ἀλλ᾽ οἶμαι, ὅτι ἡ κληρονομία αὐτοῦ μετὰ τῶν ἀρχαίων δικαίων ἔσται, τῶν ἐλπισάντων φθάσαι τὴν τελειότητα, καὶ μὴ θεασαμένων αὐτὴν κατὰ τὸ ἀποστολικὸν λόγιον, (1) ὅτι ἐπ᾽ ἐλπίδι εἰργάσαντο

(1) Τοῦτο τυχὸν λέγει. καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς „ πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν. Ἑβρ. ια. λθ.

σαντο πάσας τὰς ἡμέρας αὐτῶν, καὶ ἐκοιμήθησαν. ἀλλὰ τί εἴπωμεν, ἐὰν μὴ φθάσῃ ὁ ἄνθρωπος εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἥτις ἐςὶ τύπος τῆς τελειώσεως, τȣτέςι καταλαβεῖν τὴν ἀλήθειαν φανερῶς, κατὰ τὸ μέτρον τῆς φυσικῆς δυνάμεως; ἆρα διὰ τȣ̃το κωλύεται ἀπὸ τȣ́τȣ, καὶ μένει ἐν τῇ ἐχάτῃ τάξει, ἧς πᾶσα ἡ πρόθεσις ἐπὶ τὰ ἀριςερὰ κέκλικεν; ἢ καὶ διὰ τὸ μὴ καταλαβεῖν πᾶσαν τὴν ἀλήθειαν, ἆρα ἐμμένει τῇ ἀγνότητι τῆς ἐχάτης τάξεως, ἥτις ȣ̓ γινώσκει, ȣ̓δὲ ἐπιθυμεῖ τȣ́των; ἢ πρέπει αὐτὸν ὑψωθῆναι πρὸς ταύτην τὴν μέσην ὁδὸν, ἣν ἔφην; κἂν γὰρ ȣ̓κ ἐθεάσατο αὐτὴν, εἰ μὴ ὡς δι' ἐσόπτρȣ, ἀλλὰ ἤλπισε μακρόθεν, καὶ διὰ ταύτης τῆς ἐλπίδος συνετέθη τοῖς πατράσιν αὐτȣ̃. καὶ εἰ ȣ̓κ ἠξιώθη τῆς τελείας χάριτος ἐνταῦθα, ἀλλὰ διὰ τὸ πάντοτε αὐτῇ ὁμιλεῖν, καὶ ὅλῳ τῷ νῷ ἐν αὐτῇ ἀναςρέφεσθαι, καὶ διὰ τὸ κεῖσθαι ἐν τῇ ἐπιθυμίᾳ αὐτῆς ὅσον ζῇ, ἐδυνάτο ἐκκόψαι τȣ̀ς λογισμȣ̀ς τȣ̀ς πονηρȣ́ς. καὶ ὅτι ἐν τῇ ἐλπίδι ταύτῃ ἡ καρδία αὐτȣ̃ πεπληρωμένη ἐκ τȣ̃ Θεȣ̃, ἐξέρχεται ἐκ τȣ̃ κόσμȣ τȣ́τȣ.

Πᾶν ὁτιȣ̃ν (1) ἔχον ταπείνωσιν, εὐπρεπὲς πέφυκεν. ἡ γὰρ ἀδολεσχία (2) τȣ̃ νοὸς ἡ ἀσώματος εἰς τὸν πόθον τȣ̃ Θεȣ̃, ἥτις ὁδηγεῖται ἐκ τῆς κατανοήσεως τῶν θείων γραφῶν, περιφράττει τὴν ψυχὴν ἔσωθεν ἀπ' ἔμπροσθεν τῶν πονηρῶν λογισμῶν, καὶ τηρεῖ τὴν διάνοιαν ἐν τῇ μνήμῃ τῶν μελλόντων ἀγαθῶν.

(1) Τὸ Ε. Χ. πᾶν ἓν τὸ ἔχον ταπείνωσιν.

(2) Τὸ ἀδολεσχῶ, ἀντὶ τȣ̃ διηνεκῶς μελετῶ. ὡς τὸ, ἐν ταῖς ἐν-
„ τολαῖς σȣ ἀδολεσχήσω, (Ψαλμ. ριη. ιδ.) καὶ τὸ, ὁ δὲ δȣ̃λός σȣ ἠδολέσχει
„ ἐν τοῖς δικαιώμασί σȣ. (Ψαλμ. ριη. κβ.) ἐντεῦθεν ἐνταῦθα, καὶ ἀλλαχȣ̃ ἀδολεσχία, ἡ διηνεκὴς μελέτη.

ἀγαθῶν· ἵνα μὴ χαυνωθῇ ὁ νοῦς ἐν τῇ ἀμελείᾳ αὐτοῦ, καὶ χολάσῃ ἀντὶ τῶν κρειττόνων, εἰς τὴν μνήμην τῶν κοσμικῶν πραγμάτων. διότι ἐκ τούτων κατ᾽ ὀλίγον ψυχραίνονται αἱ θερμότητες τῶν θαυμαστῶν κινήσεων αὐτοῦ, καὶ ἐμπίπτει εἰς ἐπιθυμίας ματαίας τε καὶ ἀλόγους. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα.

ΛΟΓΟΣ ΙΒ.

ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΟΦΕΙΛΕΙ Ο ΔΙΑΚΡΙΤΙΚΟΣ ΚΑΘΕΖΕΣΘΑΙ ΕΝ ΤΗ ΗΣΥΧΙΑ.

Ἄκουσον ἀγαπητὲ, ἐὰν θέλῃς, ἵνα μὴ γένωνται τὰ ἔργα σου μάταια, καὶ αἱ ἡμέραι σου ἀργαὶ, καὶ στερούμεναι τοῦ κέρδους τοῦ ἐλπιζομένου τοῖς διακριτικοῖς ἐν τῇ ἡσυχίᾳ, ἡ εἴσοδός σου ἐν αὐτῇ ἐν διακρίσει ἔσω· ἀλλὰ μὴ ἐξ ὑποδοχῆς τινὸς, ἵνα μὴ γένῃ, ὡς οἱ πολλοί· ἀλλὰ γενέσθω σκοπὸς τεθειμένος ἐν τῇ διανοίᾳ σου, ἵνα πρὸς αὐτὸν εὐθύνῃς τὰ ἔργα τῆς πολιτείας σου. καὶ ἐρώτησον τοὺς ἐπὶ πλέον γινώσκοντας ἐκ πείρας, καὶ οὐχὶ ἀπὸ γνώσεως μόνον· καὶ μὴ παύσῃ, ἕως ἂν γυμνασθῇς ἐν πάσαις ταῖς τρίβοις τῶν ἔργων αὐτῆς. καὶ πᾶν βῆμα, ὅπερ τιθεὶς, γίνου ἐξετάζων, εἰ ἐν τῇ ὁδῷ πορεύῃ, ἢ ἔξωθεν αὐτῆς ἐξέκλινας, εἰς μίαν τρίβον ἔξωθεν αὐτῆς πορευόμενος. καὶ μὴ πιστεύσῃς, ἐκ τῶν ἔργων μόνων τῶν φανερῶν, ὅτι τελειοῦται ἡ ἀκριβὴς πολιτεία τῆς ἡσυχίας.

Ἐὰν ἐπιθυμῆς εὑρεῖν τι, καὶ φθάσαι αὐτὸ ἐν τῇ ἑαυτȣ̃ πείρᾳ, γενέσθω σοι σημεῖα καὶ τεκμήρια κρυπτῶς ἐν τῇ ψυχῇ σȣ εἰς ἕκαστον βῆμα, ὅπερ τιθεὶς, (1) καὶ ἐξ αὐτῶν μέλλεις γνῶναι τὴν ἀλήθειαν τῶν πατέρων, ἢ τὴν πλάνην τȣ̃ ἐχθρȣ̃. ἔστω δέ σοι ταῦτα τὰ ὀλίγα, ἕως ἂν σοφισθείης ἐν τῇ ὁδῷ σȣ. ὅτε ἐν τῇ ἡσυχίᾳ βλέπεις ἐν τῷ νοΐ σȣ τὴν διάνοιάν σȣ δυναμένην ἐλευθερίως ἐνεργεῖν ἐν τοῖς λογισμοῖς τοῖς δεξιοῖς, καὶ οὐκ ἔστι βία αὐτῇ ἐν τῇ ἐξουσίᾳ αὐτῆς περί τινος αὐτῶν, γνῶθι, ὅτι ἡ ἡσυχία σȣ ὀρθή ἐστι.

Καὶ πάλιν, ὅταν λειτȣργῇς, ἐὰν ἐν τῇ διαφορᾷ τῆς λειτȣργίας σȣ (2) πόρρω τȣ̃ μετεωρισμȣ̃ κατὰ τὸ δυνατὸν ὑπάρχῃς, καὶ ἐξαίφνης κόπτηται ὁ στίχος ἐκ τῆς γλώσσης σȣ, καὶ ἐκχέῃ κατὰ τῆς ψυχῆς σȣ τὰς πέδας τῆς σιωπῆς, ἔξωθεν τῆς ἐλευθερίας αὐτῆς, καὶ αὗται ἐξακολȣθȣ̃σι τῇ διαμονῇ, γνῶθι, ὅτι εἰς τȣ̃μπροσθεν ἔρχῃ ἐν τῇ ἡσυχίᾳ σȣ· καὶ ἤρξατο ἡ πραό-

τῆς

(1) Ὀρθότερ. τίθης.

(2) Λειτȣργίαν μὲν, τὴν προσευχὴν πάντως λέγει· διαφορὰν δὲ τῆς λειτȣργίας, τȣ̀ς διαφόρȣς τρόπȣς, οἷς τὸ θεῖον τῆς προσευχῆς ἔργον ἐκτελȣ̃μεν. καὶ γὰρ καὶ ψάλλοντες, καὶ ἀναγινώσκοντες, καὶ ὄρθιοι, καὶ γόνυ κάμπτοντες, καὶ μετανοίας ποιȣ̃ντες, καὶ τὰς χεῖρας αἴροντες, προσευχόμεθα. πάλιν. ὅτε μὲν, μυστικῶς· ὅτε δὲ, ἐκφώνως· καὶ ἄλλοτε μὲν, μόνῳ τῷ νῷ· ἄλλοτε δὲ, καὶ τοῖς χείλεσι. τί δὲ σημαίνει τὸ, καὶ ἐξαίφνης κόπτηται ὁ στίχος ἐκ τῆς γλώσσης σȣ, καὶ ἐκχέῃ κατὰ τῆς ψυχῆς σȣ τὰς πέδας τῆς σιωπῆς, ἔξωθεν τῆς ἐλευθερίας αὐτῆς; ἢ ὅτι ἄφνω ἀπολήγει ἡ διὰ τῆς γλώσσης τελȣμένη προσευχὴ, καὶ εἰς αὐτὴν τὴν ψυχὴν εἰσδύσασα, καὶ νοερὰ ὅλη γενομένη, ἀναγκάζει αὐτὴν, μὴ περὶ τὰ ἔξω κατὰ τὴν εἰθισμένην αὐτῇ ἐλευθερίαν περισπᾶσθαι, ἀλλὰ πᾶσαν ἄλλην μέριμναν καὶ μελέτην καταλιπȣ̃σαν καὶ παρασιωπήσασαν, μόνας τὰς τῆς προσευχῆς ἐννοίας καὶ ἀναπολεῖν, καὶ κατασκευάζειν.

της διπλασιάζεσθαι ἐν σοί. ἡ ἡσυχία γὰρ ἡ ἁπλῆ μεταξὺ τῆς δικαιοσύνης, ψεκτή ἐστιν. (1) ἡ πολιτεία ἡ ἁπλῆ, ὥσπερ μέλος μονογενὲς κεχωρισμένον ἐκ τῆς βοηθείας τῶν ἄλλων, ψηφίζεται παρὰ τοῖς φιλοσόφοις, καὶ διακριτικοῖς.

Καὶ ἐὰν πάλιν βλέπῃς τῇ ψυχῇ σου, ἐν ἑκάστῳ λογισμῷ κινουμένῳ ἐν αὐτῇ, καὶ πάσῃ μνήμῃ, καὶ ταῖς θεωρίαις ταῖς ἐν τῇ ἡσυχίᾳ σου, πληρουμένους τοὺς ὀφθαλμούς σου δακρύων, καὶ βρέχοντας κατὰ τῶν παρειῶν σου χωρὶς βίας, γνῶθι, ὅτι ἤρξατο γενέσθαι ἔμπροσθέν σου ἄνοιγμα τοῦ φραγμοῦ, εἰς κατάλυμα τῶν ἐναντίων.

Καὶ ἐὰν εὑρίσκῃς ἐν ἑαυτῷ κατὰ καιρὸν, καὶ καιρὸν βαπτιζομένην τὴν διάνοιάν σου αὐτός σου, χωρὶς προνοίας τῆς περὶ αὐτὴν ἔξωθεν τῆς τάξεως τοῦ ἔθους, καὶ διαμένῃ τὶ τῆς ὥρας, ἢ ὅπερ ἐστὶ, καὶ μετὰ ταῦτα βλέπῃς τὰ μέλη σου ὡσανεὶ ἐν ἀσθενείᾳ πολλῇ, καὶ βασιλεύει ἡ εἰρήνη ἐπὶ τοὺς λογισμούς σου, καὶ αὐτό σοι τοῦτο διαμένῃ ἀεὶ, γνῶθι, ὅτι ἤρξατο ἡ νεφέλη ἐπισκιάσαι ἐπὶ τὴν σκηνήν σου.

Ἐὰν δὲ, ὅταν καιρὸν ποιήσῃς ἐν τῇ ἡσυχίᾳ, εὑρίσκῃς εἰς τὴν ψυχήν σου λογισμοὺς, σχίζοντας καὶ ἐξουσιάζοντας αὐτῆς, καὶ ὡς ἐν βίᾳ παραλαμβάνηται ἐξ αὐτῶν ἐν πάσῃ ὥρᾳ, καὶ ὁδηγῆται ἡ διάνοια αὐτῆς ἐν παντὶ καιρῷ εἰς ἅπερ ἐπράχθη ὑπ᾽ αὐτῆς, ἢ ἐπιθυμῇ ἐξετάσαι τὰ μάταια, γνῶθι, ὅτι ματαίως κοπιᾷς ἐν τῇ ἡσυχίᾳ, καὶ ἐν τῷ μετεωρισμῷ διάγει ἡ ψυχή σου. καὶ γίνονται αὐτῇ αἰτίαι ἔξωθεν, ἢ ἀπὸ ἀμελείας τῆς

(1) Τοῦτο σημαίνει, ὅτι τὴν ἡσυχίαν μόνην, χωρίς τινος ἄλλης ἀρετῆς, ψεκτὴν εὑρίσκομεν, δικαίως κρίνοντες.

τῆς ἔνδον ἀπὸ τῶν καθηκόντων, μᾶλλον δὲ ἐκ τῆς ἀγρυπνίας, καὶ τῆς ἀναγνώσεως, καὶ εὐθέως κατάστησον τὸ πρᾶγμά σε.

Ἐὰν δὲ, ὅταν εἰσέλθῃς ἐν ταῖς ἡμέραις αὐταῖς, ἐχ' εὑρήσκης εἰρήνην ἐκ τῆς ὀχλήσεως τῶν παθῶν, μὴ θαυμάσῃς. ἐὰν γὰρ ὁ κόλπος τῆ κόσμε, διαδραμεσῶν ἐξ αὐτῆ τῶν ἀκτίνων τῆ ἡλίε, μετὰ ὥραν μακρὰν ἐν θερμότητι διατελῇ, καὶ ἡ ὀσμὴ πάλιν τῶν φαρμάκων, καὶ ὁ καπνὸς τῆ μύρε, ὁ ἐκχεόμενος ἐν τῷ ἀέρι, ὥραν μακρὰν διαμένει πρὸ τῆ διασκεδασθῆναι, καὶ ἀφανισθῆναι, πόσῳ μᾶλλον τὰ πάθη, τὰ ὡς δίκην κυνῶν εἰωθότων ἐν μακέλλῳ λεῖξαι τὸ αἷμα, ἡνίκα κωλυθείη τῆς ὕλης τῆ ἔθες αὐτῶν, ἵστανται πρὸ τῶν θυρῶν ὑλακτῆντα, ἕως ἂν διασκεδασθῇ ἡ δύναμις τῆς προτέρας αὐτῶν συνηθείας;

Ὅτε ἄρξεται ἡ ἀμέλεια κλοπιμαίῳ τρόπῳ εἰσελθεῖν ἐν τῇ ψυχῇ σε, καὶ εἰς τὰ ὀπίσω στρέφεται ἑαυτῆς ἐν σκοτώσει, καὶ ἐπλησίασεν ὁ οἶκος πληρωθῆναι σκοτώσεως, ταῦτα τὰ τεκμήρια πλησιάζεσιν· αἰσθάνῃ ἐν ἑαυτῷ κρυπτῶς, ὅτι ἐν τῇ πίστει σε ἀσθενεῖς, καὶ ἐν τοῖς ὁρατοῖς πλεονεκτεῖς, καὶ ἡ πεποίθησίς σε μειῦται, καὶ ἐν τῷ πλησίον σε ζημιῦσαι, καὶ ὅλη ἡ ψυχή σε πληρῦται μέμψεως ἐν στόματι, καὶ καρδίᾳ κατὰ παντὸς ἀνθρώπε καὶ πράγματος, καὶ ἐν οἷς πράγμασιν ἀπαντᾷς ἔν τε λογισμοῖς καὶ αἰσθήσεσι, καὶ κατ' αὐτῆ τῆ ὑψηλῆ, (1) καὶ πτοῇ

(1) Ὑψηλὸν δοκεῖ λέγειν τὸν Θεόν. ἐμφαίνει δὲ διὰ τῆς ἐννοίας ταύτης, ὅτι ἐκ τῆς ἀμελείας, πληρῦται ἡ ψυχὴ μέμψεως καὶ κατ' αὐτῆ τῆ Θεῆ, τετέστι κατακρίνει καὶ αὐτὸν τὸν Θεόν. οἱ γὰρ ἀμελεῖς βαρὺν τὸν νόμον ἡγέμενοι καὶ ἐπίπονον, τὸν δεδωκότα αἰτιάζεσι, καὶ μέμφονται καθάπερ οἱ ἐν εὐαγγελίοις ἐργάται, οἱ διὰ τὴν ἀμέλειαν αὐτῶν, ἀργοὶ ὅλην τὴν ἡμέραν ἑστηκότες, εἶτα τὰς μὴ μισθώσαντας αὐτὰς αἰτιασάμενοι.

πτοῇ ἐκ τῆς βλάβης τοῦ σώματος, δι' ἧς ἡ μικροψυχία κατακυριεύσει σου ἐν πάσῃ ὥρᾳ, καὶ κατὰ καιρὸν, καὶ καιρὸν κινεῖται ἡ ψυχή σου ἐν τῷ φόβῳ, ὡς καὶ ἀπὸ τῆς σκιᾶς σου δειλιᾷν, καὶ κατεπείγεσθαι. τὴν πίστιν γὰρ (οὐχὶ τὴν ὡς θεμέλιον τῆς ὁμολογίας τῶν πάντων λέγομεν, ἀλλὰ τὴν δύναμιν ἐκείνην τὴν νοητὴν, τὴν ἐν τῷ φωτὶ τῆς διανοίας στηρίζουσαν τὴν καρδίαν, καὶ ἐν τῇ μαρτυρίᾳ τῆς συνειδήσεως κινοῦσαν ἐν τῇ ψυχῇ πολλὴν πεποίθησιν πρὸς τὸν Θεὸν, ἵνα μὴ αὐτὴ φροντίζῃ ἑαυτῆς, ἀλλ' ἐπὶ τὸν Θεὸν ἐπιῤῥίψῃ τὴν φροντίδα αὐτῆς ἀμερίμνως ἐν παντί.) ἐκάλυψας ἐν τῇ ἀπιστίᾳ.

Ὅταν δὲ εἰς τὸ ἔμπροσθέν σου ἔλθῃς, ταῦτα τὰ φανερὰ σημεῖα ἐν τῇ ψυχῇ σου εὑρήσεις πλησίον. ἐν τῇ ἐλπίδι κραταιοῦσαι ἐν πᾶσι, καὶ ἐν τῇ εὐχῇ πλουτήσεις, καὶ οὐχ ὑστερεῖ ὕλης κέρδους (1) ποτὲ ἐν τῇ διανοίᾳ σου, ἐν οἷς ἀπαντᾷς ἅπασι, καὶ αἰσθάνῃ τῆς ἀσθενείας τῆς ἀνθρωπίνης φύσεως, καὶ ἐξ ἑνὸς τούτων ἐκ τῆς ὑπερηφανίας φυλάττεσαι. καὶ ἐν τῷ μέρει δὲ τῷ ἄλλῳ, τὰ ἐλαττώματα καταφρονοῦνται τοῦ πλησίον ἐν τοῖς ὀφθαλμοῖς σου. καὶ γίνῃ ἐν ἐπιθυμίᾳ, τοῦ ἐξελθεῖν ἐκ τοῦ σώματος ἐν τῇ ἐφέσει, ἐν ᾗ μέλλομεν ἔσεσθαι ἐν τῷ μέλλοντι. καὶ πάντα τὰ συμβαίνοντα ἡμῖν θλιβερὰ, τὰ συναντῶντά σοι φανερῶς καὶ κρυπτῶς, εὑρίσκεις ἐν δικαιοσύνῃ. τὰ πάντα ἐγγύς σου ἐν πάσῃ ἀκριβείᾳ, τῇ ἀπεχούσῃ ἀπὸ τῆς οἰήσεως. καὶ ὑπὲρ πάντων ἐξομολόγησιν ἀποδώσεις, καὶ εὐχαριστίαν. ταῦτα τὰ σημεῖα τῶν νηφόντων, καὶ παραφυλαττομένων, καὶ ἐν τῇ ἡσυ-

χίᾳ

» ναι. τί, γάρ φησιν, ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; λέγουσιν αὐτῷ,
» ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. Ματθ. κ. ζ.

(1) Ἴσ. οὐχ ὑστερεῖ ὕλης κέρδους.

χία διαμενόντων, καὶ τὴν ἀκρίβειαν τῆς πολιτείας ἐπιθυμέντων φθάσαι.

Οἱ χαῦνοι δὲ, οὐ χρήζουσι τούτων τῶν τεκμηρίων τῶν λεπτῶν τῶν ἐνέδρων τῶν πλάσεων, διὰ τὸ ἀπέχειν αὐτοὺς ἀπὸ τῶν κρυπτῶν ἀρετῶν. ὅτε μία ἐκ τούτων παρακύψαι ἄρξεται ἐν τῇ ψυχῇ σου, νόησον αὐτῇ τῇ ὥρᾳ ἐν ποίῳ μέρει ἤρξατο ἐκκλίνειν. εὐθὺς γὰρ γινώσκεις ποίας συνοδίας ἐστίν. ὁ Θεὸς δῴη ἡμῖν γνῶσιν ἀληθῆ. Ἀμήν.

ΛΟΓΟΣ ΙΓ.

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΩΦΕΛΙΜΟΣ ΤΟΙΣ ΗΣΥΧΑΣΤΑΙΣ Η ΑΡΓΙΑ ΑΠΟ ΤΩΝ ΦΡΟΝΤΙΔΩΝ, ΚΑΙ ΕΠΙΖΗΜΙΟΣ Η ΕΙΣΟΔΟΣ ΚΑΙ Η ΕΞΟΔΟΣ.

Ἄνθρωπος πολυμέριμνος, πρᾶος, καὶ ἡσύχιος γενέσθαι οὐ δύναται. διότι αἱ ἀναγκαῖαι αἰτίαι τῶν πραγμάτων, ἐν αἷς ταλαιπωρεῖ, ἀναγκάζουσιν αὐτὸν κινεῖσθαι ἐν αὐταῖς, καὶ ἀσχολεῖσθαι εἰς αὐτὰ ἄκοντα, καὶ μὴ βουλόμενον, καὶ διασκορπίζουσι τὴν γαλήνην αὐτοῦ, καὶ ἡσυχίαν. δεῖ οὖν τὸν μοναχὸν κατέναντι τοῦ προσώπου τοῦ Θεοῦ στῆσαι ἑαυτὸν, καὶ ἀεὶ πρὸς αὐτὸν τὸ ὄμμα αὐτοῦ τεῖναι ἀμετατρεπτὶ, εἰ ἀληθῶς βούλεται φρουρῆσαι τὸν νοῦν αὐτοῦ, καὶ τὰς μικρὰς κινήσεις τὰς ἑρπούσας ἐν αὐτῷ καθαρίσαι, καὶ μεταβαλεῖν, καὶ μαθεῖν μετὰ γαλήνης διαλογισμῶν διακρῖναι τὰ εἰσερχόμενα, καὶ ἐξερχόμενα. αἱ γὰρ πολλαὶ ἀσχολίαι τῶν μοναχῶν τεκμήριόν εἰσι

εἰσι τῆς χαυνότητος αὐτῶν, πρὸς ἑτοιμότητα τῆς γεωργίας τῶν ἐντολῶν τῦ Χριςῦ, καὶ ἐκφαίνυσιν αὐτῶν τὰ ἐλαττώματα πρὸς τὰ θεῖα.

Χωρὶς ἀμεριμνίας, φῶς ἐν τῇ ψυχῇ σῦ μὴ ζητήσῃς, μήτε γαλήνην καὶ ἡσυχίαν ἐν τῇ χαυνότητι τῶν αἰσθήσεών σῦ· καὶ ὅπῦ ἀσχολίαι πραγμάτων, μὴ πληθαίνῃς τὰς ἀσχολίας σῦ, ἢ ἐ μὴ εὕρῃς ῥεμβασμὸν ἐν τῷ νοΐ σῦ, ἢ ἐν τῇ εὐχῇ σῦ. ἄνευ γὰρ ἀδιαλείπτῦ προσευχῆς, προσεγγίσαι τῷ Θεῷ ἐ δύνασαι. τὸ δὲ μετὰ τὸν κόπον τῆς προσευχῆς, ἑτέραν μέριμναν ἐμποιῆσαι τῷ νοΐ, σκορπισμὸν τῇ διανοίᾳ ἀπεργάζεται.

Τὰ δάκρυα, καὶ ὁ ῥαπισμὸς τῆς κεφαλῆς ἐν τῇ προσευχῇ, ἢ τὸ κυλινδεῖσθαι μετὰ θερμότητος, ἐξυπνίζῦσι τὴν θέρμην τῆς γλυκύτητος αὐτῶν ἔνδοθεν τῆς καρδίας, καὶ μετὰ ἐπαινεμένης ἐκςάσεως πετᾶται ἡ καρδία πρὸς τὸν Θεὸν, » καὶ βοᾷ, ἐδίψησεν ἡ ψυχή μῦ πρὸς σὲ τὸν Θεὸν, τὸν ἰσχυ- » ρὸν, τὸν ζῶντα. πότε ἥξω, ἢ ὀφθήσομαι τῷ προσώπῳ σῦ Κύριε; Ὁ ἐκ τῦ οἴνῦ τύτῦ πιὼν, ἢ μετὰ ταῦτα ςερηθεὶς αὐτῦ, αὐτὸς μόνος οἶδεν ἐν ποίᾳ ταλαιπωρίᾳ κατελείφθη, ἢ τὶ ἀφῃρέθη ἀπ' αὐτῦ χάριν τῆς χαυνότητος αὐτῦ. Ψαλ. μα. γ.

Ὦ τὶ καλὴ ἡ θέα, καὶ ἡ ὁμιλία τοῖς ἐν ἡσυχίᾳ διάγῦσιν. ἐν ἀληθείᾳ, ὦ ἀδελφοὶ, πλέον τῶν λελυμένων τῆς ἡσυχίας. ὅτι καθάπερ ἡ σφοδρότης τῦ κρυςάλλῦ ἐξαίφνης ἐπιπεσῦσα τοῖς ἀκροδρύοις τῶν φυτῶν, ξηραίνει αὐτὰ, ἢ ἀφανίζει, ὕτω ἢ αἱ συντυχίαι τῶν ἀνθρώπων, κἂν μικραὶ παντελῶς ὦσι, καὶ ὡς τὸ δοκῦν, πρὸς τὸ ἀγαθὸν ἐξενηνεγμέναι, ξηραίνῦσι τὰ ἄνθη τῶν ἀρετῶν τὰ νεωςὶ ἀνθήσαντα ἐκ τῆς συγκράσεως τῆς ἡσυχίας, ἢ κυκλῦντα μετὰ ἁπλό-

τητος, ϗ τρυφερότητος τῷ φυτῷ τῆς ψυχῆς, τῷ φυτευθέντι (1) ἐπὶ τὰς διεξόδȣς τῶν ὑδάτων τῆς μετανοίας. ϗ ὥσπερ ἡ σφοδρότης τῆς πάχνης, ἡ καταλαμβάνȣσα τὰ νεωςὶ φυόμενα, κατακαίει αὐτὰ; ȣ̃τω καὶ ἡ συντυχία τῶν ἀνθρώπων τὴν ῥίζαν τȣ̃ νοὸς, τὴν ἀρξαμένην χλοηφορεῖν τὴν τῶν ἀρετῶν χλόην. καὶ εἰ ἡ ὁμιλία τῶν κατάτι μὲν ἐγκρατευομένων, κατάτι δὲ ἐλαττώματα μικρὰ ἐχόντων βλάπτειν εἴωθε τὴν ψυχὴν, πόσῳ μᾶλλον ἡ λαλιὰ, καὶ ἡ θέα τῶν ἰδιωτῶν, καὶ μωρῶν, ἵνα μὴ εἴπω τῶν κοσμικῶν; ὥσπερ γὰρ ευγενὴς ἄνθρωπος καὶ ἔντιμος, ὅταν μεθυσθῇ ἐπιλανθάνεται τῆς ἰδίας ευγενείας, καὶ ἀτιμάζεται αὐτȣ̃ ἡ κατάςασις, καὶ καταγελᾶται αὐτȣ̃ τὸ τίμιον ἐκ τῶν ἀλλοτρίων λογισμῶν, τῶν ἐπεισελθόντων αὐτῷ ἐκ τῆς δυνάμεως τȣ̃ οἴνȣ, ȣ̃τω καὶ ἡ σωφροσύνη τῆς ψυχῆς θολȣ̃ται ὑπὸ τῆς θέας, καὶ τῆς ὁμιλίας τῶν ἀνθρώπων, καὶ ἐπιλανθάνεται τȣ̃ τρόπȣ τῆς παραφυλακῆς αὐτῆς, καὶ ἀπαλείφεται ἀπὸ τῆς διανοίας αὐτῆς ὁ σκοπὸς τȣ̃ θελήματος αὐτῆς, καὶ ἐκριζȣ̃ται ἀπ᾽ αὐτῆς πᾶσα βάσις καταςάσεως ἐπαινȣμένης.

Εἰ ȣ̃ν ἡ συντυχία, καὶ ὁ πλατυσμὸς, αἱ ἐν τῷ μετεωρισμῷ ἐπισυμβαίνȣσαι τῷ ὄντι ἐν ἡσυχίᾳ, ἢ ϗ ἡ πλησίασις (2) τȣ́των,

(1) Ἀνάγν. τὸ φυτὸν τῆς ψυχῆς, τὸ φυτευθὲν κτ.

(2) Τὸ Ε. Χ. τῷ ὄντι ἐν ἡσυχίᾳ ἡ πλησίασις τȣ́των, ὥςε ἰδεῖν ἢ ἀκȣ̃σαι ἐπαρκȣ̃σι μόνον τȣ́τῳ, τὰ εἰσερχόμενα διὰ τῶν πυλῶν τῆς ὄψεως καὶ τῆς ἀκοῆς τὰ ἐπισείοντα ψυχρότητι, ϗ θολȣ̃σιν κτ. σαφέςερον δὲ τυχὸν ȣ̃τως. εἰ ȣ̃ν ἡ συντυχία καὶ ὁ πλατυσμὸς, τὰ ἐπισυμβαίνοντα τῷ μετεωριζομένῳ ἡσύχῳ, ἢ καὶ τὸ πλησιάσαι μόνον τȣ́τοις, τȣ̃ ἰδεῖν ἕνεκα, ἢ ἀκȣ̃σαι τὰ διὰ τῶν πυλῶν τῆς ὄψεως εἰσερ-

τέτων, ὥϛε ἰδεῖν, ἢ ἀκῆσαι, ἐπαρκῆσι μόνον τέτῳ, τὰ εἰσερχόμενα διὰ τῶν πυλῶν τῆς ὄψεως, ἢ τῆς ἀκοῆς, τὰ ἐπεισιόντα πρὸς ψυχρότητα, καὶ θόλωσιν τῆς διανοίας ἀπὸ τῶν θείων αὐτῷ ἐμποιῆσαι· καὶ εἰ ἡ μικρὰ ὥρα τοσαύτην ζημίαν δύναται τῷ ἐγκρατεῖ μοναχῷ ποιῆσαι, τί φήσομεν περὶ τῆς διηνεκῆς ἀπαντήσεως, ἢ τῆ πολλῆ ἐν τέτοις ἐμποδισμῆ χρονίε; (1) ἡ γαρ ἀναθυμίασις, ἡ ἐκ τῆς γαςρὸς ἀνιῆσα, τὸν νῆν ἐκ ἐᾷ δέξαθαι τὴν θείαν ἐπίγνωσιν, ἀλλὰ σκοτίζει αὐτὸν, ὅν τρόπον, ἡ ἐκ τῆς ὑγρότητος τῆς γῆς ἀνιῆσα ὁμίχλη, καὶ σκοτῆσα τὸν ἀέρα. καὶ ἡ ὑπερηφανία δὲ ἐ κατανοεῖ, ὅτι ἐν τῇ σκοτίᾳ διαπορεύεται, καὶ τὴν ἄνοιαν τῆς σοφίας ἐκ οἶδε. πῶς γὰρ καὶ γνῶναι ἔχει ἡ ἐν τῷ σκοτασμῷ αὐτῆς ὑπάρχεσα; διάτοι τῆτο καὶ τῷ ἐσκοτισμένῳ λογισμῷ αὐτῆς ἐπαίρεται ὑπεράνω πάντων, ἔσα ἀτελεςέρα, καὶ ἀσθενεςέρα, καὶ τὰς ὁδὲς Κυρίε μὴ δυναμένη μαθεῖν. ὁ δὲ Κύριος κρύπτει ἐξ αὐτῆς τὸ θέλημα αὐτῆ, καθότι ἐν τῇ ὁδῷ τῶν ταπεινῶν ἐκ ἠβελήθη πορεύεσθαι. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

 ΛΟΓΟΣ

εἰσερχόμενα, καὶ διὰ τῆς ἀκοῆς εἰσιόντα, ἐπαρκεῖ πρὸς τὸ ἐμποιῆσαι ψυχρότητα καὶ θόλωσιν τῇ διανοίᾳ αὐτῆ· ἢ εἰ μικρὰ κτ.

Ὁ Λατῖν. Si ergo colloquium, et dilatio, et dispersio supervenientes in solitudine commoranti, vel ipsorum propinquitates ad videndum et audiendum, sufficiunt inferre menti turbationem, et frigefactionem in diuinis, propter multa quæ fiunt ex visu et auditu, et in breui hora hoc faciunt: quid dicemus &c. εἰ ἦν ἡ συνλυχία, ἢ ὁ πλαλυσμὸς, ἢ ὁ περισπασμὸς ἐπισυμβαίνοντα τῷ ὄντι ἐν ἡσυχίᾳ, ἢ τὸ πλησιάσαι τέτοις, ὥϛε ἰδεῖν, ἢ ἀκῆσαι, ἐπαρκῆσιν εἰσαγαγεῖν εἰς τὴν διάνοιαν θόλωσιν ἢ ψυχρότητα ἐν τοῖς θείοις, διὰ τὰ πολλὰ τὰ ἐκ τῆς ὄψεως ἢ τῆς ἀκοῆς γινόμενα, ἢ ταχέως τῆτο ποιῆσι, τί φήσομεν. κτ. (1) Τὸ Ε. Χ. ἐν τέτοις ἐγχρονισμῆ.

ΛΟΓΟΣ ΙΔ.

ΠΕΡΙ
ΤΗΣ ΕΝΑΛΛΑΓΗΣ, ΚΑΙ ΤΡΟΠΗΣ ΤΗΣ ΓΙΝΟΜΕΝΗΣ ΤΟΙΣ ΟΔΕΥΟΥΣΙΝ ΕΝ ΤΗ ΟΔΩ ΤΗΣ ΗΣΥΧΙΑΣ ΤΗ ΥΠΟ ΤΟΥ ΘΕΟΥ ΤΕΤΑΓΜΕΝΗ.

Ὁ συνελθὼν τῷ νοῒ αὐτοῦ ἐν τῇ ἡσυχίᾳ πολιτεύεσθαι, ῥυθμιζέτω ἑαυτὸν, καὶ ἐν τῇ γεωργίᾳ, καὶ τάξει τῆς ἡσυχίας διεξαγαγέτω τὸ ἐπίλοιπον τῶν ἡμερῶν αὐτοῦ. ὅταν συμβῆσοι, ὡς ἐστι σύνηθες τῇ τάξει τῆς ἡσυχίας τῇ ὡρισμένῃ ὑπὸ τῆς θείας χάριτος, ἔνδοθεν συγκεχύσθαι τῷ σκότει τὴν ψυχὴν, καὶ ὥσπερ τὰς ἡλιακὰς ἀκτῖνας τὰς καλυπτομένας ἀπὸ τῆς γῆς ἐκ τῆς ἀχλύος τῶν νεφελῶν, πρὸς ὀλίγον χρόνον στερηθῆναι τῆς πνευματικῆς παρακλήσεως, καὶ τοῦ φωτὸς τῆς χάριτος ἔνδοθεν συγκεχύσθαι, (1) διὰ τὸ ἐπισκιάζον νέφος τῶν παθῶν, καὶ συσταλῆναι ἀπὸ σοῦ μικρὸν τὴν χαροποιὸν δύναμιν, καὶ ἐπισκιάσαι τῷ νοῒ ἀσυνήθη ἀχλὺν, μὴ ταραχθῇς τῇ διανοίᾳ, καὶ χεῖρα προτείνῃς τῇ ἀγνοίᾳ τῆς ψυχῆς, ἀλλ' ὑπόμεινον, καὶ ἀνάγνωθι εἰς (2) τὰς βίβλους τῶν διδασκάλων, καὶ βίασαι σαυτὸν ἐν τῇ εὐχῇ, καὶ ἐκδέχου τὴν βοήθειαν. καὶ εὐθέως ἐλεύσεται, σοῦ μὴ

(1) Τὸ, ἔνδοθεν συγκεχύσθαι ἐπαναλαμβανόμενον, οὐ μόνον περιττὸν, ἀλλὰ καὶ ἀσαφείας πρόξενον.

(2) Ἀνάγνωθι τὰς βίβλους.

μὴ εἰδότος. ὥσπερ γὰρ ἀποκαλύπτεταί τὸ πρόσωπον τῆς γῆς ταῖς ἀκτῖσι τοῦ ἡλίου ἐκ τῆς καταχυθείσης σκοτίας τοῦ ἀέρος, οὕτω δύναται καὶ ἡ εὐχὴ λῦσαι, καὶ διασκεδάσαι ἐκ τῆς ψυχῆς τὰ νέφη τῶν παθῶν, καὶ διαυγάσαι τὸν νοῦν τῷ φωτὶ τῆς εὐφροσύνης, καὶ τῆς παρακλήσεως. ὅπερ τίκτειν εἰώθασιν ἐν τοῖς ἐνθυμήμασιν ἡμῶν, καὶ μάλιστα ὅταν λάβῃ ὕλην ἐκ τῶν θείων γραφῶν, καὶ ἐγρήγορσιν στίλβουσαν τὸν νοῦν. ἡ γὰρ διηνεκὴς μελέτη ἐν ταῖς γραφαῖς τῶν ἁγίων, θαύματος ἀκαταλήπτου, καὶ θείας εὐφροσύνης τὴν ψυχὴν ἐμπίπλησι. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τοὺς αἰῶνας.

ΛΟΓΟΣ ΙΕ.

ΠΕΡΙ ΤΩΝ ΗΣΥΧΑΖΟΝΤΩΝ

Πότε ἄρχονται νοεῖν ποῦ ἔφθασαν ἐν τοῖς ἔργοις αὐτῶν, ἐν τῇ ἀπεράντῳ θαλάσσῃ, ἤτοι τῇ διαγωγῇ τῆς ἡσυχίας, καὶ πότε δύνανται ἐλπίσαι μικρὸν, ὅτι ἤρξαντο διδόναι αὐτοῖς οἱ κόποι αὐτῶν καρπούς.

Λέγουσί σοι πρᾶγμα, καὶ μὴ διστάσῃς τοῦτο, μηδὲ τοῖς λοιποῖς μου λόγοις καταφρονήσῃς, ὡς ἐλαχίστου. (1) διότι ἀληθεῖς οἱ παραδεδωκότες μοι εἰσίν. ὅτι ἀλήθειαν λέγουσι καὶ ἐν τούτοις τοῖς λόγοις μου, καὶ ἐν ἅπασιν. ἐὰν κρεμάσῃς

(1) Τὸ Ε. Χ. καὶ μὴ διστάσῃς τοῦτο, ὡς ἐλαχίστου, μηδὲ τοῖς λοιποῖς μου λόγοις γελάσῃς.

μάσῃς σαυτὸν ἀπὸ τῶν βλεφάρων τῶν ὀφθαλμῶν σου, ἕως ἂν φθάσῃς τὰ δάκρυα, μὴ νομίσῃς, ὅτι ἔφθασάς τι ἐν τῇ διαγωγῇ τῆς πολιτείας σου. μέχρι γὰρ τῆς ἄρτι, τῷ κόσμῳ ὑπηρετοῦσι τὰ κρυπτά σου, τουτέστιν ἐν τῇ διαγωγῇ τῶν κοσμικῶν ἵστασαι, καὶ διὰ τοῦ ἔξω ἀνθρώπου ἐργάζῃ τὸ ἔργον τοῦ Θεοῦ. ὁ δὲ ἔσω ἄνθρωπος, ἀκμὴν ἄκαρπός ἐστιν. ὁ γὰρ καρπὸς αὐτοῦ ἐκ τῶν δακρύων ἄρχεται. ὅταν γὰρ εἰς τὴν χώραν αὐτῶν φθάσῃς, τότε γίνωσκε, ὅτι ἐξῆλθεν ἡ διάνοιά σου ἐκ τῆς φυλακῆς τοῦ κόσμου τούτου, καὶ τέθεικε τὸν πόδα αὐτῆς εἰς τὴν πορείαν τοῦ καινοῦ αἰῶνος, (1) καὶ ἤρξατο ὀσφραίνεσθαι τοῦ καινοῦ ἀέρος ἐκείνου τοῦ θαυμαστοῦ. καὶ τότε ἄρχεται καταφέρειν τὰ δάκρυα. ἤγγικε γὰρ ἡ κύησις τοῦ πνευματικοῦ νηπίου. (2) διότι ἡ χάρις, ἡ κοινὴ πάντων μήτηρ κατεπείγεται τεκεῖν τῇ ψυχῇ θεῖον τύπον μυστικῶς πρὸς τὸ φῶς τοῦ μέλλοντος αἰῶνος. ὅταν δὲ φθάσῃ ὁ καιρὸς τοῦ τοκετοῦ, (3) τηνικαῦτα ὁ νοῦς ἄρχεται κινεῖσθαι ἐν ἐνίοις τῶν ἐκεῖσε,

(1) Τὸ Ε. Χ. τοῦ καινοῦ ἀνθρώπου.

(2) Τὸ Ε. Χ. Ἡ ὠδὶν τῆς ἐξόδου τοῦ πνευματικοῦ νηπίου.

(3) Ὁ τοκετὸς τῆς ψυχῆς τοῦ τὰ δάκρυα καταφέροντος, ἡ αἴσθησις ἐστὶ τῆς ἐν τῷ μέλλοντι αἰῶνι τῶν ἡμετέρων ψυχῶν καταστάσεως. ἀνωτέρω μὲν γάρ φησιν, ἡ κοινὴ πάντων μήτηρ κατεπείγεται τεκεῖν τῇ ψυχῇ θεῖον τύπον μυστικῶς πρὸς τὸ φῶς τοῦ μέλλοντος αἰῶνος. τουτέστι κατεπείγεται ἐντυπῶσαι τῇ ψυχῇ τύπον τινὰ νοερὸν, τοῦ καθορᾷν μυστικῶς τὰ ἐν τῷ μέλλοντι αἰῶνι· κατωτέρω δὲ, μετὰ τὰ δάκρυα, ἡ εἰρήνη· μετὰ τὴν εἰρήνην, ἡ κατάπαυσις· μετὰ τὴν κατάπαυσιν, ἡ θεωρία· μετὰ τὴν θεωρίαν, ἡ ἀποκάλυψις· μετὰ τὴν ἀποκάλυψιν, ἡ θεία ἐνοίκησις· καὶ μετὰ ταύτην, ἡ τοῦ πνεύματος καρποφορία. εἶτα προστίθησι, καὶ ἐκ τούτου αἰσθάνεται τῆς ἀλλοιώ-

ἐκεῖσε, ὥσπερ ἡ ἀναπνοὴ, ἣν ἀνιμᾶται τὸ βρέφος ἔσωθεν τῶν μελῶν, ἐν οἷς διατρέφεσθαι πέφυκε. καὶ διὰ τὸ μὴ ὑπομένειν ὅπερ οὐκ ἔστιν αὐτῷ συνήθες, ἐξαίφνης ἄρχεται κινεῖν τὸ σῶμα εἰς κλαυθμὸν, μεμιγμένον τῇ τοῦ μέλιτος γλυκύτητι. καὶ καθ᾽ ὅσον τρέφεται τὸ ἔνδοθεν βρέφος, κατὰ τοσοῦτον καὶ ἡ προσθήκη τῶν δακρύων γίνεται. καὶ αὕτη ἡ τάξις τῶν δακρύων, ἣν ἔφην, οὐκ ἔστιν ἐκείνη, ἡ ἐκ διαλειμμάτων ἐπισυμβαίνουσα τοῖς ἡσυχάζουσι. (1) διότι αὕτη ἡ παράκλησις ἡ γινομένη ἀπὸ καιροῦ εἰς καιρὸν, παντί ἐστι γινομένῳ ἐν ἡσυχίᾳ μετὰ Θεοῦ. καὶ ποτὲ μὲν, ὄντι ἐν τῇ θεωρίᾳ τῆς διανοίας· (2) ποτὲ δὲ, ἐν τοῖς λόγοις τῶν γραφῶν· ποτὲ δὲ, ἐν τῇ ὁμιλίᾳ τῆς δεήσεως. ἀλλὰ περὶ ταύτης λέγω, τῆς οὔσης τῷ ἀδιαλείπτως δακρύοντι νυκτὸς καὶ ἡμέρας.

Ὅστις δὲ ἐν ἀληθείᾳ, καὶ ἀκριβείᾳ εὗρε τὴν ἀλήθειαν τῶν τρόπων τούτων, ἐν τῇ ἡσυχίᾳ ταύτην εὗρε. γίνονται γὰρ οἱ ὀφθαλμοὶ αὐτοῦ δίκην πηγῆς ὕδατος, μέχρι διετοῦς χρό-

λοιώσεως, τῆς μελλούσης ὑποδέξασθαι τὴν φύσιν τὴν ἐσωτέραν (εἴτουν τὴν ψυχὴν) ἐν τῇ ἀνακαινίσει τῶν ὅλων. ἀνακαινισθήσεται γὰρ ἡ σύμπασα κτίσις κατὰ τὴν τοῦ μακαρίου Πέτρου φωνὴν,
» τὴν λέγουσαν· καινοὺς δὲ οὐρανοὺς, καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα
» αὐτοῦ προσδοκῶμεν. (β. ἐπιστ. κέφ. γ. ἐδ. ιγ.) τὸν τοκετὸν τοῦτον, πνεῦμα σωτηρίας ἐκάλεσεν ὁ μεγαλοφωνότατος τῶν προφητῶν Ἡσαΐας, λέγων·
» διὰ τὸν φόβον σου Κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκο-
» μεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. (κϛ. ιη.) τοιαύτη οὖν ἡ ἐκ τοῦ θείου τῶν δακρύων λουτροῦ κάθαρσις. τοιαύτην χάριν παρέχουσιν ἡμῖν τὰ τῶν δακρύων ῥεῖθρα, τὸ, καὶ πρὸ τοῦ ἀλλοιωθῆναι, τῆς μακαρίας ἐκείνης ἀλλοιώσεως, τῆς ἐν τῷ μέλλοντι αἰῶνι ἐσομένης, ἐπαισθάνεσθαι.

(1) Τὸ Ε. Χ. καὶ αὕτη ἐστὶν ἡ τάξις τῶν δακρύων ἣν ἔφην· οὐκ ἔστιν ἐκείνη ἡ ἐκ λειμμάτων, ἢ καὶ διαλειμμάτων ἐπισυμβαίνουσα τοῖς ἡσυχάζουσι.

(2) Τὸ Ε. Χ. ἐν τῷ καιρῷ τῆς θεωρίας ἐν διανοίᾳ.

χρόνε, ἢ καὶ πλείω. μετὰ δὲ ταῦτα εἰσέρχεται εἰς τὴν εἰρήνην τῶν λογισμῶν· ἀπὸ δὲ τῆς εἰρήνης τῶν λογισμῶν, εἰσέρχεται εἰς ἐκείνην τὴν κατάπαυσιν, περὶ ἧς εἶπεν ὁ ἅγιος Παῦλος, (1) καθὼς χωρεῖ ἡ φύσις μερικῶς· ἀπὸ δὲ τῆς εἰρηνικῆς καταπαύσεως, ἄρχεται ὁ νᾶς θεωρεῖν τὰ μυστήρια. καὶ τότε τὸ ἅγιον πνεῦμα ἄρχεται ἀποκαλύπτειν αὐτῷ τὰ ἐράνια, καὶ ὁ Θεὸς οἰκεῖ ἐν αὐτῷ, καὶ τὸν καρπὸν τᾶ πνεύματος διεγείρει ἐν αὐτῷ. καὶ ἐκ τάτε αἰσθάνεται τῆς ἀλλοιώσεως τῆς μελλέσης ὑποδέξασθαι τὴν φύσιν τὴν ἐσωτέραν ἐν τῇ ἀνακαινίσει τῶν ὅλων, (2) ἀμυδρῶς πῶς, καὶ ὡς ἐν αἰνίγματι.

Ταῦτα ἔγραψα πρὸς ἀνάμνησιν ἐμὴν, καὶ παντὸς ἐντυγχάνοντος τῷδε τῷ συγγράμματι, καθὼς καλείληφα ἀπό τε τῆς θεωρίας τῶν γραφῶν, καὶ τῶν ἀληθινῶν στομάτων, καὶ μικρὸν ἀπ᾽ αὐτῆς τῆς πείρας· ἵνα μοι γένηται βοήθεια, διὰ τῶν προσευχῶν τῶν ὠφελεμένων ἐξ αὐτῶν. διότι ἐκ ὀλίγον μόχθον κατεβαλόμην εἰς αὐτά.

Ἄκεε δὲ πάλιν καὶ ὃ μέλλω σοι λέγειν νεῦν. ὃ μεμάθηκα παρὰ ἀψευδᾶς στόματος. ὅταν εἰσέλθῃς εἰς τὴν χώραν τῆς εἰρήνης τῶν λογισμῶν, τότε τὸ πλῆθος τῶν δακρύων ἀφαιρεῖται ἀπὸ σᾶ, καὶ μετὰ ταῦτα ἔρχονταί σοι τὰ δάκρυα ἐν μέτρῳ, καὶ καιρῷ τῷ προσήκοντι. αὕτη ἐστὶν ἐν ἀληθείᾳ ἡ ἀκρίβεια, (3) ὡς ἐν συντόμῳ εἰπεῖν, καὶ παρὰ πάσης τῆς ἐκκλησίας πιστεύεται.

(1) Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες. Ἑβρ. δ. γ.
(2) Τὸ Ε. Χ. ἐν τῇ ἀνακαινίσει τᾶ νοός.
(3) Ἐν ἀκριβείᾳ ἡ ἀλήθεια τὸ Ε. Χ.

ΛΟΓΟΣ ΙϚ.

ΠΕΡΙ
ΤΩΝ ΤΡΟΠΩΝ ΤΩΝ ΑΡΕΤΩΝ.

Ἡ ἄσκησις μήτηρ τοῦ ἁγιασμοῦ ἐστίν. ἐξ οὗ γεννᾶται ἡ πρώτη γεῦσις τῆς αἰσθήσεως τῶν μυστηρίων τοῦ Χριστοῦ, ἥτις καλεῖται πρώτη τάξις τῆς ἐπιγνώσεως τοῦ πνεύματος. μηδεὶς πλανήσῃ ἑαυτὸν, καὶ φανταζῇ μαντείας. (1) ψυχὴ γὰρ ἡ μεμιασμένη οὐκ ἀνέρχεται εἰς καθαρὰν βασιλείαν, οὐδὲ συνάπτεται τοῖς πνεύμασι τῶν ἁγίων. ξέσον τὸ κάλλος τῆς σωφροσύνης σου ἐν δάκρυσι, καὶ νηστείαις, καὶ τῇ καθ᾽ ἑαυτὸν ἡσυχίᾳ. θλίψις μικρὰ διὰ τὸν Θεὸν γινομένη, κρείσσων ἐστὶ μεγάλου ἔργου, τοῦ ἀθλίπτως τελουμένου. διότι ἡ ἑκούσιος θλίψις τὸ δοκίμιον τῆς πίστεως τῇ ἀγάπῃ ἀνατέλλει. τὸ δὲ ἔργον τῆς ἀναπαύσεως,

(1) Τίνος ἕνεκα μαντείας μὴ φαντασθῆναι παραγγέλλει; καὶ τίς ἂν εἴη ὁ μαντείας ἐν τοῖς μυστηρίοις, κἂν τῇ τοῦ πνεύματος ἐπιγνώσει φαντασθῆναι δυνάμενος; καὶ οἱ τῇ πλάνῃ τῶν εἰδώλων προσκείμενοι, τελετὰς ἐπετέλουν καὶ μυστήρια, καίτοι παμβέβηλα, καὶ ἀκάθαρτα· καὶ τῶν μελλόντων δὲ πρόγνωσιν διὰ μαντειῶν, (ὅρα Ναζιανζ. λόγ. στηλιτευτ. α.) καὶ τῆς Δωδωναίας Δρυὸς, καὶ τοῦ Δελφικοῦ τρίποδος, καὶ ἄλλων πολλῶν χρηστηρίων (ὅρα Πλουτάρχ. λόγ. περὶ τῶν ἐκλελοιπ. χρηστηρ.) κλᾶσθαι ἐδόκουν. τινὲς δὲ καὶ πνεῦμα Πύθωνος ἔχοντες, ἐμαντεύοντο, ὡς ἡ παιδίσκη ἡ τῷ Παύλῳ κατακολουθοῦσα. εἰπὼν οὖν ὁ Πατὴρ, γεῦσιν αἰσθήσεως μυστηρίων, καὶ ἐπίγνωσιν πνεύματος, ἵνα μήτις νομίσῃ ἐξεῖναι διὰ μαντείας καὶ τούτων ἀπολαύειν, προσέθετο, μηδεὶς πλανήσῃ ἑαυτὸν, καὶ φανταζῇ μαντείας.

παύσεως, ἐκ τῦ κόρυ (1) τῆς συνειδήσεως γίνεται. διὰ τῦτο ἐν θλίψεσιν ἐδοκιμάσθησαν οἱ ἅγιοι ὑπὲρ τῆς ἀγάπης τῦ Χριστῦ, καὶ ὐχὶ ἐν ἀνέσει. διότι τὸ χωρὶς κόπυ γινόμενον ἔργον, ἡ δικαιοσύνη ἐστὶ τῶν κοσμικῶν. οἵτινες ἐκ τῶν ἔξωθεν ποιῦσιν ἐλεημοσύνην, ᾗ ἐν ἑαυτοῖς κερδαίνυσι. (2) σὺ δὲ, ὦ ἀγωνιστὰ, καὶ μιμητὰ τῦ πάθυς τῦ Χριστῦ, ἐν σεαυτῷ ἀγώνισαι, ἵνα ἀξιωθῇς γεύσασθαι τῆς δόξης αὐτῦ. εἴπερ γὰρ συμπάσχομεν, καὶ συνδοξαζόμεθα. ὐ συνδοξάζεται ὁ νῦς μετὰ τῦ Ἰησῦ, ἐὰν μὴ συμπάσχῃ τὸ σῶμα ὑπὲρ τῦ Χριστῦ. λοιπὸν ὁ καταφρονῶν τῆς ἀνθρωπίνης δόξης, ὗτός ἐστιν ὁ τῆς δόξης τῦ Θεῦ ἀξιέμενος, καὶ δοξάζεται τὸ σῶμα αὐτῦ μετὰ τῆς ψυχῆς. ἡ γὰρ δόξα τῦ σώματος, ὑποταγή ἐστι σωφροσύνης μετὰ τῦ Θεῦ. (3) ἡ δόξα δὲ τῦ νῦ, ἡ θεωρία ἐστὶν ἡ ἀληθινὴ περὶ τῦ

Θεῦ

(1) Ἴσ. ἐκ τῦ καρῦ τῆς συνειδήσεως.

(2) Κοσμικὺς ἐνταῦθά φησι τὺς τὰ τῦ κόσμυ, καὶ φρονῦντας, καὶ πράττοντας. ἔστιν ὖν καὶ ἐν αὐτοῖς εὑρεῖν ἰσότητά τινα, καὶ δικαιοσύνην. οἷον, τὸ ἀγαπᾶν τὺς ἀγαπῶντας, καὶ τὸ ἀγαθοποιεῖν τὺς ἀγαθοποιῦντας, καὶ τὸ δανείζειν παρ᾽ ὧν ἐλπὶς ἀπολαβεῖν. ἀλλ᾽ ἐκ εὐπρόσ-
„ δεκτος ἡ τοιαύτη δικαιοσύνη. ποία γὰρ χάρις, φησὶν ὁ Κύριος, ὑμῖν ἐστίν;
„ (Λυκ. ϛ. λβ.) καὶ ἀλλαχῦ δέ· ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη
„ πλεῖον τῶν Γραμματέων, καὶ Φαρισαίων, ὐ μὴ εἰσέλθητε εἰς τὴν Βασι-
„ λείαν τῶν ὐρανῶν. (Ματθ. ε. κ.)

Τὸ δὲ ἐκ τῶν ἔξωθεν ποιεῖν ἐλεημοσύνην, τὸ πρὸς τὸ θεαθῆναί ἐστι καὶ τὸ, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. οἱ γὰρ τύτων ἕνεκα ἐλεῦν-
„ τες, ὐδὲν κέρδος ἔχυσιν. Ἀμὴν, γάρ φησι, λέγω ὑμῖν, ἀπέχυσι τὸν μι-
„ σθὸν αὐτῶν. Ματθ. ϛ. δ.

(3) Ὅτι μὲν ἡ ὑπακοὴ δόξης πρόξενος, δῆλον ἐξ ὧν περὶ τῦ σωτῆρος
„ ἡμῶν Ἰησῦ Χριστῦ διαμαρτύρεται λέγων ὁ θεῖος Ἀπόστολος· γενόμενος ὑπή-
„ κοος μέχρι θανάτυ, θανάτυ δὲ σταυρῦ. διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε. (Φιλιπ. β. η.) τί δὲ δηλοῖ τὸ, ὑποταγή ἐστι σωφροσύνης μετὰ τῦ Θεῦ; ἢ ὅτι τὸ, δόξα τῦ σώματός ἐστιν ἡ εἰς Θεὸν ὑποταγὴ, ἡ ἐκ τῆς

σωφρο-

Θεῦ. ἡ ἀληθινὴ ὑποταγὴ διπλῆ ἐςιν· ἐν ἔργοις, καὶ ὀνειδίσεσι. ὅταν ὖν πάσχῃ τὸ σῶμα, καὶ ἡ καρδία συμπάσχῃ αὐτῷ. ἐὰν ὐ γινώσκης τὸν Θεὸν, ὐ δυνατὸν κινηθῆναι ἐν σοὶ τὴν ἀγάπην αὐτῦ· καὶ ὐ δύνασαι ἀγαπῆσαι τὸν Θεὸν, ἐὰν μὴ ἴδης αὐτόν. ἡ ὅρασις δὲ τῦ Θεῦ, ἐκ τῦ γινώσκειν αὐτόν ἐςιν. ὐ προηγεῖται γὰρ ἡ θεωρία αὐτῦ τῆς γνώσεως αὐτῦ.

Ἀξίωσόν με Κύριε γινώσκειν σε, καὶ ἀγαπᾷν, ὐκ ἐν τῇ γνώσει, τῇ ἐν τῷ σκορπισμῷ τῦ νῦ, τῇ ἐκ τῆς γυμνασίας γινομένῃ, ἀλλ᾽ ἀξίωσόν με ἐκείνης τῆς γνώσεως, ἐν ᾗ ὁ νῦς θεωρῶν σε, δοξάζει τὴν φύσιν σῦ ἐν τῇ θεωρίᾳ τῇ κλεπτέσῃ τὴν αἴσθησιν τῦ κόσμυ ἀπὸ τῆς διανοίας. ἀξίωσόν με ὑψωθῆναι ἐκ τῆς θέας τῦ θελήματος τῆς γεννώσης τὰς φαντασίας, καὶ ἰδεῖν σε ἐν τῇ βίᾳ τῦ δεσμῦ τῦ ςαυρῦ, ἐν τῷ μέρει τῷ δευτέρῳ τῆς τῦ νῦ ςαυρώσεως, τῦ ἐν ἐλευθερίᾳ ἀποπαυομένυ ἀπὸ τῆς ἐνεργείας τῶν νοημάτων ἐν τῇ διηνεκεῖ σῦ θεωρίᾳ, τῇ ὑπὲρ φύσιν. θὲς ἐν ἐμοὶ αὔξησιν τῆς ἀγάπης σῦ, ἵνα ὀπίσω τῦ ἔρωτός σῦ ἔλθω ἐκ τῦ κόσμυ τύτυ. κίνησον ἐν ἐμοὶ τὴν κατανόησιν τῆς ταπεινώσεώς σῦ, ἐν ᾗ ἐν τῷ κόσμῳ ἀνεςράφης, ἐν τῷ καταλύματι, ᾧ ἐφόρεσας ἐκ τῶν μελῶν ἡμῶν, μεσιτείᾳ τῆς ἁγίας παρθένυ· ἵνα ἐν τῇ ἀδιαλείπτῳ καὶ ἀνεπιλήςῳ μνήμῃ ταύτῃ, δέξωμαι μετὰ ἡδονῆς τὴν ταπείνωσιν τῆς φύσεώς μυ.

Εὐχή.

σωφροσύνης, εἴτυν τῆς φρονήσεως, γινομένη. ἐκ γὰρ τῆς φρονήσεως ἡ ὑπακοή. ὧν γὰρ αἱ φρένες σῶαι, καὶ ἀνελλιπεῖς, καὶ ὑπὸ τῶν παθῶν ἥκιςα τεθορυβημέναι καὶ ἐξεςηκῦαι, ὗτοι τοῖς θείοις προςάγμασιν ὑπείκυσι. ταύτητοι καὶ ὁ ψαλμῳδὸς ηὔχετο, συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σῦ. Ψαλμ. ριη. ο.

Δύω τρόποι εἰσὶ, τοῦ ἀνελθεῖν ἐν τῷ σταυρῷ· ὁ εἷς, ἡ σταύρωσις τοῦ σώματος· καὶ ὁ δεύτερος, τὸ ἀνελθεῖν εἰς θεωρίαν. καὶ ὁ μὲν πρῶτος, ἐκ τῆς ἐλευθερίας τῶν παθῶν· ὁ δὲ δεύτερος, ἐκ τῆς ἐνεργείας τῶν ἔργων γίνεται τοῦ πνεύματος. οὐχ ὑποτάσσεται ὁ νοῦς, ἐὰν μὴ τὸ σῶμα ὑποταγῇ αὐτῷ. ἡ βασιλεία τοῦ νοῦ, ἡ σταύρωσίς ἐστι τοῦ σώματος. καὶ οὐχ ὑποτάσσεται ὁ νοῦς τῷ Θεῷ, ἐὰν μὴ ὑποταγῇ τὸ αὐτεξούσιον τῷ λογικῷ. δύσκολόν ἐστιν ἐκδοῦναί τινα ὑψηλὰ τῷ ἔτι ἀρχαρίῳ ὄντι, καὶ νηπίῳ τῇ ἡλικίᾳ. „Οὐαί σοι πόλις, ἧς ὁ βασιλεύς σου νεώτερός ἐστιν. ὅς τις ὑποτάξει ἑαυτὸν τῷ Θεῷ, ἐγγύς ἐστι τοῦ ὑποταγῆναι αὐτῷ τὰ πάντα. τῷ γνόντι ἑαυτὸν, ἡ γνῶσις τῶν πάντων δίδοται αὐτῷ. τὸ γὰρ γινώσκειν ἑαυτὸν, πλήρωμα τῆς γνώσεως τῶν ἁπάντων ἐστί. καὶ ἐν τῇ ὑποταγῇ τῆς ψυχῆς σου ὑποταγήσεταί σοι τὰ πάντα. ἐν τῷ καιρῷ, ἐν ᾧ ἡ ταπείνωσις βασιλεύει ἐν τῇ διαγωγῇ σου, ὑποτάσσεταί σοι ἡ ψυχή σου, καὶ μετ᾽ αὐτῆς ὑποταγήσεταί σοι τὰ πάντα. διότι γεννᾶται ἐν τῇ καρδίᾳ σου εἰρήνη ἐκ τοῦ Θεοῦ. ὅσον δ᾽ εἶ ἔξω ταύτης, οὐ μόνον ἐκ τῶν παθῶν, ἀλλὰ καὶ ἐκ τῶν συμβάσεων συνεχῶς μέλλεις καταδιωχθῆναι. ἀληθῶς, Κύριε, ἐὰν μὴ ταπεινωθῶμεν, οὐ παύῃ ταπεινῶν ἡμᾶς. ἡ ἀληθὴς ταπείνωσις γέννημά ἐστι τῆς γνώσεως. καὶ ἡ γνῶσις ἡ ἀληθινὴ γέννημα τῶν πειρασμῶν.

Ἐκλησ. ι. ιϛ.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΙΖ.

ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ ΤΩΝ ΤΡΟΠΩΝ ΤΗΣ ΑΡΕΤΗΣ.

Καὶ τίς ἡ ἰσχὺς ἑκάστου αὐτῶν, καὶ τίς ἡ διαφορὰ ἑκάστου αὐτῶν.

Ἡ ἀρετὴ ἡ σωματικὴ ἐν τῇ ἡσυχίᾳ τὸ σῶμα καθαίρει ἐκ τῆς ὕλης τῆς ἐν αὐτῷ. ἡ δὲ ἀρετὴ τῆς διανοίας ταπεινοῖ τὴν ψυχὴν, καὶ διϋλίζει αὐτὴν ἐκ τῶν διανοημάτων τῶν χονδρῶν, (1) τῶν ἀπολλυμένων· ἵνα μὴ διαλογίζηται ἐν τούτοις ἐμπαθῶς, ἀλλὰ μᾶλλον κινῆται ἐν τῇ θεωρίᾳ αὐτῆς. αὕτη δὲ ἡ θεωρία προσεγγίζει αὐτὴν εἰς τὴν γύμνωσιν τοῦ νοός. ὅπερ (2) καλεῖται θεωρία ἄϋλος. καὶ αὕτη ἐστὶν ἡ πνευματικὴ ἀρετή. αὕτη γὰρ ἐπαίρει τὴν διάνοιαν ἐκ τῶν ἐπιγείων, καὶ προσεγγίζει αὐτὴν τῇ πρώτῃ θεωρίᾳ τοῦ πνεύματος, καὶ πρὸς τὸν Θεὸν συνιστᾷ τὴν διάνοιαν, καὶ τὴν θεωρίαν τῆς δόξης τῆς ἀνεκλαλήτου, ἥτις ἐστὶ κίνησις νοημάτων τῆς μεγαλωσύνης τῆς φύσεως αὐτοῦ, καὶ χωρίζει αὐτὴν ἐκ τοῦ κόσμου τούτου, καὶ τῆς αἰσθήσεως αὐτοῦ. καὶ ἐκ τούτου πρὸς τὴν ἐλπίδα ἡμῶν ἐκείνην τὴν ἀποκειμένην διαβεβαιούμεθα, καὶ ἐν πληροφορίᾳ τῆς τάξεως αὐτῆς γινόμεθα. καὶ τοῦτό ἐστιν ἡ πεισμονὴ, περὶ ἧς ὁ Ἀπό- Γαλ. ε. η.

(1) Ἴσ. χονδρωδῶν. (2) Ἀνάγν. ἥτις.

ὁ Ἀπόστολος εἶπε, τουτέστιν ἡ πληροφορία, ἐν ᾗ εὐφραίνεται ὁ νοῦς νοητῶς, ἤτοι τῇ ἐλπίδι τῇ ἐπαγγελθείσῃ ἡμῖν. τί δέ ἐστι ταῦτα, καὶ πῶς ἕκαστον τούτων ἐστὶν ἄκουσον. (1)

Πολιτεία ἡ σωματική, ἡ κατὰ Θεόν. σωματικὰ δὲ ἔργα καλεῖται τὰ γινόμενα εἰς τὴν κάθαρσιν τῆς σαρκὸς ἐν τῇ πράξει τῆς ἀρετῆς δι' ἔργων φανερῶν, ἐν οἷς διϋλίζεταί τις ἐκ τῆς ἀκαθαρσίας τῆς σαρκός. ἡ δὲ πολιτεία τῆς διανοίας ἐστὶ τὸ ἔργον τῆς καρδίας, τὸ γινόμενον ἀπαύστως ἐν τῇ φροντίδι τῆς κρίσεως, ἤτοι τῆς δικαιοσύνης τοῦ Θεοῦ, καὶ τῶν κριμάτων αὐτοῦ, καὶ ἡ ἀδιάλειπτος εὐχὴ τῆς καρδίας, καὶ ἡ ἔννοια τῆς προνοίας, καὶ τῆς ἐπιμελείας τοῦ Θεοῦ, τῆς ἐν τούτῳ τῷ κόσμῳ ἡμοῦ γινομένης ἰδικῶς, καὶ ὁλικῶς· καὶ τὸ φυλάξαι τὰ πάθη τὰ κρυπτά, ἵνα μὴ ἀπαντήσῃ τι ἐξ αὐτῶν ἐν τῇ χώρᾳ τῇ κρυπτῇ, καὶ πνευματικῇ. τοῦτο τὸ ἔργον τῆς καρδίας, ὅπερ καλεῖται

(1) Ὁ Ἀπόστολος Παῦλος Γαλάταις γράφων, φησίν· ἐν γὰρ Χριστῷ
„ Ἰησοῦ, οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνερ-
„ γουμένη. ἐτρέχετε καλῶς, τίς ὑμᾶς ἐνέκοψε τῇ ἀληθείᾳ μὴ πείθεσθαι;
„ εἶτα προστίθησιν, ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. ὅπερ δή, λίαν
„ προσφυῶς ἀναπτύσσει ὁ ἱερὸς Θεοφύλακτος, λέγων· τουτέστι τὸ πεί-
„ θεσθαι τοῖς ἀπατῶσιν, οὐκ ἔστιν ἐκ τοῦ Χριστοῦ. οὐ γὰρ ἐκάλεσεν ὑμᾶς ἐκεῖ-
„ νος, ἵνα πεισθῆτε τοῖς συμβουλεύουσιν Ἰουδαΐζειν. ἐκείνην μέντοι τὴν λέξιν (πεισμονή) παραλαβὼν ὁ πατὴρ Ἰσαάκ, καὶ (πληροφορία) διερμηνεύσας, τὰ λοιπὰ τὰ τὴν πληροφορίαν ἀναπτύσσοντα, αὐτὸς ἀφ' ἑαυτοῦ προσέθετο, τοῦ Ἀποστόλου μηδὲν τοιοῦτον περὶ τῆς πεισμονῆς ταύτης εἰπόντος.

Τὸ ἕτερον χειρόγρ. γράφει, καὶ τοῦτό ἐστιν ἡ πλησμονή. ὅπερ πάντη ἀκατάλληλον τῇ τοῦ πατρὸς ἐννοίᾳ· εἴρηται γὰρ ὑπὸ τοῦ Ἀποστόλου ἐν
„ τῇ πρὸς Κολασσ. Κεφ. β. ἐδ. κγ. ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθε-
„ λοθρησκείᾳ, καὶ ταπεινοφροσύνῃ, καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ
„ τινὶ πρὸς πλησμονὴν τῆς σαρκός. ἀλλ' ὁ λόγος οὗτος, ἐστὶ κατὰ τῶν ἀπέ-
χεσθαι τῶν βρωμάτων δογματιζόντων.

λεῖται πολιτεία τῆς διανοίας. ἐν τούτῳ τῷ ἔργῳ τῆς πολιτείας, ὅπερ καλεῖται πρᾶξις ψυχικὴ, λεπτύνεται ἡ καρδία, καὶ χωρίζεται ἀπὸ τῆς κοινωνίας τῆς ἠφανισμένης ζωῆς, τῆς παρὰ φύσιν οὔσης. ἐξ ὧν ἄρχεται κινεῖσθαι ποτὲ σιωπᾶν, καὶ διανοεῖσθαι ἐν τῇ θεωρίᾳ τῶν αἰσθητῶν, τῶν κλιθέντων εἰς τὴν χρείαν, καὶ αὔξησιν τοῦ σώματος, καὶ πῶς ἐν τῇ διακονίᾳ αὐτῶν δίδοται δύναμις τοῖς τέσσαρσι στοιχείοις τοῖς ἐν τῷ σώματι. (1)

Ἡ δὲ πολιτεία ἡ πνευματικὴ ἐστὶ πρᾶξις χωρὶς αἰσθήσεων. καὶ αὕτη ἐστὶν ἡ ὑπὸ τῶν πατέρων γραφεῖσα. ἴσω ὅτε οἱ νόες τῶν ἁγίων δέξονται, ἥτε ὑποστατικὴ θεωρία καὶ ἡ παχύτης τοῦ σώματος ἐκ μέσου παραλαμβάνεται, καὶ ἔκτοτε ἡ θεωρία

(1) Ὅτι μὲν τὰ αἰσθητὰ τὰ κλιθέντα εἰς τὴν τοῦ σώματος χρείαν καὶ αὔξησιν, τουτέστι τροφαὶ, καὶ πόσεις, καὶ τὰ ἄλλα, ὅσα ἡ τοῦ σώματος χρεία ἀπαιτεῖ, μέτρῳ τῷ προσήκοντι, καὶ καιρῷ τῷ δέοντι, καὶ τῇ μετὰ ἐπικρίσεως ἐκλογῇ μεταλαμβανόμενα, δυνάμεις παρέχουσι τοῖς ἐξ ὧν τὸ ἡμέτερον σῶμα σύγκειται τέσσαρσι στοιχείοις, τὴν ἑνὸς ἑκάστου ἀνάλογον ποσότητα, καὶ τὴν μεταξὺ ἀλλήλων ἀναγκαίαν ἰσοῤῥοπίαν διατηροῦντα, ἡ θύραθεν φιλοσοφία ἡμᾶς ἐκδιδάσκει. ταύτην οὖν τυχὸν πολιτείαν τῆς διανοίας, καὶ πρᾶξιν τῆς ψυχῆς καλεῖ ὁ ἅγιος. ἐστι γὰρ ἀληθῶς ἡ φιλοσοφία ἄσκησις νοὸς, καὶ μελέτη, καὶ θεωρία λεπτύνουσα τὴν καρδίαν, καὶ χωρίζουσα ἀπὸ τῆς ἠφανισμένης ζωῆς, τῆς παρὰ φύσιν. ἥτις ἐστὶν ἡ ἐμπαθὴς καὶ κτηνώδης. εἰ δὲ ἀνωτέρω λέγει, ὅτι πολιτεία τῆς διανοίας ἐστὶ τὸ ἔργον τῆς καρδίας, τὸ γινόμενον ἀπαύστως ἐν τῇ φροντίδι τῆς κρίσεως, ἤτοι τῆς δικαιοσύνης τοῦ Θεοῦ κτ. ἀλλὰ δῆλον, ὅτι ἡ μὴ παρεφθαρμένη ἠθικὴ φιλοσοφία, καὶ περὶ δικαίου, καὶ περὶ προνοίας, καὶ περὶ τῆς τῶν παθῶν φυλακῆς πολλὴν ποιεῖται τὸν λόγον. διὰ τοῦτο οὖν ὁ μὲν ψαλμῳδὸς, καὶ ὀργίζεσθαι τὸν Θεὸν φησιν, ἡμῶν παιδείας μὴ δραξαμένων· (Ψαλ. β. ι.) ὁ δὲ Ἀπόστολος διαμαρτύρεται, ὅτι καὶ εἰς σωτηρίαν αὕτη σοφίσαι δύναται. (β. Τιμ. γ. ιε.)

θεωρία γίνεται νοητή. θεωρίαν γὰρ ὑποστατικὴν καλῶ τὴν κλίσιν τῆς πρώτης φύσεως. (1) καὶ ἐκ ταύτης τῆς θεωρίας τῆς ὑποστατικῆς σύνόλως ἀνάγεται εἰς τὴν ἐπίγνωσιν τῆς μοναδικῆς πολιτείας. ἥτις ἐστὶν, ἐν τῇ ἐξηγήσει τῇ φανερᾷ, τὸ θαυμάσαι τὸν Θεόν. (2) αὕτη ἐστὶν ἡ κατάστασις ἡ μεγάλη τῶν

(1) Ἡ ψυχὴ χωρὶς τοῦ σώματος ἰδίαν ἔχει ὑπόστασιν· ὁμοίως καὶ τὸ σῶμα χωρὶς τῆς ψυχῆς. θάτερον δὲ τούτων, οὐκ ἔστιν ὁ ἄνθρωπος δίχα τοῦ ἑτέρου. ἀμφότερα δὲ συνηνωμένα μίαν συνιστῶσιν ὑπόστασιν τὴν τοῦ ἀνθρώπου. ἔνθεν τοι ἡ τῆς ψυχῆς καὶ τοῦ σώματος ἕνωσις ὑποστατικὴ λέγεται. θεωρίαν οὖν ὑποστατικὴν ὁ πατὴρ, τὴν ἐν σώματι τῆς ψυχῆς θεωρίαν πάντως λέγει. διὰ τοῦτο προστίθησιν, ὅτι τῆς ὑποστατικῆς ταύτης θεωρίας, καὶ τῆς τοῦ σώματος παχύτητος ἐκ μέσου παραλαμβανομένης, ἡ θεωρία γίνεται νοητή· τῆς ψυχῆς γὰρ ἀπὸ τοῦ σώματος χωρισθείσης, λήγει μὲν ἡ ὑποστατικὴ θεωρία, τουτέστιν ἡ ἐν σώματι, ἄρχεται δὲ ἡ νοερὰ, ἤτουν ἡ τῆς γυμνῆς ψυχῆς θεωρία. τοῦτο δὲ μετὰ θάνατον γίνεται, ὡς κατωτέρω ὁ ἅγιος ἐπιβεβαιοῖ, λέγων· αὕτη ἐστὶν ἡ κατάστασις ἡ μεγάλη, ἡ διδομένη ἐν τῇ ἐλευθερίᾳ τῆς ἀθανάτου ζωῆς. κτίσιν δὲ τῆς πρώτης φύσεως οἶμαι λέγειν, αὐτὴν τὴν τῆς ἀνθρωπίνης φύσεως πλάσιν, πρώτην οὖσαν, οὐ τῇ τάξει, ἀλλὰ τῇ ἀξίᾳ, καὶ χάριτι. καὶ γὰρ ἐν αὐτῇ τῇ πλάσει ἡ ψυχὴ τῷ σώματι ὑποστατικῶς συνενωθεῖσα, νοεῖν τε καὶ θεωρεῖν ἤρξατο.

(2) Τὸ Ε. Χ. εἰς τὴν ἐπίγνωσιν τῆς μοναδικῆς πολιτείας, ἥτις ἐστὶν ἡ κατάστασις ἡ μεγάλη τῶν μελλόντων ἀγαθῶν. ὅπερ ἐλλιπές ἐστιν· οὐ γὰρ ἡ ἐπίγνωσις τῆς μοναδικῆς πολιτείας ἐστὶν ἡ κατάστασις τῶν μελλόντων ἀγαθῶν, ἀλλὰ τὸ θαυμάζειν τὸν Θεόν. τὸ
„ δὲ θαυμάζειν τὸν Θεὸν ἐστὶν ἡ κατάστασις τῶν μελλόντων ἀγαθῶν. Θαυ-
„ μαστὸς γάρ φησιν ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. (Ψαλμ. ξζ. λϛ.) τὸ δὲ, ἥτις ἐστὶν ἐν τῇ ἐξηγήσει τῇ φανερᾷ, ταὐτόν μοι δοκεῖ τῷ, ἥτις σαφῶς διερμηνευομένη, δηλοῖ τὸ θαυμάσαι τὸν Θεόν.

Ὁ Λατῖνος. Ad agnitionem ſolitariae converſationis, quae eſt in expoſitione manifeſta miſericordiarum Domini. Εἰς τὴν ἐπίγνωσιν τῆς μοναδικῆς πολιτείας, ἥτις ἐστὶν ἐν τῇ ἐξηγήσει τῇ φανερᾷ τῶν οἰκτιρμῶν τοῦ Κυρίου.

τῶν μελλόντων ἀγαθῶν, ἡ διδομένη ἐν τῇ ἐλευθερίᾳ τῆς ἀθανάτου ζωῆς, ἐν τῇ διαγωγῇ τῇ μετὰ τὴν ἀνάστασιν. διότι οὐ παύεται ἡ φύσις ἡ ἀνθρωπίνη ἐκεῖσε ἀεὶ θαυμάζειν τὸν Θεὸν· καὶ μὴ ἐννοοῦσά τι ὅλως περὶ τῶν κτισμάτων. (1) εἰ ἦν γάρ τι ὅμοιον τῷ Θεῷ, εἶχεν ἂν κινηθῆναι πρὸς αὐτὸ ὁ νοῦς. ποτὲ μὲν, ἐν τῷ Θεῷ· ποτὲ δὲ, ἐν τούτῳ. ἐπεὶ δὲ πᾶσα ἡ ὡραιότης τῶν γινομένων ἐν τῇ καινότητι τῇ μελλούσῃ κατωτέρα τῆς ὡραιότητος αὐτοῦ ἐστὶ, πῶς δύναται ἡ διάνοια ἐξελθεῖν τῇ θεωρίᾳ αὐτῆς ἔξωθεν τῆς τοῦ Θεοῦ ὡραιότητος; τί οὖν; τὸ ἀποθανεῖν λυπεῖ αὐτόν; ἀλλὰ ἡ βάρησις τῆς σαρκός; ἀλλ᾽ ἡ μνήμη τῶν ἰδίων αὐτοῦ; ἀλλ᾽ ἡ χρεία τῆς φύσεως; ἀλλ᾽ αἱ συμφοραὶ; ἀλλ᾽ αἱ ἐναντιώσεις; ἢ μετεωρισμὸς ἄγνωστος; ἢ ἀτελειότης τῆς φύσεως; ἢ ἐν τοῖς στοιχείοις περικύκλωσις; ἢ συντυχία τινὸς μετά τινος; ἢ ἀκηδία; ἢ κατάκοπος μόχθος τοῦ σώματος; οὐδαμῶς. ἀλλὰ ταῦτα πάντα, εἰ καὶ ἐν τῷ κόσμῳ γίνονται, ὅμως ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτε ἐξαρθῇ τὸ κάλυμμα τῶν παθῶν ἐκ τῶν ὀφθαλμῶν τῆς διανοίας, καὶ κατοπτεύσῃ ἐκείνην τὴν δόξαν, εὐθὺς ὑψοῦται ἡ διάνοια ἐν ἐκπλήξει. καὶ εἰμὴ, ὅτι ὁ Θεὸς ὅρον τέθεικεν ἐν τῇ ζωῇ ταύτῃ τοῖς τοιούτοις πράγμασι πόσον δεῖ βραδύνειν ἐν αὐτοῖς, καὶ ὅμως εἰ συνεχωρήθη ἐν πάσῃ τῇ ζωῇ τοῦ ἀνθρώπου, (2) οὐκ εἶχεν ἐξελθεῖν ἐκεῖθεν ἐκ τῆς θεωρί-

(1) Ἴσ. θαυμάζουσα τὸν Θεὸν, καὶ μὴ ἐννοοῦσά τι ὅλως περὶ τῶν κτισμάτων. ἢ θαυμάζειν τὸν Θεὸν, καὶ μὴ ἐννοεῖν τι ὅλως περὶ τῶν κτισμάτων.

Ὁ Λατῖνος. Nec conſiderat quid omnino de creaturis, καὶ οὐδὲ ἐννοεῖ τι ὅλως περὶ τῶν κτισμάτων.

(2) Τὸ ὅτι, καὶ τὸ ὅμως, οὐ μόνον περιττὰ, ἀλλὰ καὶ ἀσάφειαν ἐμποιεῖ. εἶποι δ᾽ ἄντις οὕτω σαφέστερον. καὶ εἰ μὴ ὁ Θεὸς ὅρον τέθεικεν ἐν τῇ

ζωῇ

θεωρίας αὐτῶν, πόσον μᾶλλον ἐκεῖ, ὅπȣ ταῦτα ὅλα ἐκ εἰσὶν, (ἡ ἀρετὴ γὰρ ἐκείνη ἀόριϛός ἐϛι.) καὶ ἐν αὐτοῖς τοῖς πράγμασιν ὑποϛατικῶς ἐσόμεθα ἔνδοθεν τῶν βασιλικῶν αὐλῶν, εἰ ἀξιωθῶμεν διὰ τῆς πολιτείας ἡμῶν;

Πῶς ȣ̓͂ν δυύαται πάλιν ἡ διάνοια ἐξελθεῖν, καὶ μακρυνθῆναι ἐκ τῆς θαυμαϛῆς καὶ θεϊκῆς θεωρίας ἐκείνης, καὶ πεσεῖν ἐν ἄλλῳ πράγματι; ȣ̓αὶ ἡμῖν, ὅτι ȣ̓ γνωρίζομεν τὰς ψυχὰς ἡμῶν, ȣ̓δὲ εἰς ποίαν πολιτείαν ἐκλήθημεν, καὶ τὴν ζωὴν ταύτην τῆς ἀθανείας, καὶ τὴν κατάϛασιν τῶν ζώντων, καὶ τὰς θλίψεις τȣ͂ κόσμȣ, καὶ αὐτὸν τὸν κόσμον, καὶ τὰς κακίας αὐτȣ͂, καὶ τὰς ἀναπαύσεις αὐτȣ͂ λογιζόμεθα, οτι εἰσί τι.

Εὐχή. Ἀλλ' ὦ Χριϛὲ ὁ μόνος δυνατὸς, μακάριος ȣ̓͂ ἡ ἀντίληψις αὐτῷ παρὰ σοὶ, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτȣ͂ διέθετο: σὺ Κύριε ἀπόϛρεψον τὰ πρόσωπα ἡμῶν ἐκ τȣ͂ κόσμȣ ἐν τῇ ἐπιθυμίᾳ τȣ, ἕως ἂν ἴδωμεν αὐτὸν ὅπερ ἐϛὶ, καὶ μὴ πιϛεύσωμεν τῇ σκιᾷ, ὥσπερ τῇ ἀληθείᾳ. καινοποιήσας, ἐγκαίνισον ἐν τῇ διανοίᾳ ἡμῶν Κύριε σπȣδὴν πρὸ τȣ͂ θανάτȣ, ὅπως ἐν τῇ ὥρᾳ

τῆς

ζωῇ ταύτῃ τοῖς τοιȣ́τοις πράγμασι, (ἤτȣν τῇ θεωρίᾳ τȣ͂ Θεȣ͂) πόσον δεῖ βραδύνειν ἐν αὐτοῖς, καὶ εἰ συνεχωρήθη ἐν πάσῃ τῇ ζωῇ τȣ͂ ἀνθρώπȣ, ȣ̓κ εἶχεν κτ.

Ὁ *Λατῖνος.* Et nisi quem terminum Deus posuit in hac vita super huiusmodi rebus, et quantum deceat in ipsis morari, per totam vitam hominis promissum esset, non haberet exire a contemplatione eorum, et quanto potius ostendimus, ubi haec omnia non sunt. *καὶ εἰμὴ ὃν ὁ Θεὸς τέθεικεν ὅρον ἐν ταύτῃ τῇ ζωῇ ἐπὶ τὰ τοιαῦτα πράγματα, καὶ πόσον δεῖ ἐν αὐτοῖς βραδύνειν, ἐν πάσῃ τῇ ζωῇ τȣ͂ ἀνθρώπȣ ἐπηγγέλθη, ȣ̓κ εἶχεν ἐξελθεῖν ἐκ τῆς θεωρίας αὐτῶν, καὶ πόσῳ μᾶλλον ἐπιδεικνύομεν, ὅπȣ ταῦτα πάντα ȣ̓κ εἰσί. δυσλήπτα δὲ, καὶ πάντη ἀσαφῆ εἰσὶ ταῦτα τὰ ἐκ τȣ͂ Λατίνȣ.*

τῆς ἐξόδε ἡμῶν γνῶμεν, πῶς ἰῶ ἡ εἴσοδος ἡμῶν, καὶ ἡ ἔξοδος εἰς τὸν κόσμον τῦτον, ἕως ἂν τελειώσωμεν τὸ ἔργον, εἰς ὃ ἐκλήθημεν κατὰ τὸ θέλημά σε ἐν τῇ ζωῇ ταύτῃ πρῶτον, καὶ μετὰ ταῦτα ἐλπίσωμεν ἐν διανοίᾳ πεπληρωμένῃ πεποιθήσεως δέξαθαι τὰ μεγάλα, κατὰ τὴν ἐπαγγελίαν τῶν γραφῶν, ἃ ἡτοίμασεν ἡ ἀγάπησε ἐν τῇ δευτέρᾳ καινεργίᾳ. ὧν ἡ μνήμη αὐτῶν φυλάττεται ἐν τῇ πίςει τῶν μυςηρίων.

Περὶ καθάρσεως τῦ σώματος, καὶ τῆς ψυχῆς, καὶ τῦ νοός. (1)

Ἡ κάθαρσις τῦ σώματος ἐςὶν ὁσιότης ἐκ τῦ μολυσμῦ τῆς σαρκός. ἡ κάθαρσις τῆς ψυχῆς ἐςὶν ἡ ἐλευθερία τῶν κρυπτῶν παθῶν, τῶν ἐν τῇ διανοίᾳ συνιςαμένων. ἡ κάθαρσις δὲ τῦ νοὸς ἐςὶν ἐν τῇ τῶν μυςηρίων ἀποκαλύψει. καθαίρεται γὰρ ἐκ πάντων τῶν ὑποπιπτόντων τῇ αἰσθήσει ἐν τῷ τρόπῳ τῆς παχύτητος αὐτῶν. καὶ τὰ παιδία τὰ μικρὰ ἁγνά εἰσι τῷ σώματι, καὶ ἀπαθῆ τῇ ψυχῇ, καὶ ὐδεὶς καλεῖ αὐτὰ καθαρὰ τῷ νοΐ. ἡ καθαρότης γὰρ τῦ νοὸς ἐςὶν ἡ τελειότης ἐν τῇ ἀναςροφῇ τῆς ὐρανίε θεωρίας, τῆς ἐκτὸς τῶν αἰσθήσεων κινεμένης ἐν τῇ δυνάμει τῇ πνευματικῇ τῶν ἄνω κατακοσμήσεων τῶν ἀναριθμήτων θαυμάτων τῦ ὐρανίε κόσμε ἐκείνε. ὧν ἡ διαγωγὴ μεμέριςαι ἐξ ἀλλήλων τῶν λεπτῶν ἐν τῇ ἀοράτῳ διακονίᾳ αὐτῶν, τῶν ἐν τῇ ἐννοίᾳ ὄντων τῶν θεϊκῶν ἀποκαλύψεων, τῶν συνεχῶν ἐν τῇ ἀλλοιώσει αὐτῶν, ἐν πάσῃ ὥρᾳ. αὐτὸς ὁ Θεὸς ἡμῶν ἀξιώσαι ἡμᾶς ἀεὶ θεωρεῖν αὐτὸν ἐν γυμνότητι νοός, καὶ μετὰ ταῦτα ἀμέσως εἰς αἰῶνας αἰώνων. αὐτῷ ἡ δόξα. Ἀμήν.

(1) Ἐν τῷ ἑτέρῳ χαρτογρ. Ἀρχὴ τῦ νβ. λόγε.

ΛΟΓΟΣ ΙΗ.

ΠΕΡΙ
ΤΟΥ ΠΟΣΟΝ ΓΙΝΕΤΑΙ ΤΟ ΜΕΤΡΟΝ ΤΗΣ ΓΝΩΣΕΩΣ, ΚΑΙ ΤΑ ΜΕΤΡΑ ΤΑ ΠΕΡΙ ΤΗΣ ΠΙΣΤΕΩΣ.

Ἔςι γνῶσις προηγουμένη τῆς πίςεως, καὶ ἔςι γνῶσις τικτομένη ἐκ τῆς πίςεως. ἡ γνῶσις ἡ προηγουμένη τῆς πίςεως, ἐςὶ γνῶσις φυσική· ἡ δὲ τικτομένη ἐκ τῆς πίςεως, γνῶσίς ἐςι πνευματική. ἔςι δὲ γνῶσις φυσικὴ διακρίνουσα τὸ καλὸν ἐκ τοῦ κακοῦ, ἥτις καὶ καλεῖται διάκρισις φυσικὴ, ἐν ᾗ γινώσκομεν τὸ καλὸν ἐκ τοῦ κακοῦ φυσικῶς ἄνευ μαθήσεως. ταύτην ἔθετο ὁ Θεὸς ἐν τῇ λογικῇ φύσει. ἐκ δὲ τῆς μαθήσεως αὔξησιν καὶ προθήκην λαμβάνει. οὐκ ἔςι τὶς ὁ ταύτην μὴ ἔχων. καὶ αὕτη ἡ δύναμις τῆς γνώσεως τῆς φυσικῆς τῆς λογικῆς ψυχῆς, ἡ διάκρισίς ἐςι τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἡ κινουμένη ἐν αὐτῇ ἀπαύςως. καὶ οἱ ςερηθέντες αὐτῆς, κάτωθεν τῆς λογικῆς φύσεως εἰσίν. οἱ δὲ ἔχοντες ταύτην, ὀρθῶς ἐν τῇ ψυχικῇ φύσει ἵςανται, καὶ οὐκ ἔχουσί τινα ἀφανισμὸν ἐν οἷς ἔδωκεν ὁ Θεὸς τῇ φύσει πρὸς τιμὴν τῶν λογικῶν αὐτοῦ. τοὺς δὲ ταύτην τὴν διάγνωσιν ἀπολέσαντας, τὴν διακρίνουσαν τὸ καλὸν ἐκ τοῦ κακοῦ, ὀνειδίζει ὁ Προφήτης λέγων· ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκεν. ἡ τιμὴ τῆς λογικῆς φύσεως, ἡ διάκρισίς ἐςιν, ἡ διακρίνουσα τὸ καλὸν ἐκ τοῦ κακοῦ. καὶ δικαίως τοὺς ἀπολέσαντας ταύτην, ὡμοίωσε

Ψαλμ. μη. ιγ.

τοῖς ἀνοήτοις κτήνεσι, τοῖς μὴ ἔχουσι τὸ λογικὸν, καὶ διακριτικόν. ἐν ταύτῃ δυνατόν ἐστιν ἡμῖν εὑρεῖν τὴν ὁδὸν τοῦ Θεοῦ. καὶ αὕτη ἐστὶν ἡ γνῶσις ἡ Φυσικὴ, καὶ αὕτη προηγεῖται τῆς πίστεως, καὶ αὕτη ὁδός ἐστι πρὸς τὸν Θεόν. καὶ ἐν ταύτῃ γινώσκομεν τὸ καλὸν ἐκ τοῦ κακοῦ διακρῖναι, καὶ δέξασθαι τὴν πίστιν. καὶ μαρτυρεῖ ἡ δύναμις τῆς Φύσεως, ὅτι πρέπει τῷ ἀνθρώπῳ πιστεῦσαι τῷ παραγαγόντι εἰς τὴν κτίσιν ταῦτα πάντα, (1) καὶ πιστεῦσαι τοῖς λόγοις τῶν ἐντολῶν αὐτοῦ, καὶ ποιῆσαι αὐτούς. καὶ ἐκ τοῦ πιστεῦσαι, τίκτεται ὁ Φόβος τοῦ Θεοῦ. καὶ ὅτε ἀκολουθήσει τοῖς ἔργοις, καὶ πρὸς μικρὸν ἀνέλθῃ πρὸς ἐργασίαν, τίκτει τὴν γνῶσιν τὴν πνευματικὴν, ἣν εἴπομεν τίκτεσθαι ἐκ τῆς πίστεως.

Η Φυσικὴ γνῶσις, ἥτις ἐστὶν ἡ διάκρισις τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἡ ὑπὸ τοῦ Θεοῦ ἐντεθεῖσα τῇ Φύσει ἡμῶν, αὐτὴ πείθει ἡμᾶς, ὅτι δεῖ πιστεύειν τῷ Θεῷ, τῷ παραγαγόντι τὰ πάντα. καὶ ἡ πίστις ποιεῖ ἐν ἡμῖν τὸν Φόβον, καὶ ἀναγκάζει ἡμᾶς ὁ Φόβος μετανοῆσαι, καὶ ἐργάσασθαι. καὶ οὕτω δίδοται ἡ πνευματικὴ γνῶσις τῷ ἀνθρώπῳ, ἥτις ἐστὶν αἴσθησις τῶν μυστηρίων, ἥτις γεννᾷ τὴν πίστιν τῆς ἀλη[θεία]ς θεωρίας. οὐχ ἁπλῶς δὲ οὕτως ἐκ πίστεως μόνης ψιλῆς γεννᾶται ἡ γνῶσις ἡ πνευματικὴ, ἀλλ᾽ ἡ πίστις Φόβον Θεοῦ γεννᾷ, καὶ ἐν τῷ Φόβῳ τοῦ Θεοῦ, ὅταν ἀρξώμεθα ἐνεργεῖν ἐν αὐτῷ, ἐκ τῆς ἐνεργείας τοῦ Φόβου τοῦ Θεοῦ τίκτεται ἡ γνῶσις ἡ πνευματικὴ, καθάπερ εἶπεν ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος· ὅτι, ὅτε τὶς κτήσεται θέλημα ἀκόλουθον τῷ Φόβῳ τοῦ Θεοῦ, καὶ τῇ ὀρθῇ Φρονήσει, ταχέως λαμβάνει τὴν

 ἀποκά-

(1) Τὰ Ε. [illegible]

ἀποκάλυψιν τῶν κρυπτῶν. καλεῖ δὲ ἀποκάλυψιν τῶν κρυπτῶν, τὴν γνῶσιν τὴν πνευματικήν.

Οὐχ ὁ φόβος δὲ τοῦ Θεοῦ τίκτει ταύτην τὴν γνῶσιν τὴν πνευματικήν, (διότι ὅπερ οὐκ ἔστιν ἐν τῇ φύσει κείμενον, γεννηθῆναι οὐ δύναται.) ἀλλὰ δόσις δίδοται αὕτη ἡ γνῶσις τῇ ἐργασίᾳ τοῦ φόβου τοῦ Θεοῦ. ἡνίκα ἐρευνήσεις καλῶς τὸ ἔργον τοῦ φόβου τοῦ Θεοῦ, εὑρίσκεις ὅτι αὕτη ἐστὶν ἡ μετάνοια, καὶ ἡ γνῶσις ἡ πνευματικὴ ἐνταῦθα. αὕτη ἐστὶν ἣν εἴπομεν, ὅτι ὅνπερ ἐν τῷ βαπτίσματι ἐδεξάμεθα τὸν ἀῤῥαβῶνα αὐτοῦ, διὰ τῆς μετανοίας πάντως δεχόμεθα τὸ χάρισμα αὐτοῦ. καὶ τὸ χάρισμα, ὅπερ εἴπομεν, ὅτι διὰ τῆς μετανοίας λαμβάνομεν αὐτὸ, αὕτη ἐστὶν ἡ γνῶσις ἡ πνευματικὴ, ἡ διὰ τῆς ἐνεργείας τοῦ φόβου διδομένη δόσις. (1) ἡ πνευματικὴ δὲ γνῶσις, ἐστὶν ἡ αἴσθησις τῶν κρυπτῶν. καὶ ὅταν αἰσθηθῇ τὶς τούτων τῶν ἀοράτων, καὶ κατὰ πολὺ ὑπερβαλλόντων, ἐκ τούτων λαμβάνει ὄνομα τῆς πνευματικῆς γνώσεως, καὶ γεννᾶται ἐν τῇ αἰσθήσει ταύτης πίστις ἄλλη, οὐκ ἐναντία οὖσα ἐκείνῃ τῇ πρώτῃ, ἀλλὰ βεβαιοῦσα τὴν πίστιν ἐκείνην. καὶ καλοῦσιν αὐτὴν πίστιν τῆς θεωρίας. ἕως ἐκεῖ, ἡ ἀκοή· νῦν δὲ, θεωρία. ἡ δὲ θεωρία, τῆς ἀκοῆς ἀσφαλεστέρα ὑπάρχει.

Ταῦτα πάντα ἐκ τῆς γνώσεως ἐκείνης, τῆς διακρινούσης τὸ καλὸν ἐκ τοῦ κακοῦ, τῆς ἐν τῇ φύσει οὔσης τίκτονται. καὶ αὕτη ἐστὶν ὁ σπόρος ὁ ἀγαθὸς τῆς ἀρετῆς, (2) καὶ ἤδη ἐλέχθη. καὶ ὅτε ταύτην τὴν φυσικὴν γνῶσιν καλύψομεν τῷ θελήματι ἡμῶν

(1) Τὸ Ε. Χ. τοῦ φόβου τοῦ Θεοῦ γινομένη δόσις.

(2) Τὸ Ε. Χ. καὶ αὕτη ἐστὶν ὥσπερ ὁ σπόρος ἀγαθὸς τῆς ἀρετῆς.

ἡμῶν τῷ φιληδόνῳ, ἐκ πάντων τῶν ἀγαθῶν τούτων ἐκπίπτομεν. καὶ ἀκολουθεῖ ταύτῃ τῇ φυσικῇ γνώσει κέντησις διηνεκὴς τῆς συνειδήσεως, μνήμη τοῦ θανάτου ἀδιάλειπτος, καὶ φροντίς τις, βάσανος οὖσα ἕως τῆς ἐξόδου ταύτης. (1) μετὰ ταύτην, ἡ λύπη, ἡ κατήφεια, ὁ φόβος τοῦ Θεοῦ, ἡ αἰδὼς ἡ ἐκ τῆς φύσεως, ἡ λύπη ἡ ὑπὲρ τῶν ἁμαρτιῶν αὐτοῦ τῶν προτέρων, ἡ πρέπουσα σπουδὴ, ἡ μνήμη τῆς κοινῆς ὁδοῦ, καὶ φροντὶς περὶ τῶν ἐφοδίων αὐτῆς, καὶ αἴτησις μετὰ πόθους παρὰ τοῦ Θεοῦ, καλῶς εἰσελθεῖν εἰς τὴν πύλην ταύτην, ἥτις ἐστὶν ἡ διάβασις πάσης τῆς φύσεως, καταφρόνησις κόσμου. καὶ πολὺς ἀγὼν ὑπὲρ τῆς ἀρετῆς. ταῦτα πάντα ἐν τῇ γνώσει τῇ φυσικῇ εὑρίσκεται. συγκρινέτω οὖν τὶς τὰ ἔργα αὐτοῦ πρὸς ταῦτα. ὅτε γὰρ εὑρεθῇ ἄνθρωπος ἐν τούτοις, ἐν τῇ ὁδῷ τῇ φυσικῇ πορεύεται· καὶ ὅταν ὑπεραρθῇ τούτων, καὶ φθάσῃ εἰς τὴν ἀγάπην, ὑπεραίρεται ὑπὲρ τὴν φύσιν, καὶ παρέρχεται ἐξ αὐτοῦ ὁ ἀγὼν, καὶ ὁ φόβος, καὶ ὁ κόπος, καὶ ὁ μόχθος ἐν πᾶσι. ταῦτα τὰ παρεπόμενα τῇ φυσικῇ γνώσει. καὶ ταῦτα εὑρίσκομεν

(2) Τρεῖς αἱ τοῦ ἀνθρώπου καταστάσεις, ὡς κατωτέρω φησὶν ὁ ὅσιος. ἡ κατὰ φύσιν, ἡ παρὰ φύσιν, καὶ ἡ ὑπὲρ φύσιν. ἐπειδὰν οὖν τῆς κατὰ φύσιν ἐκπεσόντες, εἰς τὴν παρὰ φύσιν καταντήσωμεν, κεντᾷ διηνεκῶς τὴν συνείδησιν ἡ φυσικὴ γνῶσις, καὶ τὴν τοῦ θανάτου μνήμην ἀδιαλείπτως ἐπεγείρει, καὶ φροντίδα τινὰ, τὴν ψυχὴν ἡμῶν βασανίζουσαν, οὐ παύεται τίκτουσα, ἕως τῆς ἐξόδου ταύτης, εἴτουν ἄχρις οὗ ταυτησὶ τῆς παρὰ φύσιν καταστάσεως ἐξελθόντες, εἰς τὴν κατὰ φύσιν αὖθις ἐπανέλθωμεν. τηνικαῦτα δὲ πάλιν ἡ φυσικὴ γνῶσις θλίψιν γεννᾷ, καὶ κατήφειαν, καὶ φόβον Θεοῦ, καὶ αἰδῶ, καὶ λύπην, καὶ σπουδὴν, καὶ θανάτου μνήμην, καὶ ὑπὲρ τῶν ἐφοδίων φροντίδα. ἔτι δὲ καὶ ἀναπείθει ἡμᾶς, πάθει πολλῷ, καὶ δάκρυσιν ἐξαιτεῖσθαι παρὰ τοῦ Θεοῦ τὸ εἰσελθεῖν εἰς τὴν πύλην ταύτην, τουτέστιν εἰς τὴν ὑπὲρ φύσιν κατάστασιν.

μεν ἐν ἑαυτοῖς, ὅταν μὴ καλύψωμεν αὐτὴν τῷ θελήματι ἡμῶν τῷ φιληδόνῳ. καὶ ἐν τούτοις γινόμεθα, ἕως ἂν φθάσωμεν τὴν ἀγάπην, ἥτις ἐλευθεροῖ ἡμᾶς ἐκ πάντων τούτων. ἐκ τούτων τῶν ῥηθέντων συγκρινέτω τις, καὶ ἐξεταζέτω ἑαυτὸν ἐν ποίοις πορεύεται, ἐν τοῖς παρὰ φύσιν ἐστὶν, ἢ ἐν τοῖς κατὰ φύσιν, ἢ ἐν τοῖς ὑπὲρ φύσιν. ἐκ τῶν τρόπων τῶν ῥηθέντων, φανερῶς, καὶ ταχέως δύναταί τις εὑρεῖν τὴν κυβέρνησιν τῆς ὅλης ζωῆς αὐτοῦ. καὶ ὅταν μὴ εὑρεθῇ τοῖς κατὰ φύσιν ῥηθεῖσιν ὑφ᾽ ἡμῶν, ὡς ὡρίσαμεν, καὶ ἐν τοῖς ὑπὲρ φύσιν ἐστὶν οὐχ ὑπάρχει, δῆλόν ἐστιν, ὅτι ἐν τοῖς παρὰ φύσιν ὑπάρχει ἐῤῥιμμένος. τῷ δὲ Θεῷ ἡμῶν δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΙΘ.

ΠΕΡΙ ΠΙΣΤΕΩΣ, ΚΑΙ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ.

Ὦ ἄνθρωπε ἐλάχιστε, θέλεις εὑρεῖν τὴν ζωήν; τὴν πίστιν, καὶ τὴν ταπείνωσιν κράτησον ἐν ἑαυτῷ, ὅτι ἐν αὐταῖς εὑρίσκεις τὸ ἔλεος, καὶ τὴν βοήθειαν, καὶ λόγους ἐν καρδίᾳ ἐκ τοῦ Θεοῦ λαλουμένους μετὰ τοῦ φύλακος τοῦ ἐν τῷ κρυπτῷ, καὶ ἐν τῷ φανερῷ παραμένοντός σοι. θέλεις ταῦτα κτήσασθαι, ἅπερ εἰσὶν ὁμιλίαι τῆς ζωῆς; ἐν ἁπλότητι πορεύθητι, καὶ μὴ ἐν γνώσει ἐνώπιον τοῦ Θεοῦ. τῇ ἁπλότητι ἡ πίστις ἀκολουθεῖ· τῇ λεπτότητι δὲ, καὶ τῇ ἀντιστροφῇ τῶν λογισμῶν, ἡ οἴησις· τῇ δὲ, ἀπέχεσθαι τοῦ Θεοῦ.

Ὅτε προσεγγίσεις ἐνώπιον τοῦ Θεοῦ διὰ προσευχῆς, οὕτω γενοῦ ἐν τῷ λογισμῷ σου, ὥσπερ μύρμηξ, καὶ ὥσπερ τὰ ἑρπετὰ τῆς γῆς, καὶ ὥσπερ βδέλλα, καὶ ὡς παιδίον ψελλίζον. καὶ μὴ εἴπῃς ἔμπροσθεν αὐτοῦ τὶ ἐν γνώσει, ἀλλὰ τῷ νηπιάζοντι φρονήματι προσέγγισον τῷ Θεῷ, καὶ πορεύθητι ἐνώπιον αὐτοῦ, ἵνα ἀξιωθῇς τῆς προνοίας ἐκείνης τῆς πατρικῆς, τῆς γινομένης ὑπὸ τῶν πατέρων ἐπὶ τὰ τέκνα αὐτῶν τὰ νήπια. ἐῤῥέθη, „Φυλάσσων τὰ νήπια ὁ Κύριος. προσεγγίζει ὁ νήπιος τῷ ὄφει, καὶ κρατεῖ αὐτὸν εἰς τὸν τράχηλον αὐτοῦ, καὶ οὐ βλάπτει αὐτόν. γυμνὸς πορεύεται ὁ νήπιος ὅλον τὸν χειμῶνα, ὅτε ἄλλοι ἐνδεδυμένοι, καὶ ἐσκεπασμένοι, καὶ ὑπεισέρχεται τὸ ψύχος ἐν ὅλοις τοῖς ἑαυτοῦ μέλεσιν. αὐτὸς κάθηται γυμνὸς ἐν ἡμέρᾳ ψύχους, καὶ κρύους, καὶ πάχνης, καὶ οὐ πονεῖ. διότι τὸ σῶμα τῆς ἰδιωτείας αὐτοῦ κεκαλυμμένον ἐστὶν ἐν ἄλλῳ ἐνδύματι ἀοράτῳ ἐκ τῆς προνοίας ἐκείνης τῆς κρυπτῆς, τῆς τηρούσης τὰ τρυφερὰ αὐτοῦ μέλη, ἵνα μὴ ἐγγίσῃ αὐτοῖς βλάβη ἔκ τινος. (1)

Ψαλ. ριδ. ϛ.

Νῦν

(1) Νηπίους λέγει τοὺς διὰ τὴν προαιρετικὴν ἁπλότητα ἀκάκιαν ἔχοντας τὴν καρδίαν, καὶ τὰ φρονήματα. περὶ ὧν ὁ μὲν ψαλμῳδὸς φησίν, „ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους. (ψαλμ. ριη. ρλα.) „ὁ δὲ Κύριος ἡμῶν, ἐξομολογοῦμαί σοι πάτερ Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, „ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν, καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐ„τὰ νηπίοις. (Ματθ. ια. κε.) τούτους μὲν γὰρ τοὺς ἐθελουσίως νηπιάσαντας, διὰ τὴν ἐκ Θεοῦ διδομένην αὐτοῖς σοφίαν καὶ σύνεσιν, ὁ νοητὸς ὄφις παραβλάψαι οὐ δύναται, καθάπερ οὐδὲ τὸν πρωτόπλαστον, ἐν ὅσῳ αὐτὸς τῆς ἁπλότητος ἀντεχόμενος, ἐν τῇ τοῦ Θεοῦ χάριτι ἔμεινεν. οὐδὲ δή, διὰ τὴν ἀόρατον τῆς τὰ πνευματικὰ ταῦτα νήπια φυλαττούσης προνοίας δύναμιν, ἡ χειμῶνι παρεικαζομένη τῶν παθῶν τοῦ βίου τύρβη, καὶ ἡ ἐξ αὐτῆς ἐπιγινομένη νάρκη τε καὶ ψυχρότης, τὴν τῶν μελῶν ἁπαλότητα, τουτέστι τὸ τῆς ψυχῆς, καὶ τοῦ νοὸς αὐτῶν ἀκέραιον λυμαίνουσι.

Φυλάσ-

Νῦν πιστεύεις, ὅτι ἐστὶ πρόνοιά τις κρυπτὴ, ἥτινι τὸ τρυφερὸν σῶμα τὸ ἕτοιμον ταχέως εἰς ἑκάστην βλάβην, διὰ τὴν τρυφερότητα καὶ αἰσθανῆ πολιτείαν αὐτοῦ, διαφυλάττεται ἐν μέσῳ τῶν ἐναντίων, καὶ οὐ καταπονεῖται ὑπ' αὐτῶν; Φησὶ, φυλάσσων τὰ νήπια ὁ Κύριος. καὶ οὐ τούτους μόνον τοὺς μικροὺς τῷ σώματι, ἀλλὰ καὶ τοὺς ἐν κόσμῳ σοφοὺς ὄντας, τοὺς καταλιμπάνοντας τὴν γνῶσιν αὐτῶν, καὶ ἐπ' ἐκείνην τὴν σοφίαν τὴν ἐπαρκοῦσαν ἐπερειδομένους, καὶ γινομένους ὡς νηπίους ἐν τῷ ἑαυτῶν θελήματι, καὶ τότε μανθάνοντας ἐκείνην τὴν σοφίαν τὴν μὴ αἰσθανομένην ἐν ἔργοις γυμνασίας. καὶ καλῶς εἶπεν ὁ σοφὸς τὰ θεῖα Παῦλος· ὁ δοκῶν σοφὸς „ εἶναι ἐν τῷ κόσμῳ τούτῳ, γενέσθω μωρὸς, ἵνα γένηται σο„ φός. ὅμως αἴτησαι τὸν Θεὸν, δοῦναί σοι φθάσαι τὸ μέτρον τῆς πίστεως. καὶ ἐὰν τῆς τρυφῆς αὐτῆς αἰσθηθῇς ἐν τῇ ψυχῇ σου, οὐκ ἔστι μοι δυσχερὲς εἰπεῖν πάλιν, ὅτι οὐκ ἔστι τὸ κωλύον σε ἀπὸ τοῦ Χριστοῦ. καὶ οὐκ ἔστι σοι δυσχερὲς αἰχμαλωτισθῆ-

α. Κορινθ. γ. ιη.

„ Φυλάσσων γάρ φησιν ὁ Κύριος τὰ νήπια. (ψαλμ. ριδ. ς.) γυμνὸς φησὶ πορεύεται ὁ νήπιος ὅλον τὸν χειμῶνα. καθαρὸς δῆθεν ὁ ἁπλοῦς ἁπάσης ῥαδιουργίας, καὶ τῆς τῶν παθῶν τυραννίδος. ἐλεύθερος ὅλην διανύει τὴν τοῦ ταραχώδους τούτου βίου περίοδον, ὅτε οἱ ἄλλοι τὴν πονηρίαν περιβέβληνται, καὶ κεκαλυμμένοι τῷ τῶν ἡδυπαθειῶν σκότει τυγχάνουσι. καὶ ἐπεισέρχεται μὲν ἡ τῶν παθῶν ψυχρότης ἐν τοῖς τοῦ ἁπλοῦ μέλεσιν ἐν ἡμέρᾳ ῥαθυμίας, καὶ ἀκηδείας, οὐ παραβλάπτει δὲ ταῦτα, διὰ τὴν τῆς χάριτος ἐπισκήνωσιν.

Ἄλλως. Νηπίους, τοὺς ἀρχαρίους τυχὸν λέγει, τοὺς τὸ σῶμα, καὶ τὰ μέλη αὐτῶν τρυφερὰ ἔχοντας, διὰ τὸ μήπω τῇ σκληραγωγίᾳ, καὶ τοῖς ἀσκητικοῖς πόνοις ταῦτα καταξηρᾶναι. οὗτοι οὖν καὶ ψύχει, καὶ κρύει, καὶ πάχνῃ προσκαρτεροῦντες, καὶ τῷ νοητῷ ὄφει προσπαλαίοντες, οὐδόλως παραβλάπτονται, διὰ τὴν ἐκ τῆς ἀοράτου προνοίας ἐπιχορηγουμένην αὐτοῖς βοήθειαν.

τιωθῆναι ἐν πάσῃ ὥρᾳ ἀπὸ τῶν γηΐνων, καὶ λαθεῖν τοῦτον τὸν κόσμον τὸν ἀσθενῆ, καὶ τὰς μνήμας τῶν πραγμάτων αὐτοῦ. (1) ὑπὲρ τούτου ἀόκνως προσεύχου, καὶ ἐν θερμότητι ἱκέτευσον, καὶ ἐν σπουδῇ πολλῇ δεήθητι, ἕως ἂν λάβῃς. καὶ πάλιν οὐ μὴ ἀτονήσῃς. ἀξιωθήσῃ δὲ τούτων, ἐὰν πρῶτον βιάσῃς ἑαυτὸν τοῦ ἐπιῤῥίψαι ἐπὶ τὸν Θεὸν τὴν μέριμνάν σου μετὰ πίστεως, καὶ ἀνταλλάξῃς τὴν πρόνοιάν σου εἰς τὴν πρόνοιαν αὐτοῦ. καὶ τότε ὅταν ἴδῃ τὸ θέλημά σου, ὅτι ἐν πάσῃ καθαρότητι τοῦ φρονήματος ἐπίστευσας αὐτῷ τῷ Θεῷ ὑπὲρ ἑαυτὸν, καὶ ἐβιάσω ἑαυτὸν ἐλπίσαι ἐπὶ τὸν Θεὸν, πλέον τῆς ψυχῆς σου, τότε ἐκείνη ἡ δύναμις ἡ ἄγνωστος ὑπὸ σοῦ, ἐπισκηνοῖ ἐπὶ σέ. καὶ αἰσθητικῶς αἰσθηθήσῃ τῆς δυνάμεως τοῦ μετὰ σοῦ ἀνενδοιάστως· ἐκείνης τῆς δυνάμεως, ἧς αἰσθανόμενοι πολλοὶ, εἰσέρχονται εἰς τὸ πῦρ καὶ οὐ φοβοῦνται· καὶ ἐπὶ τὸ ὕδωρ πατοῦντες, οὐ δισάζουσι τῷ λογισμῷ ἑαυτῶν, μή-

N 2 πως

(1) Ἐὰν αἰσθηθῇς φησὶ τῆς τρυφῆς τῆς πίστεως, οὐκ ἔστι τὸ κωλύον σε ἀπὸ τοῦ Χριστοῦ. καὶ οὐκ ἔστι σοι δυσχερὲς αἰχμαλωτισθῆναι ἐν πάσῃ ὥρᾳ ἀπὸ τῶν γηΐνων. ὥσπερ ἂν εἰ λέγοι. ὅταν αἰσθηθῇς τῆς τρυφῆς τῆς πίστεως, κἂν οὐδὲν ἔχῃς τὸ κωλύον σε ἀπὸ τοῦ Χριστοῦ, οὐκ ἔστιν ὅμως δυσχερὲς αἰχμαλωτίζεσθαί σε ἐν πάσῃ ὥρᾳ ἀπὸ τῶν γηΐνων. ἀλλὰ τὸ ἑξῆς, καὶ λαθεῖν τοῦτον τὸν κόσμον τὸν ἀσθενῆ, καὶ τὰς μνήμας τῶν πραγμάτων αὐτοῦ, ἀνασκευὴ, ἢ βέλτιον φάναι, ἐναντίον τοῦ προτέρου δοκεῖ, ἐὰν μὴ συνταχθῇ οὕτω· καὶ τὸν κόσμον τοῦτον τὸν ἀσθενῆ, καὶ τὰς μνήμας τῶν πραγμάτων αὐτοῦ λαθεῖν σε. ἐνθάδε τοι καὶ ὅλην τὴν περίοδον ἀναγνωστέον οὕτω· καὶ οὐκ ἔτι σοι δυσχερὲς αἰχμαλωτισθῆναι ἐν πάσῃ ὥρᾳ ἀπὸ τῶν γηΐνων, καὶ τοῦτον τὸν κόσμον τὸν ἀσθενῆ, καὶ τὰς μνήμας τῶν πραγμάτων αὐτοῦ λαθεῖν σε. ἢ οὕτω· καὶ οὐκ ἔστι σοι δυσχερὲς αἰχμαλωτισθῆναι ἐν πάσῃ ὥρᾳ ἀπὸ τῶν γηΐνων, οὐδὲ δὴ δυσχερὲς τοῦτον τὸν κόσμον τὸν ἀσθενῆ, καὶ τὰς μνήμας τῶν πραγμάτων αὐτοῦ, λαθεῖν σε.

πως καταποντισθῶσι. διότι ἐνισχύει ἡ πίστις τὰς αἰσθήσεις τῆς ψυχῆς, καὶ ὡσανεί τινος ἀοράτου αἰσθάνεται, πείθοντος αὐτὸν μὴ προσέχειν τῇ ὁράσει τῶν φοβερῶν πραγμάτων, μηδὲ τῇ ὁράσει τῇ ὑπερβαλλούσῃ τῶν αἰσθήσεων βλέπειν.

Τάχα δοκεῖσοι παντελῶς, ὅτι τὴν γνῶσιν τὴν πνευματικὴν ἐκείνην, ἐν ταύτῃ τῇ ψυχικῇ γνώσει δέχεταί τις; καὶ (1) οὐ μόνον ἀδιώατον ὑποδεχθῆναι ἐκείνην τὴν πνευματικὴν ἐν ταύτῃ τῇ γνώσει τῇ ψυχικῇ, ἀλλ᾽ οὐδὲ αἰσθήσει αἰσθηθῆναι αὐτῆς δυνατόν τινι, ἢ ἀξιωθῆναι αὐτῆς τῶν ἐν ταύτῃ σπουδαζόντων γυμνασθῆναι. καὶ ἐάν τινες ἐξ αὐτῶν θέλωσι προσεγγίσαι ἐκείνῃ τῇ γνώσει τοῦ πνεύματος, ἕως οὗ ἀπαρνήσωνται ταύτην, καὶ πᾶσαν ἀναστροφὴν τῆς λεπτότητος αὐτῆς, καὶ τὴν πολύπλοκον αὐτῆς μέθοδον, καὶ στραφῶσιν εἰς τὸ νήπιον αὐτῆς φρόνημα, οὐδὲ πρὸς ὀλίγον ἐκείνῃ προσεγγίσαι δύνανται. ἀλλὰ πολὺς ἀναχαιτισμὸς γίνεται αὐτοῖς ἡ συνήθεια αὐτῆς, καὶ αἱ ἔννοιαι αὐτῆς, ἕως ἂν κατὰ μικρὸν, καὶ μικρὸν ἐξαλείψῃ αὐτά. ἡ γνῶσις ἐκείνη τοῦ πνεύματος ἁπλῆ ἐστὶ, καὶ ἐν λογισμοῖς ψυχικοῖς οὐκ ἐπιλάμπει. ἕως ἂν ἐλευθερωθῇ ἡ διάνοια ἐκ τῶν πολλῶν λογισμῶν, καὶ ἔλθῃ εἰς μίαν ἁπλότητα τῆς καθαρότητος, οὐ μὴ δυνηθῇ αἰσθηθῆναι τῆς γνώσεως τῆς πνευματικῆς.

Αὕτη ἡ τάξις τῆς γνώσεως, τὸ αἰσθηθῆναι τῆς τρυφῆς ἐκείνης τῆς ζωῆς τοῦ αἰῶνος ἐκείνου. ἐντεῦθεν τοὺς πολλοὺς λογισμοὺς ψέγει. ἡ δὲ γνῶσις αὕτη ἡ ψυχικὴ ἐκτὸς πλήθους λογισμῶν γνῶναί τι ἄλλο, τὸ ἐν τῇ ἁπλότητι τῆς διανοίας

(1) Τὸ καὶ περιττὸν δοκεῖ.

„ νοίας δεχόμενον, ὀ δύναται, (1) κατὰ τὸν λέγοντα. ἐὰν μὴ
„ στραφῆτε, καὶ γένηθε ὡς τὰ παιδία, εἰσελθεῖν εἰς τὴν βα-
„ σιλείαν τοῦ Θεοῦ, οὐ δύναθε. ἀλλ' ἰδοὺ οἱ πολλοὶ εἰς τὴν τοι-
αύτην ἰδιωτείαν οὐ φθάνουσι, καὶ εἰς τὰ ἔργα αὐτῶν τὰ
ἀγαθὰ ἐλπίζομαι, ὅτι τετήρηται αὐτοῖς μέρος ἐν τῇ τῶν οὐ-
ρανῶν βασιλείᾳ, καθὼς ἐκ τῆς συνέσεως τῶν μακαρισμῶν
τῶν εὐαγγελίων, ὧν ἔθηκε διαφόρως, γνωσθῆναι ἡμῖν, ὅτι
ἀλλοιώσεις πολλὰς ἐν διαφόροις πολιτείαις ἐγνώρισεν ἡμῖν
ἐν αὐτοῖς τοῖς μακαρισμοῖς. διότι ἕκαστος ἄνθρωπος εἰς ὅλα
τὰ μέτρα ἐν πάσῃ ὁδῷ, ᾗ πορεύεται πρὸς αὐτὸν, αὐτὸς ἀ-
νοίγει ἔμπροσθεν αὐτοῦ τὴν πύλην τῆς βασιλείας τῶν οὐρανῶν.

Ἀλλ' ἐκείνην τὴν γνῶσιν τὴν πνευματικὴν οὐ δύναταί τις
δέξασθαι, ἐὰν μὴ στραφῇ, καὶ γένηται ὡς παιδίον. ἐντεῦ-
θεν γὰρ αἰσθάνεται τῆς τρυφῆς ἐκείνης τῆς βασιλείας τῶν
οὐρανῶν. τὴν βασιλείαν τῶν οὐρανῶν θεωρίαν πνευματικὴν
λέγουσιν, ὅτι ἐστί. καὶ αὕτη οὐκ ἐν τοῖς ἔργοις τῶν λογισμῶν
εὑρίσκεται, ἀλλ' ἐκ τῆς χάριτος γευσθῆναι δύναται. καὶ ἕως
ἂν καθαρθῇ (2) ὁ ἄνθρωπος, οὐδὲ ἀκοῦσαι αὐτῆς κἂν ἱκα-
νοῖ. διότι ἐκ μαθήσεως οὐδεὶς δύναται αὐτὴν κτήσασθαι. ἐὰν
φθάσῃς τὴν καθαρότητα τῆς καρδίας τὴν ἐκ πίστεως, ὦ τέκ-
νον, προσγινομένην, τὴν ἐν ἡσυχίᾳ τῇ ἐκ τῶν ἀνθρώπων, καὶ
λάθῃς τὴν γνῶσιν τούτου τοῦ κόσμου, ὥστε σε μὴ αἰσθηθῆναι

N 3 αὐτῆς,

Ματθ. ιη. γ.

(1) Τοῦτο τυχὸν βούλεται αὐτῷ ὁ λόγος. ὅτι, οἱ τὴν ψυχικὴν γνῶ-
σιν ἔχοντες, τουτέστιν οἱ ἐν σαρκὶ σοφοὶ, ἀνευ πολλῶν συλλογισμῶν, καὶ
συμπερασμάτων οὐδὲ χωροῦσι τῶν ὧν συνίασιν οἱ διὰ τῆς ἐν Χριστῷ ἁπλό-
τητος τὴν πνευματικὴν κτησάμενοι γνῶσιν.

(2) Ἀνάγν. ἕως ἂν μὴ καθαρθῇ.

αὐτῆς, ἐξαίφνης εὑρεθήσεται αὕτη ἔμπροσθέν σου, χωρὶς ἐρεύ-
„ νης τῆς περὶ αὐτήν. στῆσόν φησι στήλην, καὶ ἐπίχεε ἐπ'
„ αὐτὴν ἔλαιον, καὶ εὑρήσεις θησαυρὸν ἐν τῷ κόλπῳ σου. ἐὰν
δὲ τῇ ἀγχόνῃ τῆς γνώσεως τῆς ψυχικῆς κρατηθῇς, οὐκ ἄτο-
πόν μοι εἰπεῖν, ὅτι εὐχερές σοι ἐκ τῶν δεσμῶν τοῦ σιδήρου λυ-
θῆναι, ἢ ἐξ αὐτῆς. καὶ οὐκ ἀπέχεις ἀεὶ ἐκ τῶν παγίδων
τῆς πλάνης, καὶ οὐδέποτε σωήσεις λαβεῖν παῤῥησίαν τε καὶ
πεποίθησιν πρὸς τὸν Κύριον, καὶ ἐν πάσῃ ὥρᾳ κατὰ στό-
μα τοῦ ξίφους πορεύῃ, καὶ ἐκτὸς λύπης γενέσθαι, παντελῶς
οὐ δυνήσῃ. ἐν ἀσθενείᾳ, καὶ ἁπλότητι δεήθητι, ἵνα ζήσῃς κα-
λῶς ἔμπροσθεν τοῦ Θεοῦ, καὶ ἐκτὸς μερίμνης γενήσῃ. κα-
θάπερ γὰρ ἀκολουθεῖ ἡ σκιὰ τῷ σώματι, οὕτω καὶ τῇ ταπει-
νοφροσύνῃ τὸ ἔλεος. λοιπὸν ἐὰν ἐν τούτοις ἐθέλῃς ἀναστρέ-
φεσθαι, μὴ δῷς χεῖρα τοῖς ἀσθενέσι λογισμοῖς παντελῶς.
καὶ ἐὰν πᾶσαι αἱ βλάβαι, καὶ αἱ κακίαι, καὶ οἱ κίνδυνοι πε-
ρικυκλώσωσι, καὶ ἐκφοβῶσί σε, μὴ φροντίσῃς περὶ αὐτῶν,
μηδὲ ψηφήσῃς αὐτά. (1)

Ἐὰν ἅπαξ ἐπίστευσας τῷ Κυρίῳ τῷ αὐταρκοῦντι πρὸς
φυλακήν σου, καὶ οἰκονομίαν σου, καὶ ἐὰν πορεύσῃ ὀπίσω αὐ-
τοῦ, μὴ πάλιν φροντίσῃς ἔτι τῶν τοιούτων, ἀλλ' εἰπὲ τῇ
ψυχῇ σου, αὐταρκεῖ μοι εἰς πάντα ᾧτινι τὴν ψυχήν μου καθά-
παξ παρέδωκα. ἐγὼ οὐκ εἰμὶ ὧδε, αὐτὸς γινώσκει. καὶ τό-
τε βλέπεις ἐν ἔργῳ τὰ θαυμάσια τοῦ Θεοῦ. πῶς ἐγγύς ἐστιν
ἐν

(1) Τὸ ἕτερον χειρόγραφον ἐν τῷδε τῷ τόπῳ ἀρχὴν ἑτέρου λόγου ἔχει. οὗ ἡ ἐπιγραφὴ αὕτη. περὶ τοῦ ἀναθεμένου ἑαυτὸν τῷ Κυρίῳ διὰ πίστεως, καὶ μὴ ἔχοντος ἀλλαχοῦ που ἐλπίδα οἱανδήτινα.

ἐν παντὶ καιρῷ λυτρώσασθαι τοὺς φοβουμένους αὐτόν. καὶ πῶς ἡ πρόνοια αὐτοῦ περικυκλοῖ αὐτοὺς, καὶ οὐ καθορᾶται. οὐχ᾽ ὅτι ἐὰν οὐ καθορᾶται τοῖς σωματικοῖς ὀφθαλμοῖς ὁ φρουρὸς ὁ μετὰ σοῦ, ὀφείλεις διςάσαι ἐν αὐτῷ, ὅτι οὐκ ἔςι. πολλάκις γὰρ καὶ τοῖς σωματικοῖς ὀφθαλμοῖς ἀποκαλύπτεται πρὸς τὸ σὲ θαῤῥῆσαι.

Ἡνίκα γὰρ ὁ ἄνθρωπος ῥίψειεν ἐξ ἑαυτοῦ πᾶσαν ἀντίληψιν ὁρωμένην, καὶ τὴν ἀνθρωπίνην ἐλπίδα, καὶ τῷ Θεῷ ἀκολουθήσειεν ἐν πίςει, καὶ καθαρᾷ καρδίᾳ, εὐθέως ἀκολουθεῖ αὐτῷ ἡ χάρις, καὶ ἀποκαλύπτει αὐτῷ τὴν ἑαυτῆς δύναμιν ἐν πολυτρόποις ἀντιλήψεσι. πρῶτον μὲν, ἐν τοῖς φανεροῖς τούτοις, καὶ τοῖς τοῦ σώματος, καὶ δεικνύει αὐτῷ τὴν ἑαυτῆς ἀντίληψιν, διὰ τῆς περὶ αὐτὸν προνοίας. ὡς δύνασθαι αὐτὸν ἐν τούτοις ἐπὶ πλέον αἰσθηθῆναι τῆς δυνάμεως τῆς προνοίας τοῦ Θεοῦ, τῆς περὶ αὐτόν. καὶ ἐν τῇ συνέσει τῶν φανερῶν, βεβαιοῦται καὶ περὶ τῶν κρυπτῶν, καθὼς δεῖ τῇ νηπιότητι τοῦ φρονήματος αὐτοῦ, καὶ τῇ διαγωγῇ αὐτοῦ, ὅτι πῶς εὐτρεπίζεται ἡ χρεία αὐτοῦ χωρὶς ἔργου, ἡνίκα οὐκ ἐφρόντισε· καὶ πολλὰς ἐπιφορὰς παρέρχεσθαι ἐξ αὐτοῦ ποιεῖ, προσεγγιζούσας αὐτῷ, πολλάκις πεπληρωμένας κινδύνων, ἡνίκα αὐτὸς οὐκ ἐνόησεν ἐν αὐτοῖς, ἀλλ᾽ ἀνεπαισθήτως ἡ χάρις ἀποδιώκει ἀπ᾽ αὐτοῦ ἐν θαύματι μεγάλῳ, καὶ φρουρεῖ αὐτὸν καθάπερ τροφός. ἥτις ἐκπετᾷ τὰς πτέρυγας ἑαυτῆς ἐπὶ τὰ ἑαυτῆς τέκνα, τοῦ μὴ προσεγγίσαι αὐτοῖς βλάβην τινός. καὶ δεικνύει αὐτῷ τοῖς ὀφθαλμοῖς αὐτοῦ, ὅτι πῶς προσήγγισεν αὐτῷ ἡ ἀπώλεια αὐτοῦ, καὶ ἀβλαβῶς (1) διέμεινεν.

(1) Ἀβλαβὴς ὀρθότερ.

νεν. οὕτω γυμνάζει αὐτὸν καὶ ἐν τοῖς κρυπτοῖς, καὶ ἀνοίγει ἔμπροσθεν αὐτοῦ τὴν ἔνεδραν τῶν ἐννοιῶν, καὶ τῶν λογισμῶν τῶν δυσχερῶν, τῶν ἀκαταλήπτων. καὶ εὐκόλως εὑρίσκεται αὐτῷ ἡ κατανόησις αὐτῶν, καὶ ἡ ἀκολουθία αὐτῶν πρὸς ἀλλήλους, καὶ ἡ πλάνη αὐτῶν, καί τινι μὲν αὐτῶν προσκολλᾶται, καὶ πῶς γεννῶνται εἰς ἐξ ἑνὸς, καὶ ἀπολοῦσι τὴν ψυχήν. καὶ καταισχύνει ἐν ὀφθαλμοῖς αὐτοῦ πᾶσαν ἔνεδραν τῶν δαιμόνων, καὶ τὸ κατάλυμα τῶν λογισμῶν αὐτῶν, καὶ τίθησιν ἐν αὐτῷ σύνεσιν κατανοῆσαι τὰ ἐσόμενα, καὶ ἀνατέλλει ἐντὸς τῆς ἁπλότητος φῶς κρυπτὸν, τοῦ αἰσθηθῆναι εἰς πάντα, καὶ τὴν δύναμιν τῶν ἐννοιῶν τῶν λογισμῶν τῶν λεπτῶν, καὶ δεικνύει αὐτῷ ὡς ἐν δακτύλῳ, ὅτι εἰ μὴ ταῦτα ἔγνω, τί ἤμελλε πάσχειν. καὶ τότε γεννᾶται αὐτῷ ἐντεῦθεν, ὅτι ἕκαστον πρᾶγμα μικρὸν καὶ μέγα ἐν εὐχῇ δεῖ ἐξαιτήσασθαι παρὰ τοῦ δημιουργοῦ αὐτοῦ περὶ αὐτοῦ.

Καὶ ἡνίκα ἡ θεία χάρις βεβαιώσειε τὸ φρόνημα αὐτοῦ εἰς πάντα ταῦτα, τοῦ πεποιθέναι ἐπὶ τὸν Θεὸν, τότε ἄρχεται εἰσέρχεσθαι εἰς τοὺς πειρασμοὺς κατὰ μικρὸν, καὶ μικρόν. καὶ παραχωρεῖ πεμφθῆναι αὐτῷ πειρασμοὺς ἱκανοὺς πρὸς τὸ μέτρον αὐτοῦ, τοῦ βαστάξαι τὴν ἰσχὺν αὐτῶν. καὶ ἐν αὐτοῖς τοῖς πειρασμοῖς προσεγγίζει αὐτῷ ἡ ἀντίληψις αἰσθητικῶς, ἵνα θαῤῥήσῃ· ἕως ἂν κατὰ μικρὸν, καὶ μικρὸν γυμνασθῇ, καὶ κτήσηται σοφίαν, καὶ περιφρονήσῃ τοὺς ἐχθροὺς αὐτοῦ ἐν τῇ πεποιθήσει τῇ πρὸς τὸν Θεόν. οὐ δυνατὸν γὰρ ἐκτὸς τούτων σοφισθῆναι ἐν τοῖς πολέμοις τοῖς πνευματικοῖς, καὶ γνῶναι τὸν ἑαυτοῦ προνοητὴν, καὶ αἰσθηθῆναι τοῦ Θεοῦ αὐτοῦ, καὶ στερεωθῆναι ἐν τῇ πίστει

αὐτοῦ

αὐτῦ κρυπτῶς, εἰ μὴ ἐν τῇ δυνάμει τῆς πείρας αὐτῦ, ἧς ἐδέξατο.

Καὶ ἡνίκα ἴδῃ ἡ χάρις, ὅτι ἤρξατο ἐν τῷ λογισμῷ αὐτῦ ἡ οἴησις μικρὸν, καὶ ἤρξατο λογίζεσθαι μέγα περὶ ἑαυτῦ, εὐθέως παραχωρεῖ τὺς πειρασμὺς κατ᾽ αὐτῦ ἰσχυροποιηθῆναι, καὶ κραταιωθῆναι, ἕως ἂν μάθῃ τὴν ἑαυτῦ ἀσθένειαν, καὶ φύγῃ, καὶ κατάσχῃ τὸν Θεὸν ἐν ταπεινώσει. καὶ ἐν τύτοις ἔρχεται ὁ ἄνθρωπος εἰς τὰ μέτρα τῦ τελείυ ἀνδρὸς ἐν τῇ πίστει, καὶ τῇ ἐλπίδι τῦ υἱῦ τῦ Θεῦ, καὶ ὑψῦται πρὸς τὴν ἀγάπην. θαυμαστὴ γὰρ γνωρίζεται ἡ ἀγάπη τῦ Θεῦ πρὸς τὸν ἄνθρωπον, ὅταν ποτὲ ἐν μέσῳ γένηται πραγμάτων τῶν διακοπτόντων τὴν ἐλπίδα αὐτῦ. καὶ ἐκεῖσε δεικνύει ὁ Θεὸς τὴν δύναμιν ἑαυτῦ ἐν τῇ σωτηρίᾳ τῇ ἐπ᾽ αὐτόν. ὐδέποτε γὰρ μανθάνει ὁ ἄνθρωπος τὴν δύναμιν τὴν θείαν ἐν ἀναπαύσει, καὶ πλατυσμῷ. καὶ ὐδέποτε ἔδειξεν ὁ Θεὸς τὴν ἑαυτῦ ἐνέργειαν αἰσθητικῶς, εἰ μὴ ἐν χώρᾳ ἡσυχίας, καὶ ἐν ἐρήμῳ, καὶ ἐν τόποις ἐστερημένοις τῶν συντυχιῶν, καὶ τῆς ταραχῆς τῆς κατασκηνώσεως, τῆς μετὰ τῶν ἀνθρώπων.

Μὴ θαυμάσῃς, ὅταν ἄρξῃ τῆς ἀρετῆς, καὶ βρύωσι κατὰ σῦ αἱ θλίψεις αἱ σκληραὶ, καὶ ἰσχυραὶ ἐκ παντὸς τόπυ. διότι ὐδὲ ἀρετὴ λογίζεται ἐκείνη, ἧτινι ὐκ ἀκολυθεῖ ἡ δυσχέρεια τῶν ἔργων εἰς ἐνέργειαν αὐτῆς. αὐτὴ γὰρ ἡ ἀρετὴ ἐξ αὐτῦ τύτυ ὠνομάσθη, καθὼς εἶπεν ὁ ἅγιος Ἰωάννης· συνήθές ἐστί » φησι τῇ ἀρετῇ ἐπιπίπτειν τὰς δυσκολίας. ἐκείνη δέ φησι ψεκτή » ἐστιν, ἡνίκα δεδέσμευται τῇ ἀνέσει. εἶπεν ὁ μακάριος Μάρκος » ὁ μοναχός· πᾶσα ἀρετὴ γινομένη σταυρὸς ὀνομάζεται, ὅταν » τὴν ἐντολὴν τῦ πνεύματος πληροῖ. διὰ τῦτο πάντες οἱ θέλον-

τες ἐν τῷ φόβῳ τοῦ Κυρίου ζῆσαι, καὶ ἐν τῷ Ἰησοῦ Χριστῷ, διωχθήσονται. Φησὶ γάρ, εἴτις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. εἴτις οὖ θέλει ζῆσαι ἐν ταῖς ἀναπαύσεσιν, ἀπολέσας τὴν ψυχὴν ἑαυτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. διὰ τοῦτο οὖν προέλαβε, καὶ ἔθηκεν ἔμπροσθέν σου τὸν σταυρόν, ἵνα τὸν θάνατον ὁρίσῃς καθ᾽ ἑαυτοῦ, καὶ τότε ἀποστείλῃς τὴν ψυχήν σου πορευθῆναι ὀπίσω αὐτοῦ.

β. Τιμ. γ. ιβ. — Μάρκ. η. λδ.

Οὐδὲν ἰσχυρότερον τῆς ἀπογνώσεως. αὕτη οὖ γινώσκει ἡττηθῆναι ὑπό τινος, ἐὰν τοῖς δεξιοῖς, καὶ ἐὰν τοῖς ἀριστεροῖς. (1) ὅτε ὁ ἄνθρωπος ἐν τῇ διανοίᾳ ἑαυτοῦ κόψει τὴν ἐλπίδα ἐκ τῆς ζωῆς αὐτοῦ, οὐδὲν θαρσαλεώτερον. καὶ οὐδεὶς τῶν ἐχθρῶν δύναται ἀπαντῆσαι αὐτῷ, καὶ οὐκ ἔστι θλίψις, ἧς τινος ἡ φήμη ἐξαφανῆσαι τὸ φρόνημα αὐτοῦ ποιεῖ. διότι πᾶσα θλίψις γινομένη, ὑποκάτωθεν τοῦ θανάτου ἐστί. καὶ αὐτὸς ἔκυψε δέξασθαι καθ᾽ ἑαυτοῦ τὸν θάνατον. ἐὰν εἰς πάντα τόπον, καὶ εἰς πᾶν πρᾶγμα, καὶ εἰς πάντα καιρόν, ἐν πᾶσιν οἷς θέλεις περιεργάσασθαι, θῇς σκοπὸν ἐν τῷ φρονήματί σου εἰς ἔργα, καὶ λύπην, οὐχὶ μόνον εὐθαρσής, καὶ ἄοκνος εὑρεθήσῃ ἐν παντὶ καιρῷ, τοῦ ἀντιτάσσεσθαι πάσῃ δυσκολίᾳ νομιζομένῃ, ἀλλὰ καὶ ἐν τῇ δυνάμει τῶν λογισμῶν σου φεύγουσιν ἀπὸ σοῦ αἱ πτοοῦσαι ἔννοιαι, καὶ ἐκφοβοῦσαί σε, αἱ ἐξ ἔθους τικτόμεναι ἐν τῷ ἀνθρώπῳ ἐξ ἐκείνων τῶν εἰς τὴν ἀνάπαυσιν προσεχόντων λογισμῶν. καὶ πάντα τὰ δυσχερῆ, καὶ σκληρὰ τὰ συναντῶντά σοι, εὐχερῆ καὶ εὔκολα ὁρῶνταί σοι. καὶ πολλάκις ἐξ ἐναντίας καταντήσει

(1) Ἴσ. ἔντε τοῖς δεξιοῖς, καὶ ἐν τοῖς ἀριστεροῖς.

ταντήσει τὰ κατὰ σὲ ἐκείνων τῶν προσδοκηθέντων ὑπὸ σοῦ, καὶ ἴσως οὐδὲν συναντήσεταί σοι τῶν τοιούτων ποτέ.

Σὺ γινώσκεις, ὅτι ἡ ἐλπὶς τῆς ἀναπαύσεως, ἐκ τῆς μνήμης τῶν μεγάλων, καὶ ἐκ τῶν ἀγαθῶν, καὶ τῶν ἀρετῶν στερίσκει ἐν παντὶ καιρῷ τοὺς ἀνθρώπους. ἀλλ' οὐδὲ οἱ ἐν τῷδε τῷ κόσμῳ ἐν τῇ συναναστροφῇ τοῦ σώματος ὑπάρχοντες, φθάσαι δύνανται τὸ τέλειον τοῦ θελήματος αὐτῶν, εἰ μὴ κρίνωσιν ἐν τῇ ἑαυτῶν διανοίᾳ, τοῦ ὑπομεῖναι τὰ δυσχερῆ. καὶ ἐπειδὴ ἡ πεῖρα μαρτυρεῖ περὶ τούτων, οὐ χρεία πεῖσαι ἐν λόγοις. ὅτι ἐν πάσῃ γενεᾷ τῶν πρὸ ἡμῶν, καὶ ἕως τοῦ νῦν, οὐκ ἔστιν ἄλλο δι' οὗ ἐξασθενοῦσιν οἱ ἄνθρωποι τοῦ μὴ νικῆσαι, στερηθῶσί τε τῶν ἀρίστων πραγμάτων, εἰ μὴ τοῦτο. διὸ καὶ συντόμως λέγομεν· ὅτι οὐ καταφρονεῖ τὶς τῆς βασιλείας τῶν οὐρανῶν, εἰ μὴ τῇ ἐλπίδι τῆς ἀνέσεως τῆς μικρᾶς, τῆς ἐνταῦθα. καὶ οὐ μόνον τοῦτο πάσχει, ἀλλὰ καὶ ἐπιφοραὶ ἰσχυραὶ πολλάκις, καὶ πειρασμοὶ δεινοὶ ἑτοιμάζονται παντὶ ἀνθρώπῳ προσέχοντι τῷ ἑαυτοῦ θελήματι, καὶ πρὸς τοῦτο οἱ λογισμοὶ αὐτοῦ πορεύονται· ὅτι ὁ κυβερνῶν αὐτὸν, ἐστὶν ἡ ἐπιθυμία.

Τίς ἐστιν ὁ μὴ γινώσκων, ὅτι καὶ τὰ πετεινὰ ἐν τῇ θεωρίᾳ τῆς ἀναπαύσεως προσπελάζει τῇ παγίδι; μὴ ἴσως πολὺ ὑστερεῖ ἡ γνῶσις ἡμῶν τῆς γνώσεως τῶν πετεινῶν ἐν τῇ ὁμοιώσει ἐν τοῖς κρυπτοῖς, ἢ ἐν τοῖς συμβεβηκόσι τοῖς κεκαλυμμένοις ἔν τισι πράγμασιν, ἢ ἐν τόποις, ἢ τινὶ, ἐν οἷς καὶ ὁ διάβολος ἐξ ἀρχῆς ἐν ἐπαγγελίᾳ, καὶ φρονήματι τῆς ἀναπαύσεως θηρεύει ἡμᾶς; ἀλλὰ διὰ τὸ εἶναι τὸ φρόνημα κατὰ τὴν ἐπιθυμίαν δραμεῖν τῷ λόγῳ, ἐσφάλην ἐκ τοῦ σκοποῦ, οὗ ἔθηκα ἐξ ἀρχῆς ἐν τῷ λόγῳ μου. ὅτι ἐν παντὶ καιρῷ τὸν σκοπὸν τῆς θλίψεως δεῖ

ἡμᾶς τιθέναι τῷ φρονήματι ἡμῶν ἐν παντὶ πράγματι, ἐν ᾧ μέλλομεν ἄρξασθαι ἐν τῇ ὁδῷ τῇ πρὸς τὸν Κύριον, καὶ τὸ τέλος τῆς ἐκβάσεως αὐτῆς δεῖ ἐπερείδειν πρὸς τὴν ἀρχὴν ἀπευδαίως. ποσάκις ἐρωτᾷ ἄνθρωπος, ὅτε θέλει ἄρξασθαι εἴς τι πρᾶγμα διὰ τὸν Κύριον, λέγων, ἆρα ἔστιν ἀνάπαυσις ἐν τῷ πράγματι; ἢ πῶς δυνατὸν πορεύεσθαι ἐν αὐτῇ χωρὶς ἔργου εὐκόλως; ἢ ἴσως ἔστιν ἐν αὐτῇ θλίψις πόνον ἐμποιοῦσα τῷ σώματι; οὐκ ἰδοὺ ἄνω, καὶ κάτω, τὸ ὄνομα ζητοῦμεν τῆς ἀναπαύσεως; τί λέγεις, ὦ ἄνθρωπε, εἰς τὸν οὐρανὸν ἀνελθεῖν ἐθέλεις, καὶ τὴν ἐκεῖσε βασιλείαν λαβεῖν, καὶ τὴν κοινωνίαν τὴν μετὰ τοῦ Θεοῦ, καὶ τὴν ἀνάπαυσιν τῆς ἐκεῖθεν μακαριότητος, καὶ τὴν μετὰ τῶν Ἀγγέλων κοινωνίαν, καὶ τὴν ζωὴν τὴν ἀθάνατον, καὶ ἐρωτᾷς σὺ ἐὰν ἔχῃ ἡ ὁδὸς αὕτη ἔργον; ὦ θαῦμα. οἱ ἐπιθυμοῦντες τῶν πραγμάτων τοῦ αἰῶνος τούτου τοῦ διαλυομένου, κατὰ τῶν κυμάτων τῶν φοβερῶν τῆς θαλάσσης διαβαίνουσι, καὶ ἐν ὁδοῖς τραχέσι πορευθῆναι κατατολμῶσι, καὶ ὅλως οὐ λέγουσιν, ὅτι ἔστιν ἔργον ἐν τῷ πράγματι, ἢ λύπη ἐν ᾧ θέλουσι ποιῆσαι. καὶ ἡμεῖς ἐν παντὶ τόπῳ περὶ ἀναπαύσεως ἐξετάζομεν. ἐὰν δὲ τὴν ὁδὸν τῆς σταυρώσεως κατὰ νοῦν λάβωμεν ἐν παντὶ καιρῷ, ἐννοήσωμεν ποία λύπη οὐκ ἔστιν δυσχερεστέρα ταύτης.

Ἢ ἴσως ἔστι τὶς παντελῶς ὁ μὴ ταῦτα πεπεισμένος, ὡς οὐδέποτέ τις ἔλαβε νίκην ἐν τῷ πολέμῳ, ἢ τὸν στέφανον τὸν ἀφανιζόμενον ἐδέξατό τις, ἢ ἦλθεν ἡ ἐπιθυμία τοῦ θελήματος αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, κἂν καὶ ἐκ τῶν ἐπαινουμένων ᾖ, ἢ διηκόνησέ τι ἐν τοῖς πράγμασι τοῖς θεϊκοῖς, ἢ κατώρθωσέ τινα τῶν ἐπαινουμένων ἀρετῶν, εἰ μὴ πρῶτον εὑρέθη καταφρονήσας τῶν ἔργων τῶν θλίψεων, καὶ ἀπεδίωξεν ἀπὸ τῆς ἐγγύτητος αὐτοῦ τὰ φρόνημα

νημα τὸ ἐρεθίζον εἰς ἀνάπαυσιν, ὅπερ γεννᾷ τὴν ἀμέλειαν, καὶ ὀκνηρίαν, καὶ τὴν πτόησιν, ἐξ ὧν ἡ χαύνωσις ἐν παντί;

Ὅταν ὁ νοῦς ζηλώσῃ ὑπὲρ ἀρετῆς, καὶ αἱ αἰσθήσεις αἱ φανεραὶ, ἤτοι ἡ ὅρασις, ἡ ἀκοὴ, ἡ ὄσφρησις, ἡ γεῦσις, καὶ ἡ ἁφὴ ἐξ ἐναντίας τῶν δυσχερῶν ἔργων τῶν ἀλλοτρίων, τῶν ἔξωθεν τοῦ ἔθους, καὶ τοῦ ὅρου τῆς δυνάμεως τῆς φυσικῆς νικηθῆναι οὐ γινώσκουσιν. ἐπὰν δὲ ἐν καιρῷ ὁ θυμὸς ὁ φυσικὸς ἐνεργῇ τὴν ἑαυτοῦ ἐνέργειαν, τότε ἡ ζωὴ τοῦ σώματος εὐκαταφρόνητός ἐστιν ὑπὲρ τὰ σκύβαλα. ἡνίκα γὰρ ἡ καρδία ζηλοτυπήσει ἐν πνεύματι, τὸ σῶμα οὐ λυπεῖται ἐν ταῖς θλίψεσιν, οὐδὲ ἐκ τῶν φόβων πτοεῖται καὶ συστέλλεται, ἀλλὰ συνίσταται αὐτῷ ὁ νοῦς πρὸς πάντας τοὺς πειρασμοὺς, ὡς ἀδάμας ἐν τῇ καρτερίᾳ αὐτοῦ. ζηλώσωμεν καὶ ἡμεῖς τὸν ζῆλον τοῦ πνεύματος ὑπὲρ τοῦ θελήματος τοῦ Ἰησοῦ, καὶ ἀποδιωχθήσεται ἀφ' ἡμῶν πᾶσα ἀμέλεια, ἡ γεννῶσα ἐν τῷ φρονήματι ἡμῶν τὴν ῥαθυμίαν. ζῆλος γὰρ γεννᾷ τὸ θάρσος, καὶ τὸ κράτος τῆς ψυχῆς, καὶ τὴν σπουδὴν τοῦ σώματος. ποία δύναμις γίνεται ἐν τοῖς δαίμοσιν, ὅταν ἡ ψυχὴ κινήσῃ τὸν ἑαυτῆς ζῆλον τὸν σφοδρὸν, τὸν φυσικὸν ἐξ ἐναντίας αὐτῶν; καὶ ἡ προθυμία πάλιν, τοῦ ζήλου γέννημα λέγεται. καὶ ὅταν ἐξάγῃ τὴν ἑαυτοῦ δύναμιν εἰς πρᾶξιν, πᾶσαν ἰσχὺν ἀπτόητον γινομένην ἐν τῇ ψυχῇ βεβαιοῖ. καὶ αὐτοὺς δὲ τοὺς στεφάνους τῆς ὁμολογίας, οὓς ὑποδέχονται οἱ ἀθληταὶ, καὶ οἱ μάρτυρες ἐν τῇ καρτερίᾳ αὐτῶν, ἐν ταῖς δυσὶν ἐργασίαις τοῦ ζήλου καὶ τῆς προθυμίας, τῶν τικτομένων ἐκ τῆς δυνάμεως τοῦ θυμοῦ τοῦ φυσικοῦ, κομίζονται. γίνονται ἀπαθεῖς ἐν τῇ σφοδρᾷ λύπῃ τῶν βασάνων. ὁ Θεὸς δῴη καὶ ἡμῖν τοιαύτην προθυμίαν ἐν τῇ αὐτοῦ εὐαρεστήσει. Ἀμήν.

ΛΟΓΟΣ Κ.

ΠΕΡΙ ΤΟΥ ΠΟΣΗΝ ΤΙΜΗΝ ΚΕΚΤΗΤΑΙ Η ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗ,

καὶ πόσον ἀνώτερός ἐστιν ὁ βαθμὸς αὐτῆς.

Θέλω ἀνοῖξαι τὸ στόμα μου ἀδελφοὶ, καὶ λαλῆσαι περὶ τῆς ὑψηλῆς ὑποθέσεως τῆς ταπεινοφροσύνης, καὶ πληροῦμαι φόβου καθάπερ τις ἐπιστάμενος, ὅτι μέλλει περὶ Θεοῦ διαλέγεσθαι ἐν τῷ τρόπῳ τῶν ἑαυτοῦ λογισμῶν. στολὴ γὰρ Θεότητός ἐστιν. ὁ γὰρ λόγος ὁ ἐνανθρωπήσας, αὐτὴν ἐνεδύσατο, καὶ ὡμίλησεν ἡμῖν δι' αὐτῆς ἐν τῷ σώματι ἡμῶν. καὶ πᾶς ἀμφιεσάμενος αὐτὴν, ἀληθῶς ἀφωμοιώθη τῷ καταβάντι ἐκ τοῦ ἑαυτοῦ ὕψους, καὶ καλύψαντι τὴν ἀρετὴν τῆς μεγαλωσύνης αὐτοῦ, καὶ σκεπάσαντι τὴν ἑαυτοῦ δόξαν ἐν τῇ ταπεινοφροσύνῃ· ἵνα μὴ ἡ κτίσις τῇ αὐτοῦ θεωρίᾳ καταφλεχθῇ. διότι ἡ κτίσις οὐκ ἠδύνατο θεάσασθαι αὐτὸν, εἰ μὴ μέρος ἐξ αὐτῆς ἔλαβε, καὶ οὕτως ὡμίλησε μετ' αὐτῆς· οὔτε δὲ ἀκοῦσαι τῶν λόγων τοῦ στόματος αὐτοῦ, πρόσωπον πρὸς πρόσωπον. διότι οὐδὲ οἱ υἱοὶ Ἰσραὴλ τῆς φωνῆς αὐτοῦ ἀκοῦσαι ἠδυνήθησαν, ἡνίκα ἐκ τῆς νεφέλης ἐλάλησε πρὸς αὐτοὺς, ἕως ἂν εἶπον πρὸς Μωϋσῆν· Ἐξοδ. κ. ιθ. λαλείτω ὁ Θεὸς μετὰ σοῦ, καὶ σὺ ἀκούτισον πρὸς ἡμᾶς τοὺς » λόγους αὐτοῦ, καὶ μὴ λαλήσῃ ὁ Θεὸς μεθ' ἡμῶν, ἵνα μὴ » ἀποθάνωμεν.

Πῶς οὖν φανερῶς ἡ κτίσις ἠδυνάτο δέξασθαι τὴν θεωρίαν αὐτοῦ; οὕτω γὰρ φοβερὸν τὸ ὅραμα τοῦ Θεοῦ, ὥστε τὸν μεσίτην „ εἰπεῖν, ἔμφοβός εἰμι καὶ ἔντρομος. ἐφάνη γὰρ ἐπὶ τὸ ὄρος τὸ Σινᾶ αὐτὴ ἡ ἀρετὴ τῆς δόξης. καὶ τὸ ὄρος ἦν καπνιζόμενον, καὶ τρέμον ἐν τῷ φόβῳ τῆς ἀποκαλύψεως τῆς ἐν αὐτῷ. ὥστε καὶ τὰ θηρία τὰ πλησιάζοντα τοῖς κατωτέροις αὐτοῦ μέρεσιν ἀποθνήσκειν. καὶ ἡτοιμάσθησαν, καὶ παρεσκευάσθησαν οἱ υἱοὶ Ἰσραὴλ, ἁγνίσαντες ἑαυτοὺς, κατὰ τὴν ἐντολὴν τοῦ Μωϋσέως, ἡμέρας τρεῖς· ὥστε γενέσθαι αὐτοὺς ἀξίους τοῦ ἀκοῦσαι τῆς φωνῆς τοῦ Θεοῦ, καὶ τῆς ὁράσεως τῆς ἀποκαλύψεως αὐτοῦ. καὶ ὅτε ἔφθασεν ὁ καιρὸς, οὐκ ἠδυνήθησαν δέξασθαι τὴν ὅρασιν τοῦ φωτὸς αὐτοῦ, καὶ τὴν σφοδρότητα τῆς φωνῆς τῶν βροντῶν αὐτοῦ. ἀλλὰ νῦν ὅτε τὴν χάριν ἑαυτοῦ ἐξέχεεν ἐπὶ τὸν κόσμον ἐν τῇ ἑαυτοῦ παρουσίᾳ, οὐκ ἐν σεισμῷ, οὐκ ἐν πυρὶ, οὐκ ἐν φωνῇ φοβερᾷ καὶ σφοδρᾷ κατῆλθεν, ἀλλ' ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ἡ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν ἐν ἁπαλότητι, καὶ ἐν ἄλλῳ τρόπῳ ὡράθη ὁμιλῶν ἡμῖν. τοῦτο δέ ἐστιν, ἡνίκα ὡς ἐν θησαυρῷ ἐσκέπασε τὴν μεγαλωσύνην ἑαυτοῦ ἐν τῷ σκεπάσματι τῆς σαρκὸς, καὶ ἐν ἡμῖν ὡμίλει μεθ' ἡμῶν ἐν ἐκείνῳ, ὅπερ ἐτεκτήνατο αὐτῷ τὸ ἑαυτοῦ νεῦμα ἐκ τοῦ κόλπου τῆς παρθένου καὶ Θεοτόκου Μαρίας. ὅπως ἰδόντες αὐτὸν τὸν ὄντα ἐκ τοῦ γένους ἡμῶν, ὁμιλοῦντα μεθ' ἡμῶν, μὴ θροηθῶμεν ἐκ τῆς θεωρίας αὐτοῦ. διὰ τοῦτο πᾶς, ὃς τὴν στολὴν, ἐν ᾗ ὡράθη ἐν τῷ σώματι ἐκείνῳ, ὃ ἐνεδύσατο ὁ κτίστης, ἀμφιεσθείη, αὐτὸν τὸν Χριστὸν ἐνεδύσατο. ὅτι τὴν ἀφομοίωσιν, ἐν ᾗ ὡράθη τῇ κτίσει ἑαυτοῦ, καὶ συνανεστράφη, ἐπεθύμησαν ἐνδύσασθαι εἰς τὸν ἔσω αὐτοῦ ἄνθρωπον, καὶ ἐν αὐτῇ ὁρᾶται τοῖς συνδούλοις αὐτῷ. καὶ ἀντὶ

Ἔξοδ. γ. ϛ.
Πράξ. ζ. λβ.

τοῦ

τȣ̃ ἐνδύματος τῆς τιμῆς, καὶ τῆς δόξης τῆς ἐξωτέρας, ἐν αὐτῇ ἐκοσμήθη. διὰ τȣ̃το πάντα ἄνθρωπον, τὸν τȣ̃το τὸ ὁμοίωμα ἐνδεδυμένον, θεωρȣ̃σα ἡ κτίσις ἡ λογικὴ, καὶ σιωπητικὴ κατὰ τὸν δεσπότην προσκυνεῖ αὐτῷ, διὰ τὴν τιμὴν τȣ̃ ἑαυτῆς δεσπότȣ, ὃν ἐθεάσατο ἐνδεδυμένον αὐτὴν, καὶ συναναστρεφόμενον ἐν αὐτῇ. ποία γὰρ κτίσις ȣ̓κ αἰδεῖται τὴν θεωρίαν τȣ̃ ταπεινόφρονος; ὅμως δὲ ἕως ἂν ἀπεκαλύφθη ἡ δόξα τῆς ταπεινοφροσύνης τοῖς πᾶσιν, εὐκαταφρόνητος ἦν ἡ θεωρία ἐκείνη, ἡ πλήρης ἁγιότητος. νῦν δὲ ἀνέτειλεν ἡ μεγαλωσύνη αὐτῆς τοῖς ὀφθαλμοῖς τȣ̃ κόσμȣ. καὶ πᾶς ἄνθρωπος τιμᾷ τὴν ὁμοιότητα ταύτην ἐν παντὶ τόπῳ ὁρωμένην. καὶ ἐν τȣ́τῳ τῷ μεσίτῃ ἠξιώθη ἡ κτίσις δέξασθαι τὴν ὅρασιν τȣ̃ κτίσȣ ἑαυτῆς, καὶ δημιȣργȣ̃. διὰ τȣ̃το ȣ̓δὲ παρὰ τοῖς ἐχθροῖς τῆς ἀληθείας ἐστὶν εὐκαταφρόνητος, εἰ καὶ ἐνδεὴς ἐστι πάσης τῆς κτίσεως ὁ ταύτην κτησάμενος, ἀλλ᾽ ὡς ἐν στεφάνῳ καὶ πορφύρᾳ τιμᾶται ἐν αὐτῇ ὁ μαθὼν αὐτήν.

Τὸν ταπεινόφρονα, ἄνθρωπος ποτὲ ȣ̓ μισεῖ, ȣ̓ πλήττει ἐν λόγῳ, ȣ̓ καταφρονεῖ. διότι γὰρ ἀγαπᾷ αὐτὸν ὁ ἑαυτȣ̃ δεσπότης, ὑπὸ πάντων ἀγαπᾶται. ἀγαπᾷ τȣ̀ς πάντας, καὶ οἱ πάντες ἀγαπῶσιν αὐτόν. πάντες ἐπιθυμȣ̃σιν αὐτὸν, καὶ εἰς πάντα τόπον, ὅπȣ πλησιάζει, ὡς Ἄγγελον φωτὸς ὁρῶσιν αὐτὸν, καὶ τὴν τιμὴν αὐτῷ ἀφορίζȣσι. κἂν λαλήσῃ ὁ σοφὸς, καὶ ὁ διδάσκαλος, κατασιγαθήσονται. διότι τῷ ταπεινόφρονι διδȣ̃σι τόπον τȣ̃ λαλεῖν. οἱ ὀφθαλμοὶ πάντων τῷ στόματι αὐτȣ̃ προσέχȣσιν, ὁποῖος λόγος ἐξέρχεται ἐξ αὐτȣ̃. καὶ πᾶς ἄνθρωπος τȣ̀ς λόγȣς αὐτȣ̃ προσδοκᾷ, ὥσπερ λόγȣς τȣ̃ Θεȣ̃. ἡ βραχυλογία αὐτȣ̃, ὡς οἱ λόγοι τῶν σοφιστῶν, οἱ ἐξετάζοντες

τὰ

τὰ νοήματα αὐτῶν. οἱ λόγοι αὐτῦ ἡδεῖς τῇ ἀκοῇ τῶν σοφῶν πλέον κηρίε καὶ μέλιτος τῷ φάρυγγι. καὶ πᾶσιν, ὡς Θεὸς ψηφίζεται, κἂν ἢ ἰδιώτης τῷ ἑαυτῦ λόγῳ ᾖ, ἐξεδονωμένος τε ἢ εὐτελὴς τῇ ἑαυτῦ θεωρίᾳ.

Ὁ καταφρονητικῶς λαλῶν κατὰ τῦ ταπεινόφρονος, ἢ ἐ ψηφίζων αὐτὸν ὡς ζῶντα, ὡς ἀνοίξας ἐσὶ τὸ σόμα ἑαυτῦ κατὰ τῦ Θεῦ. καὶ ὅσον καταφρονεῖται ἐν ὀφθαλμοῖς αὐτῦ ὑπὸ πάσης τῆς κτίσεως, ἡ τιμὴ αὐτῦ διαμένει. προσεγγίζει ὁ ταπεινόφρων τοῖς φθαρεῦσι θηρίοις. καὶ ἅτινα ἐπιβλέψῃ ἡ ὅρασις αὐτῶν ἐπ' αὐτῷ, ἡμερῦται ἡ ἀγριότης αὐτῶν, καὶ προσπελάζεσιν αὐτῷ, ὡς δεσπότῃ ἑαυτῶν, καὶ σαίνεσι τὰς κεφαλὰς ἑαυτῶν, καὶ λείχεσι τὰς χεῖρας αὐτῦ καὶ τὲς πόδας. διότι ἐκείνην τὴν ὀσμὴν τὴν ἐκπνεύσασαν ἐκ τῦ Ἀδὰμ πρὸ τῆς παραβάσεως, (ὅτε συνήχθησαν πρὸς αὐτὸν, ἢ ἐπέθηκεν αὐτοῖς ὀνόματα ἐν τῷ παραδείσῳ.) ὠσφράνθησαν ἐξ αὐτῦ. ὅπερ ἐλήφθη ἐξ ἡμῶν. καὶ πάλιν ἀνεκαίνισεν αὐτὸ, καὶ ἔδωκεν ἡμῖν αὐτὸ ἐν τῇ ἑαυτῦ παρεσίᾳ ὁ Ἰησῦς. αὐτό ἐσι τὸ μυρίσαν τὴν εὐωδίαν τῦ γένες τῶν ἀνθρώπων.

Πάλιν προσεγγίζει τοῖς ἑρπετοῖς τοῖς θανατηφόροις, καὶ εὐθὺς ἡνίκα πλησιάσει ἡ αἴσθησις τῆς χειρὸς ἑαυτῦ, ἢ ἅψεται τῦ σώματος αὐτῶν, ἡ ὀξύτης καὶ ἡ σκληρότης τῆς πικρότητος αὐτῶν τῆς θανατηφόρε παύεται. ἢ ἐν ταῖς ἑαυτῦ χερσὶν ὡς τὴν ἀκρίδα ψώχει αὐτά. προσεγγίζει τοῖς ἀνθρώποις, καὶ ὡς τὸν Κύριον προσέχεσιν εἰς αὐτόν. καὶ τί λέγω ἀνθρώπες; ἀλλὰ ἢ οἱ δαίμονες μετὰ τῆς σφοδρότητος αὐτῶν, καὶ τῆς πικρίας, καὶ πάσης μεγαλαυχίας

τῦ Φρονήματος ἑαυτῶν, ἡνίκα φθάσωσι πρὸς αὐτὸν, γίνονται ὡς χῦς. καὶ μωραίνεται πᾶσα ἡ κακία αὐτῶν, ἢ καταλύονται αἱ μηχαναὶ αὐτῶν, καὶ ἀργῦσι τὰ πανεργεύματα αὐτῶν. νῦν ὖν ἐπειδὴ ἐδείξαμεν τὸ μέγεθος τῆς τιμῆς αὐτῆς τῆς ἐκ τῦ Θεῦ, καὶ τὴν δύναμιν τὴν κεκρυμμένην ἐν αὐτῇ, λοιπὸν δείξωμεν τί ἐςὶν αὕτη ἡ ταπείνωσις, ἢ πότε ἀξιῦται δέξασθαι ταύτην ὁ ἄνθρωπος τελείως καθὼς ἐςι. ποιήσωμεν δὲ διαφορὰν μεταξὺ τῦ ταπεινόφρονος ἐν προσώπῳ τῦ ἀξιωθέντος τῆς ἀληθινῆς ταπεινοφρασύνης.

Ταπείνωσις ἐςὶ δύναμίς τις μυςικὴ, ἣν μετὰ τὴν τελείωσιν τῆς πολιτείας ἁπάσης ὑποδέχονται οἱ τέλειοι ἅγιοι. ἢ ὐ δίδοται αὕτη ἡ δύναμις, εἰ μὴ τοῖς τελείοις μόνοις ἐν ἀρετῇ, διὰ τῆς δυνάμεως τῆς χάριτος, καθ᾽ ὅσον ἱκανοῖ τῇ φύσει ἐν ὅρῳ. διότι ἡ ἀρετὴ συγκλείει ἐν ἑαυτῇ πάντα. διὰ τῦτο ὐ δύναταί τις ἕκαςον ἄνθρωπον, ὡς ἔτυχε, λογίσασθαι ταπεινόφρονα, ἀλλὰ μόνυς τὺς ἀξιωθέντας ταύτης τῆς τάξεως, ἧς εἴπομεν.

Οὐχὶ πᾶς ὁ κατὰ φύσιν ἐπιεικὴς καὶ ἡσύχιος, ἢ συνετὸς, ἢ πρᾶος, ὗτος ἔφθασε τὸν βαθμὸν τῆς ταπεινοφροσύνης. ἀλλὰ ταπεινόφρων ἐςὶ κατὰ ἀλήθειαν, ὅςις ἔχει ἐν τῷ κρυπτῷ τὶ ἄξιον ὑπερηφανίας, καὶ ὐχ ὑπερηφανεύεται, ἀλλ᾽ ὡς χῦν ἔχει αὐτὸ ἐν τῷ ἑαυτῦ λογισμῷ. ἀλλ᾽ ὐδὲ τὸν ἐν τῇ μνήμῃ τῶν παραπτωμάτων, καὶ πλημμελημάτων ταπεινοφρονῦντα, καὶ μνημονεύοντα αὐτῶν, ἕως ἂν συντριβῇ ἡ καρδία αὐτῦ, καὶ συγκαταβῇ ἡ διάνοια αὐτῦ ἐκ τῶν ἐννοιῶν τῆς ὑπερηφανίας ἐν τῇ μνήμῃ αὐτῶν, καλῦμεν ταπεινόφρονα, κἂν καὶ ᾖ τῦτο ἐπαινετόν. διότι ἀκμὴν

μὴν ἔχει τὸν λογισμὸν τῆς ὑπερηφανίας, καὶ τὴν ταπείνωσιν οὐκ ἐκτήσατο· ἀλλὰ ταῖς μηχαναῖς ἐγγίζει αὐτὴν πρὸς ἑαυτόν. καὶ εἰ τοῦτο ἐπαινετὸν, καθὼς εἶπον, ἀλλ' ἰδοὺ ἀκμὴν οὐκ ἔστιν αὐτοῦ, ἀλλὰ θέλει αὐτὴν, καὶ αὐτὴ οὐκ ἔστιν αὐτοῦ. ταπεινόφρων δὲ τέλειος ἐστὶν ὁ μὴ χρήζων μηχανᾶσθαι αἰτίας τῷ ἑαυτοῦ φρονήματι τοῦ ταπεινοφρονεῖν. ἀλλ' ὁ ἐν πᾶσι τούτοις τελείως, καὶ φυσικῶς αὐτὴν κτησάμενος ἄνευ ἔργου. ὥσπερ ὁ χαρίσματι μέγα, καὶ ὑπερέχον πᾶσαν κτίσιν καὶ φύσιν δεξάμενος ἐν ἑαυτῷ. αὐτὸς δὲ ὁρᾷ ἑαυτὸν ὡς ἁμαρτωλὸν, καὶ οὐτελῆ, καὶ εὐκαταφρόνητον τοῖς ἰδίοις ὀφθαλμοῖς. καὶ ὡς ὁ εἰσελθὼν εἰς τὰ μυστήρια πασῶν τῶν φύσεων τῶν πνευματικῶν, καὶ τέλειος ὢν ἐν τῇ σοφίᾳ ἁπάσης τῆς κτίσεως ἐν πάσῃ ἀκριβείᾳ, αὐτὸς δὲ ἑαυτὸν λογίζεται γινώσκοντα μηδὲ ἕν. καὶ οὗτος οὐκ ἐν μηχαναῖς, (1) ἀλλὰ χωρὶς βίας οὕτως ἐστὶν ἐν τῇ καρδίᾳ ἑαυτοῦ.

Ἆρα δυνατὸν γενέσθαι ἄνθρωπον οὕτω, καὶ ἐν τῇ φύσει οὕτως ἀλλάσσειν ἑαυτὸν, ἢ οὔ;

(1) Τίνες αἱ μηχαναὶ, αἱ τὴν ταπείνωσιν ἐφέλκουσαι; ἢ ὅτι τὸ μνημονεύειν τῶν παραπτωμάτων, καὶ τὸ χοῦν ἑαυτὸν ἀναλογίζεσθαι, καὶ τὸ, μηδὲν ἀγαθὸν διαπράξασθαι πρὸ ὀφθαλμῶν ἔχειν, καὶ τὰ τούτοις παραπλήσια. ἐπαινετὴν οὖν εἶπε καὶ τὴν διὰ μηχανῶν προσεπικτωμένην ταπείνωσιν, ἀλλ' οὐ τελείαν. ἔνθεν τοι τὸν τέλειον ἀναζωγραφήσας ταπεινόφρονα, φησίν· οὗτος τὴν καρδίαν οὕτως ἔχει, οὐ μηχαναῖς, ἀλλὰ χωρίς τινος ἐπιτηδεύσεως καὶ βίας. ἐπεὶ δὲ μέγα, καὶ δυσκατόρθωτον τὸ τέλειον ὄντα ἐν σοφίᾳ, καὶ πάσῃ ἀρετῇ, μηδὲν ἑαυτὸν λογίζεσθαι, εἰκότως τὴν ἀπορίαν προτίθησι, λέγων· ἆρα δυνατὸν γενέσθαι ἄνθρωπον οὕτω, καὶ ἐν τῇ φύσει ἀλλάσσειν ἑαυτὸν, ἢ οὔ; ὡσὰν εἰ λέγει· ἆρα δύναται ὁ ἄνθρωπος γενέσθαι τοιοῦτος, μεταβαλεῖν ἑαυτὸν τῇ δυνάμει τῆς φύσεως, καὶ ἄλλο μὲν εἶναι πράγματι καὶ ἀληθείᾳ, ἄλλο δὲ ἑαυτὸν ἀναλογίζεσθαι, ἢ οὔ;

Λοιπὸν μὴ δίσαζε, ὅτι ἡ δύναμις, ἣν ἐδέξαντο, (1) τῶν μυστηρίων τελειοῖ ταῦτα ἐν αὐτῷ, ἐν πάσῃ ἀρετῇ ἔργων χωροῦσα. αὕτη ἐστὶν ἡ δύναμις, ἣν ἐδέξαντο οἱ μακάριοι Ἀπόστολοι ἐν τῇ ἰδέᾳ τοῦ πυρός. δι' αὐτὴν παρήγγειλεν αὐτοῖς ὁ σωτὴρ, „μὴ χωρίζεσθαι ἀπὸ Ἱερουσαλὴμ, ἕως ἂν τὴν ἐξ ὕψους „δέξωνται δύναμιν. Ἱερουσαλὴμ, αὕτη ἐστὶν ἡ ἀρετή· δύναμις δὲ, ἡ ταπείνωσις· ἡ ἐξ ὕψους δὲ δύναμις, ὁ παράκλητός ἐστιν, ὁ ἑρμηνευόμενος πνεῦμα παρακλήσεως. καὶ τοῦτό ἐστι τὸ ῥηθὲν ἐν τῇ θείᾳ γραφῇ περὶ αὐτοῦ, (2) ὅτι τὰ μυστήρια τοῖς ταπεινόφροσιν ἀποκαλύπτονται. (3) τούτου δὲ τοῦ πνεύματος τῶν ἀποκαλύψεων, καὶ δεικνύοντος τὰ μυστήρια, ἀξιοῦνται οἱ ταπεινόφρονες δέξασθαι ἔνδον ἑαυτῶν. καὶ διὰ τοῦτο ἐρρέθη ὑπό-

Πράξ. α. δ.

(1) Ἐδέξατο ὀρθότερ.

(2) Τὸ Ε. Χ. καὶ τοῦτό ἐστι τῶν θεωριῶν. καὶ τοῦτό ἐστι τὸ ῥηθὲν ἐν τῇ θείᾳ γραφῇ, ὅτι τὰ μυστήρια κτ.

(3) Τοῦτο οὐκ αὐτολεξεὶ ἐν τῇ θείᾳ κεῖται γραφῇ. ἐλήφθη δὲ τυχὸν, ἤτοι ἐκ τοῦ, „ταπεινοῖς δὲ δίδωσι χάριν, (Παροιμ. γ. λδ.) ἢ ἐκ τοῦ, „ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν, καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. (Ματθ. ια. κε.) ἰστέον δὲ, ὅτι εἰσίτινες τῶν ἀρχαίων, μαρτυρίαις τισὶ χρώμενοι ἐν ταῖς θείαις γραφαῖς μὴ κειμέναις. οἷον ὁ θεοφόρος Ἰγνάτιος ἐν τῇ πρὸς τοὺς Σμυρναίους ἐπιστολῇ φησὶν, ἰδοὺ γὰρ ἄνθρωπος, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. καὶ Ἰουστῖνος ὁ μάρτυς ἐν τῷ κατὰ τοῦ Τρύφωνος διαλόγῳ, εἶπεν ὁ Κύριος Ἰησοῦς Χριστὸς, ἐν οἷς ἂν ὑμᾶς καταλάβω, ἐν τούτοις καὶ κρινῶ. τὸ αὐτὸ καὶ Ὠριγένης ἐν τῇ εἰς τὸν Ἱερεμίαν ὁμιλίᾳ, (τόμ. α) καὶ ὁ Κυπριανὸς ἐν τῷ περὶ θνητότητος. (ἐν ἀριθμ. κθ) Κλήμης δὲ ὁ Ἀλεξανδρεὺς, (περὶ τὸ τέλος τοῦ α. στρώμ.) καὶ Ὠριγένης, (εἰς τὸ κατὰ Ἰωάν.) καὶ Ἱερώνυμος, (ἐν τῇ πρὸς τὸν Μινέριον καὶ Ἀλέξανδρον ρνβ. ἐπιστολῇ) καὶ Ἰωάννης ὁ Δαμασκηνὸς (ἐν τῷ ιη. κεφ. τοῦ δ. βιβλ. περὶ ὀρθοδ. πίστ) φασὶν, εἶπεν ὁ Κύριος γίνεσθε δόκιμοι τραπεζῖται. καὶ ἄλλοι δὲ ἀλλαχοῦ (ὅρα τὸ προοίμ. τῆς συμφων. τῆς ὑπὸ Οὐγῶν. τοῦ Καρδιναλ. συνταχθ.) ὁμοίως.

ὑπό τινων ἁγίων, ὅτι ἡ ταπείνωσις ἐν ταῖς θείαις θεωρίαις τελειοῖ τὴν ψυχήν. λοιπὸν μὴ τολμήσῃ ἄνθρωπος ἐννοῆσαι κατὰ τὴν ψυχὴν ἑαυτοῦ, ὅτι ἔφθασε τὸ μέτρον τῆς ταπεινοφροσύνης ἐν ἑαυτῷ· καὶ (1) δι᾽ ἕνα λογισμὸν κατανύξεως, τὸν ἀναβάντα ἐν αὐτῷ ἐν καιρῷ τινί, ἢ ἐν ὀλίγοις δάκρυσι τοῖς ἐξελθοῦσιν ἐξ ἑαυτοῦ, ἢ δι᾽ ἓν ἀγαθόν, ὅπερ ἔχει φυσικῶς, ἢ ἐκράτησεν ἐν βίᾳ πρὸς ἑαυτόν, ὅτι ἐκεῖνο ὅπερ ἐστὶ πλήρωμα πάντων τῶν μυστηρίων, καὶ φρέριον πασῶν τῶν ἀρετῶν ἐστίν, ὅτι ἐν ἔργοις μικροῖς ἐκτήσατο ταῦτα πάντα ἐν τόποις τούτου τοῦ χαρίσματος.

Ἀλλ᾽ ἐὰν ἄνθρωπος νικήσῃ πάντα τὰ πνεύματα τὰ ἐναντία, καὶ οὐκ ἐξείλησεν (2) αὐτῷ ἓν τῶν ἔργων ἐκ πάσης ἀρετῆς, ὅπερ κατὰ πρόσωπον οὐκ εἰργάσατο, καὶ οὐκ ἐκτήσατο, καὶ ἐνίκησε, καὶ ὑπέταξε τὰ ὀχυρώματα πάντα τῶν ὑπεναντίων, καὶ μετὰ ταῦτα ἐν πνεύματι αἰσθηθῇ ἐν αὐτῷ, ὅτι ἐδέξατο αὐτὸ τὸ χάρισμα, ἡνίκα τὸ πνεῦμα μαρτυρεῖ τῷ πνεύματι αὐτοῦ κατὰ τὸν λόγον τοῦ Ἀποστόλου, τοῦτο ἡ τελειότης τῆς ταπεινοφροσύνης. μακάριος ὁ κτησάμε-

Ῥωμ. η. ιϛ.

(1) Ἴσ. τὸ καὶ, περιττόν. ἀναγνωστέον δὲ οὕτω. λοιπόν, μὴ τολμήσῃ ἄνθρωπος ἐννοῆσαι κατὰ τὴν ψυχὴν ἑαυτοῦ, ὅτι ἔφθασε τὸ μέτρον τῆς ταπεινοφροσύνης ἐν ἑαυτῷ, δι᾽ ἕνα λογισμὸν κατανύξεως, τὸν ἀναβάντα ἐν αὐτῷ ἐν καιρῷ τινί, ἢ ἐν ὀλίγοις δάκρυσι τοῖς ἐξελθοῦσιν ἐξ ἑαυτοῦ, ἢ δι᾽ ἓν ἀγαθόν, ὅπερ ἔχει φυσικῶς, ἢ ἐκράτησεν ἐν βίᾳ πρὸς ἑαυτόν. (ὅτι ἐκεῖνο ὅπερ ἐστὶ πλήρωμα πάντων τῶν μυστηρίων, καὶ φρέριον πασῶν τῶν ἀρετῶν ἐστίν.) ὅτι ἐν ἔργοις ἀγαθοῖς ἐκτήσατο ταῦτα πάντα ἐν τόποις τούτου τοῦ χαρίσματος.

(2) Τὸ ἐξειλῆσαι, οἱ Ἀλεξανδρεῖς φασὶν ἐπὶ τοῦ ἐκφυγεῖν ἀπὸ τῶν ἐν τῷ παλαίειν ἀναλυόντων αὐτούς. (Στέφαν. Ἐρρίκ. ἐν τῷ Λεξ.) οὐκοῦν δῆλον, ὅτι τό, ἐξείλησεν, ἀντὶ τοῦ ἐξέφυγεν ἐλήφθη.

μενος αὐτήν· ὅτι ἐν πάσῃ ὥρᾳ τὸν κόλπον ἀσπάζεται τοῦ Ἰησοῦ, καὶ περιλαμβάνει.

Ἐὰν δὲ ἐρωτήσῃ ἄνθρωπος τί ποιήσω; πῶς κτήσομαι; ποίῳ τρόπῳ ἄξιος γένωμαι δέξασθαι αὐτήν; ἰδοὺ ἐγὼ βιάζω ἐμαυτὸν, καὶ ἡνίκα νομίσω, ὅτι ἐκτησάμην αὐτὴν, θεωρῶ, ὅτι ἰδοὺ ἔννοιαι ἐναντίαι αὐτῆς περιστρέφονται ἐν τῷ μέσῳ τῆς διανοίας μου. καὶ ἄρτι πίπτω εἰς ἀπόγνωσιν ἔνθεν.

Ματθ. ι. κε. Τούτῳ τῷ ἐρωτῶντι, τοῦτο ἀποκριθήσεται αὐτῷ. » ἀρκετὸν τῷ μαθητῇ γενέσθαι κατὰ τὸν διδάσκαλον, καὶ τῷ δού» λῳ, κατὰ τὸν ἑαυτοῦ κύριον. βλέπε τὸν ἐντειλάμενον ταύτην, καὶ τὸν δωρούμενον τὸ χάρισμα, ἐν ποίῳ τρόπῳ ταύτην ἐκτήσατο, » καὶ ὁμοιώθητι, καὶ εὑρήσεις αὐτήν. αὐτὸς γὰρ εἶπεν, ἔρχεται

Ἰωαν. ιδ. λ. ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. βλέπεις πῶς ἐν τελειότητι πασῶν τῶν ἀρετῶν, κτήσασθαι δυνατὸν τὴν ταπείνωσιν; τοῦτον τὸν ἐντειλάμενον ζηλώσωμεν. αἱ ἀλώπεκες

Ματθ. η. κ. φησὶ, φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκη» νώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίναι, » ὁ ἔχων δόξαν ἐκ πάντων τῶν τελειωθέντων, καὶ ἁγιασθέντων, καὶ πληρωθέντων ἐν πάσαις γενεαῖς μετὰ τοῦ πατρὸς τοῦ ἀποστείλαντος αὐτὸν, καὶ τοῦ ἁγίου πνεύματος νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΚΑ.

ΠΕΡΙ
ΤΟΥ ΥΠΟ ΤΙΝΟΣ ΩΦΕΛΕΙΤΑΙ Ο ΑΝΘΡΩΠΟΣ ΕΙΣ ΤΟ ΠΡΟΣΕΓΓΙΣΑΙ ΤΩ ΘΕΩ ΕΝ ΤΗ ΚΑΡΔΙΑ ΑΥΤΟΥ.

Καὶ τίς ἡ ἀληθὴς αἰτία ἡ προσεγγίζουσα αὐτῷ κρυπτῶς τὴν βοήθειαν. καὶ τίς πάλιν ἡ αἰτία ἡ ἄγουσα τὸν ἄνθρωπον εἰς ταπείνωσιν.

Μακάριος ἄνθρωπος ὁ γινώσκων τὴν ἑαυτοῦ ἀσθένειαν. διότι αὕτη ἡ γνῶσις γίνεται αὐτῷ θεμέλιος, καὶ ῥίζα, καὶ ἀρχὴ πάσης ἀγαθωσύνης. ὅταν γὰρ μάθῃ τίς, καὶ ἐν ἀληθείᾳ αἰσθηθῇ τῆς ἑαυτοῦ ἀσθενείας, τηνικαῦτα περισφίγγει τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ τῆς χαυνότητος τῆς ἀμαυρούσης τὴν γνῶσιν, καὶ θησαυρίζει ἑαυτῷ παραφυλακήν. οὐδεὶς δὲ δύναται αἰσθηθῆναι τῆς ἑαυτοῦ ἀσθενείας, ἐὰν μὴ παραχωρηθῇ μικρὸν τοῦ πειρασθῆναι, ἢ ἐν τοῖς καταπονοῦσι τὸ σῶμα, ἢ τὴν ψυχήν. τότε γὰρ συγκρίνας τὴν ἑαυτοῦ ἀσθένειαν τῇ βοηθείᾳ τοῦ Θεοῦ, τηνικαῦτα γνώσεται ταύτης τὴν μεγαλωσύνην. καὶ πάλιν ὅταν κατίδῃ τὸ πλῆθος τῶν μηχανημάτων αὐτοῦ, καὶ τὴν παραφυλακὴν, καὶ ἐγκράτειαν, καὶ σκέπην, καὶ περίφραξιν τῆς ψυχῆς αὐτοῦ, δι' ὧν ἐλπίζει εὑρεῖν αὐτῇ πεποίθησιν, καὶ οὐ κέκτηται. ἢ καὶ ἐὰν ἡ καρδία γαλήνην μὴ ἔχῃ ἀπὸ τοῦ φόβου καὶ τρόμου, τηνικαῦτα νοείτω, καὶ γινωσκέ-

νωσκέτω, ὅτι ȣ̃τος ὁ φόβος τῆς καρδίας αὐτȣ̃ δηλοῖ, ϗ ἐμφαίνει, ὅτι ἐνδεὴς ἐςι πάντως ἑτέρȣ τινὸς βοηθȣ̃ντος. ἡ γὰρ καρδία μαρτυρεῖ ἔσωθεν τῷ φόβῳ τῷ βάλλοντι, ϗ παλαίοντι ἔνδοθεν αὐτῆς, ϗ ἐμφαίνει λεῖψίν τινος. ϗ διὰ τȣ̃το ἐλέγχεται, μὴ δυναμένη κατασκηνῶσαι μετὰ πεποιθήσεως. ἡ γὰρ τȣ̃ Θεȣ̃ βοήθειά φησίν (1) ἐςιν ἡ σώζȣσα. ὅταν δέ τις γνῷ, ὅτι ἐνδεής ἐςι τῆς θείας βοηθείας, πολλὰς ποιεῖται τὰς εὐχάς. καὶ ὅσον ταύτας πληθύνει, ταπεινȣ̃ται ἡ καρδία. ȣ̉δεὶς γὰρ δεόμενος, καὶ αἰτῶν, δύναται μὴ ταπεινωθῆναι. Ψαλ. ν. ιθ. „ καρδίαν γὰρ συντετριμμένην, καὶ τεταπεινωμένην, ὁ Θεὸς „ ȣ̉κ ἐξȣδενώσει. ἕως ἂν ȣ̃ν μὴ ταπεινωθῇ ἡ καρδία, ȣ̉ δύναται παύσασθαι τȣ̃ μετεωρισμȣ̃. ἡ γὰρ ταπείνωσις συνάγει τὴν καρδίαν.

Ὅταν δὲ ταπεινωθῇ ὁ ἄνθρωπος, παραυτίκα κυκλοῖ αὐτὸν τὸ ἔλεος, καὶ τότε αἰσθάνεται ἡ καρδία τῆς θείας βοηθείας. διότι εὑρίσκει δύναμίν τινα πεποιθήσεως κινȣμένην ἐν αὐτῇ. ὅταν δὲ αἴσθηται ὁ ἄνθρωπος τῆς θείας βοηθείας, ὅτι πάρεσι βοηθȣ̃σα αὐτῷ, τότε ἡ καρδία παραυτίκα ἐμπίπλαται πίςεως, καὶ συνίησιν ἐντεῦθεν, ὅτι ἡ προσευχὴ καταφύγιον πέφυκε βοηθείας, καὶ πηγὴ σωτηρίας, καὶ θησαυρὸς πεποιθήσεως, καὶ λιμὴν ῥυόμενος ἀπὸ τρικυμίας, ϗ φῶς τοῖς ἐν σκότει, καὶ ςήριγμα τῶν ἀσθενῶν, καὶ σκέπη ἐν τῷ καιρῷ τῶν πειρασμῶν, ϗ βοήθεια ἐν τῇ ἀκμῇ τῆς νόσȣ, καὶ ἀσπὶς λυτρώσεως ἐν πολέμῳ, καὶ βέλος ἠκονημένον ἐξ ἐναντίας τῶν ἐχθρῶν, καὶ ἁπλῶς εἰπεῖν, πᾶν τὸ πλῆθος τῶν ἀγα-

„ (1) Ὁ Ψαλμῳδὸς τυχὸν, λέγων· ἡ βοήθειάμȣ παρὰ Κυρίȣ (Ψαλ. ρκ. β).

ἀγαθῶν τούτων διὰ τῆς προσευχῆς εὑρίσκεται ἔχον τὴν εἴσοδον. καὶ λοιπὸν ἀπὸ τοῦ νῦν ἐντρυφᾷ ἐν τῇ τῆς πίστεως προσευχῇ. ἡ δὲ καρδία αὐτοῦ φαιδρύνεται τῇ πεποιθήσει, καὶ οὐδαμῶς τῇ προτέρᾳ πυρώσει, καὶ τῇ ψιλῇ λαλιᾷ τοῦ στόματος ἐναπομένει. ἀλλ' ὅταν νοήσῃ ταῦτα οὕτω, τότε κτήσεται τὴν προσευχὴν ἐν τῇ ψυχῇ, καθάπερ θησαυρόν. καὶ ἀπὸ τῆς πολλῆς εὐφροσύνης τὸ σχῆμα τῆς προσευχῆς αὐτοῦ εἰς εὐχαριστηρίους φωνὰς ἀμείβει. καὶ οὗτός ἐστιν ὁ λόγος ὁ ῥηθεὶς ὑπὸ τοῦ διορίσαντος ἑκάστῳ τῶν πραγμάτων τὸ ἴδιον σχῆμα· ὅτι ἡ προσευχὴ χαρά ἐστιν, εὐχαριστίαν ἀναπέμπουσα. (1) εὐχὴν δὲ ταύτην

(1) Σχῆμα προσευχῆς, τὸ εἶδος λέγει. τρία γὰρ τὰ εἴδη αὐτῆς.
» δοξολογία. ὡς τό, αἴνει ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ
» ζωῇ μου. (Ψαλμ. ρμε. α.) αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. (Ψαλμ.
» ρμη. α.) σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν. (Ψαλμ. κα. κδ.) καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. (Ψαλμ. πε. ιβ.) εὐχαριστία. οἷον τό,
» ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. (Ψαλμ. ριζ. α.) ἐπίστρεψον ψυ-
» χή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε. (Ψαλμ. ριδ. ς.)
» τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; (Ψαλμ.
» ριε. γ.) δέησις. ὡς τό, ἐλέησόν με ὁ Θεός. (Ψαλμ. ν. α.) ὁ Θεὸς εἰς
» τὴν βοήθειάν μου πρόσχες. (Ψαλμ. ξθ. α.) Κύριε εἰσάκουσον τῆς προσευ-
» χῆς μου, ἐνώτισαι τὴν δέησίν μου. (Ψαλμ. ρμβ. α.) ὁ δὲ ἑκάστῳ τῶν πραγμάτων ἴδιον σχῆμα διορίσας, ὁ τῶν ἁπάντων Θεός ἐστιν. αὐτὸς γὰρ οὐ μόνον ἐκ τοῦ μὴ ὄντος τὰ πάντα παρήγαγεν, ἀλλὰ καὶ χαρακτῆρα ἴδιον ἑκάστῳ περιέθηκεν. ἐξ οὐρανοῦ δὲ καταβὰς ὁ μονογενὴς υἱὸς καὶ λόγος, καὶ ἐνανθρωπήσας, τὰ τρία τῆς προσευχῆς εἴδη παρέδωκε. καὶ γὰρ καὶ ἐδοξολόγησε τὸν πατέρα αὐτοῦ εἰπών· ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς. (Ἰωάν. ιζ. ε.)
» καὶ ηὐχαρίστησε λέγων· πάτερ εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. (Ἰωάν. ια.
» μα.) καὶ ἐδεήθη οὕτως· ἐγὼ περὶ αὐτῶν ἐρωτῶ - - πάτερ ἅγιε τήρησον
» αὐτοὺς ἐν τῷ ὀνόματί σου. (Ἰωάν. ιζ. ιβ.) τὸν λόγον δὲ τὸν ὑπ' αὐτοῦ ῥηθέντα, ὅτι ἡ προσευχὴ χαρά ἐστιν, εὐχαριστείαν ἀναπέμπουσα,
» ἔλαβε τυχὸν ὁ ἅγιος ἐκ τοῦ, ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν
» χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. (Ἰωάν. ιζ. ιγ.) ἀναπλύουσων γὰρ

τὴν ηὔξατο, τὴν ἐν γνώσει τοῦ Θεοῦ ἀνυομένην, τουτέστι τὴν παρὰ τοῦ Θεοῦ πεμπομένην. διότι οὐκ ἐν κόπῳ καὶ μόχθῳ τοιαῦτα προσεύχεται ὁ ἄνθρωπος, ὡς ἡ λοιπὴ προσευχὴ ἡ προσευχομένη πρὸ τοῦ αἰσθάνεσθαι ταύτης τῆς χάριτος, ἀλλὰ μετὰ χαρᾶς τῆς καρδίας, καὶ θαύματος, βρύει τὰς εὐχαριστηρίους κινήσεις διηνεκῶς, ἀλαλήτοις γονυκλισίαις, καὶ ἀπὸ τοῦ πλήθους τῆς κινήσεως αὐτοῦ εἰς τὴν γνῶσιν, καὶ τοῦ θαυμάζειν καὶ ἐκπλήττεσθαι τὴν χάριν τοῦ Θεοῦ, ἐξαίφνης ὑψοῖ τὴν φωνὴν αὐτοῦ, ὑμνολογῶν, καὶ δοξάζων αὐτὸν, καὶ τὴν εὐχαριστίαν ἀναπέμπει, καὶ ἐκπληττόμενος λίαν, τὴν γλῶσσαν κινεῖ.

Εἴτις ἐνταῦθα ἔφθασεν ἐν ἀληθείᾳ, καὶ οὐ φαντασίᾳ, καὶ σημειώσεις πολλὰς τέθεικε τῷ πράγματι ἐν ἑαυτῷ, καὶ πολλὰς ἔγνω διαφορὰς διὰ τὴν πολλὴν δοκιμὴν αὐτοῦ, οὗτος οἶδε τί λέγω, ὅτι οὐκ ἔστιν ἐναντίον. καὶ ἀπὸ τοῦ νῦν παυέσθω τοῦ ἐνθυμεῖσθαι τὰ μάταια, καὶ προσμενέτω τῷ Θεῷ διὰ τῆς διηνεκοῦς προσευχῆς, δειλιῶν καὶ φοβούμενος, μήποτε στερηθῇ τοῦ πλήθους τῆς ἀῤῥωγῆς τοῦ Θεοῦ.

Ταῦτα πάντα τὰ ἀγαθὰ τίκτονται τῷ ἀνθρώπῳ ἀπὸ τοῦ ἐπιγνῶναι τὴν οἰκείαν ἀσθένειαν. (1) ἐκ γὰρ τῆς πολλῆς ἐφέσεως αὐτοῦ πρὸς τὴν βοήθειαν τοῦ Θεοῦ, προσεγγίζει τῷ Θεῷ, διαμένων ἐν τῇ προσευχῇ. καὶ ὅσον προσεγγίζει τῷ Θεῷ τῇ προθέ-

γὰρ ταύτην τὴν προσευχὴν, φησὶν, ὅτι αὕτη ἐστὶν ἡ εὐχὴ ἡ παρὰ τοῦ Θεοῦ πεμπομένη, τουτέστιν ἡ χάρις, ὡς κατωτέρω λέγει. ἡ χάρις δὲ ἐστιν ἡ τὴν χαρὰν ἐν ἡμῖν πεπληρωμένην φυλάττουσα, καὶ πρὸς εὐχαριστίαν τοῦ Θεοῦ τὴν ψυχὴν διεγείρουσα.

(1) Τὸ Ε. Χ. ἀπὸ τοῦ ἐπιγνῶναι τὴν βοήθειαν τοῦ Θεοῦ.

προθέσει αὐτῦ, καὶ ὁ Θεὸς προσεγγίζει αὐτῷ διὰ τῶν χαρισμάτων αὐτῦ, καὶ ἐ μὴ ἄρῃ ἀπ' αὐτῦ τὴν χάριν, διὰ τὴν πολλὴν αὐτῦ ταπείνωσιν· διότι ὥσπερ ἡ χήρα πρὸς τὸν κριτὴν ἀδιαλείπτως κράζει ἐκδικηθῆναι ἀπὸ τῦ ἀντιδίκυ. διὰ τῦτο δὲ ὁ οἰκτίρμων Θεὸς παρακατέχει ἀπ' αὐτῦ τὰς χάριτας, ἵνα γένηται αὐτῷ τῦτο αἰτία τῦ προσεγγίζειν αὐτῷ, καὶ ἕνεκεν τῆς χρείας αὐτῦ παραμένῃ τῷ βρύοντι τὰς ὠφελείας. καὶ τινὰς μὲν τῶν αἰτήσεων, δίδωσιν αὐτῷ τάχιστα· ἐκείνας λέγω ὧν ἐκτὸς, ἐ δύναταί τις σωθῆναι· τινὰς δὲ, παρακατέχει ἀπ' αὐτῦ. καὶ ἔντισι μὲν τῶν πραγμάτων, ἀποσοβεῖ καὶ ἀποδιώκει τὸ καυσῶδες τῦ ἐχθρῦ ἀπ' αὐτῦ· ἔν τισι δὲ, παραχωρεῖ πειράζεσθαι, ἵνα γένηται αὐτῷ ἐκεῖνο τὸ πειρατήριον αἰτία τῦ προσεγγίσαι τῷ Θεῷ ὡς προεῖπον. καὶ ἵνα παιδευθῇ, καὶ πεῖραν σχῇ τῶν πειρασμῶν. καὶ ὗτός ἐστιν ὁ λόγος τῆς „ γραφῆς, ὅτι Κύριος ἐγκατέλιπεν ἔθνη πολλὰ, τῦ μὴ ἐξολο„ θρεῦσαι αὐτὰ, καὶ ἐ παρέδωκεν αὐτὰ εἰς τὰς χεῖρας Ἰησῦ „ τῦ υἱῦ Ναυῆ, ἵνα παιδεύσῃ ἐν αὐτοῖς τὺς υἱὺς Ἰσραὴλ, καὶ ἵνα „ διδαχθῶσιν αἱ φυλαὶ τῶν υἱῶν Ἰσραὴλ, καὶ μάθωσι τὸν πό„ λεμον. δίκαιος γὰρ μὴ συνειδὼς τὴν ἑαυτῦ ἀσθένειαν, ἐπὶ ἀκμῆς ξυρῦ ἔχει τὰ πράγματα, καὶ ὐδαμῶς ἀπέστη ἀπὸ πτώσεως, ὔτε ἀπὸ τῦ φθοροποιῦ λέοντος, λέγω δὴ τῦ δαίμονος τῆς ὑπερηφανίας. καὶ πάλιν ὁ μὴ γινώσκων τὴν ἑαυτῦ ἀσθένειαν, ἐλλείπει ἐκ τῆς ταπεινώσεως· ὁ δὲ ταύτης ἐλλείπων, ἐλλιπής ἐστι καὶ ἀπὸ τῆς τελειώσεως· καὶ ὁ ἀπὸ ταύτης ἐλλιπὴς, ἀεὶ περίφοβός ἐστι. διότι ἡ πόλις αὐτῦ ἐ τεθεμελίωται ἐπὶ στύλυς σιδηρῦς, ὔτε ἐπὶ φλοιὰς χαλκᾶς, λέγω δὴ τῆς ταπεινώσεως. ταπείνωσιν δὲ ἐ δύναταί τις κτήσασθαι, ἀλλ' ἢ διὰ

Κριτ. γ. α. β.

τῶν τρόπων αὐτῆς, δι' ὧν πέφυκε γίνεσθαι ἡ καρδία συντετριμμένη, καὶ οἱ διαλογισμοὶ τῆς οἰήσεως ἐξεδενωμένοι. διὰ τοῦτο οὖν πολλάκις εὑρίσκει ἑαυτῷ ὁ ἐχθρὸς ἴχνος αἰτίας τοῦ ἐκκλίναι τὸν ἄνθρωπον. ἄνευ γὰρ ταπεινώσεως οὐ δύναται τελειωθῆναι τὸ ἔργον τοῦ ἀνθρώπου. καὶ οὐδαμῶς ἐπετέθη τῷ γραμματείῳ τῆς ἐλευθερίας αὐτοῦ ἡ σφραγὶς τοῦ πνεύματος, μᾶλλον δὲ ἕως τοῦ νῦν δοῦλος ὑπάρχει, καὶ τὸ ἔργον αὐτοῦ, οὐχ ὑπερήρθη τοῦ φόβου. καθότι οὐ διορθοῦται τις τὸ ἔργον αὐτοῦ ἄνευ ταπεινώσεως, καὶ οὐ παιδεύεται εἰ μὴ διὰ πειρασμῶν, καὶ ἄνευ παιδείας, τὴν ταπείνωσιν οὐ καταλαμβάνει.

Διὰ τοῦτο ἀφίησιν ὁ Κύριος αἰτίας ταπεινώσεως, καὶ συντριμμοῦ καρδίας δι' ἐμπόνου προσευχῆς ἐπὶ τοὺς ἁγίους, ἵνα πρὸς αὐτὸν ἐγγίζωσι διὰ ταπεινώσεως οἱ αὐτὸν ἀγαπῶντες. καὶ πολλάκις ἐκφοβεῖ αὐτοὺς τοῖς πάθεσι τῆς φύσεως, καὶ διολισθήμασιν αἰσχρῶν καὶ μιαρῶν ἐνθυμήσεων· πολλάκις δὲ, καὶ δι' ὀνειδισμῶν, καὶ δι' ὕβρεων, καὶ ἀνθρωπίνων κολαφισμῶν· ἐνίοτε δὲ, νόσοις, καὶ ἀῤῥωστήμασι σωματικοῖς· καὶ ἄλλοτε, πτωχεία, καὶ ἐνδεία τῆς ἀναγκαίας χρείας. καὶ ποτὲ μὲν, πόνοις φόβου δεινοῦ, καὶ ἐγκαταλείψει, καὶ πολέμῳ φανερῷ τοῦ διαβόλου, δι' ὧν αὐτοὺς ἐκφοβεῖν εἴωθε· ποτὲ δὲ, διαφόροις, φοβεροῖς πράγμασι. καὶ ταῦτα πάντα γίνεται, ἵνα ἔχωσιν αἰτίας τοῦ ταπεινωθῆναι, καὶ ἵνα μὴ συμβῇ αὐτοῖς ὁ τῆς ἀμελείας νυσταγμός· ἢ χάριν τῶν πραγμάτων, ἐν οἷς εὑρίσκεται ἀῤῥωστήσας ὁ ἀγωνιστής, ἢ διὰ τὸν φόβον τὸν μέλλοντα. ὥστε ἐξ ἀνάγκης ἐπωφελεῖς εἰσὶ τοῖς ἀνθρώποις οἱ πειρασμοί. οὐ λέγω δὲ τοῦτο, ὅτι πρέπει τῷ ἀνθρώπῳ χαυνωθῆναι ἑκουσίως ὑπὸ τῶν αἰσχρῶν λογισμῶν, ἵνα κινῆται αὐτῷ πρόφασις ταπεινώ-

σεως ἐν τῇ μνήμῃ αὐτῶν, οὔτε ἵνα σπουδάσῃ εἰσελθεῖν εἰς τοὺς ἄλλους πειρασμούς· ἀλλ᾽ ὅτι πρέπει αὐτῷ ἐν τῷ ἐργάζεσθαι τὸ ἀγαθὸν νήφειν ἐν παντὶ καιρῷ, καὶ τηρεῖν τὴν ψυχὴν αὐτοῦ, καὶ διαλογίζεσθαι, ὅτι κτιστός ἐστι, καὶ διὰ τοῦτο εὐμετάπτωτος. ἕκαστος γὰρ κτιστὸς ἐνδεής ἐστι τῆς δυνάμεως τοῦ Θεοῦ πρὸς ἀντίληψιν· καὶ πᾶς τις ἐνδεὴς τῆς ἑτέρου ἀντιλήψεως, ἐκφαίνει φυσικὴν ἀσθένειαν· πᾶς δέ τις εἰδὼς τὸ ἑαυτοῦ ἀσθενὲς, ἐξ ἀνάγκης δέεται τοῦ ταπεινωθῆναι, ἵνα ἀνύσῃ τὴν χρείαν αὐτοῦ παρὰ τοῦ δυναμένου διδόναι. καὶ εἰ ἦν ἐξ ἀρχῆς εἰδὼς, καὶ θεασάμενος τὴν ἑαυτοῦ ἀσθένειαν, οὐκ ἂν ἠμέλησε· καὶ εἰ μὴ ὅτι ἠμέλησεν, οὐκ ἂν ὕπνωσε, καὶ παρεδόθη εἰς χεῖρας τῶν θλιβόντων αὐτὸν, τοῦ ἐξυπνίσαι αὐτόν.

Λοιπὸν πρέπει τῷ πορευομένῳ ἐν τῇ ὁδῷ τοῦ Θεοῦ εὐχαριστῆσαι αὐτῷ ἐν πᾶσι τοῖς ἐπερχομένοις αὐτῷ, καὶ μέμψασθαι, καὶ καθυβρίσαι τὴν ἑαυτοῦ ψυχὴν, καὶ γνῶναι, ὅτι οὐκ ἂν παρεχωρήθη ὑπὸ τοῦ προνοητοῦ, εἰ μὴ διά τινα ἀμέλειαν, ἵνα ἐξυπνισθῇ ἡ διάνοια αὐτοῦ, ἢ διότι τετύφωται, καὶ μὴ θορυβηθῇ διὰ τοῦτο, μήτε ἐκπηδήσῃ τοῦ σταδίου καὶ τοῦ ἀγῶνος, μήτε ἀνευμέμψεως ἑαυτὸν ποιήσῃ· ἵνα μὴ διπλοῦν γένηται αὐτοῦ τὸ κακόν. διότι οὐκ ἔστι παρὰ τῷ βρύθοντι (1) Θεῷ τὴν δικαιοσύνην, ἀδικία. μὴ γένοιτο, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

(1) Τὸ Ε. Χ. βρύοντι.

ΛΟΓΟΣ ΚΒ.

ΠΕΡΙ ΤΩΝ ΤΡΟΠΩΝ ΤΗΣ ΕΙΣ ΘΕΟΝ ΕΛΠΙΔΟΣ.

Καὶ τίνα δεῖ ἐλπίζειν ἐπὶ τὸν Θεόν. καὶ τίς ἐστιν ὁ ἀφρόνως, καὶ ἀσυνέτως ἔχων τὴν ἐλπίδα.

Γίνεται ἐλπὶς ἐπὶ τῷ Θεῷ διὰ τῆς καρδιακῆς πίστεως, ἥτις ἐστὶ καλὴ, καὶ μετὰ διακρίσεως, καὶ γνώσεως πέφυκε. καὶ γίνεται ἄλλη παρηλλαγμένη, καὶ ἐξ ἀνομίας ὑπάρχουσα, ἥτις ἐστὶ ψευδής. ἄνθρωπος ὁ μὴ παντελῶς φροντίδα ποιούμενος τῶν ἐπικήρων πραγμάτων, ἀλλ' ἑαυτὸν ὁλοτελῶς ἀναθέμενος τῷ Κυρίῳ νυκτὸς καὶ ἡμέρας, μηδενὸς φροντίζων κοσμικοῦ διὰ τὴν πολλὴν ἑαυτοῦ ἐπιμέλειαν τὴν εἰς τὰς ἀρετὰς, καὶ πᾶσαν τὴν σχολὴν αὐτοῦ εἰς τὰ θεῖα κεκτημένος, καὶ διὰ τοῦτο ἀμελῶν εὐτρεπίσαι ἑαυτῷ τροφάς τε καὶ ἐνδύματα, καὶ ἑτοιμασίαν τόπου κατασκηνώσεως τοῦ σώματος, καὶ τὰ λοιπὰ πάντα, οὗτος καλῶς καὶ ἐπιστημόνως ἐλπίζει ἐπὶ Κύριον. ὅτι αὐτὸς ἑτοιμάσει αὐτῷ τὰ πρὸς τὴν χρείαν. καὶ αὕτη ἐστὶν ἀληθῶς ἡ ἀληθὴς καὶ σοφωτάτη ἐλπίς. δίκαιον οὖν ἐστὶ τὸν τοιοῦτον ἐλπίζειν ἐπὶ τὸν Θεὸν, καθότι δοῦλος αὐτοῦ κεχρημάτικε, καὶ ἐπιμελῶς διάκειται ἐν τῷ ἔργῳ αὐτοῦ, χωρὶς πάσης ἀμελείας τῆς ἔκτινος αἰτίας συμβαινούσης. ἐπὶ τῷ τοιούτῳ ἀξιόν ἐστιν ἐνδείκνυσθαι παρὰ τοῦ Θεοῦ ἰδικῶς τὴν ἐπιμέλειαν. διότι

ἐφύλαξε

„ ἐφύλαξε τὴν ἐντολὴν αὐτοῦ τὴν λέγουσαν, ζητεῖτε πρῶτον „ τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦ-„ τα πάντα προσεθήσεται ὑμῖν· καὶ τῆς σαρκὸς πρόνοιαν μὴ „ ποιεῖσθε. ὅταν γὰρ οὕτω διατιθέμεθα, ὁ κόσμος ὥσπερ τις δοῦλος ἑτοιμάσει ἡμῖν πάντα, καὶ ὡς δεσπόταις ὑποταγήσεται ἀδισάκτως τοῖς λόγοις ἡμῶν, καὶ τῷ θελήματι ἡμῶν οὐ μὴ ἐναντιωθῇ. ἵνα γὰρ μὴ ἀργήσῃ ὁ τοιοῦτος ἐκ τῆς διηνεκοῦς στάσεως αὐτοῦ ἔμπροσθεν τοῦ Θεοῦ, οὐ παραδίδωσιν ἑαυτὸν φροντίζειν τῆς ἀναγκαίας χρείας τοῦ σώματος. καὶ οὐδενὸς ἑτέρου ἐπιμελεῖται, ἀλλ' ἢ μόνον ἀργὸς γενέσθαι ἀπὸ πάσης τοιαύτης φροντίδος μικρᾶς, καὶ μεγάλης, τῆς πρὸς ἡδονὴν συντεινούσης καὶ μετεωρισμὸν, διὰ τὸν φόβον τοῦ Θεοῦ. τεύξεται δὲ ὅμως τούτων θαυμασίως, μήτε φροντίσας αὐτῶν, μήτε κοπιάσας εἰς αὐτά.

Ματθ. ϛ. λγ.

Ῥωμ. ιγ. ιδ.

Ὁ μέντοι ἄνθρωπος ὁ παντελῶς ἔχων τὴν καρδίαν συγκεχωσμένην ἐν τοῖς γηΐνοις, καὶ ἀεὶ μετὰ τοῦ ὄφεως ἐσθίων χοῦν, καὶ μηδαμῶς ἐπιμελούμενος τῶν εὐαρεστέντων τῷ Θεῷ, ἀλλ' ἐν πᾶσι τοῖς σωματικοῖς καταπεπονημένος, καὶ λελυμένος, καὶ ἀργὸς ἀπὸ πάσης ἀρετῆς, διὰ τὴν διηνεκῆ συντυχίαν, καὶ τὸν μετεωρισμὸν τῆς στενωσεως, καὶ προφάσεις τινὰς προφασιζόμενος, ὁ τοιοῦτος ὄντως διὰ ταύτην τὴν ῥαθυμίαν, καὶ ἀργίαν ἔκπτωτός ἐστι τοῦ ἀγαθοῦ. καὶ ἐνίοτε, ὅτε στενωθῇ ὑπό τινος ἐνδείας, ἢ θανάτου, ἢ θλιβῇ ὑπὸ τῆς ἐπικαρπίας τῶν ἀνομημάτων αὐτοῦ, ἐρεῖ δὲ πῶς οὗτος, (1) ὅτι ἐλπιῶ ἐπὶ τὸν Θεὸν, καὶ ἀμέριμνόν με ποιήσει, καὶ ἄνεσίν μοι παρέξει; ἄφρων, μέχρι

(1) Τὸ Ε. Χ. ἐρεῖ δὲ πῶς οὗτος.

μέχρι τῆς ἄρτι ὥρας ἐκ ἐμνήσθης τȣ̃ Θεȣ̃, ἀλλὰ καθύβριζες αὐτὸν τῇ καταλύσει τῶν σῶν πράξεων, καὶ τὸ ὄνομα αὐτȣ̃ διὰ σὲ ἐν τοῖς ἔθνεσιν ἐβλασφημεῖτο, καθὼς γέγραπται, καὶ νῦν τολμᾷς λέγειν δι' ὅλȣ τȣ̃ σόματος, ἐπ' αὐτῷ ἐλπιῶ, καὶ αὐτὸς βοηθήσει μοι, καὶ μέριμνάν μȣ ποιήσεται; καλῶς εἴρηκεν ὁ Θεὸς διὰ τȣ̃ Προφήτȣ, τȣ̀ς τοιȣ́τȣς ἐντρέπων· ὅτι καθ' ἡμέραν ἐκζητȣ̃σί με, καὶ βȣ́λονται μαθεῖν τὰς ὁδούς μȣ, ὡς τινὲς ποιȣ̃ντες τὴν δικαιοσύνην, καὶ τὰ δικαιώματα τȣ̃ Θεȣ̃ αὐτῶν μὴ καταλιπόντες, αἰτȣ̃σί με κρίσιν, καὶ δικαιοσύνην. ἐκ τῶν τοιȣ́των ἐςὶν ὁ ἄφρων, ὁ μηδὲ τῇ διανοίᾳ αὐτȣ̃ προσεγγίζων τῷ Θεῷ, ὅταν δὲ κυκλωθῇ ὑπὸ τῶν θλίψεων, αἴρων τὰς χεῖρας αὐτȣ̃ πρὸς αὐτὸν μετὰ πεποιθήσεως. ὁ τοιȣ̃τος δέεται καυςηριασθῆναι πολλάκις, ἵνα ἐνθεν, κἀκεῖθεν παιδευθῇ. ȣ̓ γὰρ κέκτηται ἔργον ἄξιον τῆς εἰς Θεὸν πεποιθήσεως. ἀλλὰ διὰ μὲν τὰς χαλεπὰς αὐτȣ̃ πράξεις, καὶ τὴν ἀμέλειαν αὐτȣ̃ ἀπὸ τῶν καθηκόντων, ἄξιος γίνεται παιδείας· διὰ δὲ τὸ ἔλεος αὐτȣ̃ ὁ Θεὸς μακροθυμῶν, ἀνέχεται αὐτȣ̃. μὴ ȣ̓̃ν ἐξαπατάτω ἑαυτὸν ὁ τοιȣ̃τος, καὶ ἐπιλανθανέσθω τῆς τάξεως τῆς διαγωγῆς αὐτȣ̃, καὶ λεγέτω ἐλπίζειν ἐπὶ τὸν Θεόν. παιδευθήσεται γάρ. διότι ȣ̓δαμȣ̃ τὸ τῆς πίςεως ἔργον κέκτηται. μηδὲ τανυέτω τȣ̀ς πόδας αὐτȣ̃ ἐν τῇ ἀργίᾳ, καὶ λεγέτω, ὅτι πιςεύω τῷ Θεῷ ἐπιχορηγῆσαί μοι τὰ πρὸς τὴν χρείαν, ὡς ἐν τοῖς ἔργοις τȣ̃ Θεȣ̃ πολιτευόμενος, ἢ ἀφρόνως ῥιπτέτω ἑαυτὸν ἐν φρέατι, μηδαμȣ̃ ἔχων τὸν Θεὸν κατ' ἐνθύμησιν. τὰ νῦν δὲ μετὰ τὴν ἔκπτωσιν ἐρεῖ, ἐλπιῶ ἐπὶ τὸν Θεὸν, καὶ αὐτός με ῥύσεται. μὴ πλανῶ ὦ ἄφρων. προηγȣ́μενός ἐςιν ὁ διὰ τὸν Θεὸν κόπος, καὶ ὁ ἱδρὼς ὁ ἐν τῇ γεωργίᾳ αὐτȣ̃ τῆς εἰς αὐτὸν ἐλπίδος. εἰ

Ῥωμ. β. κδ.

Ησ. νη. β.

πιςεύεις

πιστεύεις τῷ Θεῷ, καλῶς ποιεῖς, ἀλλ' ἡ πίστις καὶ ἔργων δέεται, καὶ ἡ εἰς Θεὸν ἐλπὶς ἐκ τῆς εἰς τὰς ἀρετὰς κακοπαθείας φαίνεται. πιστεύεις, ὅτι ὁ Θεὸς προνοεῖται τῶν κτισμάτων αὐτȣ͂, καὶ δυνατός ἐστιν εἰς πάντα; ἀλλὰ τῇ πίστει σȣ ἐπακολȣθείτω καὶ ἡ πρέπȣσα ἐργασία, καὶ τότε σȣ ἐπακȣ́σεται. μὴ θέλε κρατεῖν ἀνέμȣς εἰς τὴν σὴν δρᾶκα, πίστιν φημὶ χωρὶς ἔργων.

Πολλάκις τὶς ἀγνοῶν, διοδεύει ὁδὸν ἔχȣσαν θηρίον πονηρὸν, ἢ φονικές τινας, ἤ τι παραπλήσιον. καὶ αὕτη ἐστὶ κοινὴ πρόνοια τȣ͂ Θεȣ͂, τὸ ῥύσασθαι ἐκ τῆς τοιαύτης ἐπηρείας, ἢ τὸ ἐμποδίσαι ἐκ τȣ͂ ὁρμήματος διά τινας αἰτίας, ἕως ἂν παρέλθῃ τὸ πονηρὸν θηρίον, ἢ τὸ ὑπαντῆσαί τινα, καὶ ὑποστρέψαι αὐτὸν ἐκ τῆς ὁδȣ͂. καὶ πάλιν ἐνίοτε εὑρίσκεται ὄφις πονηρὸς ἐν τῇ ὁδῷ κατακείμενος, καὶ μὴ θεωρȣ́μενος· καὶ μὴ βȣλόμενος ὁ Θεὸς παραδȣ͂ναι τὸν ἄνθρωπον τȣ́τῳ τῷ πειρασμῷ, ἐξαίφνης ποιεῖ τὸν ὄφιν συρῆσαι, καὶ τȣ͂ τόπȣ ἀπελθεῖν, ἢ ἕρπειν ἔμπροσθεν αὐτȣ͂, κἀκεῖνος ἰδὼν, παραφυλάττεται, καὶ ῥύεται ἐξ αὐτȣ͂, καίπερ μὴ ὢν ἄξιος διὰ τὰς ἁμαρτίας τὰς ἀφανεῖς, ἃς μόνος αὐτὸς ἐπίσταται· ἐξαιρεῖται δὲ ὅμως αὐτὸν ὁ Θεὸς, διὰ τὸ ἔλεος αὐτȣ͂. καὶ πάλιν συμβαίνει πολλάκις οἶκον, ἢ τοῖχον, ἢ λίθον πίπτειν, καὶ ἐκ τȣ͂ ἰδίȣ τόπȣ ὀλισθαίνειν μετὰ ῥοίζȣ, καί τινας εὑρίσκεσθαι ἐκεῖ καθημένȣς, καὶ φιλανθρώπως ἐντέλλεται Ἀγγέλῳ ὁ Θεὸς κατέχειν, καὶ κρατεῖν ἄπτωτον τὸν τόπον, ἕως ἂν ἀναστῶσιν ἐκεῖθεν, ἢ καὶ διά τινας αἰτίας ἐξάγει αὐτȣ̀ς, ὥστε μηδένα εὑρεθῆναι ὑποκάτω. ἅμα δὲ τὸ ἐξελθεῖν αὐτȣ̀ς, παραυτίκα ἐᾷ πεσεῖν. ἐὰν δὲ καὶ συμβῇ τινὰ κατενεχθῆναι, (1) ποιεῖ μηδαμȣ͂ βλαβῆναι. ἐν

(1) Καταχεθῆναι τὰ Ε. Χ.

ἐν τούτῳ γὰρ βούλεται δεῖξαι τὸ ἄπειρον μέγεθος τῆς δυνάμεως αὐτοῦ.

Ταῦτα μὲν οὖν, καὶ τὰ τοιαῦτα, τῆς κοινῆς καὶ καθολικῆς προνοίας τοῦ Θεοῦ· ὁ δὲ δίκαιος, ταύτην ἔχει ἀχώριστον. τοὺς μὲν γὰρ λοιποὺς ἀνθρώπους, διακριτικῶς ἐκέλευσεν ὁ Θεὸς διοικεῖν τὰ κατ' αὐτοὺς, καὶ συγκεράσαι τῇ τοῦ Θεοῦ προνοίᾳ τὴν γνῶσιν· ἀλλ' ὁ δίκαιος, διὰ ταύτης τῆς γνώσεως διοικῆσαι τὰ κατ' αὐτὸν οὐ δέεται. διότι ἐκτήσατο ἀντὶ ταύτης τῆς γνώσεως τὴν πίστιν, δι' ἧς καθελεῖ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. καὶ ἀπό τινος τῶν ἀπηριθμημένων οὐ φοβηθήσεται, καθὼς γέγραπται· ὅτι δίκαιος ὡς λέων πέποιθε, κατὰ παντὸς τολμῶν διὰ τῆς πίστεως, οὐχ ὡς πειράζων τὸν Κύριον, ἀλλ' ὡς καθορῶν αὐτὸν, ὥσπερ τὶς καθωπλισμένος, καὶ ἐνδεδυμένος τὴν τοῦ ἁγίου πνεύματος δύναμιν. καὶ καθ' ὅσον διηνεκῆ ἔχει τὴν φροντίδα μετὰ τοῦ Θεοῦ, κατὰ τοσοῦτον καὶ ὁ Θεὸς ἐρεῖ περὶ αὐτοῦ, μετ' αὐτοῦ εἰμὶ ἐν θλίψει, ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτὸν, μακρότητος ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. ὁ μέντοι χαῦνος, καὶ ῥᾴθυμος εἰς τὸ ἔργον αὐτοῦ, ταύτην τὴν ἐλπίδα ἔχειν οὐ δύναται· ἀλλ' ὁ διηνεκῶς ἐμμένων τῷ Θεῷ ἐν πᾶσι, καὶ προσεγγίζων αὐτῷ διὰ τῆς καλλονῆς τῶν ἔργων αὐτοῦ, καὶ ἐκτείνων τὸ βλέμμα τῆς καρδίας αὐτοῦ (2) πρὸς τὴν χάριν αὐτοῦ ἀδιαλείπτως, ὡς ἔφησεν ὁ θεῖος Δαβίδ, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου. ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

[Marginal notes: β. Κορινθ. ι. ε. — Παρ. κη. α. — Ψαλμ. ϥ. ιε. ιϛ. — Ψαλ. ξη. δ.]

ΛΟΓΟΣ

(2) Τὸ ὄμμα τῆς διανοίας αὐτοῦ. τὸ Ε. Χ.

ΛΟΓΟΣ ΚΓ.

ΠΕΡΙ
ΑΓΑΠΗΣ ΘΕΟΥ, ΚΑΙ ΑΠΟΤΑΓΗΣ, ΚΑΙ ΤΗΣ ΕΝ ΑΥΤΩ ΑΝΑΠΑΥΣΕΩΣ.

Ψυχὴ ἡ τὸν Θεὸν ἀγαπῶσα, ἐν τῷ Θεῷ καὶ μόνῳ τὴν ἀνάπαυσιν κέκτηται. προκατάλαβε λύειν πάντα σύνδεσμον ἐξωτικὸν ἀπὸ σεαυτοῦ, καὶ τότε δυνήσῃ συνδεθῆναι τῇ καρδίᾳ τῷ Θεῷ. προηγεῖται γὰρ τοῦ συνδεθῆναι τῷ Θεῷ, τὸ λυθῆναι τῆς ὕλης. ἡ τοῦ ἄρτου βρῶσις, μετὰ τὸ ἀπογαλακτισθῆναι δίδοται τῷ βρέφει. καὶ ἄνθρωπος ὁ βουλόμενος ἐν τοῖς θείοις πλατυνθῆναι, πρότερον θέλει ἑαυτὸν ἐκ τοῦ κόσμου ἀποξενῶσαι, ὥσπερ νήπιον ἀπὸ τῶν μητρικῶν ἀγκαλῶν, καὶ μαθῶν. ἡ σωματικὴ γὰρ ἐργασία προηγεῖται τῆς ψυχικῆς, ὥσπερ ὁ χοῦς, τῆς ἐμπνευσθείσης τῷ Ἀδὰμ ψυχῆς. ὁ μὴ κτησάμενος τὴν σωματικὴν ἐργασίαν, οὐδὲ τὴν ψυχικὴν ἔχειν δύναται. διότι αὕτη ἐξ ἐκείνης γεννᾶται, ὥσπερ ὁ στάχυς ἐκ τοῦ γυμνοῦ κόκκου τοῦ σίτου. καὶ ὁ μὴ ἔχων τὴν ψυχικὴν ἐργασίαν, ἐστέρηται τῶν πνευματικῶν χαρισμάτων.

Οὐ συγκρίνονται οἱ πόνοι, οἱ ὑπὲρ τῆς ἀληθείας τοῦ παρόντος αἰῶνος, τῇ ἡτοιμασμένῃ τρυφῇ τοῖς κακοπαθοῦσιν ἐν τοῖς ἀγαθοῖς. ὥσπερ ἕπεται τοῖς ἐν δάκρυσι σπείρουσι τὰ δράγματα τῆς ἀγαλλιάσεως, οὕτως ἀκολουθεῖ χαρὰ τῇ διὰ Θεὸν κακοπαθείᾳ. ὁ ἄρτος ὁ ἐξ ἱδρώτων ἀνυσθεὶς, ἡδὺς φαίνεται τῷ

γεωργῷ, καὶ τὰ διὰ δικαιοσύνης ἐργασίας τῇ δεξαμένῃ καρδίᾳ τὴν γνῶσιν τοῦ Χριστοῦ. ὑπόμεινον τὴν ἐξουδένωσιν καὶ τὴν ταπείνωσιν χρηστῷ θελήματι, ἵνα σχῇς παῤῥησίαν πρὸς τὸν Θεόν. πάντα λόγον σκληρὸν ὑπομένων ἄνθρωπος ἐν γνώσει, ἄνευ προηγησαμένης ἀνομίας ὑπ' αὐτοῦ εἰς τὸν λαλήσαντα, στέφανον μὲν ἀκάνθινον ἐπιτίθησι τότε τῇ ἑαυτοῦ κεφαλῇ, μακάριος δέ ἐστιν, ὅτι ἐν καιρῷ, ᾧ οὐκ οἶδεν, ἀφθάρτως στεφανοῦται.

Ὁ φεύγων τὴν κενὴν δόξαν ἐν γνώσει, οὗτος ᾔσθετο ἐν τῇ ψυχῇ αὐτοῦ τοῦ μέλλοντος αἰῶνος. ὁ λέγων, ὅτι καταλέλοιπε τὸν κόσμον, καὶ μαχόμενος τοῖς ἀνθρώποις ἕνεκεν χρείας τινὸς, ἵνα μὴ λείψῃ αὐτῷ τι τῆς ἀναπαύσεως αὐτοῦ, οὗτος τυφλὸς τελείως ἐστί. διότι τὸ μὲν σῶμα ἑκουσίως ὁλόκληρον κατέλιπε, περὶ ἑνὸς δὲ μέλους αὐτοῦ πολεμεῖ, καὶ μάχεται. ὁ φεύγων τοῦ παρόντος βίου τὴν ἀνάπαυσιν, τούτου ὁ νοῦς κατεσκόπευσε τὸν μέλλοντα αἰῶνα. ὁ δὲ συνδεδεμένος τῇ φιλοκτημοσύνῃ, δοῦλος τῶν παθῶν πέφυκε. μὴ νομίσῃς, ὅτι τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου ἡ κτῆσις μόνη φιλοκτημοσύνη ἐστὶν, ἀλλ' ἅπαν ὁτιοῦν, ἐν ᾧ αὐτόσε τὸ θέλημα κρέμαται. μὴ ἐπαινέσῃς τὸν σωματικῶς μὲν κακοπαθοῦντα, λελυμένον δὲ τὰς αἰσθήσεις· λέγω δὴ τὴν ἀκοὴν, καὶ τὸ κεχηνὸς στόμα καὶ ἀκρατὲς, καὶ τοὺς ῥεμβώδεις ὀφθαλμούς. ὅταν τῇ ψυχῇ σου ὅρους βάλλῃς τοῦ δι' ἐλέους οἰκονομηθῆναι σαυτὸν, ἔθιζε τὴν ψυχήν σου μὴ ζητεῖν τὸ δικαίωμα ἐν ἑτέροις πράγμασιν, ἵνα μὴ εὑρεθῇς τῇ μὲν μιᾷ χειρὶ ἐργαζόμενος, τῇ δὲ ἑτέρᾳ σκορπίζων. ἐκεῖ μὲν γὰρ, χρεία κηδεμονίας· ἐνταῦθα δὲ, πλατυσμοῦ καρδίας. γίνωσκε δὲ, ὅτι τὸ ἀφιέναι τοῖς ὀφειλέταις τὰ ἁμαρτήματα ἐκ τῶν ἔργων τῆς δικαιοσύνης ἐστί. τότε ἅψει τὴν γαλήνην μετὰ λαμπρό-

πητὸς πανταχόθεν ἐν τῷ νοῒσε. ὅταν ὑπεραναβῇς τὴν ὁδὸν τῆς δικαιοσύνης, τότε προσκολληθήσῃ τῇ ἐλευθερίᾳ ἐν παντὶ πράγματι.

Τὶς τῶν ἁγίων ἐλάλησε περὶ τούτου, λέγων· ὅτι ὁ ἐλεήμων, ἐὰν μὴ γένηται δίκαιος, τυφλός ἐστι. λέγω δὴ ἐξ ὧν αὐτὸς ἐκτήσατο ἰδίοις πόνοις καὶ μόχθοις δοῦναι ἑτέρῳ, καὶ μὴ ἐκ τῶν ἀνυφθέντων διὰ ψεύδους, ἢ ἀδικίας, ἢ μηχανημάτων. καὶ πάλιν ὁ αὐτὸς ἐν ἑτέρῳ τόπῳ ἔφη. εἰ θέλεις σπεῖραι ἐν τοῖς πτωχοῖς, ἐκ τῶν οἰκείων σπεῖρον· εἰ δὲ ἀπὸ τῶν ἀλλοτρίων σπεῖραι βουληθῇς, γίνωσκε ὅτι πικρότερόν ἐστι τῶν ζιζανίων. ἐγὼ δὲ λέγω, ὅτι ἐὰν μὴ γένηται ὁ ἐλεήμων ὑπεράνωθεν τῆς δικαιοσύνης αὐτοῦ, οὐκ ἔστιν ἐλεήμων, τουτέστιν οὐ μόνον ὁ ἐκ τῶν οἰκείων ἐλεῶν τοὺς ἀνθρώπους, ἀλλὰ καὶ μετὰ χαρᾶς ὑπομένων τὴν ἀδικίαν ὑπὸ τῶν ἑτέρων, καὶ ἐλεῶν αὐτούς. ὅταν δὲ νικήσῃ τὴν δικαιοσύνην τῇ ἐλεημοσύνῃ, τότε στεφανοῦται, οὐ τοῖς στεφάνοις τῶν δικαίων τοῖς ἐν τῷ νόμῳ, (1) ἀλλὰ τοῖς τῶν τελείων, τοῖς ἐν τῷ εὐαγγελίῳ. τὸ γὰρ διδόναι τινὰ τοῖς πτωχοῖς ἐκ τῶν οἰκείων, καὶ γυμνὸν ἐνδύειν, καὶ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν, καὶ μὴ ἀδικεῖν, μηδὲ ψεύδεσθαι, ταῦτα καὶ ὁ παλαιὸς νόμος προηγόρευσεν. ἡ δὲ τελειότης τῆς οἰκονομίας τοῦ εὐαγγελίου, οὕτω » κελεύει· τῷ αἴροντι τὰ σὰ, μὴ ἀπαίτει, καὶ παντὶ τῷ αἰτοῦντί » σε δίδου. καὶ οὐ μόνον τὴν ἀδικίαν τῶν πραγμάτων, καὶ τὰ λοιπὰ τὰ ἔξωθεν δεῖ ὑπομένειν μετὰ χαρᾶς, ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν τιθέναι ὑπὲρ τοῦ ἀδελφοῦ. οὗτος γάρ ἐστιν ὁ ἐλεήμων,

Λουκ. ϛ. λ.

 καὶ

(1) Τὸ Ε. Χ. οὐ τοῖς στεφάνοις τοῖς τῶν ἐν τῷ νόμῳ τοῦ κόσμου δικαίων, ἀλλὰ τοῖς τῶν τελείων τοῖς ἐν τῷ εὐαγγελίῳ.

καὶ οὐχ ὁ διὰ δόσεως μόνον ἐλεῶν τὸν ἀδελφὸν αὐτοῦ· ἀλλ' ὅστις ἐὰν ἀκούσῃ, ἢ θεάσηταί τι λυποῦν τὸν ἀδελφὸν (1) αὐτοῦ, καὶ ἐκκαῇ τὴν καρδίαν, καὶ οὗτος ἀληθῶς ἐλεήμων. ὡσαύτως καὶ ὅστις ἐὰν ῥαπισθῇ ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ μὴ ἀναιδευθῇ ἀντιφθέγξασθαι, καὶ λυπῆσαι αὐτοῦ τὴν καρδίαν.

Τίμησον τὴν ἐργασίαν τῆς ἀγρυπνίας, ἵνα εὕρῃς παράκλησιν ἐγγίζουσαν τῇ ψυχῇ σου. ἐπίμεινον ἀναγινώσκων ἐν ἡσυχίᾳ, ἵνα ὁδηγηθῇ ὁ νοῦς σου πρὸς τὰ θαυμάσια τοῦ Θεοῦ διαπαντός. ἀγάπησον ἐν ὑπομονῇ τὴν πτωχείαν, ἵνα συναχθῇ ὁ νοῦς σου ἐκ τοῦ μετεωρισμοῦ. μίσησον τὸν πλατυσμὸν, ἵνα διαφυλάξῃς τοὺς διαλογισμούς σου ἀταράχους. σύστειλον σεαυτὸν ἀπὸ τῶν πολλῶν, καὶ φρόντισον μόνης τῆς ψυχῆς σου, ἵνα σώσῃς αὐτὴν ἐκ τοῦ διασκορπισμοῦ τῆς ἐνδοτάτης γαλήνης. ἀγάπησον τὴν σωφροσύνην, ἵνα μὴ καταισχυνθῇς ἐν τῷ καιρῷ τῆς προσευχῆς σου ἐνώπιον τοῦ Θεοῦ. κτῆσαι καθαρότητα ἐν τοῖς ἔργοις σου, ἵνα ἐξαστράψῃ σου ἡ ψυχὴ ἐν τῇ προσευχῇ σου, καὶ ἐν τῇ μνήμῃ τοῦ θανάτου ἐξαφθῇ ἡ χαρὰ ἐν τῇ διανοίᾳ σου. παραφυλάττου ἐκ τῶν μικρῶν, ἵνα μὴ ἐμπέσῃς εἰς τὰ μεγάλα. μὴ ὀκλάσῃς ἐν τῇ ἐργασίᾳ σου, ἵνα μὴ καταισχυνθῇς, ὅταν στῇς ἐν μέσῳ τῶν ἑταίρων σου. καὶ μὴ εὑρεθῇς ἄνευ ἐφοδίων, ἵνα μή σε μόνον ἐν μέσῳ τῆς ὁδοῦ καταλείψωσιν. ἐν γνώσει διεξάγαγε τὰ ἔργα σου, ἵνα μὴ καταληφθῇς ἀπὸ ὅλου τοῦ δρόμου σου. κτῆσαι ἐλευθερίαν ἐν τῇ ἀναστροφῇ σου, ἵνα τῆς ζάλης ἐλευθερωθῇς. μὴ δεσμεύσῃς τὴν σὴν ἐλευθερίαν ἐν ταῖς αἰτίαις τῆς τρυφῆς, ἵνα μὴ δοῦλος τῶν δούλων γένῃ. ἀγάπησον τὰ πενιχρὰ ἱμάτια

ἐν

(1) Τὸ Ε. Χ. ἢ θεάσηταί τινα ἀδελφὸν λυπούμενον.

ἐν ἐνδύμασίοις, ἵνα ἐξοδανώσῃς τὰς ἐπιφυέσας σοι ἐνθυμήσεις, λέγω δὴ τὴν τῆς καρδίας ὑψηλοφροσύνην. ὁ γὰρ τὴν ςιλπνότητα ἀγαπῶν, ἐ δύναται κλήσασθαι ταπεινὰς ἐνθυμήσεις. διότι ἡ καρδία ἔσωθεν ὁμοίως τοῖς ἐξωτέροις χήμασιν ἐνδιατυπῦται.

Τὶς ἀγαπῶν τὰς φλυαρίας δύναται κλήσασθαι καθαρὰν διάνοιαν; τὶς προσποιέμενος θηρεῦσαι τὴν παρὰ ἀνθρώπων δόξαν, δύναται κλήσασθαι χθαμαλὲς λογισμές; ἢ τὶς ἀκόλαςος ὢν, καὶ διακεχυμένος τοῖς μέλεσι, δύναται γενέσθαι καθαρὸς τὴν διάνοιαν, καὶ ταπεινὸς τὴν καρδίαν; ὅταν μὲν γὰρ ὁ νῦς ὑπὸ τῶν αἰσθήσεων ἀνθέλκηται, τότε μετ᾽ αὐτῶν τὴν τῶν θηρίων τροφὴν ἔσθεται. ἡνίκα δὲ αἱ αἰσθήσεις ὑπὸ τῦ νοὸς ἑλκυσθῶσι, τηνικαῦτα μετ᾽ αὐτῦ τῆς τῶν Ἀγγέλων τροφῆς μεταλαμβάνυσι.

Τῇ μὲν ταπεινοφροσύνῃ, ἕπεται ἡ ἐγκράτεια, καὶ ἡ συςολή· ἡ δὲ κενοδοξία, ὑπηρέτης μέν ἐςι τῆς πορνείας, ἔργον δὲ τῆς ὑπερηφανίας. ἡ ταπεινοφροσύνη, διὰ τὴν διηνεκῆ αὐτῆς συςολὴν, εἰς τὴν θεωρίαν ἀπαντᾷ, κοσμεῖ δὲ καὶ τὴν ψυχὴν ἐν τῇ σωφροσύνῃ· ἡ δὲ κενοδοξία, διὰ τὴν διηνεκῆ ταραχὴν, καὶ φύρσιν τῶν ἐνθυμήσεων αὐτῆς ἐκ τῆς ἀπαντήσεως τῶν πραγμάτων συνάγει θησαυρὲς ἐναγεῖς, καὶ μολύνει τὴν καρδίαν· ᾗ αὐτὴ πάλιν, τὰς φύσεις τῶν πραγμάτων ἀκολάςῳ θεωρίᾳ καθορᾷ, καὶ τὸν νῦν ἐνασχολεῖ ἐν αἰσχραῖς φαντασίαις. ἡ μέντοι ταπεινοφροσύνη διὰ τῆς θεωρίας πνευματικῶς συςέλλεται, καὶ κινεῖ τὸν κλησάμενον αὐτὴν πρὸς δοξολογίαν.

Μὴ

Μὴ συγκρίνης τοὺς ποιοῦντας τὰ σημεῖα, καὶ τέρατα, καὶ δυνάμεις ἐν τῷ κόσμῳ τοῖς ἡσυχάζουσιν ἐν γνώσει. ἀγάπησον τὴν ἀργίαν τῆς ἡσυχίας, ὑπὲρ τὸ ἐμπλῆσαι πεινῶντας ἐν κόσμῳ, καὶ ἐπιστρέψαι πολλὰ ἔθνη εἰς προσκύνησιν τοῦ Θεοῦ. κρεῖσσον γάρ σοι σεαυτὸν λῦσαι τοῦ συνδέσμου τῆς ἁμαρτίας, ἢ ἐλευθερῶσαι δούλους ἐκ δουλείας. βέλτιόν σοι εἰρηνεῦσαι μετὰ τῆς ψυχῆς σου ἐν ὁμονοίᾳ τῆς ἐν σοὶ τριάδος, λέγω δὴ σώματος, καὶ ψυχῆς, καὶ πνεύματος, ἢ εἰρηνεύειν τῇ διδαχῇ σου τοὺς διεστῶτας. Γρηγόριος γάρ φησι, καλόν ἐστι τὸ διὰ Θεὸν θεολογῆσαι, κρεῖσσον δὲ τούτου, τὸ καθᾶραι ἑαυτόν τινα τῷ Θεῷ. κρεῖσσόν σοι βραδύγλωσσον εἶναι, (1) γνωστικῷ ὄντι, καὶ πεπειραμένῳ, ὑπὲρ τὸ βρύειν (2) ἐν ὀξύτητι τοῦ νοός σου ποταμηδὸν τὴν διδασκαλίαν. συμφέρει σοι μεριμνᾶν ἀναστῆσαι τὸ πεπτωκὸς τῆς ψυχῆς σου ἀπὸ τῶν παθῶν, διὰ τῆς ἐν τοῖς θείοις κινήσεως τῶν ἐνθυμήσεών σου, ἢ τὸ ἀναστῆσαι τοὺς τεθνεῶτας.

Πολλοὶ δυνάμεις ἐπετέλεσαν, καὶ νεκροὺς ἀνέστησαν, καὶ ἐμόχθησαν τοῦ ἐπιστρέψαι πεπλανημένους, καὶ ἐποίησαν θαύματα μεγάλα. καὶ διὰ τῶν χειρῶν (3) αὐτῶν πολλοὶ ὡδηγήθησαν πρὸς ἐπίγνωσιν τοῦ Θεοῦ. καὶ μετὰ ταῦτα αὐτοὶ οἱ ἄλλους ζωοποιήσαντες, πεπτώκασιν εἰς μιαρὰ πάθη, καὶ βδελυκτά, καὶ ἑαυτοὺς ἐθανάτωσαν, καὶ σκάνδαλον τοῖς πολλοῖς ἐγένοντο (4) ἐν τῇ φανερωθείσῃ ὑπ' αὐτῶν πράξει. διότι

ἀκμὴν

(1) Τὸ Ε. Χ. βραχύγλωσσον.
(2) Τὸ Ε. Χ. ἢ τοῦ βρύειν ἐν ὀξύτητι νοός.
(3) Τὸ Ε. Χ. τῶν χειλέων.
(4) Τὸ Ε. Χ. τοῖς πολλοῖς ἐποίησαν.

ἀκμὴν ἐν ἀῤῥωστίᾳ ἦσαν ψυχῆς, καὶ οὐκ ἐφρόντισαν περὶ τῆς ὑγείας τῶν ψυχῶν αὐτῶν, ἀλλὰ δεδώκασιν ἑαυτοὺς εἰς τὴν θάλασσαν τοῦ κόσμου τοῦτο τοῦ ἰάσασθαι τὰς ψυχὰς τῶν ἄλλων, ἔτι ὄντες αὐτοὶ ἄῤῥωστοι, καὶ ἀπώλεσαν τὰς ψυχὰς αὐτῶν ἐκ τῆς ἐλπίδος τοῦ Θεοῦ, καθ᾽ ὃν τρόπον ἔφην. ἡ γὰρ ἀσθένεια τῶν αἰσθήσεων οὐκ ἠδύνατο συναντῆσαι τῇ φλογὶ τῶν πραγμάτων τῶν ἐχόντων συνήθειαν ἐξαγριοῦν τὸ δυσχερὲς τῶν παθῶν, οὔτε μὴν ἀντισχεῖν. ἔτι γὰρ ἐδέοντο παραφυλακῆς, λέγω δὴ, τοῦ μὴ ἰδεῖν γυναῖκας ὅλως, καὶ τοῦ ἀναπαύεσθαι, καὶ κτήσασθαι ἀργύριον, καὶ πράγματα, (1) καὶ ἄρχειν ἑτέρων, καὶ ἐπαρθῆναι κατά τινων.

Κάλλιον ὑποπτευθῆναί σε ἄγροικον, διὰ τὸ μικρὸν τῆς γνώσεώς σου πρὸς ἀντιλογίαν, καὶ μὴ ἀπὸ τῶν σοφῶν, διὰ τὴν ἀναίδειαν. πτώχευσον διὰ τὴν ταπείνωσιν, καὶ μὴ γίνου πλούσιος διὰ τὴν ἀναίδειαν. ἔλεγξον τῇ δυνάμει τῶν ἀρετῶν σου τοὺς ἀντιδογματίζοντάς σοι, καὶ μὴ τῇ πιθανολογίᾳ τῶν λόγων σου. καὶ τῇ πραΰτητι καὶ τῇ γαλήνῃ τῶν σῶν χειλέων ἐπιστόμισον, καὶ κατασίγησον τῶν ἀπειθῶν τὴν ἀναίδειαν. ἔλεγξον τοὺς ἀκολάστους τῇ εὐγενείᾳ τῆς ἀναστροφῆς σου, καὶ τοὺς κατὰ τὰς αἰσθήσεις ἀναισχύντους, τῇ ἐποχῇ τῶν ὀμμάτων σου.

Ξένον σεαυτὸν ἴσθι πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ὅπου ἂν εἰσέλθῃς, ἵνα δυνηθῇς ῥυσθῆναι ἐκ τῆς ζημίας τῆς τικτομένης ἐκ τῆς παῤῥησίας. ἐν παντὶ καιρῷ νόμιζε σεαυτὸν (2)

μηδὲν

(1) Ἀργύριον, καὶ κόσμον, καὶ πράγματα τὸ Ε. Χ.

(2) Τὸ Ε. Χ. μηδὲν εἶναι, μηδὲ εἰδέναι τι.

μηδὲν εἰδέναι, ἵνα φύγῃς τὴν μέμψιν τὴν ἐπιγινομένην ἐξ ὑποψίας τοῦ βέλεσθαι συνιςάνειν θατέρου τὴν γνώμην. ἐπίμεινον ἀεὶ εὐλογῶν τῷ σόματι, καὶ οὐ μὴ λοιδορηθῇς. ἡ γὰρ λοιδορία, λοιδορίαν γεννᾷ· καὶ ἡ εὐλογία, εὐλογίαν. ἐν παντὶ πράγματι νόμιζε σαυτὸν ἐνδεῆ εἶναι διδαχῆς, καὶ ἐν πάσῃ τῇ ζωῇ σου σοφὸς εὑρεθήσῃ. μὴ παραδῷς τινὶ ὅπερ οὔπω κατέλαβες, ἵνα μὴ καταισχυνθῇς καθ' ἑαυτὸν, καὶ ἐκ τῆς συγκρίσεως τῆς σῆς διαγωγῆς ἀποκαλυφθήσεται τὸ ψεῦδος. ἐὰν δὲ λαλήσῃς τινὶ τὶ τῶν ὠφελιμωτάτων, ἐν τάξει μανθάνοντος λάλησον, καὶ μὴ μετὰ αὐθεντίας, καὶ ἀναιδείας. καὶ προκατάλαβε κατακρίνων σεαυτὸν, καὶ δεικνύων ὅτι ὑποδεέςερος αὐτοῦ εἶ, ἵνα δείξῃς τοῖς ἀκούουσι τὴν τάξιν τῆς ταπεινώσεως, καὶ νικήσῃς (1) αὐτοὺς τοῦ ἀκοῦσαι τῶν σῶν ῥημάτων, καὶ δραμεῖν πρὸς τὴν ἐργασίαν, καὶ γενῇ τίμιος ἐν ὀφθαλμοῖς αὐτῶν. εἰ τι δύνασαι ἐν τοῖς τοιούτοις πράγμασι μετὰ δακρύων λάλησον, ἵνα καὶ σαυτὸν ὠφελήσῃς, καὶ τοὺς ἀκούοντάς σου, καὶ ἡ χάρις τοῦ Θεοῦ ᾖ μετὰ σοῦ.

Εἰ τὴν χάριν τοῦ Θεοῦ κατέλαβες, καὶ κατηξιώθης ἐντρυφῆσαι ἐν τῇ θεωρίᾳ τῶν κριμάτων τοῦ Θεοῦ, (2) καὶ τῶν ὁρωμένων κτισμάτων, ἥτις ἐςὶ πρώτη τάξις τῆς γνώσεως, ἑτοίμασον σεαυτὸν, καὶ καθοπλίσθητι πρὸς τὸ πνεῦμα τῆς βλασφημίας. χωρὶς δὲ ὅπλων μὴ ςῇς ἐν τῇ χώρᾳ ταύτῃ, ἵνα μὴ ταχέως ἀποθάνῃς ἀπὸ τῶν ἐνεδρευόντων, καὶ πλανώντων σε. ἔςωσαν δέ σοι ὅπλα τὰ δάκρυα, καὶ ἡ ἐνδελεχὴς νηςεία. καὶ παραφυλάττου μὴ ἀναγνῶναι τὰ δόγματα τῶν αἱρε-

(1) Τὸ Ε. Χ. κινήσῃς.
(2) Τὸ Ε. Χ. τῶν κτισμάτων τοῦ Θεοῦ.

αἱρετικῶν. τοῦτο γάρ ἐστι τὸ καθοπλίζον ὡς ἐπὶ τὸ πλεῖστον κατὰ σοῦ τὸ πνεῦμα τῆς βλασφημίας. ὅταν δὲ ἐμπλήσῃς τὴν γαστέρα, μὴ ἀναιδευθῇς ἐξερευνῆσαί τι τῶν θείων πραγμάτων καὶ νοημάτων, ἵνα μὴ μεταμεληθῇς. σύνες δὲ ὅ, σοι λέγω: ἐν γαστρὶ πεπληρωμένῃ γνῶσις μυστηρίων Θεοῦ οὐκ ἔστιν. ἀνάγνωθι συνεχῶς καὶ ἀκορέστως ἐν ταῖς βίβλοις τῶν διδασκάλων περὶ προνοίας Θεοῦ. διότι αὗται καθοδηγοῦσι τὸν νοῦν, εἰς τὸ ἰδεῖν τὴν τάξιν τῶν κτισμάτων τοῦ Θεοῦ, καὶ τῶν ἔργων αὐτοῦ, καὶ ἐνδυναμοῦσιν αὐτὸν ἐξ αὐτῶν, καὶ κατασκευάζουσιν αὐτὸν κεκτῆσθαι νοήματα φωτολαμπῆ ἐκ τῆς λεπτότητος αὐτῶν, καὶ ὁδεῦσαι ποιοῦσι μετὰ καθαρότητος πρὸς κατανόησιν τῶν κτισμάτων τοῦ Θεοῦ. ἀνάγνωθι καὶ ἐν τοῖς εὐαγγελίοις τοῖς διατεθειμένοις ὑπὸ τοῦ Θεοῦ πρὸς ἐπίγνωσιν πάσης τῆς οἰκουμένης, ἵνα ἐφοδιασθῇς ἐκ τῆς δυνάμεως τῆς προνοίας αὐτοῦ τῆς κατὰ πᾶσαν γενεάν, καὶ βυθισθῇ ὁ νοῦς σου εἰς τὰ θαυμάσια τοῦ Θεοῦ. ἡ τοιαύτη δὲ (1) ἀνάγνωσις συμβάλλεται τῷ σκοπῷ σου. ἔστω σου ἡ ἀνάγνωσις ἐν ἐρημίᾳ (2) ἀπὸ πάντων, καὶ γενοῦ ἐλεύθερος ἀπὸ τῆς πολλῆς μερίμνης τοῦ σώματος, καὶ τῆς ταραχῆς τῶν πραγμάτων, ἵνα γεύσεως ἡδίστης ἐν τῇ ψυχῇ σου γεύσῃ διὰ γλυκείας κατανοήσεως, τῆς ὑπεράνωθεν οὔσης πάσης αἰσθήσεως, καὶ αἰσθανθῇ αὐτῶν ἡ ψυχὴ ἐν τῇ διαμονῇ αὐτῆς εἰς αὐτά. μὴ ἔστωσαν οἱ λόγοι πρὸς σὲ τῶν δοκίμων, ὡς οἱ τῶν ἐπιπλάστων, καὶ ἀπεμπολούντων τὰ θεῖα λόγια, ἵνα μὴ μείνῃς ἐν τῷ σκότει μέχρι τέλους τῆς ζωῆς σου, καὶ στερηθῇς τοῦ κέρδους αὐτῶν, καὶ θορυβηθῇς ἐν τῷ και-

(1) Ε. Χ. ἡ τοιαύτη γάρ.
(2) Τὸ Ε. Χ. ἐν ἠρεμίᾳ.

ρῷ τοῦ πολέμου, ὡς πεφυρμένος, καὶ εἰς βόθρον ἐμπέσῃς τρόπῳ δῆθεν χρηστότητος.

Τοῦτο τὸ σημεῖον ἔστωσοι ἐν οἷς πράγμασι βέλει ὑπεισδῦναι τοῦ μὴ εἰσελθεῖν (*) ἔνδοθεν τοῦ τόπου ἐκείνου. ὅταν ἄρξηται ἡ χάρις ἀνοῖξαι τοὺς ὀφθαλμούς σου πρὸς τὸ αἰσθάνεσθαι τῆς θεωρίας τῶν πραγμάτων ἐν ἀληθείᾳ, τότε παρ αὐτὰ ἄρξονται οἱ ὀφθαλμοί σου ὀχετηδὸν δάκρυα ἐκχέειν. ὥστε πολλάκις ἐκπλύνεσθαι καὶ τὰς παρειὰς τῷ πλήθει αὐτῶν. καὶ τότε ὁ πόλεμος τῶν αἰσθήσεων γαληνιᾷ, καὶ ἔνδοθέν σου συστέλλεται. (1) ἐάν τίς σε διδάξῃ τὰ ἐναντία τούτων, μὴ πιστεύσῃς αὐτῷ. χωρὶς γὰρ τῶν δακρύων μὴ ζητήσῃς ἕτερον σημεῖον φανερώτερον παρὰ τοῦ σώματος. ἡνίκα δ᾽ ἂν ἀνυψωθῇ ὁ νοῦς ἀπὸ τῶν κτισμάτων, τότε καὶ ἀπὸ τῶν δακρύων ἐξέρχεται τὸ σῶμα, καὶ ἀπὸ πάσης κινήσεως, καὶ αἰσθήσεως.

Παροιμ. κε. ις. Ὅταν εὕρῃς μέλι, συμμέτρως φάγε ἐξ αὐτοῦ, ἵνα μὴ „ ἐμπλησθεὶς, ἐμμέσῃς αὐτό. ἡ φύσις τῆς ψυχῆς πρᾶγμα ἐλα„ φρὸν, καὶ κοῦφον πέφυκεν. ἐνίοτε γὰρ ἀλλομένη, ἐπιθυμεῖ ὑπεραναβῆναι, καὶ μαθεῖν τὰ ὑπὲρ τὴν ἰδίαν φύσιν. πολλάκις γὰρ (2) ἀπὸ τῆς ἀναγνώσεως τῶν γραφῶν, καὶ τῆς θεωρίας τῶν πραγμάτων καταλαμβάνει τί. ὅταν δὲ συγχωρηθῇ, καὶ συγκριθῇ τοῖς καταληφθεῖσιν ὑπ᾽ αὐτῆς, ὑποδεεστέρα, καὶ ἥττων εὑρίσκεται κατὰ τὸ μέτρον τῆς οἰκονομίας (3) αὐτῆς,

(*) Ὁ Λατῖν. ne de regione illa egrediaris. ἵνα μὴ ἐξέλθῃς τοῦ τόπου ἐκείνου.
(1) Τὸ Ε. Χ. γαληνιᾷ, καὶ ἔμπροσθέν σου, τῆς καρδίας ἔνδοθεν συστέλλεται.
(2) Τὸ Ε. Χ. πολλάκις δέ.
(3) Μέτρον οἰκονομίας λέγων, τὸ μέτρον τῆς δυνάμεως τῆς ψυχῆς ἐννοεῖ. ἔστι δὲ ἡ ἔννοια αὕτη. ὅταν ἡ ψυχὴ, Θεοῦ συγχωρήσει, συνιεῖσά-

αὐτῆς, ὅτι πρὸς ποῖα ἡ γνῶσις αὐτῆς εἰσῆλθεν, ὥστε ἀμφιέννυσθαι ἐν ταῖς ἐνθυμήσεσιν αὐτῆς φόβον καὶ τρόμον, καὶ πάλιν σπεύδειν αὐτὴν ὑποστρέψαι εἰς τὸ χθαμαλὸν αὐτῆς ἀπὸ τῆς δειλίας, ὡς ἀναιδευθεῖσαν, καὶ τῶν ὑπὲρ αὐτὴν νοερῶν πραγμάτων κατατολμήσασαν. διὰ γὰρ τὸ ἐπίφοβον τῶν πραγμάτων δειλία τις αὐτῇ ἐγγίνεται, καὶ ἡ διάκρισις νεύει τῷ νοῒ τῆς ψυχῆς, τοῦ σιγὴν ἀσκῆσαι, καὶ μὴ ἀναιδευθῆναι, ἵνα μὴ ἀπόλλυται, καὶ μὴ ζητῆσαι τὰ ὑπεραναβεβηκότα αὐτῆς, καὶ μὴ ἐξερευνῆσαι τὰ ὄντα αὐτῆς ὑψηλότερα. ὅταν οὖν ἐξουσίασοι δοθῇ κατανοῆσαι, κατανόησον, καὶ μὴ ἀναιδευθῇς κατὰ τῶν μυστηρίων, ἀλλὰ προσκύνησον, καὶ δοξολόγησον, καὶ μετὰ σιγῆς εὐχαρίστησον. » ὡς γὰρ οὐκ ἔστι καλὸν μέλι πολὺ φαγεῖν, οὕτως οὐδὲ ἐξερευνῆσαι περὶ τῶν θείων λογίων, ἵνα μὴ θέλοντες καθορᾶν τὰ μακρότερα (1) πράγματα, ἔτι μὴ καταλαβόντες αὐτὰ ἐκ τῆς τραχύτητος τῆς ὁδοῦ, ἐξασθενήσῃ ἡ ὀπτικὴ δύναμις, καὶ βλαβῇ. ἐνίοτε γὰρ ἀντὶ τῆς ἀληθείας, φαντάσματά τινα καθορᾶται. καὶ ὅταν ἀκηδιάσῃ ὁ νοῦς ἐκ τῆς ἀναζητήσεως, ἐπιλανθάνεται τοῦ σκοποῦ αὐτοῦ. καλῶς οὖν ἔφησεν ὁ σοφὸς Σολομών· » ὅτι καθάπερ πόλις ἀτεί-

Παροιμ. κε. κζ.

Παροιμ. κε. κη.

νεῖσά τι τῶν ὑπὲρ φύσιν, παραβάλλῃ ἑαυτὴν τοῖς ἐπεγνωσμένοις, ἀναλογιζομένη εἰς ποῖά τε εἰσέδυ, καὶ ὧν τὴν ἐπίγνωσιν ἔφθασε, τοσοῦτον ὑποδεέστερον καὶ ἔλαττον ἐκείνων εὑρίσκει τὸ τῆς δυνάμεως αὐτῆς μέτρον, ὥστε φόβῳ καὶ τρόμῳ καταχεθεῖσαν, σπεύδειν ὑποστρέψαι πάλιν εἰς τὸ χθαμαλὸν αὐτῆς, τουτέστιν εἰς τὸ φρονεῖν, μὴ δεῖν ἐρευνᾷν τὰ ὑπὲρ αὐτήν.

Ὁ λατῖνος τό, μέτρον οἰκονομίας, mensuram dispositionis, τουτέστι μέτρον διαθέσεως, μετέφρασε.

(1) Τὸ Ε. Χ. μικρότερα.

χιςος, ἔτως ἄνθρωπος ἀνυπομόνητος. (1) καθάρισον ἒν, ὦ ἄνθρωπε, τὴν σεαυτῦ ψυχὴν, καὶ ἀποσόβησον ἀπὸ σῦ τὴν μέριμναν τῶν πραγμάτων, τῶν ὄντων ἔξωθεν τῆς φύσεώς σε, καὶ κρέμασον κατὰ τῶν σῶν νοημάτων καὶ κινημάτων καταπέτασμα σωφροσύνης καὶ ταπεινώσεως, καὶ διὰ τέτων εὑρήσεις τὸ ὂν ἔσωθεν τῆς φύσεώς σε. τοῖς γὰρ ταπεινόφροσιν ἀποκαλύπτεται τὰ μυςήρια.

Εἰ βέλει δῦναι τὴν σὴν ψυχὴν εἰς τὸ ἔργον τῆς προσευχῆς, τῆς καθαριζέσης τὸν νῦν, καὶ τῇ διαμονῇ εἰς τὴν ἐγρήγορσιν τῆς νυκτὸς, ὅπως κτήσῃ διάνοιαν φωτεινὴν, μάκρυνον σεαυτὸν ἀπὸ τῆς θέας τῦ κόσμε, καὶ ἔκκοψον τὰς συντυχίας, καὶ μὴ θέλε ὑποδέχεσθαι ἐν συνηθείᾳ φίλες εἰς τὸ κελλίον σε, μηδὲ ἐν προσχήματι χρηςότητος, ἀλλὰ μόνες τὲς σοὶ ὁμοτρόπες, καὶ ὁμογνώμονας, καὶ συμμύςας. καὶ φοβῦ τὴν φύρσιν τῆς ψυχικῆς ὁμιλίας, ἥτις εἴωθεν ἀκεσίως κινεῖσθαι. καὶ μετὰ τὸ κοπῆναι, καὶ λυθῆναι, καὶ παντελῶς παυθῆναι τὴν ἐξωτικὴν ὁμιλίαν, σύζευξον τῇ προσευχῇ σε τὴν ἐλεημοσύνην, καὶ ὄψεταί σε ἡ ψυχὴ τὸ φῶς τῆς ἀληθείας. ὅσον γὰρ χαλιναγῇ ἡ καρδία ἀπὸ τῶν ἐξωτικῶν πραγμάτων, τοσῦτον δύναται ὁ νῦς δέξασθαι τὴν ἐκ τῆς κατανοήσεως τῶν νοημάτων, καὶ τῶν θείων πραγμάτων κατάληψιν, καὶ κατάπληξιν. ἔθος γὰρ τῇ ψυχῇ ταχέως μεταλλάξαι συντυχίας εἰς συντυχίαν, ἐὰν ἀγωνισώμεθα ἐπιδείξασθαι μικρὰν ἐπιμέλειαν. σχόλασον τῇ ἀναγνώσει τῶν γραφῶν,

(1) Ὥσπερ πόλις τὰ τείχη καταβεβλημένη, καὶ ἀτείχιςος, ἔτως ἀνὴρ, ὃς ἐ μετὰ βελῆς τὶ πράσσει· οἱ ἑβδομ.

φῶν, τῇ ἐμφανιζέσῃ σοι τὴν ὁδὸν τῆς λεπτότητος τῆς θεωρίας, καὶ τοῖς βίοις τῶν ἁγίων, κἂν μὴ ἀπ' ἀρχῆς ἐπαισθάνῃ τῆς γλυκύτητος, διὰ τὴν ἐπισκοτίζεσαν ἐγγύτητα τῶν πραγμάτων, ἵνα μεταλλάξῃς (1) συντυχίαν, εἰς συντυχίαν.

Καὶ ὅταν ἀναςῇς εἰς προσευχὴν, καὶ εἰς τὸν κανόνα σε, ἀντὶ τῆς κοσμικῆς μελέτης ἣν εἶδες καὶ ἤκεσας, εὑρεθήσῃ εἰς τὴν μελέτην τῶν θείων γραφῶν, ὧν ἀνέγνως. καὶ διὰ ταύτης ἐπιλανθάνῃ τῆς μνήμης ἐκείνων. καὶ ὅτως ἔρχεται ὁ νᾶς εἰς τὴν καθαρότητα. καὶ τᾶτό ἐςι τὸ γεγραμμένον, (2) ὅτι ἡ ψυχὴ βοηθεῖται ἀπὸ τῆς ἀναγνώσεως, ὅταν ςῇ εἰς προσευχήν. καὶ πάλιν ἐκ τῆς προσευχῆς φωτίζεται εἰς τὴν ἀνάγνωσιν. καὶ αὕτη πάλιν ἀντὶ τῆς ἐξωτερικῆς φύρσεως εὑρίσκεται ὕλη τῶν τρόπων τῆς προσευχῆς. ὥςε αὖθις ἐκ τῆς ἀναγνώσεως φωτίζεσθαι τὴν ψυχὴν, εἰς τὸ ἀόκνως, καὶ ἀφύρτως προσεύχεσθαι πάντοτε.

Αἰσχρόν ἐςι τᾶς φιλοσάρκας, καὶ γαςριμάργας περὶ τῶν πνευματικῶν πραγμάτων ἐρευνῆσαι, ὥσπερ καὶ πόρνην περὶ σωφροσύνης λαλῆσαι. σῶμα μεγάλως ἀσθενᾶν, τὰ λιπώδη τῶν βρωμάτων ἀποςρέφεται, καὶ μισάττεται, καὶ νᾶς κοσμι-

κοῖς

(1) Τὸ Ε. Χ. ἵνα μὴ μεταλλάξῃς. ἀλλὰ τὸ, ἵνα μεταλλάξῃς τῇ ἐννείᾳ κατάλληλον. ἐπειδὴ γὰρ ἀνωτέρω εἴρηκεν, ἔθος γὰρ τῇ ψυχῇ ταχέως μεταλλάξαι συντυχίας εἰς συντυχίαν, ἤτοι ταχέως μεθίςασθαι ἐκ θεωρίας εἰς θεωρίαν, διὰ τᾶτο προσέθετο, σχόλασον τῇ τῶν γραφῶν ἀναγνώσει, ἵνα μεταλλάξῃς συντυχίαν εἰς συντυχίαν, τᾶτ' ἔςιν, ἵνα ἐκ τῆς τῶν γηΐνων θεωρίας, εἰς τὴν τῶν ἐρανίων μεταβῇς. καὶ ὁ Λατῖνος δὲ, ut mutes colloquium in colloquium. ὅπερ ἐςὶν ἵνα μεταλλάξῃς συντυχίαν εἰς συντυχίαν.

(2) Ισ. ἐν τοῖς τῶν θεσπεσίων πατέρων βιβλίοις.

κοῖς πράγμασιν ἐνασχολέμενος, ἐ δύναται προσεγγίσαι τῇ ἐξερευνήσει τῶν θείων. πῦρ ἐν ὑγροῖς ξύλοις ἐχ ἅπτει, ἢ ἡ θεία θερμασία ἐν καρδίᾳ ἀγαπώσῃ τὴν ἀνάπαυσιν, ἐκ ἐξάπτεται. ἡ πόρνη ἐκ ἐμμένει τῇ φιλίᾳ πρὸς ἕνα, καὶ ἡ ψυχὴ ἡ συνδεδεμένη πράγμασι πολλοῖς ἐ διαμένει ἐν τοῖς θείοις διδάγμασιν. ὥσπερ ὁ μὴ ἰδὼν τοῖς ὀφθαλμοῖς αὐτῦ τὸν ἥλιον, ἐ δύναται διηγήσαθαί τινι τὸ φῶς αὐτῦ ἐκ μόνης ἀκοῆς, ὔτε μὴν αἰσθάνεται τῦ φωτὸς αὐτῦ, ἕτω καὶ ὁ μὴ γευσάμενος τῇ ψυχῇ αὐτῦ τῆς γλυκύτητος τῶν πνευματικῶν ἔργων.

Ἐὰν ἔχῃς τὶ περισσότερον τῆς ἡμερινῆς χρείας, δίδος αὐτὸ πτωχοῖς, καὶ δεῦρο μετὰ παῤῥησίας πρόσφερε τὰς προσευχάς σε. τετέςι λάλησον μετὰ τῦ Θεῦ, ὡς ὑὸς μετὰ πατρός. ἐδὲν ἕτω προσεγγίσαι τῷ Θεῷ τὴν καρδίαν δύναται, ὥσπερ ἡ ἐλεημοσύνη. καὶ ἐδὲν ἕτω γαλήνην ἐμποιεῖ τῷ νῷ, ὡς ἡ ἑκέσιος πτωχεία. κρεῖσσόν σοι ἐςὶ καλεῖθαι παρὰ τῶν πολλῶν ἰδιώτην διὰ τὴν ἁπλότητα, καὶ μὴ σοφὸν ἢ τέλειον τὸν νῦν διὰ τὴν δόξαν. ἐάν τις ἵππῳ ἐπιβεβηκὼς ἐκτείνῃ τὴν χεῖρα πρὸς σὲ τῦ λαβεῖν ἐλεημοσύνην, μὴ ἀποςρέψῃς αὐτόν. διότι πάντως ἐν τῷ καιρῷ ἐκείνῳ ἐπιδεὴς ἦν, ὡς εἷς τῶν πτωχῶν. ὅταν δὲ δῷς, μετὰ μεγαλοψυχίας δίδε, καὶ ἱλαρότητος προσώπε, ἢ πλεῖον ὃ ἐζήτησε πάρεχε αὐτῷ. ἀπόςειλον γάρ φησι τὸν ψωμόν σε κατὰ „ πρόσωπον τῦ πάνητος, ἢ μετ' ἐ πολὺν καιρὸν εὑρήσεις τὴν „ ἀντίδοσιν. (1) μὴ διαχωρίσῃς πλέσιον ἀπὸ πένητος, ἢ μὴ

θέλε

(1) Ἀπόςειλον τὸν ἄρτον σε ἐπὶ πρόσωπον τῦ ὕδατος, ὅτι ἐν πλήθει ἡμερῶν εὑρήσεις αὐτόν. Παροιμ. ια. α.

θέλε μαθεῖν τὸν ἄξιον ἐκ τοῦ ἀναξίου· ἀλλ᾽ ἔσωσαν πρὸς σὲ πάντες ἄνθρωποι εἰς τὸ ἀγαθὸν ἴσοι. τούτῳ γὰρ τῷ τρόπῳ καὶ τοὺς ἀναξίους δυνήσῃ ἑλκύσαι εἰς τὸ ἀγαθόν. διότι ταχέως ἕλκεται ἡ ψυχὴ ἀπὸ τῶν σωματικῶν εἰς τὸν φόβον τοῦ Θεοῦ. ὁ δὲ Κύριος, (1) τελώναις, καὶ πόρναις ἐκοινώνει ἐν τραπέζαις, καὶ οὐκ ἐχώριζε τοὺς ἀναξίους, ἵνα τῷ τρόπῳ τούτῳ ἑλκύσῃ πάντας εἰς τὸν φόβον τοῦ Θεοῦ. (2) καὶ διὰ τῶν σωματικῶν, προσεγγίσωσι τοῖς πνευματικοῖς. τούτου χάριν τῷ ἀγαθῷ καὶ τῇ τιμῇ πάντας ἀνθρώπους ἴσωσον, κἂν ἰουδαῖος γένηται, ἢ ἄπιστος, ἢ φονευτὴς, καὶ μάλιστα, ὅτι ἀδελφός σου ἐστὶ, καὶ ἐκ τῆς φύσεώς σου, καὶ ἄνευ γνώσεως ἐπλανήθη ἀπὸ τῆς ἀληθείας.

Ὅταν δὲ ποιήσῃς τινὶ ἀγαθὸν, μὴ ἐκδέχου παρ᾽ αὐτοῦ τὴν ἀμοιβὴν, καὶ ὑπὲρ ἀμφοτέρων τῶν πραγμάτων ἀμειφθήσῃ παρὰ τοῦ Θεοῦ. ἐὰν δὲ ᾖ σοι δυνατὸν, μηδὲ διὰ τὴν μέλλουσαν ἀμοιβὴν τὸ ἀγαθὸν ποίει. ἐὰν βάλῃς τῇ ψυχῇ σου τὸν ὅρον τῆς πτωχείας, καὶ διὰ τῆς χάριτος τοῦ Θεοῦ ἐλευθερωθῇς ἀπὸ τῶν μεριμνῶν, καὶ ὑπεράνω τοῦ κόσμου γένῃ ἐν τῇ σῇ πτωχείᾳ, βλέπε μὴ διὰ φιλοπτωχείαν ἀγαπήσῃς τὴν κλῆσιν, ἵνα δῆθεν ποιήσῃς ἐλεημοσύνην, καὶ βάλῃς τὴν ψυχήν σου εἰς τάραχον, τοῦ λαβεῖν ἀπό τινος, καὶ δοῦναι ἑτέρῳ, καὶ ἀφανίσῃς τὴν τιμήν σου (3) τῇ ὑποταγῇ τῆς αἰτήσεως τῆς παρὰ ἀνθρώπων, καὶ

(1) Τὸ Ε. Χ. ὁ γὰρ Κύριος.

(2) Τὸ Ε. Χ. εἰς τὸν φόβον αὐτοῦ.

(3) Τοῖς καὶ πλοῦτον, καὶ τιμὴν, καὶ πάντα τὰ ἐν γῇ σκύβαλα ἡγησαμένοις, καὐτοῖς σὺν ὅλῳ τῷ κόσμῳ τὸ χαίρε εἰποῦσι, τὴν τιμὴν αὐτῶν μὴ ἀφανίσαι πάλιν μελήσει; μηδαμῶς τοῦτο. τιμὴν δὲ ἐνταῦθά φησιν αὐτὸ τὸ τῆς ἀρετῆς ὕψος, καὶ τῆς τελειότητος τὸν βαθμὸν, εἰς ὃν ἀνῆλθον οἱ τὸν ἀκτήμονα καὶ ἡσύχιον βίον διάγοντες. λέγει γὰρ καὶ ἐντέρω,

διότι

καὶ ἐκπέσης ἀπὸ τῆς ἐλευθερίας, ἢ συνεσίας τῆς διανοίας σε ἐν τῇ μερίμνῃ τῶν βιωτικῶν. διότι ἡ βαθμίς σε ὑψηλοτέρα ἐςὶ τῆς βαθμίδος τῶν ἐλεημόνων. μὴ δέομαί σε, μὴ ὑποταγῆς. ἡ ἐλεημοσύνη, ὁμοία ἐςὶ τῇ παιδοτροφίᾳ· ἡ δὲ ἡσυχία, ἀκρότης ἐςὶ τῆς τελειώσεως. εἰ ἔχεις κλήσεις, ἐφάπαξ ταύτας διασκόρπισον· εἰ δὲ ἐκ ἔχεις, μὴ θέλε ἔχειν. καθάρισόν σε τὸ κελλίον ἀπὸ τῆς τρυφῆς, καὶ τῶν περισσευμάτων. διότι τῦτό σε ὑπάγει πρὸς τὴν ἐγκράτειαν ἄκοντα, καὶ μὴ βελόμενον. ἡ γὰρ σπάνις τῶν πραγμάτων διδάσκει τὸν ἄνθρωπον τὴν ἐγκράτειαν. ἐπεὶ ὅταν ἄδειαν λάβωμεν τῶν πραγμάτων, ἐ δυνάμεθα κατέχειν ἑαυτές.

Οἱ τὸν ἐξωτικὸν πόλεμον νικήσαντες, ἐθάῤῥησαν ἀπὸ τῦ ἐνδοτάτε φόβε, καὶ ἐδὲν ἀναγκασικῶς κατεπείγει αὐτές. καὶ ἐ σιαίνονται (1) ἐν τῷ πολέμῳ, ἔτε ἀπ' ἔμπροσθεν, ἔτε ἐξόπισθεν. (2) πόλεμον δὲ λέγω, τὸν ἐξεγειρόμενον κατὰ τῆς ψυχῆς

διότι ἡ βαθμίς σε ὑψηλοτέρα ἐςὶ τῆς βαθμίδος τῶν ἐλεημόνων. ὥσπερ ἔν οἱ Θεοφόροι Ἀπόςολοι τῦ λόγε τὴν διανομὴν προέκριναν τῆς τῶν τραπεζῶν διακονίας, ἐπιποίας ἔσης, καὶ ἀνδράσι πνεύματος ἁγίε καὶ σοφίας πεπληρωμένοις ἐμπιςευθείσης ὕςερον. ἕτω δὴ καὶ ὁ ὅσιος ἕτος πατὴρ προτιμᾷ τὴν ἀκτημοσύνην καὶ ἡσυχίαν, τῦ λαβεῖν ἀπό τινος, καὶ δῦναι ἑτέρῳ, καίπερ ἐναγῦς τῦ ἔργε ὄντος, καὶ τῷ Θεῷ ἐναρέςε. ὅπερ δὴ καὶ ὁ Παῦλος ἐποίει τὰς λογίας συλλέγων, καὶ τοῖς ἐν Ἱερεσαλὴμ ἁγίοις μετακομίζων. ἐκ τέτων ἔν δῆλον, ὅτι ἀνίσων ὄντων τῶν θεοφιλῶν κατορθωμάτων, τὸ μεῖζον προτιμᾷν δεῖ τῦ ἐλάττονος, ἐπειδὰν ἀμφότερα πράττειν ἀμήχανον.

(1) Ἤτοι σείονται, ἢ σαίνονται ἀναγνωςέον.

(2) Τίς ἄρα ὁ ἀπ' ἔμπροσθεν πόλεμος, καὶ τίς ὁ ἐξ ὄπισθεν; ἢ ὅτι ὁ ἀπ' ἔμπροσθεν μὲν, ὁ πρόδηλος καὶ πεπαῤῥησιασμένος· ὁ ἐξ ὄπισθεν δὲ, ὁ λεληθὼς καὶ ἀπόκρυφος. ἢ καὶ ἄλλως. ὁ ἀπ' ἔμπροσθεν μὲν, ἐκ

ψυχῆς ὑπὸ τῶν αἰσθήσεων, καὶ τῆς ἀμελείας. οἷον, τοῦ δοῦναι καὶ λαβεῖν τῆς ἀκοῆς, τῆς γλώσσης. (1) ἅτινα ἐπαγόμενα τῇ ψυχῇ, τύφλωσιν ἐμποιεῖ αὐτῇ, καὶ ἐκ τῆς ἐπαγωγῆς τῆς ταραχῆς τῆς ἔξωθεν, οὐ δύναται προσέχειν ἑαυτῇ ἐν τῷ λεληθότι πολέμῳ, τῷ κινουμένῳ κατ᾽ αὐτῆς, καὶ διὰ τῆς γαλήνης νικῆσαι τοὺς ἔνδοθεν κινουμένους. ὅταν γάρ τις κλείσῃ τῆς πόλεως τὰς θύρας, τουτέστι τὰς αἰσθήσεις, τότε ἔσωθεν πολεμεῖ, καὶ τοὺς ἔξωθεν τῆς πόλεως ἐνεδρεύοντας οὐ πτοεῖται.

Μακάριος ὁ γινώσκων ταῦτα, καὶ μένων ἐν τῇ ἡσυχίᾳ, καὶ μὴ θορυβούμενος ἐν τῷ πλήθει τῶν ἔργων αὐτοῦ, ἀλλὰ πάσας τὰς σωματικὰς πράξεις μεταστρέψας εἰς τὸν κόπον τῆς προσευχῆς, καὶ πιστεύσας, ὅτι ὅσον μετὰ τοῦ Θεοῦ ἐργάζεται, καὶ ἔχει τὴν μέριμναν εἰς αὐτὸν νυκτὸς καὶ ἡμέρας, οὐ μὴ λείψῃ

εἴη ἂν ὁ ἐν τῇ ἀρχῇ τοῦ βίου, καὶ ἐν τῇ ἀκμῇ τῆς νεότητος· ἐξ ὄπισθεν δὲ, ὁ ἐν τῷ τέλει, καὶ ἐν τῷ ἐσχάτῳ γήρατι.

(1) Οἷον τοῦ δοῦναι καὶ λαβεῖν τῆς ἀκοῆς, τῆς γλώσσης. ἐλλιπὲς δοκεῖ. ἀναγνωστέον δὲ τυχὸν οὕτως· οἷον τοῦ δοῦναι, καὶ λαβεῖν τὶ τῆς ἀκοῆς, καὶ τῆς γλώσσης. καὶ λαλοῦντες μὲν, δίδομέν τι τῆς γλώσσης ποίημα, τὸν ἔναρθρον λόγον· ἀκροώμενοι δὲ, λαμβάνομεν τὸ παρὰ τῆς γλώττης διδόμενον. εἰπὼν δὲ ὑπὸ τῶν αἰσθήσεων, μόνον τὴν γλῶτταν, καὶ τὴν ἀκοὴν εἰς μέσον ἐπήγαγεν. αἱ μὲν γὰρ ἄλλαι αἰσθήσεις, λαμβάνειν πεφύκασιν· ἡ δὲ γλῶττα, καὶ διδόναι. οἷον, ἡ μὲν ὅρασις, τὴν τοῦ φωτὸς προσβολὴν, τοῦ ὑπὸ τῶν ὁρωμένων προϊόντος· ἡ δὲ ὄσφρησις, τὰ τῶν ὀσφραντῶν μόρια, πλήττοντα τὸ ἑαυτῆς ὀσφραντήριον. ἡ δὲ ἀκοὴ, τὰ ἐν τῷ ἀέρι ὑπὸ τοῦ ἠχοῦντος συνιστάμενα κύματα, κρούοντα τὸ ἐν αὐτῇ τύμπανον· ἡ δὲ ἁφὴ, τὴν ἐκ τῶν ψαυόντων πληγήν· ἡ δὲ γλῶσσα, οὐ μόνον τοὺς τῶν χυμῶν κνισμοὺς δέχεσθαι πέφυκεν, ἀλλὰ καὶ τὸν ἔναρθρον τῇ ἀκοῇ διδόναι λόγον.

Ὁ Λατῖνος οὕτω· Sicut est dare, et accipere, auditus et lingua. Τουτέστιν, οἷον ἐστι τὸ διδόναι καὶ λαμβάνειν, ἡ ἀκοὴ καὶ ἡ γλῶσσα.

ψῃ αὐτῷ τὶ τῶν πρὸς τὴν ἀναγκαίαν χρείαν. καθότι δι᾽ αὐτὸν ἀπέχεται τοῦ περισπασμοῦ, καὶ τοῦ ἔργου. ἐὰν δέ τις μὴ ὑπομείνῃ ἐν τῇ ἡσυχίᾳ ἄνευ τοῦ ἐργοχείρου, ἐργαζέσθω, χρώμενος μὲν αὐτῷ ὡς βοηθῷ, μὴ πλεονεκτῶν δὲ, διὰ τὸ κέρδος. καὶ τοῦτο μὲν τοῖς ἀσθενέσι τέθειται· τοῖς δὲ τελειοτέροις, ταραχῶδες πέφυκε. τοῖς γὰρ πτωχοῖς καὶ ῥαθύμοις οἱ πατέρες τὸ ἐργάζεσθαι ἐξέθεντο, καὶ οὐχ ὡς πρᾶγμα ἐπάναγκες.

Ἐν τῷ καιρῷ, ἐν ᾧ ὁ Θεὸς κατανύσσει τὴν καρδίαν σου ἔσωθεν, δίδου σεαυτὸν ἀδιαλείπτοις μετανοίαις, καὶ γονυκλισίαις, καὶ μὴ ἐάσῃς τὴν καρδίαν σου μεριμνῆσαί τινος, ἐν τῷ ἄρξασθαι τοὺς δαίμονας πείθειν σε ἐν ἄλλοις ἀσχολεῖσθαι, καὶ τότε ἴδε καὶ θαύμασον, τίσοι μέλλει ἐκ τούτου τίκτεσθαι. οὐδὲν ἕτερον τῶν πραγμάτων μεῖζον ἐν τοῖς ἀσκητικοῖς ἀγῶσι, καὶ ἐπιπονώτερον, ὡς τοῖς δαίμοσιν ἐπίφθονον, (1) τοῦ ῥίψαί τινα ἑαυτὸν ἔμπροσθεν τοῦ σταυροῦ τοῦ Χριστοῦ, καὶ δέεσθαι νυκτὸς καὶ ἡμέρας, καὶ γενέσθαι δεδεμένον εἰς τοὐπίσω τὰς χεῖρας. θέλει μὴ ψυχρανθῆναί σου τὴν θέρμην, (2) καὶ μὴ πτωχεῦσαι ἀπὸ τῶν δακρύων; ἐν τούτοις διοίκησον σεαυτὸν, καὶ μακάριος εἶ, ὦ ἄνθρωπε, ἐὰν φροντίσῃς τῶν λεγομένων σοι νυκτὸς καὶ ἡμέρας, καὶ μηδὲν ἕτερον αὐτῶν ζητήσῃς. τότε γὰρ ἀνατελεῖ σοι τὸ φῶς ἔνδοθεν, καὶ ἡ δικαιοσύνη σου ταχέως ἐπιλάμψει, καὶ γενήσῃ ὡς παράδεισος ἐνθισμένος, καὶ ὡς πηγὴ ὕδατος ἀνελλιποῦς.

Βλέπε ὁποῖα ἀγαθὰ τίκτεται τῷ ἀνθρώπῳ ἐκ τοῦ ἀγῶνος. πολλάκις εὑρίσκεται ὁ ἄνθρωπος κεκυφὼς ἐπὶ γόνασιν ἐν προ-

(1) Τὸ Ε. Χ. ἐπίφοβον.
(2) Τὸ Ε. Χ. τὴν καρδίαν.

ἐν προσευχαῖς, καὶ τὰς χεῖρας τεταμένας ἔχων εἰς οὐρανοὺς, καὶ ἀτενίζων τῷ προσώπῳ εἰς τὸν σταυρὸν τοῦ Χριστοῦ, καὶ συνάγων πάσας τὰς ἐνθυμήσεις αὐτοῦ πρὸς τὸν Θεὸν ἐν τῇ προσευχῇ, καὶ ἐν ὅσῳ ὁ ἄνθρωπος δέεται τοῦ Θεοῦ μετὰ δακρύων, καὶ κατανύξεως, ἐν αὐτῇ τῇ ὥρᾳ εὐθέως ἐξαίφνης κινεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ πηγὴ βρύουσα ἡδονήν· καὶ διαλύονται τὰ μέλη αὐτοῦ, καὶ συγκαλύπτονται αὐτοῦ οἱ ὀφθαλμοὶ, καὶ νεύει μὲν τὸ πρόσωπον αὐτοῦ εἰς τὴν γῆν, αἱ δὲ ἐνθυμήσεις αὐτοῦ ἐναλλάσσονται, ὥστε μὴ δύνασθαι ποιῆσαι μετανοίας ἐξ ἐναντίας τῆς χαρᾶς, τῆς κινουμένης ἐν ὅλῳ τῷ σώματι αὐτοῦ. πρόσεχε οὖν ἄνθρωπε οἷς ἀναγινώσκεις. ἐὰν γὰρ μὴ ἀγωνίσῃ, οὐ μὴ εὕρῃς. καὶ ἐὰν μὴ κρούσῃς μετὰ θερμότητος, καὶ ἐπαγρυπνήσῃς τῇ θύρᾳ διηνεκῶς, οὐ μὴ εἰσακουσθῇς.

Τίς ἀκούων ταῦτα, ἐπιθυμήσει τῆς ἐξωτικῆς δικαιοσύνης, (1) ἢ ὁ μὴ δυνάμενος ὑπομεῖναι ἐν τῇ ἡσυχίᾳ; ἀλλ᾽ ὅμως ἐάν τις μὴ δυνηθῇ ταύτην ἐξασκῆσαι, (διότι χάρις τοῦ Θεοῦ ἐστὶ

(1) Ἐξωτικὴν δικαιοσύνην, τὴν πρακτικὴν ἀρετὴν ἐκάλεσε. λέγει γὰρ κατωτέρω· ἵνα μὴ ἄμοιρος γένηται τῶν δύω ὁδῶν τῆς ζωῆς. αἱ δύω δὲ ὁδοί εἰσιν, ἡ θεωρία, ψυχικὴ ἐργασία οὖσα καὶ ἐσωτερικὴ, καὶ ἡ πρᾶξις, ἥτις σωματική ἐστι, καὶ τοῖς θεαρέστοις πρακτικοῖς ἔργοις ἐνασχολεῖται. καὶ τῆς μὲν, ἡ Μαρία διδάσκαλος, πᾶσαν ἀποθεμένη φροντίδα, καὶ παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ παρακαθήσασα, καὶ τὸν λόγον αὐτοῦ ἀκούουσα· τῆς δὲ, ἡ Μάρθα μεριμνῶσα πολλὰ, καὶ περὶ πολλὴν περισπωμένη διακονίαν. ἑκατέρας δὲ τὸ ἔργον προσδεξάμενος ὁ Κύριος, τὸ τῆς Μαρίας προτετίμηκε. περὶ δὲ τῶν δύω τούτων ὁδῶν, ταῦτα ἐξεραψῴδησεν ὁ Θεολόγος Γρηγόριος·

Πρᾶξιν προτιμήσειας, ἢ θεωρίαν;
Ὄψις, τελείων ἔργον· ἡ δὲ, πλειόνων.
Ἄμφω μέν εἰσι δεξιαί τε καὶ φίλαι.
Σὺ δὲ πρὸς ἣν πέφυκας, ἐκτείνου πλέον.

τὸ εἶναι τὸν ἄνθρωπον ἔσωθεν τῆς θύρας,) μὴ ἐγκαταλειφθῇ τῆς ἑτέρας ὁδοῦ, ἵνα μὴ ἄμοιρος γένηται τῶν δύω ὁδῶν τῆς ζωῆς. ἕως ἂν ἀποθάνῃ ὁ ἔξω ἄνθρωπος ἀπὸ πάντων τῶν πραγμάτων τοῦ κόσμου, οὐ μόνον ἀπὸ τῆς ἁμαρτίας, ἀλλὰ καὶ ἀπὸ πάσης σωματικῆς ἐργασίας, ὁμοίως καὶ ὁ ἔσω ἄνθρωπος ἀπὸ τῶν πονηρῶν διανοιῶν, καὶ ἐξαθανήσῃ ἡ φυσικὴ κίνησις τοῦ σώματος, τοῦ μὴ κινῆσαι ἐν τῇ καρδίᾳ τὴν γλυκύτητα τῆς ἁμαρτίας, ἡ γλυκύτης τοῦ πνεύματος τοῦ Θεοῦ, οὐ μὴ κινηθῇ ἐν τῷ ἀνθρώπῳ, καὶ τὰ μέλη αὐτοῦ οὐ μὴ ἁγνισθῇ ἐν τῇ ζωῇ αὐτοῦ, καὶ τὰ θεῖα νοήματα ἐν τῇ ψυχῇ αὐτοῦ οὐ μὴ εἰσέλθῃ, οὐδ' οὐ μὴ αἰσθηθῇ, οὐδ' οὐ μὴ θεαθῇ. καὶ ἕως ἂν καταργήσῃ ἀπὸ τῆς καρδίας αὐτοῦ τὴν μέριμναν τῶν βιωτικῶν, χωρὶς τῆς ἀναγκαίας χρείας τῆς φύσεως, καὶ ἐάσῃ τὸν Θεὸν φροντίσαι τούτων, ἡ πνευματικὴ μέθη ἐν αὐτῷ οὐ μὴ κινηθῇ, καὶ τῆς παραπληξίας ἐκείνης, ὑφ' ἧς ὁ Ἀπόστολος παρεκαλεῖτο, οὐ μὴ αἰσθηθῇ. (1) ταῦτα

(1) Τίς ἄρα ἡ παραπληξία, ὑφ' ἧς ὁ Ἀπόστολος παρεκαλεῖτο; ἢ ὅτι τὸ συσταυρῶσθαι τῷ Χριστῷ, καὶ τὸ μὴ ζῆν ἐν σαρκὶ, ἀλλ' ἐν Χριστῷ, καὶ ἐν πίστει τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ, ὅπερ ἔκστασις τίς ἐστι, καὶ μωρία ὑπὸ τῶν ἐν σαρκὶ ζώντων νομίζεται. „ ἡμεῖς γάρ φησι μωροὶ διὰ Χριστόν. (α. Κορινθ. δ. ι.) τοῦτο γοῦν οὐ μόνον παρεκάλει τὸν Ἀπόστολον, καὶ χαίρειν ἐποίει ἐν τοῖς παθήμασιν, ἀλλὰ καὶ τὸν θάνατον κέρδος ἡγεῖσθαι „ ἀνέπειθε, καὶ τῆς ζωῆς πολλῷ κρείττονα. ἐμοὶ γὰρ ἔλεγε τὸ ζῆν Χριστὸς, „ καὶ τὸ ἀποθανεῖν κέρδος. (Φιλιπ. α. κβ.) καὶ πάλιν· συνέχομαι γὰρ „ ἐκ τῶν δύω, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· „ πολλῷ μᾶλλον κρεῖσσον.

Ὁ Λατῖνος οὕτω· Spiritualis ebrietas in ipso non movebitur, et consolationem illam non sentiet, de qua erat Apostolus consolatus, quando dicebat: nostra conversatio in Cœlis est. Et iterum: vivo ego, jam non ego, sed vivit in me Christus. Hoc autem dixi etc. Ἡ πνευματικὴ μέθη ἐν αὐτῷ οὐ μὴ κινηθῇ, καὶ οὐ μὴ αἰσθηθῇ τῆς παρακλήσεως ἐκείνης, ὑφ' ἧς

ταῦτα δὲ εἶπον, οὐκ ἐκκόπτων τὴν ἐλπίδα· ὡς ὅτι, ἐὰν μήτις φθάσῃ τὴν ἀκρότητα τῆς τελειότητος, οὐ μὴ καταξιωθῇ τῆς χάριτος τοῦ Θεοῦ, οὐδὲ μὴ ὑπαντήσῃ αὐτῷ παράκλησις. ἐν ἀληθείᾳ γὰρ ὅταν ἐκφαυλίσῃ τὶς τὰ ἄτοπα, καὶ μακρωθῇ ἀπ' αὐτῶν τελείως, καὶ προσδράμῃ τοῖς ἀγαθοῖς, ἐν ὀλίγῳ καιρῷ αἰσθάνεται τῆς βοηθείας. ἐὰν δὲ καὶ ἐπαγωνίσηται μικρὸν, εὑρήσει παράκλησιν τῇ ψυχῇ αὐτοῦ, καὶ τεύξεται τῆς τῶν πταισμάτων ἀφέσεως, καὶ καταξιωθήσεται τῆς χάριτος, καὶ δέξεται πλῆθος ἀγαθῶν. ὅμως ἥττων ἐστὶν οὗτος ἐν συγκρίσει πρὸς τὴν τελειότητα τοῦ ἀφορίσαντος ἑαυτὸν ἐκ τοῦ κόσμου, καὶ εὑρηκότος ἐν τῇ ψυχῇ αὐτοῦ τὸ μυστήριον τῆς ἐκεῖθεν μακαριότητος, καὶ καταλαβόντος ἐκεῖνο τὸ πρᾶγμα, δι' ὃ ἐπεδήμησεν ὁ Χριστός. αὐτῷ ἡ δόξα σὺν τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ

ὑφ' ἧς ὁ Ἀπόστολος παρεκαλεῖτο, ἡνίκα ἔλεγεν, ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ἐστί. καὶ πάλιν· ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. τοῦτο δὲ εἶπον κτ.

ΛΟΓΟΣ ΚΔ.

ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΚΑΙ ΕΝΕΡΓΗΜΑΤΩΝ ΤΗΣ ΑΓΑΠΗΣ ΤΟΥ ΘΕΟΥ.

Ἡ ἀγάπη τοῦ Θεοῦ θερμή ἐστι τῇ φύσει. καὶ ὅταν ἀμέτρως ἐπιπέσῃ τινὶ, ποιεῖ ἐκείνην τὴν ψυχὴν ἐκστατικήν. διὰ τοῦτο οὐ δύναται ἡ καρδία τοῦ αἰσθηθέντος αὐτῆς, χωρίσαι αὐτὴν, καὶ καρτερῆσαι· ἀλλὰ κατὰ τὸ μέτρον τῆς ποιότητος τῆς ἐπελθούσης αὐτῷ ἀγάπης, ὁρᾶται ἐν αὐτῷ ἀλλοίωσις ἀσυνήθης. καὶ ταῦτα τὰ σημεῖα αὐτῆς τὰ αἰσθητά· γίνεται τὸ πρόσωπον τοῦ ἀνθρώπου πυῤῥὸν, περιχαρὲς, καὶ τὸ σῶμα αὐτοῦ θερμαίνεται. ἀφίσταται ἀπ' αὐτοῦ ὁ φόβος, καὶ ἡ αἰδὼς, καὶ γίνεται ὡς ἐκστατικός. καὶ ἡ δύναμις ἡ συνάγουσα τὸν νοῦν, φεύγει ἐξ αὐτοῦ, καὶ ὡς ἔκφρων γίνεται. τὸν φοβερὸν θάνατον ἡγεῖται χαρὰν· καὶ οὐδέποτε ἡ θεωρία τοῦ νοὸς αὐτοῦ διακοπήν τινα παρέχει ἐκ τῆς τῶν οὐρανίων διανοήσεως. καὶ ἀπὼν, ὡς παρὼν ὁμιλεῖ, μὴ ὁρώμενος ὑπό τινος. ἡ γνῶσις, καὶ ἡ ὅρασις αὐτοῦ παρέρχεται ἡ φυσικὴ, καὶ οὐκ αἰσθάνεται αἰσθητῶς τῆς κινήσεως αὐτοῦ, ἧς ἐν τοῖς πράγμασι κινεῖται. κἂν γὰρ πράττῃ τὶ, οὐ τελείως αὐτοῦ αἰσθάνεται, ὡς τὸν νοῦν ἔχων ἐν τῇ θεωρίᾳ μετέωρον. καὶ ἡ διάνοια αὐτοῦ ἀεὶ, ὡς μετὰ ἄλλου ἀδολεσχεῖ.

Ταύτην τὴν πνευματικὴν μέθην ἐμεθύσθησάν ποτε οἱ Ἀπόστολοι, καὶ οἱ Μάρτυρες. καὶ οἱ μὲν, ὅλον τὸν κόσμον διῆλθον,

θον, κοπιῶντες, καὶ ὀνειδιζόμενοι· οἱ δὲ, τὰ μέλη κατακοπτόμενοι, ἐξέχεαν τὰ αἵματα αὐτῶν, ὡσεὶ ὕδωρ, καὶ τὰ δεινότατα πάσχοντες, οὐκ ὠλιγώρησαν, ἀλλὰ γενναίως ὑπήνεγκαν, καὶ ὄντες σοφοὶ, ὡς ἄφρονες ἐνομίσθησαν. καὶ ἄλλοι ἐν ἐρημίαις ἐπλανήθησαν, καὶ ὄρεσι, καὶ ἐν σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, ἐν ἀταξίαις, εὔτακτοι ὄντες. ταύτην τὴν ἄνοιαν ἀξιῶσαι ἡμᾶς ὁ Θεὸς φθάσαι. (1)

Περὶ ταπεινώσεως.

Πρὸ τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν τῆς ταπεινώσεως, ἐὰν ἴδῃς σαυτὸν, ὅτι ἀνεπαύθης ἐκ τῆς ὀχλήσεως τῶν παθῶν, μὴ πιστεύσῃς σεαυτῷ. ἐνέδραν γάρ τινα ἐνεδρεύει σοι ὁ ἐχθρός. ἀλλ᾽ ἐκδέχου μετὰ τὴν ἀνάπαυσιν πολλὴν ὄχλησιν, καὶ ταραχήν. εἰ μὴ γὰρ διέλθῃς τὰ καταλύματα τῶν ἀρετῶν, οὐκ ἀπαντᾷς ἀνάπαυσιν ἐκ τοῦ μόχθου σου, οὐδὲ ἐκ τῶν ἐπιβουλῶν ἄνεσιν ἕξεις, ἕως ἂν φθάσῃς τὸ κατάλυμα τῆς ἁγίας ταπεινώσεως. ὁ Θεὸς τῇ σῇ χάριτι ἀξίωσον ἡμᾶς αὐτὸ φθάσαι. Ἀμήν.

(1) Τὸ Ε. Χ. ἄλλοι δὲ ἐν ὄρεσι, καὶ σπηλαίοις κατῴκησαν, καὶ ταῖς ὀπαῖς τῆς γῆς. καὶ ἄλλοι εὔτακτοι ὄντες καὶ σοφοὶ, ὡς ἄφρονες ἐλογίσθησαν ἐν πεπλασμέναις ὑπ᾽ αὐτῶν ἐξ ἐπίτηδες ἀταξίαις τισίν. ὧν τὴν ταύτην ἄνοιαν ὁ Θεὸς ἀξιῶσαι ἡμᾶς φθάσαι.

ΛΟΓΟΣ ΚΕ.

ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ ΤΗΣ ΥΠΕΡ ΤΗΣ ΑΓΑΠΗΣ ΤΟΥ ΘΕΟΥ. ΚΑΙ ΠΩΣ Η ΑΝΤΙΛΗΨΙΣ ΕΥΡΙΣΚΕΤΑΙ ΕΝ ΑΥΤΗ.

Ὅσον καταφρονήσει ὁ ἄνθρωπος τούτου τοῦ κόσμου, καὶ σπουδάσει εἰς τὸν φόβον τοῦ Θεοῦ, τοσοῦτον προσεγγίζει αὐτῷ ἡ θεία πρόνοια, καὶ τῆς ἀντιλήψεως αὐτῆς κρυπτῶς αἰσθάνεται, καὶ δίδονται αὐτῷ λογισμοὶ καθαροὶ εἰς τὸ συνιέναι αὐτήν. καὶ ἐάντις ἑκουσίως στερηθῇ τῶν κοσμικῶν ἀγαθῶν, καθ᾽ ὅσον στερεῖται ἐξ αὐτῶν, κατὰ τοσοῦτον τὸ ἔλεος τοῦ Θεοῦ ἀκολουθεῖ αὐτῷ, καὶ βαστάζει αὐτὸν ἡ φιλανθρωπία τοῦ Θεοῦ. δόξα τῷ ἐν τοῖς δεξιοῖς, καὶ ἀριστεροῖς σώζοντι ἡμᾶς, καὶ ἐν πᾶσι τούτοις παρέχοντι ἀφορμὴν, εἰς τὴν εὕρεσιν τῆς ζωῆς ἡμῶν. τοὺς γὰρ ἐκ τοῦ θελήματος αὐτῶν ἐξασθενοῦντας κτήσασθαι τὴν ζωὴν αὐτῶν ἐν λύπαις ἀκουσίοις, προσβιβάζει τὰς ψυχὰς αὐτῶν πρὸς τὴν ἀρετήν. καὶ γὰρ ὁ Λάζαρος ἐκεῖνος ὁ πτωχὸς οὐκ ἦν ἐκ τοῦ θελήματος αὐτοῦ στερούμενος τῶν ἀγαθῶν τοῦ κόσμου τούτου, ἀλλὰ καὶ τὸ σῶμα αὐτοῦ πεπληγμένον ἦν τοῖς τραύμασι, καὶ δύω πάθη πικρὰ ἦσαν ἐν αὐτῷ, ὧνπερ ἕκαστον χεῖρον τοῦ ἄλλου ἦν. ὅμως ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ ἐτιμήθη ἐσχάτως. ὁ Θεὸς ἐγγύς ἐστι τῆς λυπηρᾶς καρδίας τοῦ ἐν θλίψει βοῶντος πρὸς αὐτόν. καὶ ἐὰν

εἰς

εἰς τὰ σωματικά ποτε ὑστερήσῃ, ἢ ἄλλως θλίψῃ, (ἕως ἂν ὑπομένωμεν αὐτὰ εἰς ἀντίληψιν ἡμῶν ποιεῖται, ὥσπερ ἰατρὸς ἐν βαρυτάτῃ νόσῳ χειρουργῶν, τὴν ὑγείαν πραγματεύεται.) ἀλλ᾽ ὅμως κατὰ ψυχὴν μεγάλως φιλανθρωπεύεται εἰς αὐτὸν ὁ Κύριος πρὸς τὴν σκληρότητα τῶν πόνων τῆς λύπης αὐτοῦ.

Ὅτε οὖν ἡ ἐπιθυμία τοῦ πόθου τοῦ Χριστοῦ οὐχ οὕτως ἐκνικᾷ ἐν σοὶ, ὥστε εἶναί σε ἀπαθῆ ἐν πάσῃ θλίψει σου, διὰ τὴν ἐν αὐτῷ χαρὰν, γνῶθι ὅτι ὁ κόσμος ζῇ ἐν σοὶ πλέον τοῦ Χριστοῦ. καὶ ὅτε ἡ ἀῤῥωστία, καὶ ἡ ἔνδεια, ἢ ὁ ἀφανισμὸς τοῦ σώματος, ἢ ὁ φόβος τῶν βλαπτόντων αὐτὸ ταράσσει τὴν διάνοιάν σου ἐκ τῆς χαρᾶς τῆς ἐλπίδος σου, καὶ ἐκ τῆς μερίμνης τῆς κατὰ Κύριον, γνῶθι ὅτι τὸ σῶμα ζῇ ἐν σοὶ, καὶ οὐχ ὁ Χριστός. καὶ ἁπλῶς εἰπεῖν· ὅπερ γὰρ ὁ πόθος ἰσχύει, καὶ κατακρατεῖ ἐν σοὶ, ἐκεῖνό ἐστι τὸ ζῶν ἐν σοί. ἐὰν δὲ γένῃ ἀνελλιπῶς ἔχων τὰς χρείας σου, καὶ τὸ σῶμα ἔχῃς ἐῤῥωμένον, καὶ μὴ ἔχῃς φόβον ἐκ τῶν ἐναντίων, καὶ λέγῃς ὅτι δύνῃ τότε καθαρῶς ὁδεῦσαι πρὸς Χριστὸν, γνῶθι ὅτι ἀῤῥωστεῖς κατὰ διάνοιαν, καὶ ὑστερεῖς τῆς γεύσεως τῆς δόξης τοῦ Θεοῦ. οὐχ ὅτι δὲ τοιοῦτος εἶ, κρίνω σε, ἀλλὰ μᾶλλον, ἵνα γνῷς πόσον ὑστερεῖς τῆς τελειότητος, εἰ καὶ ἐν μέρει τινὶ τῆς πολιτείας τῶν ἁγίων πατέρων, τῶν πρὸ ἡμῶν εἶ. καὶ μὴ εἴπῃς, ὅτι οὐχ εὑρέθη ἄνθρωπος, οὗτινος τελείως ἡ διάνοια αὐτοῦ ὑψώθη ἐκ τῆς ἀσθενείας, ὅταν τὸ σῶμα ναυαγῇ ἐν πειρασμοῖς, καὶ θλίψεσι, καὶ ἐκνικᾷ τὸ μέρος τοῦ πόθου τοῦ Χριστοῦ τὴν λύπην τῆς διανοίας. σιωπήσω τοῦ ἐνέγκαι εἰς μνήμην τοὺς ἁγίους μάρτυρας, μήπως οὐ δυνήσομαι στῆναι ἐνώπιον τοῦ βάθους τῶν παθῶν αὐτῶν. καὶ

ὅσον ἐνίκησε τὸ μέρος τῆς ὑπομονῆς, τὸ ἐκ τῆς δυνάμεως τῆς ἀγάπης τοῦ Χριστοῦ τὴν πολλὴν θλίψιν, καὶ τὸν πόθον τοῦ σώματος. ἀλλὰ διὰ τὸ εἶναι ταῦτα, καὶ μόνη τῇ μνήμῃ αὐτῶν, θλιβερὰ τῇ ἀνθρωπίνῃ φύσει, ὅτι ταράσσουσιν ἐν τῇ μεγαλωσύνῃ τοῦ πράγματος, καὶ ἐν τῇ θαυμαστῇ θεωρίᾳ αὐτῶν, ἐάσωμεν ταῦτα.

Σκοπήσωμεν δὲ τοὺς ἀθέους φιλοσόφους λεγομένους. εἷς γὰρ ἐξ αὐτῶν ἔθηκε νόμον ἐν τῇ διανοίᾳ αὐτοῦ φυλάξαι τὴν σιωπὴν ὀλίγους χρόνους. καὶ ὁ βασιλεὺς (1) τῶν ῥωμαίων ἐθαύμασεν ἐκ τῆς ἀκοῆς τοῦ πράγματος, καὶ ἠθέλησε λαβεῖν τὴν πεῖραν αὐτοῦ. ἐκέλευσεν οὖν ἀχθῆναι αὐτὸν ἔμπροσθεν αὐτοῦ. καὶ ὡς εἶδεν αὐτὸν σιωπῶντα πρὸς πᾶσαν ἐρώτησιν παντελῶς, ἣν ἠρώτησεν αὐτὸν, καὶ μὴ ἀποκρινόμενον, ἐθυμώθη ὁ βασιλεὺς, καὶ ἐκέλευσεν αὐτὸν τεθνᾶναι, ὅτι οὐκ ᾐδέσθη τὸν θρόνον, καὶ τὸν στέφανον τῆς δόξης αὐτοῦ. ἐκεῖνος δὲ οὐκ ἐφοβήθη, ἀλλὰ τὸν ἴδιον νόμον ἐφύλαξε, καὶ παρεσκεύασεν ἑαυτὸν ἐν ἡσυχίᾳ πρὸς τὸν θάνατον. ὁ δὲ βασιλεὺς ἐνετείλατο τοῖς σπεκουλάτορσιν, ὅτι ἐὰν φοβηθῇ τὸ ξίφος, καὶ λύσῃ τὸν νόμον αὐτοῦ, ἀποκτείνατε αὐτόν· εἰ δὲ τῷ ἰδίῳ ἐμμένει θελήματι, στρέψατε αὐτὸν πρός με ζῶντα. ὅτε οὖν ἤγγισαν εἰς τὸν τόπον τὸν ὡρισμένον, καὶ οἱ ἐπιτραπέντες, θλίβοντες ἠνάγκαζον αὐτὸν, ἵνα λύσῃ τὸν ἑαυτοῦ νόμον, καὶ μὴ ἀποθάνῃ, αὐτὸς διελογίσατο, ὅτι κρεῖσσόν μοι ἀποθανεῖν ἐν μιᾷ ὥρᾳ, καὶ τὸ ἴδιόν μου φυλάξαι θέλημα, δι' ὅπερ τοσοῦτον ἠγωνισάμην χρόνον, ἢ νικηθῆναι ἐκ τοῦ φόβου τοῦ θανάτου,

(1) Οὐδὲ ἐκ τοῦ Βασιλέως τὸν Φιλόσοφον, οὐδὲ ἐκ τοῦ Φιλοσόφου τὸν Βασιλέα καταμαθεῖν ῥᾴδιον.

νάτου, καὶ τὴν σοφίαν μου καθυβρίσαι, καὶ ὄκνον ὀφλῆσαι τοῦ ἐξ ἀνάγκης μοι ἀπαντήσαντος πράγματος. καὶ ἥπλωσεν ἑαυτὸν ἀταράχως, ἐκτμηθῆναι ὑπὸ τοῦ ξίφους. ἐμηνύθη οὖν ταῦτα τῷ βασιλεῖ, καὶ θαυμάσας, ἀπέλυσεν αὐτὸν μετ' αἰδοῦς.

Ἄλλοι δὲ τὴν φυσικὴν ἐπιθυμίαν τέλεον κατεπάτησαν. (1) ἕτεροι τὰς λοιδορίας ῥᾷον ἐβάστασαν. (2) καὶ ἄλλοι

(1) Οἷον, Ἀλέξανδρος ὁ τῶν Μακεδόνων Βασιλεὺς, περὶ οὗ ὁ Ἀῤῥιανός (ἐν βιβλ. δ.) φησιν. ἔνθα δὴ ἁλῶναι τε πολλῶν γυναῖκες, καὶ παῖδες ἐλήφθησαν, καὶ ἡ γυνὴ ἡ Ὀξυάρτου, καὶ αἱ παῖδες. καὶ γὰρ ἦν Ὀξυάρτου παῖς ἐν ὥρᾳ γάμου, Ῥωξάνη ὀνόματι, ἣν δὴ καλλίστην τῶν Ἀσιανῶν γυναικῶν λέγουσιν ὀφθῆναι τῷ Ἀλεξάνδρῳ στρατεύσαντες, μετάγε τὴν γυναῖκα Δαρείου. ταύτην ἰδόντα Ἀλέξανδρον, εἰς ἔρωτα ἐλθεῖν αὐτῆς. ἐρασθέντα δὲ, οὐκ ἐθελῆσαι ὑβρίσαι, καθάπερ αἰχμάλωτον, ἀλλὰ γῆμαι γὰρ οὐκ ἀπηξίωσε. καὶ τοῦτο ἐγὼ Ἀλεξάνδρου τὸ ἔργον ἐπαινῶ, μᾶλλόν τι, ἢ μέμφομαι. καίτοι τῆς Δαρείου (ἣ καλλίστη δὴ ἐλέγετο τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν) ἢ οὐκ ἦλθεν εἰς ἐπιθυμίαν, ἢ καρτερὸς αὐτὸς αὑτοῦ ἐγένετο, νέος τε ὢν, καὶ τὰ μάλιστα ἐν ἀκμῇ τῆς εὐτυχίας, ὁπότε ὑβρίζουσιν οἱ ἄνθρωποι. ὁ δὲ κατῃδέσθη τε, καὶ ἐφείσατο σωφροσύνῃ τε πολλῇ διαχρώμενος, καὶ δόξης ἅμα ἀγαθῆς οὐκ ἀτόπῳ ἐφέσει. καὶ Κῦρος δὲ ὁ τῶν Περσῶν Ἄναξ, ὅστις οὐδὲ ἰδεῖν ἠξίωσε Πάνθειαν τὴν τοῦ Ἀβραδάτα τοῦ Σούσων Βασιλέως γυναῖκα, καίπερ ὑπὸ τοῦ Ἀράσπου προτρεπόμενος, λέγοντος, εὖ ἴσθι ὦ Κῦρε, ὡς ἐμοίτε ἔδοξε, καὶ τοῖς ἄλλοις πᾶσι τοῖς ἰδοῦσι, μήπω φῦναι, μηδὲ γενέσθαι γυναῖκα ἀπὸ θνητῶν τοιαύτην ἐν τῇ Ἀσίᾳ. ἀλλὰ πάντως καὶ σὺ θεάσῃ αὐτήν. καὶ ὁ Κῦρος ἔφη. ναὶ μὰ Δία, πολύγε ἧττον, εἰ τοιαύτη ἐστὶν, οἵαν σὺ λέγεις. Ξενοφ. ἐν βιβλ. ε. περὶ Κύρ. παιδ.

(2) Ὁ Περικλῆς ὑπό τινος τῶν βδελυρῶν καὶ ἀκολάστων πανήμαρ ἐν τῇ ἀγορᾷ λοιδορούμενος, ὑπέμεινε σιωπῇ. ἑσπέρας δὲ ἀπῄει κοσμίως οἴκαδε, παρακολουθοῦντος τοῦ ἀνθρώπου, καὶ πάσῃ χρωμένου βλασφημίᾳ πρὸς αὐτόν. εἶτα ὑπὸ φωτὶ αὐτὸν περιέπεμψε, μόλις ἀπαλλαττόμενον. (Πλούταρχ. εἰς τὸν βίον.) καὶ ὁ Σωκρατικὸς Εὐκλείδης θάνατον ὑπό τινος μεθ' ὅρκου ἀπειλούμενος, ἀντώμωσεν ἱλεώσειν αὐτὸν χαλεπαίνοντα. (Πλούταρχ. ἐν τῷ περὶ φιλαδελφ. λόγ.) καὶ Κλεάνθης ὑπὸ τῶν συμμαθητῶν σκωπτόμενος, ἠνέχετο, καὶ ὄνος ἀκούων, προσεδέχετο. (Λαέρτ. εἰς τὸν βίον.) καὶ Ἱππαρχία ἡ φιλόσοφος ἡ τοῦ Μητροκλέους ἀ-

μαι-

κοι ἐν ἀῤῥωςίαις δειναῖς ἐκαρτέρησαν ἀθλίπτως. (3) καὶ ἄλλοι ἐν θλίψεσι, καὶ συμφοραῖς μεγάλαις τὴν ὑπομονὴν αὐτῶν ἐπεδείξαντο. (4) καὶ εἰ ἐκεῖνοι διὰ κενὴν δόξαν, καὶ ἐλπίδα ταῦτα ὑπέμειναν, πόσῳ μᾶλλον οἱ μοναχοὶ ὑπομεῖναι ὀφείλομεν, κληθέντες πρὸς κοινωνίαν Θεοῦ; ἧς ἀξιωθείημεν εὐχαῖς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἐν ἱδρῶτι τοῦ ἀγῶνος αὐτῶν ἀρεσάντων τῷ Χριςῷ. ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις σὺν τῷ συνανάρχῳ αὐτοῦ πατρὶ, καὶ τῷ συναϊδίῳ, καὶ ὁμοφυεῖ, καὶ ζωαρχικῷ πνεύματι νῦν τε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ

ὁμαίμων ὑπὸ Θεοδώρου τοῦ ἐπίκλην ἀθέου περιυβρισθεῖσα, οὔτε κατεπλάγη, οὔτε διεταράχθη. (Λαέρτ. εἰς τὸν βίον.).

(3) Ἡράκλειτος ὁ Φιλόσοφος ὑδρωπιάσας, βολβίτοις ὅλον ἑαυτὸν ἔχρισεν. εἶτα ἀποσπάσαι ταῦτα μὴ δυνηθεὶς, γενναίως ὑπέμεινεν. ἀγνοηθεὶς δὲ διὰ τὴν μεταβολὴν, κυνόβρωτος ἐγένετο. (Κλεάνθης παρὰ Λαερτ. ἐν τῷ βίῳ.) καὶ Ἰούλιος ὁ Καῖσαρ τὴν ἕξιν ὢν ἰσχνὸς, καὶ τὴν σάρκα λευκὸς καὶ ἁπαλὸς, καὶ περὶ τὴν κεφαλὴν νοσώδης, καὶ τοῖς ἐπιληπτικοῖς ἔνοχος, τῇ ςρατείᾳ, καὶ ταῖς εὐτελέσι διαίταις, καὶ ταῖς ἀτρύτοις ὁδοιπορίαις, καὶ ἄλλαις σκληραγωγίαις τῷ πάθει ἀπεμάχετο. Πλούταρχ. εἰς τὸν βίον.

(4) Κράτης ὑπωπιασθεὶς, οὐκ ἠμήνατο. ἐπέγραψε δὲ τῷ μετώπῳ, Νικόδρομος ἐποίει. (Λαέρτ. εἰς τὸν βίον.) καὶ Διογένης ὑπὸ τῶν ἐν συμποσίῳ νέων πληγὰς λαβὼν, τὰ ὀνόματα τῶν πληξάντων εἰς λεύκωμα ἐνέγραψε. (Μητροκλ. παρὰ Λαερτ. ἐν βιβλ. θ.) καὶ Ἀνάξαρχος ὁ Ἀβδηρίτης ὑπὸ Νικοκρέοντος τοῦ τυράννου τῆς Κύπρου εἰς ὅλμον βληθεὶς, σιδηροῖς ὑπέροις ἐτύπτετο. τῆς τιμωρίας δὲ οὐ φροντίσας, πτίσσε, ἐβόα, τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον δὲ οὐ πλήττεις. Λαέρτ. ἐν βιβλ. θ.

ΛΟΓΟΣ ΚϚ.

ΠΕΡΙ
ΤΗΣ ΑΔΙΑΛΕΙΠΤΟΥ ΝΗΣΤΕΙΑΣ,

Καὶ τοῦ συνάξαι ἑαυτὸν ἐν ἑνὶ τόπῳ. καὶ τί τὰ ἐκ τούτου γενόμενα. καὶ ὅτι ἐν γνώσει διακρίσεων ἐδιδάχθη τὴν ἀκρίβειαν τῆς χρήσεως τῶν τοιούτων.

Ἐν πολλῷ καιρῷ πειραζόμενος ἐν τοῖς δεξιοῖς καὶ ἀριστεροῖς, καὶ ἑαυτὸν δοκιμάσας ἐν τοῖς δυσὶ τρόποις τούτοις πολλάκις, καὶ δεξάμενος ἐκ τοῦ ἐναντίου πληγὰς ἀναριθμήτους, καὶ ἀξιωθεὶς μεγάλων ἀντιλήψεων κρυπτῶς, ἐκομισάμην ἑαυτῷ πεῖραν ἐκ τῶν μακρῶν χρόνων τῶν ἐτῶν, καὶ ἐν δοκιμασίᾳ, καὶ Θεοῦ χάριτι ταῦτα ἔμαθον. ὅτι ὁ θεμέλιος πάντων τῶν ἀγαθῶν, καὶ ἡ ἀνάκλησις τῆς ψυχῆς ἐκ τῆς αἰχμαλωσίας τοῦ ἐχθροῦ, καὶ ἡ ὁδὸς ἡ πρὸς τὸ φῶς καὶ τὴν ζωὴν φέρουσα, οὗτοι οἱ δύω τρόποι εἰσί. τὸ συνάξαι ἑαυτὸν εἰς ἕνα τόπον, καὶ τὸ ἀεὶ νηστεῦσαι, τουτέστι τὸ κανονίσαι ἑαυτὸν ἐν ἐγκρατείᾳ γαστρὸς σοφῶς, καὶ φρονίμως ἐν ἀκινήτῳ καθέδρᾳ, καὶ ἀδιαλείπτῳ σχολῇ, καὶ μελέτῃ Θεοῦ. ἐντεῦθεν ἡ τῶν αἰσθήσεων ὑποταγή. ἐντεῦθεν ἡ τοῦ νοῦ νῆψις. ἐντεῦθεν τὰ ἄγρια πάθη ἡμεροῦνται, τὰ ἐν τῷ σώματι κινούμενα. ἐντεῦθεν ἡ πρᾳότης τῶν λογισμῶν. ἐντεῦθεν αἱ τῆς διανοίας φωτειναὶ κινήσεις. ἐντεῦθεν ἡ σπουδὴ, ἡ πρὸς τὰ ἔργα τῆς ἀρετῆς. ἐντεῦθεν τὰ ὑψηλὰ νοήματα, καὶ λεπτά.

ἐνθεῦ-

ἐντεῦθεν τὰ ἄμετρα δάκρυα, τὰ ἐν παντὶ καιρῷ γινόμενα, καὶ τοῦ θανάτου ἡ μνήμη. ἐντεῦθεν ἡ σωφροσύνη ἡ καθαρὰ, ἡ τελείως ἀπέχουσα ἐκ πάσης φαντασίας, τῆς τὴν διάνοιαν πειραζούσης. ἐντεῦθεν ἡ ὀξυδορκία, καὶ ὀξύτης τῶν μακρὰν ὄντων. ἐντεῦθεν τὰ βαθύτερα τῶν μυστικῶν νοημάτων, ἅπερ ἡ διάνοια καταλαμβάνει ἐν τῇ δυνάμει τῶν θείων λογίων, καὶ αἱ ἐσώτεραι κινήσεις, αἱ ἐν τῇ ψυχῇ γινόμεναι, καὶ ἡ διαφορὰ, καὶ ἡ διάκρισις τῶν πνευματικῶν, ἐκ τῶν ἁγίων δυνάμεων, καὶ τῶν ἀληθινῶν ὁράσεων, ἐκ τῶν ματαίων φαντασιῶν. ἐντεῦθεν ὁ φόβος τῶν ὁδῶν, καὶ τῶν τρίβων, ὁ ἐν τῷ πελάγει τῆς διανοίας, ὁ κόπτων τὴν ῥαθυμίαν, καὶ τὴν ἀμέλειαν, καὶ ἡ φλὸξ τοῦ ζήλου ἡ καταπατοῦσα πάντα κίνδυνον, καὶ διαβαίνουσα πάντα φόβον, καὶ ἡ θέρμη ἡ καταφρονοῦσα πάσης ἐπιθυμίας, καὶ ἐκ τῆς διανοίας αὐτὴν ἐξαλείφουσα, καὶ λήθην ἐμποιοῦσα πάσης μνήμης τῶν παρερχομένων μετὰ τῶν ἄλλων. καὶ ἵνα συντόμως εἴπω, ἡ ἐλευθερία τοῦ ἀληθινοῦ ἀνθρώπου, καὶ ἡ χαρὰ τῆς ψυχῆς, καὶ ἡ ἀνάστασις ἡ μετὰ τοῦ Χριστοῦ ἐν τῇ Βασιλείᾳ.

Εἴτις δὲ ἀμελήσει τῶν δύω τούτων, γνώτω, ὅτι οὐ μόνον ἐκ πάντων τούτων τῶν προειρημένων ζημιοῖ ἑαυτὸν, ἀλλὰ καὶ τὸν θεμέλιον πασῶν τῶν ἀρετῶν διασείει ἐν τῇ καταφρονήσει τῶν δύω τούτων ἀρετῶν. καὶ ὥσπερ εἰσὶν αὗται ἀρχὴ, καὶ κεφαλὴ τῆς θείας ἐργασίας ἐν τῇ ψυχῇ, καὶ θύρα, καὶ ὁδὸς πρὸς τὸν Χριστὸν, ἐάν τις κρατήσῃ αὐτὰς, καὶ ἐν αὐταῖς ὑπομείνῃ· οὕτως ἐάν τις ἀναχωρήσῃ ἐξ αὐτῶν, καὶ ἀποπηδήσῃ ἀπ' αὐτῶν, πρὸς ταῦτα τὰ δύω τὰ ἐναντία τούτων καταντᾷ. λέγω δὴ τὸν σωματικὸν μετεωρισμὸν, καὶ τὸ γαστριμαργεῖν ἀσε-

ἀσέμνως. αὗται ἀρχαί εἰσι τῶν ἐναντίων τῶν προειρημένων, καὶ χώραν παρέχουσι τοῖς πάθεσιν ἐν τῇ ψυχῇ.

Καὶ ἡ μὲν πρώτη ἀρχὴ τῆς μιᾶς, ἐν πρώτοις τὰς αἰσθήσεις τὰς ὑποταγείσας ἀπολύει τῶν δεσμῶν τῆς συστολῆς. καὶ τί λοιπὸν ἐκ τούτου γίνεται; ἐντεῦθεν ἄτοποι ἀπαντήσεις, καὶ ἀπροσδόκητοι, πλησιόχωροι τῶν πτώσεων. ἡ ταραχὴ τῶν ἰσχυρῶν κυμάτων, ἡ ἐκ τῆς ὁράσεως ἐξυπνιζομένη. τῶν ὀφθαλμῶν πύρωσις ὀξεῖα, κρατοῦσα τοῦ σώματος, καὶ συνέχουσα ὀλισθήματα δυσχερῆ, ἐν τῷ φρονήματι γινόμενα. λογισμοὶ ἀκρατεῖς, πρὸς πτῶσιν σπουδάζοντες. ἡ χλιαρότης τοῦ πόθου τῶν ἔργων τοῦ Θεοῦ, καὶ ἀτονία κατὰ μικρὸν μικρὸν τῆς διαφορᾶς τῆς ἡσυχίας, καὶ τοῦ τελείως καταλεῖψαι τὸν κανόνα τῆς πολιτείας αὐτοῦ. ἐγκαινισμὸς τῶν ἐπιλησθέντων κακῶν, καὶ διδαχὴ ἑτέρων, ὧν οὐκ ἠπίσατο, ἐκ τῶν ἀεὶ ἐπιγινομένων αὐτῷ δι' ἀκουσίων πολυτρόπων ὁράσεων, τῶν ἐκ τῆς μεταναστάσεως ἀπὸ χώρας εἰς χώραν, καὶ ἀπὸ τόπου εἰς τόπον συναντουσῶν αὐτῷ. καὶ τὰ πάθη, ἅπερ διὰ τῆς χάριτος τοῦ Θεοῦ ἤδη ἐκ τῆς ψυχῆς νεκρωθέντα, καὶ διὰ τῆς λήθης τῶν μνημῶν τῶν ἐν τῇ διανοίᾳ ἀπολεσθέντα, πάλιν ταῦτα πρὸς κίνησιν ἄρχονται διεγείρεσθαι, καὶ τὴν ψυχὴν πρὸς ἐργασίαν αὐτῶν ἀναγκάζειν. καὶ ἵνα μὴ ὅλα τὰ λοιπὰ λέγω, καὶ διηγήσωμαι, ταῦτα μὲν ἐκ τῆς πρώτης ἐκείνης αἰτίας ἀνοίγονται ἐπ' αὐτῷ, τουτέστιν ἐκ τοῦ μετεωρισμοῦ τοῦ σώματος, καὶ τοῦ μὴ ὑπομεῖναι τὴν τῆς ἡσυχίας ταλαιπωρίαν.

Τί δὲ ἐκ τῆς ἄλλης, τουτέστι τοῦ ἄρξασθαι ἐν τῷ ἔργῳ τῶν χειρῶν; καὶ τί ἐστι τὸ ἔργον τῶν χειρῶν, ἢ τὸ ἀόριστον ἀφιέναι

τὴν γαστέρα, καὶ διαπαντὸς ἐμπιπλᾶν αὐτήν, καὶ μὴ ἔχειν καιρὸν δεδηλωμένον πρὸς τὴν τοῦ σώματος χρείαν, καθὼς οἱ λογικοί; καὶ τί λοιπὸν γίνεται ἐκ τούτου; εὐθέως καρηβαρία, καὶ βάρησις τοῦ σώματος πολλὴ μετὰ χαλασμοῦ τῶν ὤμων. ὅθεν ἀνάγκη ἀπολειφθῆναι ἐκ τῆς λειτουργίας τοῦ Θεοῦ. καὶ ὀκνηρία γὰρ ἐπιγίνεται εἰς τὸ μὴ ποιεῖν μετανοίας ἐν αὐτῇ· ἀμέλεια τῶν συνήθων προσκυνήσεων· σκότωσις, καὶ ψυχρότης τῆς διανοίας· νοῦς παχύς, καὶ ἀδιάκριτος ἐκ τῶν ταραχῶν, καὶ τῶν πολλῶν σκοτώσεων τῶν λογισμῶν· γνόφος παχύς, καὶ ζοφώδης, ἡπλωμένος ἐν ὅλῃ τῇ ψυχῇ· ἀκηδία πολλὴ ἐν παντὶ ἔργῳ τοῦ Θεοῦ, ἅμα δὲ καὶ ἐν τῇ ἀναγνώσει, διὰ τὸ μὴ γεύσασθαι αὐτὸν τῆς ἡδύτητος τῶν λογίων τοῦ Θεοῦ· ἀργία πολλὴ τῶν ἀναγκαίων· νοῦς ἀκράτητος, καὶ μετεωριζόμενος ἐν πάσῃ τῇ γῇ· χυμὸς πολὺς συναγόμενος ἐν πᾶσι τοῖς μέλεσι· φαντασίαι ἀκάθαρτοι ταῖς νυξὶ διὰ φασμάτων βεβήλων, καὶ ἀτόπων εἰκόνων, πεπληρωμένων ἐπιθυμίας, ἐν τῇ ψυχῇ διαβαινούσης, καὶ ἐν αὐτῇ τῇ ψυχῇ τὰ ἑαυτῆς θελήματα ἀποπληρούσης ἀκαθάρτως. καὶ ἡ στρωμνὴ δὲ τοῦ ἀθλίου, καὶ τὰ ἐνδύματα αὐτοῦ, καὶ αὐτὸ τὸ σῶμα ὅλον μολύνεται διὰ τὸ πλῆθος τῆς αἰσχρᾶς ῥεύσεως, τῆς ὡς ἀπὸ πηγῆς ἐξ αὐτοῦ βλυζούσης. καὶ τοῦτο οὐ μόνον ἐν τῇ νυκτί, ἀλλὰ καὶ ἐν ἡμέρᾳ συμβαίνει αὐτῷ. τὸ γὰρ σῶμα πάντοτε ῥέει, καὶ μιαίνει τὴν διάνοιαν. ὥστε αὐτὸν διὰ τούτων τῶν πραγμάτων τὴν σωφροσύνην ἀπαρνήσασθαι. ἡ γὰρ ἡδύτης τῶν γαργαλισμῶν ἐνεργεῖται ἐν ὅλῳ τῷ σώματι αὐτοῦ ἐν ἀδιαλείπτῳ πυρώσει, καὶ ἀνυπομονήτῳ. καὶ λογισμοὶ δὲ ἀπατηλοὶ συμβαίνουσιν αὐτῷ,

εἰκονί-

εἰκονίζοντες κάλλος κατάναντι αὐτοῦ, καὶ ἐρεθίζοντες αὐτὸν ἐν παντὶ καιρῷ, καὶ γαργαλίζοντες τὸν νοῦν ἐν τῇ ὁμιλίᾳ αὐτῶν. καὶ ἀδιαλείπτως σπουδάζει αὐτοῖς ἐν τῇ μελέτῃ αὐτῶν, καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν, διὰ τὸ σκοτισθῆναι αὐτοῦ τὸ διακριτικόν. καὶ τοῦτό ἐστιν ὅπερ εἶπεν ὁ Προφήτης· „τοῦτο τὸ ἀνταπόδομα τῆς ἀδελφῆς Σοδόμων, ἥτις τρυφῶσα ἤσθιεν ἄρτον εἰς πλησμονήν, καὶ τὰ ἑξῆς. καὶ τοῦτο δὲ ἐῤῥέθη ὑπό τινος τῶν μεγάλων σοφῶν, ὅτι εἴτις θρέψει τὸ σῶμα αὐτοῦ ἐν τρυφῇ μεγάλως, εἰς πόλεμον ἐμβάλλει τὴν ἑαυτοῦ ψυχήν. καὶ ἐάν ποτε ἔλθῃ εἰς ἑαυτόν, καὶ ζητήσῃ βιάσασθαι εἰς τὸ κρατῆσαι ἑαυτοῦ, οὐ δύναται, διὰ τὴν ὑπερβάλλουσαν πύρωσιν τῶν κινήσεων τοῦ σώματος, καὶ διὰ τὴν βίαν, καὶ τὴν ἀνάγκην τῶν ἐρεθισμῶν, καὶ τῶν γαργαλισμάτων, τῶν τὴν ψυχὴν αἰχμαλωτιζόντων ἐν τοῖς θελήμασιν αὐτῶν. ὁρᾷς ὧδε λεπτότητα τούτων τῶν ἀθέων; (1) καὶ πάλιν ὁ αὐτὸς λέγει· ἡ τρυφὴ τοῦ σώματος ἐν ἁπαλότητι, καὶ ὑγρότητι, τῆς νεότητος τὰ πάθη ἐν τῇ ψυχῇ ὀξέως κλᾶσθαι παρασκευάζει, καὶ περικυκλοῖ αὐτὴν ὁ θάνατος, καὶ ἐμπίπτει οὕτος ὑπὸ τὴν κρίσιν τοῦ Θεοῦ.

Ἰεζ. ιϛ. μθ.

(1) Τίνες εἰσὶν οὗτοι οἱ ἄθεοι; μήτιγε οἱ γαστρίμαργοι, οἱ τὴν κοιλίαν Θεὸν ἔχοντες; λεπτότητα δέ φησι τὴν τῶν σαρκικῶν παθῶν, τῶν ἐν τοῖς μέλεσιν αὐτῶν, ὀξύτητα; ἢ ἀθέους μὲν, αὐτὰ τὰ τῆς σαρκὸς πάθη ὀνομάζει, ἢ Θεὸν ὅλως μὴ εἰδότας· λεπτότητα δὲ, τὴν ἀκράτητον αὐτῶν πύρωσιν; ἢ παρέλιπε μέρος τῶν εἰρημένων ὑπὸ τοῦ μεγάλου σοφοῦ, (ὃς δὴ τίς ἐστιν ἄδηλον) οὗτινος τοῖς ῥηθεῖσι προστιθεμένου, ἐμφανὴς ἡ ἔννοια γίγνεται; μετὰ γὰρ τὸ, ὁρᾷς ὧδε λεπτότητα τούτων τῶν ἀθέων, ἐπαναλαμβάνει πάλιν τοὺς τοῦ μεγάλου σοφοῦ λόγους, λέγων, καὶ πάλιν ὁ αὐτὸς λέγει, κτ.

Ψυχὴ δὲ ἡ ἀδολεσχοῦσα ἀεὶ ἐν τῇ μνήμῃ τῶν ὀφειλομένων, ἀναπαύεται ἐν τῇ ἐλευθερίᾳ ἑαυτῆς, (1) καὶ αἱ φροντίδες αὐτῆς μικραὶ, καὶ οὐ μεταμελεῖται ἔν τινι, πρόνοιαν ποιουμένη ὑπὲρ τῆς ἀρετῆς, ἰσχύουσα τὰ πάθη, καὶ φυλάττουσα τὴν ἀρετὴν, εἰς αὔξησιν, καὶ χαρὰν ἀμέριμνον, καὶ ζωὴν ἀγαθὴν, καὶ λιμένα ἀκίνδυνον ἄγει. ἀπολαύσεις γὰρ σωματικαὶ οὐ μόνον ἐγχύουσι τὰ πάθη, καὶ στερεοῦσιν αὐτὰ κατὰ τῆς ψυχῆς, ἀλλὰ καὶ ἐκριζοῦσιν αὐτὴν ἐκ τῶν ῥιζῶν αὐτῆς. καὶ σὺν τούτοις ἐξάπτουσι τὴν γαστέρα εἰς ἀκρασίαν, καὶ ἀταξίαν ὅρων ἄκρας ἀσωτίας. καὶ παρὰ καιρὸν τὴν χρείαν τοῦ σώματος ἐκτελεῖν βιάζονται. καὶ ὁ πολεμούμενος ἐν τούτοις οὐ θέλει ὑπομεῖναι μικρὰν πεῖναν, καὶ ἐξουσιάσαι ἑαυτοῦ, διότι ᾐχμαλωτίσθη ὑπὸ τῶν παθῶν.

Οὗτοί εἰσιν οἱ καρποὶ τῆς αἰσχύνης, οἱ ἐκ τῆς γαστριμαργίας. καὶ οἱ πρὸ τούτων εἰσὶν οἱ καρποὶ τῆς ὑπομονῆς, τῆς ἐν ἑνὶ τόπῳ, καὶ ἡσυχίᾳ διαγωγῆς. διὰ τοῦτο καὶ ὁ ἐχθρὸς τοὺς καιροὺς ἐπιστάμενος τῶν χρειῶν ἡμῶν τῶν φυσικῶν, δι᾽ ὧν ἡ φύσις κινεῖται πρὸς τὴν χρείαν αὐτῆς, καὶ ὅτι (2) ὁ νοῦς ἐκ τοῦ μετεωρισμοῦ τῶν ὀφθαλμῶν ῥέμβεται, καὶ ἐκ τῆς ἀναπαύσεως τῆς γαστρὸς, σπουδάζει καὶ ἀγωνίζεται ἐρεθίσαι ἡμᾶς προσθήκην ποιήσασθαι εἰς τὴν φυσικὴν χρείαν, καὶ σπεῖραι ἐν ἡμῖν σχήματα λογισμῶν πονηρῶν ἐν τοῖς τοιούτοις καιροῖς. ὥστε, ἐὰν ἐνδέχηται, ὑπερεγχύσαι τὰ πάθη κατὰ τῆς φύσεως, διὰ τὴν περισσοτέραν συμπλοκὴν, καὶ καταποντίσαι τὸν ἄνθρωπον ἐν τοῖς πτώμασι. διὰ τοῦτο ἔδει ἡμᾶς, ὥσπερ ὁ ἐχθρὸς γινώσκει

(1) Ἐν τῇ θεωρίᾳ ἑαυτῆς τὸ Ε. Χ.
(2) Ἴσ. καὶ ὅτε.

γινώσκει τοὺς καιροὺς, οὕτω καὶ ἡμᾶς γνωρίσαι τὴν ἀσθένειαν ἡμῶν, καὶ τὴν δύναμιν τῆς φύσεως ἡμῶν, ὅτι ἀνίκανός ἐστι πρὸς τὰς ὁρμὰς, καὶ τὰς κινήσεις ἐκείνων τῶν καιρῶν, καὶ πρὸς τὴν λεπτότητα τῶν λογισμῶν, τῶν ὡς χνοῦν ὄντων τῇ λεπτότητι κατέναντι τῶν ὀφθαλμῶν ἡμῶν, καὶ ὅτι οὐ δυνάμεθα ὁρᾷν ἑαυτοὺς, καὶ ἀπαντῆσαι τοῖς συμβαίνουσιν ἡμῖν· καὶ διὰ τὴν πολλὴν δοκιμασίαν, ἣν ἐπειράσθημεν ὑπὸ τοῦ ἐχθροῦ, καὶ ἐν ταλαιπωρίᾳ ἐξ αὐτοῦ ἐλάβομεν πολλάκις, τοῦ λοιποῦ σοφίσασθαι, καὶ μὴ ἐάσαι ἑαυτοὺς ῥίψαι τοῦ ποιῆσαι τὸ θέλημα τῆς ἡμῶν ἀναπαύσεως, καὶ ἡττᾶσθαι ἐκ τῆς πείνης, ἀλλὰ μᾶλλον κἂν καταπονήσῃ ἡμᾶς ἡ πεῖνα, ἢ στενώσῃ, μὴ σαλευθῶμεν ἐκ τοῦ τόπου τῆς ἡσυχίας ἡμῶν, καὶ καταντήσωμεν ὅπου εὐχερῶς συμβαίνουσιν ἡμῖν τὰ τοιαῦτα, μηδὲ σκευάσωμεν ἑαυτοῖς ἀφορμὰς, καὶ τρόπους, ὅπως ἐκ τῆς ἐρήμου ἐξέλθωμεν. ταῦτα γάρ εἰσι τὰ ἐπιτηδεύματα τοῦ ἐχθροῦ (1) τὰ φανερά. ἐὰν δὲ ὑπομείνῃς ἐν τῇ ἐρήμῳ, οὐ μὴ πειρασθῇς. οὐ γὰρ ὁρᾷς ἐν αὐτῇ γυναῖκας, οὔτε τὶ βλάπτον τὴν πολιτείαν σου, οὔτε φωνὰς ἀπρεπεῖς ἀκούεις.

» Τίσοι, καὶ τῇ ὁδῷ τῆς Αἰγύπτου, ἵνα πίῃς τὸ ὕδωρ Γηῶν; Ἱερ. β. ιη.
νόει τίσοι λέγω. δεῖξον τῷ ἐχθρῷ τὴν ὑπομονήν σου, καὶ τὸ δοκίμιόν σου ἐν τοῖς μικροῖς, ἵνα μὴ ζητήσῃ παρὰ σοῦ τὰ μεγάλα. ὅρος δὲ ἔστωσάν σοι τὰ μικρὰ ταῦτα, ἵνα διὰ τούτων καταβάλῃς τὸν ἀντίπαλον. ὅπως μὴ σχολάσῃ, καὶ ὀρύξῃ σοι παγίδας μεγάλας. ὁ γὰρ μὴ πειθόμενος τῷ ἐχθρῷ, μηδὲ πέντε βήματα ἐξελθεῖν ἐκ τοῦ ἡσυχαστηρίου αὐτοῦ, πῶς πεῖσαι

 δύναται

(1) Τὸ Ε. Χ. τὰ ἄνδρα τοῦ διαβόλου.

δύναται ἑαυτὸν ἐκ τῆς ἐρήμου ἐξελθεῖν, ἢ πλησιάσαι κώμῃ; καὶ ὁ μὴ καταδεχόμενος παρακύψαι διὰ θυρίδος ἐκ τοῦ ἡσυχαστηρίου αὐτοῦ, πῶς πείσει ἑαυτὸν ἐξελθεῖν ἐξ αὐτοῦ; καὶ ὁ μόλις ἐν ἑσπέρᾳ πειθόμενος μεταλαβεῖν τροφῆς ἐλαχίστης, πῶς πρὸ καιροῦ ἐσθίειν ὑπὸ τῶν λογισμῶν αὐτοῦ δελεασθήσεται; καὶ ὁ ἐκ τῶν εὐτελῶν ἐρυθριῶν ἐμπλησθῆναι, πῶς ἐκ τῶν μεγάλων ὀρεχθήσεται; καὶ ὁ μηδὲ πρὸς τὸ ἴδιον σῶμα πειθόμενος κατιδεῖν, πῶς πρὸς τὰ ἀλλότρια κάλλη τοῦτον δελεάσει περιεργάσασθαι; (1)

Δῆλον οὖν, ὅτι ἐξ ἀρχῆς ἐν τοῖς μικροῖς καταφρονῶν, ἡττᾶταί τις, καὶ οὕτως ἀφορμὴν παρέχει τῷ ἐχθρῷ πολεμεῖν αὐτῷ ἐν τοῖς μεγάλοις. ἐπεὶ ὁ τῆς προσκαίρου ζωῆς μὴ ποιούμενος πρόνοιαν τοῦ μηδὲ πρὸς βραχὺ ἐμμεῖναι ἐν αὐτῇ, πῶς φοβηθήσεται τὰς κακώσεις, καὶ τὰς θλίψεις τὰς πρὸς τὸν θάνατον τὸν προσφιλῆ φερούσας; οὗτός ἐστιν ὁ πόλεμος τῆς διακρίσεως, ὅτι οἱ σοφοὶ (2) οὐ συγχωροῦσιν ἑαυτοὺς πρὸς τοὺς μεγάλους ἀγῶνας παρασκευάσασθαι· ἀλλ᾽ ἡ ὑπομονὴ, ἡ ἐνδεικνυμένη ἐν τοῖς μικροῖς ὑπ᾽ αὐτῶν, αὕτη ἐστὶν ἡ φυλάττουσα αὐτοὺς, τοῦ μὴ πεσεῖν εἰς τοὺς μεγάλους κόπους.

Πρῶτον μὲν οὖν ὁ διάβολος τὴν ἀδιάλειπτον προσευχὴν τῆς καρδίας ἀγωνίζεται καταργῆσαι. εἶθ᾽ οὕτω πείθει καὶ τοὺς δεδηλωμένους καιροὺς τῆς προσευχῆς, καὶ τοῦ κανόνος τοῦ σωματικῶς γινομένου καταφρονῆσαι. καὶ οὕτω πρῶτον χαυνοῦται ὁ λογισμὸς, πρὸ τοῦ καιροῦ μεταλαβεῖν τροφῆς, ἐν τοῖς ἐλαχίστοις, καὶ

(1) Τὸ Ε. Χ. πῶς τὰ ἀλλότρια κάλλη περιεργάσεται;

(2) Σοφοὶ, οἱ τὴν ὄντως σοφίαν, τουτέστι τὴν ἀρετὴν, κτησάμενοι

καὶ μικροῖς, καὶ ἐδαμινοῖς. καὶ μετὰ τὴν πτῶσιν τῆς καταλύσεως τῆς ἐγκρατείας αὐτοῦ, διολισθαίνει εἰς ἀκρασίαν, καὶ ἀσωτείαν. καὶ πρῶτον μὲν ἡττᾶται, μᾶλλον δὲ ἐλάχιστον ἡγεῖται ἐν ὀφθαλμοῖς αὐτοῦ ἀτενίσαι εἰς τὴν γύμνωσιν τοῦ σώματος αὐτοῦ, ἢ εἰς ἄλλην τινὰ καλλονὴν τῶν μελῶν αὐτοῦ, ὅταν ἀποδύηται τὰ ἱμάτια αὐτοῦ, ἢ ὅταν ἐξέλθῃ ἔξω πρὸς τὴν χρείαν τοῦ σώματος, ἢ πρὸς ὕδωρ, καὶ χαυνώσῃ τὰ αἰσθητήρια αὐτοῦ, ἢ εἰσαγάγῃ τὴν χεῖρα αὐτοῦ θαρσαλέως ἔσωθεν τῶν ἱματίων αὐτοῦ, καὶ ψηλαφήσῃ τὸ σῶμα αὐτοῦ· καὶ τότε ἀνακύψουσιν αὐτῷ ἄλλα, καὶ ἄλλα. (1) καὶ ὁ πρώην τὴν ἀσφάλειαν τοῦ νοὸς φυλάσσων, καὶ δι' ἐν τούτων λυπέμενος, τότε ἀνοίγει καθ' ἑαυτοῦ μεγάλας, καὶ χαλεπὰς εἰσόδους. οἱ γὰρ λογισμοὶ, ἵν' ὡς ἐν ὑποδείγματι εἴπω, ὡς ὕδωρ εἰσὶ, καὶ ὅσον συνέχονται πάντοθεν, ἐν τῇ συνταξίᾳ αὐτῶν πορεύονται. ἐὰν δὲ ἐκεῖθεν μικρὸν ἐπὶ τὰ ἔξω ἐξέλθωσι, κατάλυσιν φραγμοῦ, καὶ ἐρήμωσιν πολλὴν κατεργάζονται. ἵσταται γὰρ ὁ ἐχθρὸς κατανοῶν, καὶ παρατηρῶν, καὶ ἐκδεχόμενος νυχθημερῶς κατέναντι τῶν ὀφθαλμῶν ἡμῶν, καὶ περισκοπεῖ διὰ ποίας εἰσόδου τῶν αἰσθητηρίων ἡμῶν ἀνοιχθείσης αὐτῷ εἰσέλθῃ. ἀμελείας

(1) Τὸ, καὶ τότε, ἀντὶ τοῦ ἔπειτα πάντως ἐξέλαβε· τὸ δὲ ἀνακύψουσιν, ἀνακύπτουσιν ἀναγνωστέον, ὥσπερ ἐν τῷ ἑτέρῳ κεῖται χειρογράφῳ. ἄλλως μὲν γὰρ τὸ, καὶ πρῶτον μὲν ἡττᾶται ἀνανταπόδοτον. ἀνάγνωθι οὖν ὅλην τὴν περίοδον οὕτω· καὶ πρῶτον μὲν ἡττᾶται, μᾶλλον δὲ ἐλάχιστον ἡγεῖται ἐν ὀφθαλμοῖς αὐτοῦ, ἀτενίσαι εἰς τὴν γύμνωσιν τοῦ σώματος αὐτοῦ, ἢ εἰς ἄλλην τινὰ καλλονὴν τῶν μελῶν αὐτοῦ· (ὅταν ἀποδύηται τὰ ἱμάτια αὐτοῦ, ἢ ὅταν ἐξέλθῃ ἔξω πρὸς τὴν χρείαν τοῦ σώματος, ἢ πρὸς ὕδωρ, καὶ χαυνώσῃ τὰ αἰσθητήρια αὐτοῦ, ἢ εἰσαγάγῃ τὴν χεῖρα αὐτοῦ θαρσαλέως ἔσωθεν τῶν ἱματίων αὐτοῦ, καὶ ψηλαφήσῃ τὸ σῶμα αὐτοῦ.) ἔπειτα δὲ, ἀνακύπτουσιν αὐτῷ ἄλλα, καὶ ἄλλα.

λείας δέ τινος εἰς ἐν τῶν προῤῥηθέντων ἡμῖν γινομένης, πότε καὶ αὐτὸς ὁ δόλιος, καὶ ἀναιδὴς κύων τὰ αὐτοῦ ἡμῖν ἐξαποστέλλει βέλη. καὶ ποτὲ μὲν, αὐτὴ ἡ φύσις ἀφ᾽ ἑαυτῆς τὴν ἀνάπαυσιν ἀγαπᾷ, καὶ τὴν παῤῥησίαν, καὶ τὸν γέλωτα, καὶ τὸν μετεωρισμὸν, καὶ τὴν ῥαθυμίαν, καὶ γίνεται πηγὴ τῶν παθῶν, καὶ πέλαγος ταραχῆς· ποτὲ δὲ, ὁ ἐναντίος ὑποβάλλει ταῦτα τῇ ψυχῇ. ἀλλ᾽ ἡμεῖς ἀλλάξωμεν λοιπὸν τοὺς μεγάλους κόπους ἡμῶν ἐν τοῖς μικροῖς κόποις ἡμῶν, οὓς ἡγούμεθα οὐδέν. εἰ γὰρ οὗτοι, ὡς ἐδείχθη, οἱ παρ᾽ ἡμῶν καταφρονούμενοι, τοσούτους ἀγῶνας μεγάλους, καὶ κόπους δυσκατορθώτους, καὶ πάλας συγκεχυμένας, καὶ πληγὰς μεγίστας ἀποστρέφουσι, τίς μὴ σπουδάσῃ διὰ τῶν μικρῶν τούτων τῆς εἰσαγωγῆς κόπων τὴν γλυκεῖαν εὑρεῖν ἀνάπαυσιν;

Ὦ σοφία, πόσον θαυμαστὴ ὑπάρχεις, καὶ πῶς προβλέπεις τὰ πάντα πόῤῥωθεν. μακάριος ὁ εὑρών σε. ἐκ γὰρ τῆς ῥαθυμίας τῆς νεότητος ἠλευθέρωται. ἥτις ἐμπορεύεται διὰ μικρᾶς ἐμπορεύσεως, ἤτοι περιποιήσεως, τὴν ἰατρείαν τῶν μεγάλων παθῶν, καλῶς ποιεῖ. καὶ γὰρ ποτέ τις τῶν φιλοσόφων ἐν χαυνότητι κινηθεὶς, καὶ αἰσθηθεὶς, θᾶττον διορθώσατο ἑαυτὸν καθήμενος ἐξαίφνης. καὶ ἰδὼν αὐτὸν ἄλλος, ἐγέλασε χάριν τούτου. ὁ δὲ ἀπεκρίθη, οὐ διὰ τοῦτο ἐφοβήθην, ἀλλ᾽ ἐκ τῆς καταφρονήσεως φοβοῦμαι. διότι πολλάκις καὶ ἡ μικρὰ καταφρόνησις, μεγάλων κινδύνων πρόξενος γίνεται. τῷ δὲ παρὰ τάξιν γενέσθαι, καὶ ταχέως διορθώσασθαι ἐμαυτὸν, ἔδειξα ἐμαυτὸν νήφοντα, καὶ τὸ μηδὲ ὂν ἄξιον φόβου καταφρονοῦντα. (1) μι τοῦτο γάρ ἐστι φιλοσοφία, ἵνα τὶς καὶ ἐν τοῖς ἐλαχίστοις, καὶ μικροῖς, τοῖς γινομένοις παρ᾽ αὐτοῦ, ἀεὶ νήφει. ἀναπαύσεις γὰρ

μεγάλας

(1) Ἴσ. μὴ καταφρονοῦντα.

μεγάλας θησαυρίζει ἑαυτῷ, καὶ οὐχ ὑπνοῖ, ἵνα μὴ συμβῇ αὐτῷ τὶ ἐναντίον· ἀλλὰ τὰς αἰτίας κόπτει πρὸ καιροῦ, καὶ διὰ τῶν ἐλαχίστων πραγμάτων ὑποφέρει τὴν μικρὰν λύπην, ἐξαφανίζων δι᾽ αὐτῆς τὴν μεγάλην.

Οἱ δὲ ἄφρονες προτιμῶσι τὴν μικρὰν ἀνάπαυσιν τὴν ἐγγὺς, ὑπὲρ τὴν ἀπέχουσαν βασιλείαν, ἀγνοοῦντες, ὅτι κρεῖσσον ὑπομεῖναι κολάσεις ἐν τῷ ἀγῶνι, ὑπὲρ τὸ ἀναπαυθῆναι ἐν τῇ στρωμνῇ τῆς ἐπιγείου βασιλείας ἐν κατακρίσει ῥαθυμίας. τοῖς σοφοῖς γὰρ ποθητός ἐστιν ὁ θάνατος, ὑπὲρ τοῦ μὴ κατηγορηθῆναι, ὅτι ἄνευ νήψεως ἐτέλεσάν τι ἐν τοῖς ἔργοις αὐτῶν.
» διὸ καὶ λέγει ὁ σοφός· γενοῦ ἐγρήγορος καὶ νηφάλιος ὑπὲρ τῆς ζωῆς σου. συγγενὴς γάρ ἐστιν ὁ ὕπνος τῆς διανοίας, καὶ εἰκὼν τοῦ ἀληθινοῦ θανάτου. ὁ δὲ θεοφόρος Βασίλειός φησιν, ὅ-
» στις εἰς τὰ μικρὰ ἑαυτοῦ ὀκνηρός ἐστι, μὴ πιστεύσῃς αὐτῷ εἰς
» τὰ μεγάλα διαπρέψαι.

Ὑπὲρ ὧν μέλλεις ζῆν, μὴ ἀκηδιάσῃς, μηδὲ ὀκνήσῃς ὑπὲρ αὐτῶν ἀποθανεῖν. σημεῖον γάρ ἐστι τῆς ἀκηδίας ἡ μικροψυχία. μήτηρ δέ ἐστι τῶν δύω τούτων ἡ καταφρόνησις. δειλὸς ἄνθρωπος σημαίνει, ὅτι ὑπὸ δύω νόσων νοσεῖ. λέγω δὴ ὑπὸ φιλοσωματίας, καὶ ὀλιγοπιστίας. ἡ δὲ φιλοσωματία σημεῖόν ἐστι τῆς ἀπιστίας. ὁ δὲ τούτων καταφρονῶν, βεβαιοῦται, ὅτι τῷ Θεῷ πιστεύει ὁλοψύχως, καὶ τὰ μέλλοντα ἐκδέχεται.

Ἐάν τις ἐκτὸς κινδύνων, καὶ ἀγώνων, καὶ πειρασμῶν τῷ Θεῷ προσήγγισε, καὶ σὺ αὐτὸν μίμησαι. (1) ἡ εὐτολμία τῆς καρ-

(1) Σταυρὸν αἴρειν, καὶ ἑαυτοὺς ἀπαρνήσασθαι, καὶ τὰς ψυχὰς αὐτῶν ἀπολέσαι ὁ τῶν ἁπάντων δεσπότης τοῖς ἀκολουθεῖν αὐτῷ αἱρουμένοις προσέταξε. ἡ δὲ τοῦ πνεύματος μεγαλόφωνος σάλπιγξ διαῤῥήδην βοᾷ,

καρδίας, καὶ ἡ καταφρόνησις τῶν κινδύνων ἀπὸ ἑνὸς τῶν δύω ἀφορμῶν τούτων γίνεται. ἢ ἐκ τῆς σκληροκαρδίας, ἢ ἐκ τῆς πολλῆς πίστεως τῆς πρὸς τὸν Θεόν. καὶ τῇ μὲν σκληροκαρδίᾳ, ἀκολουθεῖ ὑπερηφανία· τῇ δὲ πίστει, ταπεινοφροσύνη καρδίας. οὐ δύναται ἄνθρωπος κτήσασθαι ἐλπίδα πρὸς τὸν Θεὸν, εἰ μὴ πρῶτον ἐτελείωσε τὸ θέλημα αὐτοῦ κατὰ μέρος. ἡ γὰρ ἐλπὶς, ἡ πρὸς τὸν Θεὸν, καὶ ἡ τῆς καρδίας ἀνδρεία ἐκ τῆς μαρτυρίας τῆς συνειδήσεως γεννῶνται, καὶ διὰ τῆς ἀληθινῆς μαρτυρίας τῆς διανοίας ἡμῶν τὴν πρὸς τὸν Θεὸν πεποίθησιν ἔχομεν. ἡ μαρτυρία δὲ τῆς διανοίας γίνεται ἐν τῷ μὴ κατακρίνεσθαί τινα ἐν μηδενὶ ὑπὸ τοῦ συνειδότος, ὅτι ἠμέλησεν εἰς τὸ ὀφειλόμενον κατὰ τὴν δύναμιν αὐτοῦ. ἐὰν δὲ ἡ καρδία ἡμῶν μὴ κατακρίνῃ ἡμᾶς, παῤῥησίαν πρὸς τὸν Θεὸν ἔχομεν. ἡ παῤῥησία οὖν ἐκ τῶν κατορθωμάτων τῶν ἀρετῶν, καὶ τῆς καλῆς συνειδήσεως προσγίνεται. σκληρὸν γοῦν ἐστὶ τὸ δουλεῦσαι τῷ σώματι. ὅστις δὲ ὀλίγον ἐκ πολλοῦ αἴσθηται τῆς ἐλπίδος τῆς πρὸς τὸν Θεὸν, οὐκ ἔτι πεισθήσεται κατ' ἀνάγκην δουλεῦσαι τῷ σκληρῷ τούτῳ δεσπότῃ τῷ σώματι.

Τὰ

» βοᾷ, πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται.
» (β. Τιμ. γ. ιγ.) τίς οὖν ὁ ἄνευ κινδύνων, καὶ ἀγώνων, καὶ πειρασμῶν τῷ Θεῷ προσεγγίσαι δυνάμενος; καὶ τίς ποτε τῶν ἀπ' αἰῶνος δικαίων ἀκινδύνως τὴν πολυτάραχον τοῦ κόσμου τούτου διέπλευσε θάλασσαν; ἢ τίς ἄνευ παλαίστρας, καὶ σκαμμάτων καὶ πόνων τὴν τῶν σαρκικῶν ὀρέξεων φλόγα κατέσβεσεν; ἢ τίς ταῖς ποικίλαις τοῦ παμμηχάνου Βελίαρ παγίσι μὴ προσβαλὼν, ἀπείραστος τὸ πάνταθλον τῆς ἀρετῆς διήνυσε στάδιον; πῶς οὖν ὁ Ἀββᾶς φησὶν, ἐάντις ἐκτὸς κινδύνων κτ; ἢ ὅτι τὸ ἀδύνατον τοῦ πράγματος διὰ τῆς ἐπ' ἀδυνάτου ὑποθέσεως ἀποδείκνυσιν, ἐπειρωνεύων πῶς καὶ ἀστεϊζόμενος. ὥσπερ ἂν εἴτις λέγοι, εἴπερ καὶ ἄλλος τίς ποτε ἐπέτασε, καὶ σὺ πετασθήσῃ μιμητὴς αὐτοῦ γενόμενος. τὸ δὲ ἐάντις, εἴτις ἀναγνωστέον.

Περὶ σιωπῆς κ̉ ἡσυχίας. (1)

Τὸ ἀεὶ σιωπᾷν, κ̉ ἡ φυλακὴ τῆς ἡσυχίας ἐκ τῶν τριῶν τȣ́των αἰτιῶν ἔντινι γίνονται. ἢ διὰ τὴν δόξαν τῶν ἀνθρώπων, ἢ διὰ τὴν θερμότητα τȣ̃ ζήλȣ τῆς ἀρετῆς, ἢ ὅτι ὁμιλίαν τινὰ θείαν τὶς ἔχει ἐν αὐτὸς ἑαυτȣ̃, καὶ ἡ διάνοια αὐτȣ̃ ἕλκεται πρὸς αὐτήν. εἴτις γȣ̃ν μίαν τῶν ἐσχάτων ȣ̓κ ἔχει, ἐξ ἀνάγκης τὴν πρώτην ἀσθένειαν ἀσθενεῖ. ἀρετή ἐςιν, ȣ̓χ ἡ φανέρωσις τῶν πολλῶν καὶ διαφόρων πράξεων, τῶν διὰ τȣ̃ σώματος ἐπιτελȣμένων, ἀλλ᾽ ἡ σοφωτάτη καρδία ἐν τῇ ἐλπίδι αὐτῆς. συνάπτει γὰρ αὐτὴν τοῖς κατὰ Θεὸν ἔργοις ὁ ὀρθὸς σκοπός. ἡ μὲν γὰρ διάνοια, δύναται χωρὶς πράξεων σωματικῶν ἐπιτελέσαι τὸ ἀγαθόν· τὸ δὲ σῶμα, ἐκτὸς τῆς σοφίας τῆς καρδίας κἂν ἐργάσηται, ȣ̓ δύναται ὠφεληθῆναι. ὅμως ȣ̓χ ὑποφέρει ὁ ἄνθρωπος τȣ̃ Θεȣ̃, ὅταν ἄδειαν εὕρῃ ἀγαθοεργίας, εἰ μὴ δείξῃ τὴν ἀγάπην ἐν κόπῳ τῆς ἐργασίας αὐτȣ̃ πρὸς τὸν Θεόν. ἡ μὲν πρώτη τάξις, πάντοτε κατευοδȣ̃ται· ἡ δὲ δευτέρα, πολλάκις κατευοδȣ̃ται, ποτὲ δὲ κ̉ ȣ̓. μὴ νομίσῃς δὲ, ὅτι τὸ πρᾶγμα τȣ̃το μικρόν ἐςιν, ἵνα τὶς ἐκ τῶν αἰτιῶν τῶν παθῶν μακρὰν ἀπέχῃ πάντοτε. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τȣ̀ς αἰῶνας. Ἀμήν.

(1) Ὧδε ἔναρξιν λόγȣ εὕρομεν ἐν τῷ ἑτέρῳ χειρογρ.

ΛΟΓΟΣ ΚΖ.

ΠΕΡΙ ΤΗΣ ΚΙΝΗΣΕΩΣ ΤΟΥ ΣΩΜΑΤΟΣ.

Ἡ δὲ κίνησις τῶν κάτω μελῶν τȣ̃ σώματος, ἡ ἐκτὸς λογισμῶν ὀξυτέρων γινομένη τῆς ἀτόπȣ ἡδονῆς, ἥτις κινεῖται μετὰ πυρώσεως, καὶ ἕλκει τὴν ψυχὴν εἰς ταλαιπωρίαν ἀπροαιρέτως, ἀδιςάκτως ἐκ τῆς πλησμονῆς τῆς γαςρός ἐςιν. εἰδέγε ἴσως ἡ μὲν γαςὴρ εὐτακτεῖ ἐν τῇ διαίτῃ, τὰ δὲ μέλη ἀπροαιρέτως, εἴτε κἂν ὁπωσȣ̃ν κινῶνται, γνῶθι, ὅτι ἐν τῷ σώματι βρύει τὸ πάθος, καὶ ὅπλον ἰσχυρὸν καὶ ἀκαταμάχητον λογίζȣ εἶναι ἐν τῷ ἀγῶνι τȣ́τῳ, τὸ ἀπέχεσθαι ἐκ τῆς θέας τῶν γυναικῶν. διότι ὁ ἐναντίος ȣ̓ δύναται ἐνεργῆσαι ἐν ἡμῖν ἅπερ ἡ Φύσις δύναται πρᾶξαι ἐν τῇ δυνάμει αὐτῆς. μὴ γὰρ νομίσῃς, ὅτι ἡ Φύσις ἐπιλανθάνεται τῶν ἐν αὐτῇ Φυσικῶς ἐνσπαρέντων ἐκ τȣ̃ Θεȣ̃ πρὸς τεκνογονίαν, καὶ δοκιμασίαν τῶν ἐν τῷ ἀγῶνι. ἀλλ᾽ ἡ ἀποχὴ τῶν πραγμάτων νεκροῖ τὴν ἐπιθυμίαν ἐν τοῖς μέλεσι, καὶ λήθην καὶ ἀπώλειαν ἐμποιεῖ αὐτῆς.

Ἄλλοι εἰσὶν οἱ λογισμοὶ τῶν μακρὰν ἀπεχόντων πραγμάτων, καὶ ἁπλῶς παρερχομένων ἐν τῇ διανοίᾳ, καὶ κίνησιν μικρὰν καὶ ἀμυδρὰν ἐμποιέντων ἀφ᾽ ἑαυτῶν. ἄλλοι δέ εἰσιν οἱ λογισμοὶ οἱ ἐν ὁράσει τῆς ὕλης βυθίζοντες τὴν διάνοιαν ἀληθαργήτως, καὶ ἐκ τȣ̃ πλησιασμȣ̃ κινȣ̃ντες τὰ πάθη, καὶ τρέ-

τρέφοντες τὸν ἄνθρωπον, ὡς τὸ ἔλαιον τρέφει τὴν ἔξαψιν τῦ λύχνυ, καὶ τὸ πάθος τὸ ἤδη νεκρωθὲν καὶ σβεσθὲν ἐξάπτοντες, καὶ ταράσσοντες τὸ πέλαγος τῦ σώματος διὰ τῆς κινήσεως τῦ πλοίυ τῆς διανοίας. αὕτη δὲ ἡ κίνησις ἡ φυσικὴ, ἡ ἐν ἡμῖν κατοικῦσα διὰ τὴν τεκνογονίαν καὶ μόνην, χωρὶς τῆς ἔξω προσθήκης, τὴν προαίρεσιν ταράξαι ἐκ τῆς καθαρότητος, καὶ ὀχλῆσαι τὴν σωφροσύνην, ὐ δύναται. ὐ γὰρ ἔδωκεν ὁ Θεὸς δύναμιν τῇ φύσει νικῆσαι τὴν προαίρεσιν τὴν πρὸς αὐτὸν, τὴν καλὴν, ἀλλ᾽ ὅταν τὶς κινηθῇ, ἢ ἐκ τῦ θυμῦ, ἢ ἐκ τῆς ἐπιθυμίας, ὐχ ἡ φυσικὴ δύναμις αὐτὸν ἐξελθεῖν ἐκ τῦ ὅρυ τῆς φύσεως, καὶ γενέσθαι ἔξωθεν ἐκ τῶν ὀφειλομένων βιάζεται, ἀλλ᾽ ἡ προσθήκη, ἣν ποιῦμεν ἐπὶ τῇ φύσει διὰ τῶν ἀφορμῶν τῦ θελήματος. ὁ γὰρ Θεὸς πάντα ὅσα ἐποίησε, καλῶς καὶ ἐμμέτρως ἐποίησε. κ὆ ὅσον τὸ μέτρον τῆς ἀναλογίας τῶν φυσικῶν ὀρθῶς ἐν ἡμῖν φυλάττεται, τοσῦτον αἱ φυσικαὶ κινήσεις ὐ δύνανται βιάσασθαι ἡμᾶς, ἐκ τῆς ὁδῦ ἐξελθεῖν· ἀλλὰ μόνον ἐν εὐτάκτοις κινήσεσι κινεῖται τὸ σῶμα. ὥστε εἰδέναι μόνον, ὅτι ἐστὶν ἐν ἡμῖν τὸ πάθος τὸ φυσικὸν, καὶ ὐκ εἰς τὸ γαργαλίσαι καὶ ὀχλῆσαι, ὥστε ἐμποδίσαι τὸν δρόμον τῆς σωφροσύνης. ὔτε πάλιν τὸ σκοτῶσαι τὸν νῦν ἀπὸ θυμῦ, καὶ ἐκ τῆς εἰρήνης εἰς ὀργὴν κινῆσαι. ἐὰν δὲ ἡμεῖς συναπαχθῶμέν ποτε τοῖς αἰσθητοῖς, (δι᾽ ὧν τινων καὶ ὁ θυμὸς παρὰ φύσιν εἴωθε λαβεῖν ὁρμὴν) ἢ ἐν βρώσει, ἢ ἐν πόσει, ἐν ὑπερβαλλύσῃ ποσότητι, (1) ἢ ἐν πλησιασμῷ γυναικῶν, καὶ θεω-

(1) Ὁ Λατῖν. vel in fuprabundantia quantitatis. ἢ ἐν ὑπερβολῇ ποσότητος.

θεωρίᾳ τέτων σχολάσαι, ἢ ἐν ταῖς ὁμιλίαις ταῖς περὶ αὐτῶν, ἐξ ὧν φλὸξ ἐπιθυμίας ἀναφλέγεται, ὴ σκιρτᾷ ἐν τῷ σώματι, ἐντεῦθεν τὴν πρᾳότητα τὴν φυσικὴν, εἰς ἀγριότητα μετεβάλλομεν, ἢ διὰ τὸ πλῆθος τε χυμε, ἢ διὰ τὰς διαφόρες ὁράσεις τῶν πραγμάτων.

Ἔςι δέ ποτε ἡ κίνησις τέτων, καὶ ἐκ παραχωρήσεως, τῆς διὰ τὴν οἴησιν ἡμῶν γινομένης. καὶ αὕτη ἐκ ἔςιν, ὡς ἐκείνη. ἐκείνες γὰρ τὲς πολέμες, τῆς ἐλευθερίας καλεμεν, οἵτινές εἰσιν ὁδὸς τῆς κοινῆς φύσεως· τὸν δὲ πόλεμον τὸν ἐκ παραχωρήσεως, τὸν ἐξ αἰτίας τῆς οἰήσεως ἡμῶν γινόμενον, γινώσκομεν, ὅτε ἐν προσοχῇ, καὶ κόποις ἐν πλείονι χρόνῳ γενώμεθα, καὶ οἰόμεθά τι κατωρθωκέναι, παραχωρέμεθα πολεμηθῆναι, ἵνα μάθωμεν τὴν ταπείνωσιν. οἱ δὲ λοιποὶ, οἱ ἄνευ τῆς αἰτίας ταύτης γινόμενοι ἡμῖν ὑπὲρ δύναμιν, ἐκ τῆς ῥαθυμίας ἡμῶν γίνονται. διότι ἡ φύσις, ὅταν τινὰ προσθήκην τῶν αἰσθητῶν διὰ τῆς γαςριμαργίας δέξηται, ἐ πείθεται λοιπὸν φυλάξαι τὴν τάξιν, τὴν ἐκ τῆς διαπλάσεως αὐτῆς. ὁ γὰρ τὰς θλίψεις, καὶ τὸ ἀπρόϊτον ἀποβαλὼν ἑκεσίως, τὰς ἁμαρτίας ἀγαπᾷν βιάζεται. ἄνευ γὰρ τέτων χωρισθῆναι ἐκ τῶν κολακευμάτων τε φρονήματος, ἐ δυνάμεθα. ὅσον γὰρ οἱ πόνοι πληθαύονται, ἔτοι ἐλαττενται. ἐπειδὴ αἱ θλίψεις καὶ οἱ κίνδυνοι ἀποκτείνεσι τὴν ἡδυπάθειαν τῶν παθῶν. ἡ δὲ ἀνάπαυσις τρέφει καὶ αὔξει αὐτά.

Λοιπὸν σαφῶς ἐγνώσθη, ὅτι ὁ Θεὸς, καὶ οἱ Ἄγγελοι αὐτε ἐν ἀνάγκαις χαίρεσιν· ὁ δὲ διάβολος, ὴ οἱ ἐργάται αὐτε, ἐν ἀναπαύσει. εἰ δὲ ἐν θλίψεσι, καὶ ςενοχωρίαις τελειεντα αἱ ἐντολαὶ τε Θεε, ἡμεῖς δὲ ταύτας ἐξεδενώσαμεν,

λοιπὸν

λοιπὸν αὐτοῦ τοῦ ἐντειλαμένου τῶν ἐντολῶν καταφρονεῖν μηχανώμεθα, διὰ τὰ πάθη, ἅπερ γεννῶνται ἐκ τῆς ἀναπαύσεως ἡμῶν. καὶ καταργοῦμεν τὴν αἰτίαν τῆς ἀρετῆς, ἤγουν τὴν στένωσιν, καὶ τὴν θλίψιν. καὶ κατὰ τὸ μέτρον τῆς ἀναπαύσεως τῆς προσαγομένης ἡμῖν, κατὰ τοσοῦτον τόπον ποιοῦμεν τοῖς πάθεσιν ἐν ἡμῖν. διότι ἐν σώματι στενοχωρουμένῳ οὐ δύνανται οἱ λογισμοὶ μετεωρισθῆναι εἰς τὰ μάταια. ὅταν δέ τις ἐν χαρᾷ ὑπομένῃ τοὺς κόπους καὶ τὰς θλίψεις, καὶ τοὺς λογισμοὺς κραταιῶς χαλινῶσαι δύναται. διότι αὐτοὶ οἱ λογισμοὶ ἀργοῦσιν ἐν κόποις. ὅταν δὲ ὁ ἄνθρωπος μνημονεύσῃ τῶν πρώτων αὐτοῦ ἁμαρτιῶν, καὶ κολάσῃ ἑαυτὸν, τότε καὶ ὁ Θεὸς φροντίδα ποιεῖται τοῦ ἀναπαῦσαι αὐτόν. διότι χαίρει ὁ Θεὸς, ὅτι αὐτὸς ἑαυτῷ τὸ ἐπιτίμιον δέδωκε, διὰ τὴν παράβασιν τῆς ὁδοῦ τοῦ Θεοῦ. ὅπερ σημεῖόν ἐστι τῆς μετανοίας. καὶ ὅσον αὐτὸς πολλὰ βιάσεται τὴν ψυχὴν αὐτοῦ, τοσοῦτον πληθύνεται ἐκ τοῦ Θεοῦ ἡ τιμὴ αὐτοῦ. πᾶσα δὲ χαρὰ, ἥτις οὐκ ἔχει ἐξ ἀρετῆς τὴν αἰτίαν, ἡ τοιαύτη παραυτίκα κινήσεις ἐπιθυμιῶν ἐν τῷ εὑρηκότι αὐτὴν διεγείρει. σύνες δὲ τοῦτο, ὅτι ἐπὶ πᾶσαν ἐπιθυμίαν ἐμπαθῆ, οὐκ ἐπὶ τὴν φυσικὴν τοῦτο εἰρήκαμεν. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΗ.

ΠΕΡΙ ΑΓΡΥΠΝΙΑΣ ΤΩΝ ΝΥΚΤΩΝ, ΚΑΙ ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΤΡΟΠΩΝ ΤΗΣ ΕΡΓΑΣΙΑΣ ΑΥΤΗΣ.

Ὅταν θελήσης εἶναι ἐν τῇ λειτουργίᾳ τῆς ἀγρυπνίας σου, συνεργοῦντός σοι τοῦ Θεοῦ, ποίησον ὡς λέγω σοι. κλῖνόν σου τὰ γόνατα κατὰ τὸ ἔθος, καὶ ἀνάστα, καὶ μὴ εὐθέως ἄρξῃ τῆς λειτουργίας σου, ἀλλ' ὅταν προσεύξῃ πρῶτον, καὶ τελειώσῃς αὐτήν, καὶ σφραγίσῃς τὴν καρδίαν σου, καὶ τὰ μέλη σου ἐν τῷ ζωοποιῷ τύπῳ τοῦ σταυροῦ, στῆθι ὡς ἐν ῥοπῇ ὥρας σιωπῶν, ἕως ἂν ἀναπαυθῶσιν αἱ αἰσθήσεις σου, καὶ οἱ λογισμοί σου γαληνιάσωσι. καὶ μετὰ τοῦτο ὕψωσον τὴν θεωρίαν σου τὴν ἐσωτέραν πρὸς Κύριον, καὶ πεῖσον αὐτὸν ἐν λύπῃ, ἐνισχύσαι τὴν ἀσθένειάν σου, καὶ γενέσθαι τὴν στιχολογίαν σου, καὶ τὰς ἐννοίας τῆς καρδίας σου εὐαρέστους τῷ θελήματι αὐτοῦ τῷ ἁγίῳ. καὶ εἰπὲ ἡσύχως ἐν τῇ εὐχῇ τῆς καρδίας σου οὕτω.

Εὐχή. Κύριε Ἰησοῦ ὁ Θεός μου, ὁ ἐπισκεπτόμενος τὴν κτίσιν σου, ᾧ δῆλα τὰ πάθη μου, καὶ ἡ ἀσθένεια τῆς φύσεως ἡμῶν, καὶ ἡ ἰσχὺς τοῦ ἀντιπάλου ἡμῶν, σὺ αὐτὸς σκέπασόν με ἐκ τῆς κακίας αὐτοῦ. διότι ἡ δύναμις αὐτοῦ κραταιά, καὶ ἡ φύσις ἡμῶν ταλαίπωρος, καὶ ἡ δύναμις ἡμῶν ἀσθενής. σὺ οὖν ἀγαθέ, ὁ ἐπιστάμενος τὴν ἀσθένειαν ἡμῶν, ὁ καὶ βαστάζων τὴν δυσκολίαν τῆς ἀδυναμίας ἡμῶν, φύλαξόν με ἐκ τῆς ταραχῆς

τῶν λογισμῶν, καὶ τοῦ κατακλυσμοῦ τῶν παθῶν, καὶ ἄξιον ποίησόν με ταύτης τῆς λειτουργίας τῆς ἁγίας· μήπως ἐν τοῖς πάθεσί μου φθείρω τὴν γλυκύτητα αὐτῆς, καὶ εὑρεθῶ ἀναιδὴς ἐνώπιόν σου, καὶ τολμηρός.

Δεῖ δὲ ἡμᾶς ἐν πάσῃ ἐλευθερίᾳ προσεύχεσθαι ἐν τῇ λειτουργίᾳ ἡμῶν, ἔξωθεν πάσης διανοίας νηπιώδους τεταραγμένης. ἐὰν δὲ ἴδωμεν, ὅτι ὥρα οὐκ ἔστι πολλή, καὶ ὀρθρίζωμεν πρὸ τοῦ τελειῶσαι ἡμᾶς, ἐάσωμεν ἑκουσίως ἐν γνώσει δόξαν μίαν, ἢ καὶ δύω ἐκ τοῦ ἔθους· ἵνα μὴ γένηται τόπος τῇ ταραχῇ, ἀφανίσαι τὴν γεῦσιν τῆς λειτουργίας ἡμῶν, καὶ θολώσωμεν τοὺς ψαλμοὺς τῆς πρώτης ὥρας.

Ἐὰν, ὁπηνίκα λειτουργεῖς, προσλαλήσῃ σοι, καὶ ψιθυρίσῃ ὁ λογισμὸς λέγων σοι, τάχυνον ὀλίγον, καὶ πληθύνεται τὸ ἔργον, καὶ ἐκλυτρώσῃ ταχέως, μὴ κανονίσῃς σεαυτόν· ἐὰν δὲ σφοδροτέρως ὀχλῇ ἐν τούτῳ, στράφηθι εὐθέως εἰς τὰ ὀπίσω δόξαν μίαν, ἢ ὅσον ἐθέλεις, καὶ ἕκαστον στίχον, βαστάζοντα τὸν τρόπον τῆς εὐχῆς μετὰ κατανοήσεως στιχολόγησον αὐτὸν πολλὰς βολάς· καὶ ἐὰν πάλιν ταράξῃ σε, ἢ σφίγξῃ κατὰ σοῦ, ἄφες τὴν στιχολογίαν, καὶ θοῦ τὸ γόνυ εἰς προσευχήν, καὶ εἰπέ, ἐγὼ οὐ ῥήματα θέλω μετρῆσαι, ἀλλὰ τὰς μονὰς καταφθάσαι. (1) ἐν πάσῃ γὰρ τρίβῳ μου, ἡ ὁδηγήσεις με, τα-

(1) „Ἀλλὰ τὰς μονὰς καταφθάσαι. ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν; ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἔφη. (Ἰωάν. ιδ. β.) ὁ δὲ Θεολόγος Γρηγόριος, ἔστι τὶ τὸ ταύτας προξενοῦν τὰς μονάς, ὡς ὁ ἐμὸς λόγος, (εἴρηκε γὰρ ἀνωτέρω μονὴν εἶναι τὴν ἐκεῖθεν ἀνάπαυσιν τε καὶ δόξαν, τὴν ἀποκειμένην τοῖς μακαρίοις.) ἢ οὐδέν; ἔστι πάντως. τί τοῦτο; τὸ διαφόρους εἶναι πολιτείας, καὶ προαιρέσεις, καὶ ἄλλην ἀλλαχοῦ

χέως ἐγὼ ἐν αὐτῇ πορεύσομαι. ἐκεῖνος δὲ ὁ λαὸς ὁ χωνεύσας τὸν μόσχον ἐν τῇ ἐρήμῳ, τεσσαράκοντα ἔτη ἐπορεύθησαν αὐτὴν διερχόμενοι, ἀνερχόμενοι, καὶ κατερχόμενοι τὰ ὄρη, καὶ τοὺς βουνοὺς, καὶ τὴν γῆν τῆς ἐπαγγελίας οὐδὲ μακρόθεν ἐθεάσαντο.

Ἐὰν δὲ ὅταν ἀγρυπνῇς, ἡ στάσις νικήσῃ σε ἐκ τοῦ μήκους τῆς ἐκτάσεως, καὶ ἀσθενήσῃς ἐκ τῆς ἀτονίας, καὶ εἴπῃ σοι ὁ λογισμὸς, μᾶλλον δὲ ὁ κακομήχανος προσλαλήσῃ τῷ λογισμῷ, καθὼς καὶ τῷ ὄφει, τελείωσον ἐπεὶ οὐ δύνασαι στῆναι, εἰπὲ αὐτῷ, οὐχ οὕτως, ἀλλὰ καθίσαιμι (1) κάθισμα ἕν, (καὶ αὐτὸ κρεῖττον τοῦ ὕπνου.) καὶ ἐὰν ἡ γλῶσσά μου σιωπᾷ, καὶ οὐ λέγῃ ψαλμὸν, ἡ διάνοιά μου δὲ ἀδολεσχῇ μετὰ τοῦ Θεοῦ ἐν τῇ εὐχῇ, καὶ τῇ ὁμιλίᾳ τῇ μετ' αὐτοῦ, ἡ ἐγρήγορσις ἐκ παντὸς τοῦ ὕπνου ὠφελι-

φέρειν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· ὥσπερ καὶ ὁδοὺς ὀνομάζομεν. πάσας οὖν ὁδευτέον, ἢ τινὰς τῶν ὁδῶν τούτων; εἰ μὲν οἷόν τε, τὸν αὐτὸν πάσας· εἰδὲ μὴ, ὅτι πλείστας· εἰ δὲ μὴ, τινάς· εἰδὲ μηδὲ τοῦτο, μέγα κἂν εἰ μίαν διαφερόντως, ὥσγέ μοι φαίνεται. (ἐν τῷ α. περὶ Θεολογ. Λόγ.) τοῦτο οὖν παραινεῖ ὁ ὅσιος εὔχεσθαι, τὸ πάσας τὰς διαφόρους τῆς ἀρετῆς πολιτείας μετελθεῖν. μετὰ γὰρ τὸ εἰπεῖν τὸ, τὰς μονὰς καταφθάσαι, προστίθησι καὶ τὸ, ἐν πάσῃ γὰρ τρίβῳ μου, ἣ ὁδηγήσεις με, ταχέως ἐγὼ ἐν αὐτῇ πορεύσομαι. ἀλλὰ καὶ τὸ ἑξῆς τοῦ λαοῦ, τοῦ τὸν μόσχον χωνεύσαντος ὑπόδειγμα, πάνυ κατάλληλον. ὥσπερ γὰρ οἱ τῷ μόσχῳ θύσαντες πολλὰς μὲν ὁδοὺς περιῆλθον, εἰς τὴν τῆς ἐπαγγελίας γῆν ἀφορῶντες, ἀλλὰ διὰ τὴν ἀπιστίαν αὐτῶν, ὑπὸ Θεοῦ μὴ ὁδηγούμενοι, τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ πλανηθέντες, οὐδὲ ἰδεῖν αὐτὴν ἠξιώθησαν· οὕτω δὴ καὶ οἱ τῷ ἀληθινῷ Θεῷ λατρεύοντες, εἰς τὴν ἐπαγγελθεῖσαν τοῖς μακαρίοις ἀνάπαυσιν εἰσελθεῖν ἐφιέμενοι, εἴγε μὴ ὑπὸ Θεοῦ κατευθύνοιντο πρὸς τὸ τὰς προξενούσας ταύτην τρίβους μετὰ πίστεως διελθεῖν, ἀποτυγχάνουσι δήπουθεν ταύτης, ἐν τῇ τῶν ἀρετῶν ἐρημίᾳ πλανώμενοι.

(1) Τὸ Β. Χ. κάθισαί μοι. ἴσ. καθίσωμαι.

ὠφελιμωτέρα ἐςίν. ἐχὶ ἡ ςάσις δὲ, ὅλη ἡ ἀγρυπνία ἐςὶν, ἐδὲ πάλιν ἡ ςιχολογία τῶν ψαλμῶν μόνων. ἀλλ᾽ ἔςιν ά. ὁ ἐν ψαλμοῖς ἐκφέρων ὅλην τὴν νύκτα. β΄. καὶ ἔςιν ὁ ἐν μετανοίᾳ, καὶ εὐχαῖς κατανύξεως, καὶ καταπλύσεσιν ἐπὶ τῆς γῆς. γ΄. καὶ ἔςιν ὁ ἐν κλαυθμῷ, καὶ δάκρυσι, καὶ θρηνώδεσιν ἐπὶ τοῖς ἑαυτῦ παραπτώμασιν. (ἐῤῥέθη περί τινος τῶν πρώτων ἡμῶν, ὅτι τεσσαράκοντα ἔτη εἷς λόγος ἦν ἡ εὐχὴ αὐτῦ· ἐγὼ ὡς ἄνθρωπος ἥμαρτον, σὺ δὲ ὡς Θεὸς συγχώρησον. καὶ ἤκεον αὐτῦ οἱ πατέρες μελετῶντος τὸν ςίχον ἐν λύπῃ· ὅτε ἔκλαιε, καὶ ἐχ ἡσύχαζε, καὶ ἀντὶ τῆς λειτεργίας ἦν αὐτῷ αὕτη ἡ εὐχὴ μόνη νυκτὸς καὶ ἡμέρας.) δ΄. καὶ ἔςιν ὁ ὀλίγα ἑσπέρας ςιχολογῶν, τὸ δὲ ὑπόλοιπον τῆς νυκτὸς διατρίβων εἰς τροπάρια. έ. καὶ ἔςιν ὁ εἰς δοξολογίαν καὶ ἀνάγνωσιν. ς΄. καὶ ἔςι πάλιν ὁ τιθεὶς ἑαυτῷ ὅρον μὴ κλῖναι γόνυ κατ᾽ ἐκεῖνον τὸν καιρὸν, μεθ᾽ ὃ ἐπολέμει ὁ λογισμὸς τῆς πορνείας. τῷ δὲ Θεῷ ἡμῶν δόξα, καὶ κράτος εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΘ.

ΠΕΡΙ
ΤΩΝ ΟΔΩΝ, ΤΩΝ ΠΛΗΣΙΑΖΕΙΝ ΤΩ ΘΕΩ ΠΟΙΟΥΣΩΝ,

καὶ φανερυμένων τῷ ἀνθρώπῳ ἐκ τῶν ἡδέων ἔργων τῆς νυκτερινῆς ἀγρυπνίας. καὶ ὅτι οἱ ἐν τῇ διαγωγῇ ταύτῃ ἐργαζόμενοι, μέλι τρέφονται πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν.

Μὴ νομίσῃς, ὦ ἄνθρωπε, ὅτι ἐν πάσῃ τῇ ἐργασίᾳ τῶν μοναχῶν ἐστι τὶς διαγωγὴ μείζων τῆς ἀγρυπνίας τῆς νυκτός. ἀληθῶς ἀδελφὲ, καὶ μεῖζόν ἐστι καὶ ἀναγκαιότατον τῷ ἐγκρατεῖ. ἐὰν μὴ γένηται τῷ ἀσκητῇ σκορπισμὸς, καὶ ταραχὴ ἐν τοῖς σωματικοῖς πράγμασι, καὶ ἐν τῇ μερίμνῃ τῶν παρερχομένων, ἀλλὰ παρατηρήσηται ἑαυτὸν ἀπὸ τοῦ κόσμου, καὶ φυλάξῃ ἑαυτὸν μετὰ ἀγρυπνίας, τούτου ὡς διὰ πτερύγων πέταται ἡ διάνοια ἐν βραχεῖ καιρῷ, καὶ ὑψωθήσεται πρὸς τὴν τερπνότητα τοῦ Θεοῦ, καὶ εἰς τὴν δόξαν αὐτοῦ ταχέως καταντήσει, καὶ ἐν τῇ γνώσει τῇ ὑπὲρ ἀνθρωπίνην ἔννοιαν νήχεται διὰ τῆς ἐλαφρότητος καὶ κουφότητος αὐτῆς. μοναχὸν διαμένοντα ἐν τῇ ἀγρυπνίᾳ μετὰ διακρίσεως νοὸς, τοῦτον μὴ ἴδῃς ὡς σαρκοφόρον. τάξεως γὰρ ἀγγελικῆς ὡς ἀληθῶς τοῦτο τὸ ἔργον. ἀδύνατον γὰρ τοὺς ἐν τῇ διαγωγῇ ταύτῃ διαπαντὸς πολιτευομένους, ἄνευ χαρισμάτων μεγάλων παρὰ Θεοῦ ἀφεθῆναι

θῆναι διὰ τὴν νῆψιν αὐτῶν, καὶ ἐγρήγορσιν τῆς καρδίας, καὶ διὰ τὴν ἐμμέριμνον διαγωγὴν τῶν λογισμῶν αὐτῶν πρὸς αὐτόν. ψυχὴ ἡ ἐν τῇ διαγωγῇ ταύτης τῆς ἀγρυπνίας κοπιῶσα, καὶ διαπρέπουσα, ὀφθαλμοὺς χερουβικοὺς ἕξει, τοῦ διαπαντὸς ἀτενίζειν καὶ κατοπτεύειν τὴν ἐπουράνιον θεωρίαν.

Ἐγὼ μὲν οἶμαι ἀδύνατον εἶναι, τὸν μετὰ γνώσεως, καὶ διακρίσεως ἐκλεξάμενον ἑαυτῷ τοῦτον τὸν κόπον τὸν μέγαν καὶ θεῖον, καὶ τὸ βάρος τοῦτο προαιρησάμενον βαστάσαι, μὴ ἀγωνίσασθαι ἐν τούτῳ τῷ δεδοξασμένῳ μέρει, ᾧ ἐξελέξατο, καὶ ἐν ἡμέρᾳ διαφυλάξαι ἑαυτὸν ἀπὸ τῆς ταραχῆς τῶν συντυχιῶν, καὶ τῆς τῶν ἔργων μερίμνης, ἵνα μὴ κενὸς γένηται ἀπὸ τῆς ἐπικαρπίας τῆς θαυμαστῆς, καὶ τῆς μεγάλης τρυφῆς, τῆς προσδοκωμένης τρυγηθῆναι ἐξ αὐτῆς. ὁ μέντοι ἀμελῶν τούτου, θαῤῥῶ λέγειν, ὅτι ἀγνοεῖ τίνος χάριν κοπιᾷ, καὶ τοῦ ὕπνου ἀπέχεται. καὶ ἐν τῇ στιχολογίᾳ τῇ πολλῇ, καὶ τῷ μόχθῳ τῆς γλώττης, καὶ τῇ ὁλονύκτῳ στάσει κακοπαθεῖ, μὴ ἔχων τὸν νοῦν αὐτοῦ ἐν τῇ ψαλμῳδίᾳ αὐτοῦ καὶ τῇ προσευχῇ, ἀλλ' ὡς ἀπὸ συνηθείας ἀγόμενος, κοπιᾷ ἀδιακρίτως. καὶ εἰ μὴ ταῦτα οὕτως ἐστὶν, ὡς ἔφην, πῶς ἂν ἐστέρηται τοῦ θερίζειν ἀπὸ τοῦ διηνεκοῦς σπέρματος αὐτοῦ, τοῦ ἐν τῷ κόπῳ, τὰς μεγίστας εὐεργεσίας, καὶ ἐπικαρπίας; (1) εἰ γὰρ ἀντὶ τούτων τῶν φροντίδων ἐξησχόλει ἑαυτὸν εἰς τὴν ἀνάγνωσιν τῶν θείων γραφῶν, τὴν ἐνδυναμοῦσαν τὸν νοῦν, καὶ μάλιστα οὖσαν ἀρδείαν τῆς προσευχῆς, καὶ βοηθοῦσαν εἰς τὴν ἀγρυπνίαν, καὶ ταύτης μὲν ὁμόζυγον, φῶς δὲ τῆς διανοίας ὑπάρχουσαν, εὗρεν ἂν αὐτὴν ὁδηγὸν εἰς τὴν

(1) Τὸ Ε. Χ. ἐργασίας καὶ ἐπικαρπίας;

εὐθεῖαν τρίβον, καὶ σπερματικὴν τῆς ὕλης τῆς θεωρίας ἐν τῇ προσευχῇ, τὴν δεσμεύουσαν (1) τὰς ἐνθυμήσεις ἀπὸ τοῦ μετεωρισμοῦ, τοῦ μὴ ῥέμβεσθαι, καὶ νέμεσθαι ἐν τοῖς ματαίοις, καὶ σπείρουσαν τὴν μνήμην τοῦ Θεοῦ ἐν τῇ ψυχῇ ἀδιαλείπτως, καὶ τὰς ὁδοὺς τῶν ἁγίων, τῶν εὐαρεστησάντων αὐτῷ, τὴν ἐμποιοῦσαν (2) τὸν νοῦν κτήσασθαι λεπτότητα καὶ σοφίαν, εὗρον ἂν πέπειρον τὸν καρπὸν τῶν τοιούτων ἐργασιῶν.

Τίνος οὖν ἕνεκεν, ὦ ἄνθρωπε, οὕτως ἀδιακρίτως διοικεῖς τὰ κατὰ σεαυτόν; ὅτι νυκτὸς μὲν παννύχιον στάσιν ἐπιτελεῖς, καὶ καταπονεῖς σεαυτὸν ἐν τε ψαλμῳδίαις, καὶ ὑμνῳδίαις, καὶ δεήσεσι· βαρὺ δέ σοι καὶ οὐ μικρὸν φαίνεται, διὰ βραχυτάτης ἐπιμελείας τῆς ἡμέρας καταξιωθῆναι τῆς χάριτος τοῦ Θεοῦ, χάριν τῆς σῆς κακοπαθείας ἐν τοῖς ἑταίροις; (3) τίνος χάριν καταπονεῖς σεαυτὸν, (4) καὶ νυκτὸς μὲν σπείρεις, ἡμέρας δὲ πετάζεις τὸν κόπον σου, καὶ εὑρίσκῃ ἄκαρπος, καὶ σκορπίζεις τὴν ἐγρήγορσιν, καὶ νῆψιν, καὶ θέρμην, ἣν ἐκτήσω, καὶ ἀποκλύεις τὸν κόπον σου μάτην ἐν ταῖς ταραχώδεσιν ὁμιλίαις τῶν ἀνθρώπων, καὶ τῶν πραγμάτων, ἄνευ τινὸς εὐλόγου προφάσεως; εἰ γὰρ τῇ νυκτερινῇ μελέτῃ ἀκόλουθον ἐποίεις τὴν ἡμερινὴν γεωργίαν, καὶ τὴν θέρμην τῆς καρδιακῆς ὁμιλίας, καὶ μὴ διάστασιν ἐν τῷ μέσῳ ἐτίθεις, ἐν ὀλίγῳ καιρῷ συμπλακῆναι τῷ στήθει τοῦ Ἰησοῦ εἶχες. ἀλλ᾽ ἐντεῦθεν φανερόν ἐστιν, ὅτι ἀδιακρίτως πολιτεύῃ, καὶ οὐκ οἶδας τίνος χάριν χρὴ τοὺς μονα-

χοὺς

(1) Ἴσ. καὶ δεσμεύουσαν. (2) Ἴσ. καὶ ἐμποιοῦσαν.
(3) Ἴσ. ἑτέροις.
(4) Καταπονεῖς σεαυτόν. Διατὶ σκορπίζεις τὴν ἐγρήγορσιν κτ. Τὸ Ε. Χ.

χȣς ἐγρηγορέναι. σὺ μὲν νομίζεις, ὅτι χάριν τȣ κοπιᾶν σε καὶ μόνον τέθεινται ταῦτα, καὶ ȣ δι᾽ ἕτερόν τι τικτόμενον ἐκ τȣ-των· ὁ δὲ καταξιωθεὶς ὑπὸ τῆς χάριτος μαθεῖν, χάριν ποίας ἐλπίδος ἀνθίςανται οἱ ἀγωνιςαὶ τῷ ὕπνῳ, καὶ ἐκβιάζονται τὴν φύσιν, καὶ διὰ τῆς ἐγρηγόρσεως τῶν σωμάτων αὐτῶν, καὶ τῶν ἐνθυμήσεων προσφέρȣσι τὰς ἐντεύξεις αὐτῶν καθ᾽ ἑκάςην νύκτα, ἐκεῖνος ἐπίςαται τὴν δύναμιν τὴν γινομένην ἀπὸ τῆς ἡμερινῆς φυλακῆς, καὶ ὁποίαν βοήθειαν δίδωσι τῷ νῷ ἐν τῇ ἡσυχίᾳ τῆς νυκτὸς, καὶ ποίαν ἐξȣσίαν κατὰ τῶν λογισμῶν λαμβάνει, καὶ ποίας καθαρότητος συνίει, καὶ πῶς ὁ ἐσμὸς τῶν ἀρετῶν ἀβιάςως καὶ ἀμάχως αὐτῷ χαρίζεται, καὶ μετὰ ἐλευθερίας ποιεῖ ἐννοῆσαι τὴν εὐγένειαν τῶν λογισμῶν. (1) ἐγὼ δὲ λέγω, ὅτι ἐὰν τὸ σῶμα ἀτονίσῃ διὰ τὴν ἀσθένειαν αὐτȣ, καὶ μὴ δυνηθῇ νηςεῦσαι, δύναται καὶ μόνῃ τῇ ἀγρυπνίᾳ κτήσασθαι ὁ νȣς τὴν κατάςασιν τῆς ψυχῆς, καὶ δȣναι τῇ καρδίᾳ νόησιν, τȣ καταμαθεῖν τὴν δύναμιν τὴν πνευματικὴν, μόνον ἐὰν μὴ γένηται αὐτῷ ἀφανισμὸς ἐκ τȣ πλατυσμȣ τῶν ἡμερινῶν αἰτιῶν.

Διὸ παρακαλῶ σε τὸν ἐφιέμενον κτήσασθαι νȣν νηφάλιον πρὸς τὸν Θεὸν, καὶ ἐπίγνωσιν τῆς καινῆς ζωῆς, ἐν πάσῃ τῇ ζωῇ σȣ μὴ ἀμελήσῃς τῆς ἀγρυπνίας τὴν πολιτείαν. διότι ἐξ αὐτῆς ἀνοίγονταί σȣ οἱ ὀφθαλμοὶ εἰς τὸ ἰδεῖν πᾶσαν τὴν δόξαν τῆς πολιτείας, καὶ τὴν δύναμιν τῆς ὁδȣ τῆς δικαιοσύνης. ἐὰν δὲ γένηταί σοι πάλιν, ὅπερ μὴ γένοιτο, λογισμὸς χαυνότη-

τος,

(1) Τὸ Ε. Χ. καὶ ποίαν ἐξȣσίαν κατὰ τῶν λογισμῶν, καὶ ποίαν καθαρότητα καὶ σύνοιαν ἀβιάςως αὐτῷ χαρίζεται, καὶ ἀμάχως, καὶ ὅτι μετὰ ἐλευθερίας αὐτὸν ποιεῖ ἐννοῆσαι τὴν εὐγένειαν τῶν λόγων.

τος, καὶ ἐμφωλεύσῃ σοι τυχὸν ἐκ πείρας τοῦ ἀντιλήπτορός σου, τοῦ συνήθως σε παραχωροῦντος ἀλλοιωθῆναι ἐν τοῖς τοιούτοις, εἴτε ἐν θερμότητι, εἴτε ἐν ψυχρότητι, ἢ ἐξ αἰτίας τινὸς, ἢ ἀσθενείας σώματος, ἢ διὰ τὸ μὴ δύνασθαί σε ὑπομεῖναι τὸν κόπον τῆς συνήθως παρὰ σοῦ γινομένης πολλῆς ψαλμῳδίας, καὶ τῆς εὐτόνου εὐχῆς, καὶ τῆς πολλῆς γονυκλισίας, ἃ εἴωθας ἀεὶ ἐκτελεῖν, παρακαλῶ σε ἐν ἀγάπῃ, ἐὰν καταλειφθῇς ἐκ τούτων, καὶ μὴ δυνηθῇς αὐτὰ διαπράξασθαι, κἂν καθήμενος γρηγόρησον, καὶ ἐν τῇ καρδίᾳ πρόσευξαι, καὶ μὴ ὑπνώσῃς, καὶ πάσῃ μηχανῇ διεξάγαγε τὴν νύκτα, καθήμενος, καὶ διαλογιζόμενος ἐννοίας ἀγαθάς. καὶ μὴ σκληρύνῃς τὴν καρδίαν σου, καὶ σκοτώσῃς αὐτὴν ἐν τῷ ὕπνῳ, καὶ πάλιν ἥξει σοι διὰ τῆς χάριτος ἡ πρώτη ἐκείνη θέρμη, καὶ ἡ ἐλαφρότης, καὶ ἡ δύναμις, καὶ σκιρτήσας χαρίσῃ, εὐχαριστῶν τῷ Θεῷ. ἡ γὰρ ψυχρότης, καὶ τὸ τοιοῦτον βάρος, πρὸς πεῖραν, καὶ δοκιμὴν παραχωρεῖται τῷ ἀνθρώπῳ. καὶ ἐὰν διεγείρῃ ἑαυτὸν μετὰ θερμότητος, καὶ ἐκτινάξῃ αὐτὰ ἀφ' ἑαυτοῦ μικρὸν ἀναγκασθεὶς, τηνικαῦτα πλησιάζει αὐτῷ ἡ χάρις, ὥσπερ ἦν, καὶ ἔρχεται αὐτῷ ἄλλη δύναμις, ἔχουσα πᾶν ἀγαθὸν ἐν ἑαυτῇ κεκρυμμένον, καὶ τὰ εἴδη τῆς ἀντιλήψεως. καὶ θαυμάσει ἐκπληττόμενος ὁ ἄνθρωπος, μνημονεύων τοῦ προτέρου βάρους, καὶ τῆς ἐπελθούσης ἐλαφρότητος καὶ δυνάμεως, καὶ τὴν διαφορὰν καὶ ἐλαφρότητα ἐννοῶν, καὶ πῶς αἰφνιδίως τοιαύτην ἐδέξατο ἀλλοίωσιν. καὶ ἔκτοτε σοφίζεται, ἵνα ἐὰν ἐπέλθῃ αὐτῷ τοιοῦτον βάρος, γνωρίσει αὐτὸ ἐκ τῆς πρώτης αὐτοῦ πείρας. ἐὰν γὰρ ἐν τῷ πρώτῳ καιρῷ μὴ ἀγωνίσηται ὁ ἄνθρωπος, ταύτην τὴν πεῖραν (1) οὐ δύνα-

(1) Τὸ Ε. Χ. ταύτην τὴν γνῶσιν.

δύναται κλίνεσθαι. ὁρᾷς πόσον σοφίζεται ὁ ἄνθρωπος, ὅταν ἐξυπνίσῃ ἑαυτὸν μικρὸν, καὶ ὑπομείνῃ ἐν τῷ καιρῷ τοῦ πολέμου; μόνον εἰ μὴ ἡ φύσις τοῦ σώματος ἐξησθένησε, καὶ οὐκ ἔστι πόλεμος, ἀλλ' ἀσθενείας ἀνάγκη. τότε γὰρ οὐκ ἔστι συμφέρον πολεμῆσαι τὴν φύσιν. ἐν μέντοι τοῖς λοιποῖς, καλόν ἐστι τὸ ἀναγκάσαι τινὰ ἑαυτὸν ἐν πᾶσι τοῖς ὠφελοῦσιν αὐτόν.

Ἡ διηνεκὴς γοῦν ἡσυχία ἡ μετὰ ἀναγνώσεως, καὶ ἡ σύμμετρος τῶν βρωμάτων μετάληψις, καὶ ἡ ἀγρυπνία ταχέως τὴν διάνοιαν ἐξυπνίζουσιν εἰς ἔκπληξιν τῶν πραγμάτων, εἰ μὴ γένηταί τις αἰτία, λύουσα τὴν ἡσυχίαν. αἱ ἔννοιαι αἱ κινούμεναι ἐν τοῖς ἡσυχάζουσιν, αὐτομάτως, χωρὶς σκέψεως ποιοῦσιν ἀμφοτέρους τοὺς ὀφθαλμοὺς δίκην κολυμβήθρας βαπτισμοῦ ἐν τοῖς χεομένοις δάκρυσι, καὶ τὰς παρειὰς βάπτουσι τῷ πλήθει ἑαυτῶν.

Ὅταν δὲ ἐγκρατείας δαμασθήσου τὸ σῶμα καὶ ἀγρυπνίας, καὶ τῇ προσοχῇ τῆς ἡσυχίας, (1) καὶ αἰσθάνῃ τοῦ σώματός σου τῇ ὀξύτητι τοῦ πάθους τῆς πορνείας ἔξωθεν τῆς φυσικῆς κινήσεως γινομένου, γίνωσκε ὅτι ἀπὸ λογισμῶν ὑπερηφανίας ἐπειράσθης. καὶ μίξον τῇ τροφῇ σου σποδὸν, καὶ προσκόλλησον τῇ γῇ τὴν σὴν γαστέρα, καὶ ἐξερεύνησον τί ἐννενόησας, καὶ μάθε τὴν ἀλλοίωσιν τῆς φύσεώς σου, καὶ τὰ παρὰ φύσιν σου ἔργα, καὶ ἴσως ἐλεήσει σε ὁ Θεὸς, καὶ ἐξαποστείλει σοι φῶς τοῦ μαθεῖν ταπεινωθῆναι, ἵνα μὴ αὐξηθῇ ἡ κακία σου. μὴ οὖν παυσώμεθα ἀγωνιζόμενοι, καὶ σπουδάζοντες, ἕως ἂν ἐν ἡμῖν τὴν μετάνοιαν ἴδωμεν, καὶ εὕρωμεν τὴν ταπείνωσιν, καὶ ἐπαναπαύσεται ἡ καρδία ἡμῶν ἐν τῷ Θεῷ. ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Τὸ Ε. Χ. τῆς καρδίας, καὶ τῆς ἡσυχίας.

ΛΟΓΟΣ Λ.

ΠΕΡΙ
ΕΥΧΑΡΙΣΤΙΑΣ ΘΕΟΥ. ΕΝ Ω ΚΑΙ ΚΑΤΗΧΗΣΕΙΣ ΚΕΦΑΛΑΙΩΔΕΙΣ.

Η εὐχαριστία τȣ̃ λαμβάνοντος ἐρεθίζει τὸν διδόντα τȣ̃ δȣ̃ναι δωρήματα μειζότερα τῶν προτέρων. ὁ μὴ εὐχαριστῶν ἐπὶ τοῖς μικροτέροις, καὶ ἐπὶ τοῖς μείζοσι ψεύστης ἐςὶ, καὶ ἄδικος. ὁ ἀσθενῶν, καὶ γινώσκων τὴν ἀῤῥωςίαν αὐτȣ̃, ζητεῖν ὀφείλει τὴν ἰατρείαν. ὁ δὲ ὁμολογῶν τὸν πόνον αὐτȣ̃, ἐγγίζει τῇ θεραπείᾳ αὐτȣ̃, καὶ εὐκόλως εὑρήσει αὐτήν. σκληρᾷ καρδίᾳ πληθύνονται οἱ πόνοι αὐτῆς, καὶ ὁ ἄῤῥωςος ὁ τῷ ἰατρῷ ἀντιτασσόμενος, ἡ κόλασις αὐτȣ̃ περισσεύεται. ȣ̓κ ἔςιν ἁμαρτία ἀσυγχώρητος, εἰ μὴ ἡ ἀμετανόητος. ȣ̓δὲ δώρημα διαμένει χωρὶς προσθήκης, εἰ μὴ τὸ ςερȣμενον εὐχαριςίας. τȣ̃ ἄφρονος τὸ μέρος, μικρόν ἐςιν ἐν ὀφθαλμοῖς αὐτȣ̃.

Μνημόνευε ἀεὶ τῶν ὑπερεχόντων σε τῇ ἀρετῇ, τȣ̃ ἰδεῖν σεαυτὸν λειπόμενον τȣ̃ μέτρȣ αὐτῶν διαπαντός. καὶ γενȣ̃ κατανοῶν ἀεὶ τὰς ἰσχυροτέρας θλίψεις τῶν τεθλιμμένων, ἢ κεκακωμένων, ὅπως τὴν προσήκȣσαν εὐχαριςίαν ἀποδώσῃς ὑπὲρ τῶν μικρῶν, καὶ εὐτελῶν τῶν παρὰ σοὶ εὑρισκομένων, καὶ δυνηθῇς μετὰ χαρᾶς ὑπομεῖναι αὐτάς. ἐν τῷ καιρῷ

τῆς

τῆς σῆς ἥττης, καὶ χαυνότητος, καὶ ὀκνηρίας δεδεμένος ὤν, καὶ κατεχόμενος ὑπὸ τοῦ ἐχθροῦ ἐν ἐπιπονωτέρᾳ ταλαιπωρίᾳ, καὶ μοχθηρῷ ἔργῳ τῆς ἁμαρτίας, ἐννόησον ἐν τῇ καρδίᾳ σου τὸν πρότερον καιρὸν τῆς σπουδῆς σου, καὶ πῶς ἦσθα φροντίζων ἕως καὶ τῶν λεπτοτέρων, καὶ τὸν ἀγῶνα ὃν ἐπεδείκνυες, καὶ πῶς ἐν ζήλῳ ἦς κινούμενος ἐξ ἐναντίας τῶν κωλῦσαι θελόντων τὴν ὁδοιπορίαν σου. πρὸς τούτοις δὲ, λογίζου καὶ τοὺς στεναγμοὺς, οὓς ὑπὲρ τῶν ἐλαττωμάτων ἐστέναζες, τῶν προσγινομένων σοι ἐκ τῆς ἀμελείας σου, καὶ πῶς ἐν πᾶσι τούτοις τὸν στέφανον τῆς νίκης ἐλάμβανες. καὶ γὰρ ἐν ταῖς τοιαύταις, καὶ τηλικαύταις μνήμαις, ἐξυπνίζεται ἡ ψυχή σου ὡς ἀπὸ βάθους, καὶ ἐνδύεται τὴν φλόγα τοῦ ζήλου, καὶ ὡς ἐκ νεκρῶν ἀνίσταται ἐκ τοῦ ποντισμοῦ αὐτῆς, καὶ ὑψοῦται, καὶ στρέφεται εἰς τὴν ἀρχαίαν τάξιν αὐτῆς διὰ θερμοῦ ἀγῶνος ἐξ ἐναντίας τοῦ διαβόλου, καὶ τῆς ἁμαρτίας.

Μνήσθητι τῆς πτώσεως τῶν δυνατῶν, καὶ ταπεινοῦσαι ἐν ταῖς ἀρεταῖς σου. μνημόνευε τῶν σκληρῶν παραπτωμάτων τῶν πάλαι παραπεσόντων, καὶ μεταγνόντων, καὶ τοῦ ὕψους καὶ τῆς τιμῆς, ἧς μετὰ ταῦτα ἠξιώθησαν, καὶ λήψῃ θάρσος ἐν τῇ μετανοίᾳ σου. καταδίωξον σεαυτὸν, καὶ καταδιωχθήσεται ὁ ἐχθρός σου ἀπὸ τῆς ἐγγύτητός σου. εἰρήνευσον ἐν σεαυτῷ, καὶ εἰρηνεύσει σοι ὁ οὐρανὸς καὶ ἡ γῆ. σπούδασον εἰσελθεῖν εἰς τὸ ταμεῖον τὸ ἔνδοθεν σου, καὶ ὄψει τὸ ταμεῖον τὸ οὐράνιον. ἓν γάρ ἐστι τοῦτο κἀκεῖνο. καὶ ἐν μιᾷ εἰσόδῳ θεωρεῖς τὰ ἀμφότερα. ἡ κλίμαξ τῆς βασιλείας ἐκείνης ἔνδοθέν σου ἐστὶ, κεκρυμμένη ἐν τῇ ψυχῇ σου. βάπτισον σεαυτὸν ἐν ἑαυ-

τῷ ἐκ τῆς ἁμαρτίας, (1) καὶ εὑρήσεις ἐκεῖ ἀναβάσεις, ἐν αἷς ἀναβαίνειν δυνήσῃ.

Ἡ γραφὴ οὐκ ἐξηγήσατο ἡμῖν, τί εἰσι τὰ πράγματα τοῦ μέλλοντος αἰῶνος· πῶς δὲ τὴν αἴσθησιν τῆς τρυφῆς αὐτῶν δεξόμεθα ἐντεῦθεν, δίχα τῆς φυσικῆς ἀλλοιώσεως, καὶ τῆς ἐξόδου τοῦ κόσμου τούτου; εὐκόλως ἐδίδαξεν ἡμᾶς, εἰ καὶ ἐν ὀνόμασι ποθεινῶν πραγμάτων, καὶ ἐνδόξων, τῶν παρ' ἡμῖν ἡδέων καὶ ἐντίμων ἔθηκεν ἡμῖν, πρὸς τὸ ἐρεθίσαι ἡμᾶς εἰς τὸν πόθον αὐτῶν, ἐν τῷ λέγειν· „ ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ τὰ ἑξῆς. ἀνήγγειλε δὲ ἡμῖν ἐν τούτῳ, ὅτι τὰ μέλλοντα ἀγαθὰ ἀκατάληπτά εἰσι, καὶ οὐκ ἔχουσιν ὁμοιότητά τινος τῶν ἐνταῦθα.

α. Κορινθ. β. θ.

Ἡ πνευματικὴ τρυφὴ οὐκ ἔστιν ἡ χρεία τῶν πραγμάτων τῶν ὑποστατικῶς ἔξωθεν τῆς ψυχῆς τῶν λαμβανόντων (2) εὑρισκομένη· εἰ δὲ μή, τό, ἡ βασιλεία τῶν οὐρανῶν ἔνδοθεν ὑμῶν ἐστί, καὶ τό, ἐλθέτω ἡ βασιλεία σου, λοιπόν, ὕλην πραγμάτων „ αἰσθητῶν ἡμεῖς ἐκτησάμεθα ἔνδοθεν ἡμῶν πρὸς ἀρρα„ βῶνα τῆς τρυφῆς, τῆς ἐν αὐτοῖς. ἀναγκαῖον γάρ ἐστιν ὅμοιον εἶναι

Λουκ. ιζ. κα. Ματθ. ϛ. ι.

(1) Τί δηλοῖ τό, βάπτισον σεαυτὸν ἐν ἑαυτῷ ἐκ τῆς ἁμαρτίας; ἢ ὅτι τό, βαθεῖα θεωρία, καὶ μελέτη ἐνδομύχῳ ἀναλογίζου τὴν σεαυτοῦ ἁμαρτίαν· ἐκ τούτου γὰρ αἱ ἀναβάσεις. καὶ γὰρ ὁ ἄσωτος υἱὸς εἰς ἑαυτὸν ἐλθών, καὶ τὰς ἁμαρτίας αὐτοῦ εἰς νοῦν ἀναλαβών, τὴν πρὸς τὸν πατέρα αὐτοῦ εὗρεν ἀνάβασιν.

(2) Τὸ Ε. Χ. τῶν ὑποστατικῶς ἔξωθεν τῆς ψυχῆς λαμβανόντων. ὀρθότερον ὅμως λαμβανομένων, ἢ ὑπαρχόντων. τὸ δὲ ἑξῆς ἐλλειπὲς ἂν εἴη, εἰ μή τι προστεθῇ· ἀναγνωστέον δὲ τυχὸν οὕτω. εἰ δὲ μή, τό, ἡ βασιλεία τῶν οὐρανῶν ἔνδοθεν ὑμῶν ἐστί, καὶ τό, ἐλθέτω ἡ βασιλεία σου ἐμφαίνουσι λοιπόν, ὅτι ὕλην πραγμάτων. κτ.

εἶναι τὸ κτῆμα τῷ ἀῤῥαβῶνι, καὶ τὸ ὅλικον τῷ μέρει. καὶ
τὸ ὡς ἐν ἐσόπτρῳ, εἰ καὶ οὐχ ὑποστατικῶς δεικνύει, ἀλλὰ
πάντως κτῆμα ὁμοιώσεως δηλοῖ. ἐὰν δὲ ὡς ἡ ἀληθὴς μαρ-
τυρία τῶν ἑρμηνευσάντων τὰς γραφὰς, ὅτι αὐτὴ ἡ αἰσθητικὴ
ἐνέργεια νοερὰ τοῦ ἁγίου πνεύματός ἐστι, καὶ αὐτὴ λοιπὸν
μέρος ἐστὶν ἐκείνου τοῦ ὅλου.

Φιλάρετός ἐστιν, οὐχ ὁ ποιῶν τὰ καλὰ ἀγωνιστικῶς, ἀλλ'
ὁ ὑποδεχόμενος τὰ ἀκολουθοῦντα κακὰ μετὰ χαρᾶς. οὐκ ἔστι
μέγα τὸ ὑπομεῖναι τινὰ θλίψεις τὰς ὑπὲρ τῆς ἀρετῆς, ὡς
τὸ μὴ ἀπορῆσαι τὸν νοῦν ἐν τῇ ἐκλογῇ τοῦ ἀγαθοῦ θελήμα-
τος αὐτοῦ, ἐν τῇ κολακείᾳ τοῦ χαργαλισμοῦ. πᾶσα μεταμέ-
λεια γινομένη μετὰ τὴν τοῦ αὐτεξουσίου ἀφαίρεσιν, οὔτε χα-
ρὰν βρύει ἐν αὐτῇ, οὔτε ψηφίζεται πρὸς ἀμοιβὴν τῶν κτη-
σαμένων αὐτήν.

Σκέπασον τὸν πταίοντα, ὅταν οὐκ ἔχῃς ζημίαν ἐξ αὐ-
τοῦ. καὶ αὐτὸν μὲν θαῤῥεῖν παρασκευάζεις, σὲ δὲ, βαστά-
ζει τὸ ἔλεος τοῦ δεσπότου σου. στήριξον τοὺς ἀσθενεῖς, καὶ τοὺς λε-
λυπημένους τῇ καρδίᾳ τῷ λόγῳ, καὶ ὅσον ἡ χείρ σου εὐπορεῖ, καὶ
ὑποστηρίξει σε ἡ δεξιὰ ἡ βαστάζουσα τὰ πάντα. γίνου κοινωνὸς
μετὰ τῶν τῇ καρδίᾳ λελυπημένων, ἐν τῷ πόνῳ τῆς προ-
σευχῆς, καὶ τῇ συνοχῇ τῆς καρδίας σου, καὶ ἀνοίγεται ἔμ-
προσθεν τῶν αἰτημάτων σου πηγὴ ἐλέους. κοπίασον σεαυτὸν
ἐν ταῖς λιταῖς ἀεὶ ἐνώπιον τοῦ θεοῦ, ἐν καρδίᾳ βασταζούσῃ λο-
γισμὸν καθαρὸν, πεπληρωμένον κατανύξεως. καὶ ὁ Θεὸς φυ-
λάττει τὴν διάνοιάν σου ἐκ τῶν ἀκαθάρτων τε καὶ ῥυπαρῶν
λογισμῶν, ἵνα μὴ ἡ ὁδὸς τοῦ Θεοῦ ἐνυβρισθῇ ἐν σοί. κόλασον
σεαυτὸν διαπαντὸς ἐν τῇ μελέτῃ τῆς ἀναγνώσεως τῶν θείων

γραφῶν, ἐν ἀκριβεῖ κατανοήσει, ἵνα μὴ προφάσει τῆς ἀργίας τοῦ νοῦ μολυνθῇ ἡ ὅρασίς σου ἐν ἀκολάστοις ἀλλοτρίοις μολυσμοῖς· μὴ θελήσῃς πειράσαι τὴν διάνοιάν σου ἐν ἀκολάστοις λογισμοῖς, ἢ προσώποις τοῖς πειράζουσί σε, ἡνίκα νομίζεις μὴ ἡττηθῆναι ὑπ᾽ αὐτῶν· διότι οἱ σοφοὶ, ἐν τούτῳ τῷ τρόπῳ ἐσκοτίσθησαν, καὶ ἐμωράνθησαν. μὴ ταμιεύσῃς τὴν φλόγα ἐν τῷ κόλπῳ σου ἄνευ ἰσχυροτέρων θλίψεων τῆς σαρκός σου.

Δύσκολόν ἐστι τὴν νεότητα χωρὶς γυμνασίας δεσμουθῆναι ὑπὸ τὸν ζυγὸν τοῦ ἁγιασμοῦ. ἡ ἀρχὴ τοῦ σκοτασμοῦ τοῦ νοῦ, (ἡνίκα ὁρᾶται τὸ σημεῖον αὐτοῦ ἐν τῇ ψυχῇ) ἐν πρώτοις εἰς τὴν ὀκνηρίαν τῆς λειτουργίας, καὶ τῆς προσευχῆς. ἄλλη γὰρ ὁδὸς τῆς πλάνης τῆς ψυχῆς οὐκ ἔστιν, εἰ μὴ πρῶτον ἐκεῖθεν ἐκπέσῃ. ἡνίκα γὰρ τῆς βοηθείας τοῦ Θεοῦ στερηθῇ, εὐχερῶς ὑποπίπτει εἰς τὰς χεῖρας τῶν ἀντιπάλων αὐτῆς. καὶ ἄλλο. ὅταν ἡ ψυχὴ πάλιν ἀμέριμνος γένηται ἐκ τῶν τῆς ἀρετῆς ἔργων, πάντως εἰς τὰ ἐναντία τούτων διασύρεται. ἡ μετάβασις ἐκ ποίου πλαγίου γίνεται, (1) ἀρχή ἐστι τοῦ ἐξ ἐναντίας μέρους. εἰ πράξῃ τὰ τῆς ἀρετῆς, καὶ τὰ τῆς ψυχῆς, καὶ μὴ φροντίσῃ τῶν ματαίων. δεῖξον τὴν ἀσθένειάν σου ἔμπροσθεν τοῦ Θεοῦ διαπαντὸς, καὶ οὐ μὴ δοκιμασθῇς ὑπὸ τῶν ἀλλοτρίων, ὁπόταν μονωθῇς ἀπὸ τοῦ ἀντιλήπτορός σου.

Ἡ πρᾶξις τοῦ σταυροῦ διπλῆ ἐστί. καὶ τοῦτο πρὸς τὸ διπλοῦν τῆς φύσεως, τὸ διαιρούμενον εἰς δύω μέρη. καὶ ἡ μὲν,

πρὸς

(1) Τὸ ἐκ ποίου πλαγίου, τὸ ἐξ ὁποίου μέρους τυχὸν σημαίνει. ὥσπερ ἂν εἰ λέγοι· ἡ μετάβασις ἐξ ὁποίου ἂν μέρους γένοιτο, εἴτε ἐκ τῆς ἀρετῆς, εἴτε ἐκ τῆς κακίας, ἀρχή ἐστι τοῦ ἐναντίου μέρους. εἴτουν, ἐὰν μὲν ἐκ τῆς ἀρετῆς μεταβῇ τις, ἄρχεται τῆς κακίας· ἐὰν δὲ ἐκ τῆς κακίας ἄρχεται τῆς ἀρετῆς.

πρὸς τὸ ὑπομεῖναι τὰς θλίψεις τῆς σαρκὸς, τὰς πληρουμέ-
νας τῇ ἐνεργείᾳ τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς ἐστὶ, καὶ κα-
λεῖται πρᾶξις· ἡ δὲ, ἐν τῇ λεπτῇ ἐργασίᾳ τοῦ νοῦ, καὶ ἐν
τῇ θείᾳ εὑρίσκεται ἀδολεσχίᾳ, ἔτι δὲ καὶ ἐν τῇ διαμονῇ τῆς
προσευχῆς, καὶ εἰς τὰ ἑξῆς. ἥτις διαπράττεται ἐν τῷ ἐπι-
θυμητικῷ μέρει, καὶ καλεῖται θεωρία. καὶ ἡ μία μὲν, ἤγουν
ἡ πρᾶξις, τὸ παθητικὸν μέρος τῆς ψυχῆς καθαρίζει ἐν τῇ
δυνάμει τοῦ ζήλου. ἡ δ' ἄλλη, τὴν ἐνέργειαν τῆς ἀγάπης τῆς
ψυχῆς. ἥτις ἐστὶν ἐπιπόθησις φυσική. ἥτις διϋλίζει τὸ νοητὸν
μέρος τῆς ψυχῆς. ἕκαστος οὖν πρὸ τῆς τελείας γυμνασίας
ἐν τῷ πρώτῳ μέρει, διαβαίνων πρὸς ἐκείνην τὴν δευτέραν
διὰ τὴν ἡδονὴν αὐτῆς ἐρωτικῶς, ἵνα μὴ λέγω ἐξ ὀκνηρίας,
ἡ ὀργὴ ἐπέρχεται αὐτῷ, διὰ τὸ μὴ νεκρῶσαι πρῶτον τὰ
μέλη αὐτοῦ τὰ ἐπὶ τῆς γῆς, τουτέστι τὸ ἰάσασθαι τὴν ἀσθέ-
νειαν τῶν λογισμῶν ἐν τῇ ὑπομονῇ τῆς ἐργασίας τῆς ὕβρεως
τοῦ σταυροῦ. ἐτόλμησε γὰρ τοῦ φαντασθῆναι ἐν τῷ νοῒ αὐτοῦ
τὴν δόξαν τοῦ σταυροῦ. τοῦτο δέ ἐστι τὸ ῥηθὲν ὑπὸ τῶν ἀρ-
χαίων ἁγίων· ὅτι πρὸ τοῦ ἡσυχάσαι τὰ αἰσθητήρια ἀπὸ τῆς
ἀσθενείας, εἰ βουληθῇ ὁ νοῦς ἀναβῆναι ἐπὶ τὸν σταυρὸν, ἡ ὀργὴ
τοῦ Θεοῦ ἔρχεται ἐπ' αὐτόν. ἡ ἀνάβασις ἡ ἐπιφέρουσα τὴν
ὀργὴν τοῦ σταυροῦ, οὐχὶ τῷ πρώτῳ μέρει τῆς ὑπομονῆς τῶν
θλίψεων, ἥτις ἐστὶ σταύρωσις τῆς σαρκὸς, ἀλλὰ τὸ ἀνελθεῖν
εἰς τὴν θεωρίαν, ἥτις ἐστὶ δεύτερον μέρος τὸ μετὰ τὴν ἴασιν
τῆς ψυχῆς γινόμενον. οὗτινος ἡ διάνοια μεμολυσμένη ἐν τοῖς
τῆς ἀτιμίας πάθεσι, καὶ τρέχει τοῦ φαντασθῆναι ἐν τῇ δια-
νοίᾳ αὐτοῦ τὰς φαντασίας τῶν λογισμῶν, ἐν ἐπιτιμίῳ ἐπιστο-
μίζεται, διὰ τὸ μὴ πρότερον καθαρεῦσαι τὴν διάνοιαν ἐν θλί-
ψεσι,

ψεσι, καὶ ὑποτάξαι τὰς ἐπιθυμίας τῆς σαρκός. ἀλλ' ἐκ τῆς ἀκοῆς τῶν ὤτων, καὶ τῦ μέλανος τῶν γραμμάτων, ἔδραμε κατὰ πρόσωπον αὐτῦ, τῦ παρελθῆναι ἐν ὁδῷ πεπληρωμένη γνόφων, καὶ αὐτὸς τυφλὸς τοῖς ὄμμασι. καὶ γὰρ οἱ τῇ ὁράσει ὑγιαίνοντες, καὶ πεπληρωμένοι φωτὸς, καὶ κεκτημένοι ὁδηγὸς τῆς χάριτος, καὶ αὐτοὶ ἐν κινδύνῳ εἰσὶ νυκτὸς καὶ ἡμέρας. ἡνίκα οἱ ὀφθαλμοὶ αὐτῶν πεπληρωμένοι δακρύων, καὶ ἐν τῇ προσευχῇ, καὶ τῷ κλαυθμῷ ἐξυπηρετῶσω ὅλίω τίω ἡμέραν, καὶ τῇ νυκτὶ, διὰ τίω πτόησιν τῆς ὁδοιπορίας, ϗ διὰ τὰς κρημνὰς τὰς ἰχυροτέρας τὰς ἀπαντῶντας αὐτοῖς, καὶ τὰ χήματα τῆς ἀληθείας, τὰ εὑρισκόμενα μεμιγμένα μετὰ τῶν ὑποκρινομένων χημάτων.

Τὰ τῦ Θεῦ, φησὶν, ἀφ' ἑαυτῶν ἔρχονται σῦ μὴ αἰσθανομένυ. ναὶ. ἀλλ' ἐὰν ὁ τόπος καθαρὸς, καὶ ὃ ῥυπαρός. ἐὰν δὲ μὴ ἡ κόρη τῦ ὀφθαλμῦ τῆς ψυχῆς σε καθαρὰ ἦ, μὴ τολμήσῃς ἀτενίσαι εἰς τίω σφαῖραν τῦ ἡλίε, ἵνα μὴ σερηθῇς καὶ αὐτῆς τῆς μικρᾶς αὐγῆς, ἥτις ἐςὶν ἡ ἁπλῆ πίςις, καὶ ἡ ταπείνωσις, καὶ ἡ ἐξομολόγησις ἡ καρδιακὴ, ϗ τὰ μικρὰ ἔργα τὰ κατὰ τίω δύναμίν σε, καὶ ἀποῤῥιφήσῃ ἐν ἐκεῖ χώρῳ τῶν νοητῶν, ὅς ἐςι τὸ ἐξώτερον σκότος, τὸ ἔξωθεν τῦ Θεῦ, τύπον φέρον τῦ ᾅδε, ὡς ἐκεῖνος ὁ ἀναισχυντήσας εἰσελθεῖν εἰς τὸν γάμον ἐν ῥυπαροῖς ἱματίοις.

Ἐκ τῶν καμάτων καὶ τῆς φυλακῆς βρύει ἡ καθαρότης τῶν λογισμῶν. καὶ ἐκ τῆς καθαρότητος τῶν λογισμῶν τὸ φῶς τῦ φρονήματος. καὶ ἐντεῦθεν ἐκ τῆς χάριτος ὁδηγεῖται ὁ νῦς εἰς ἐκεῖνο, εἰς ὅπερ ἐκ ἔχεσιν ἐξεσίαν αἱ αἰσθήσεις, ὅτε διδάσκεσιν, ὅτε διδάσκονται.

Λογι-

Λόγισαι παρὰ σεαυτῷ τὴν ἀρετὴν, εἶναι σῶμα· τὴν δὲ θεωρίαν, ψυχήν· τὰ δὲ ἀμφότερα, εἷς ἄνθρωπος τέλειος ἐν πνεύματι ἡνωμένος, ἐκ δύω μερῶν, αἰσθητῶν, καὶ νοητῶν. καὶ ὥσπερ ἀδύνατον, ἵνα ἔλθῃ ἡ ψυχὴ εἰς γένεσιν, καὶ γέννησιν χωρὶς τελειότητος τῆς διαπλάσεως τοῦ σώματος σὺν τοῖς μέλεσιν αὐτοῦ, οὕτως ἀδύνατον ἐλθεῖν τὴν ψυχὴν εἰς τὴν θεωρίαν τὴν δευτέραν, ἥτις ἐστὶ πνεῦμα τῆς ἀποκαλύψεως, ἡ εἰκονιζομένη ἐν τῇ γαστρὶ τῆς μήτρας, τῆς δεχομένης τὴν ὕλην τοῦ πνευματικοῦ σπέρματος, χωρὶς τελειώσεως τοῦ ἔργου τῆς ἀρετῆς· ὅπερ ἐστὶν οἶκος τῆς διαγνώσεως, τῆς δεχομένης τὰς ἀποκαλύψεις.

Θεωρία ἐστὶν αἴσθησις τῶν θείων μυστηρίων τῶν κεκρυμμένων ἐν τοῖς πράγμασι, καὶ ταῖς αἰτίαις. ὅταν ἀκούσῃς ἀπόστασιν τοῦ κόσμου, ἢ κατάληψιν, ἢ τὴν καθαρότητα τοῦ κόσμου, ἐξ ἀρχῆς χρήζεις μαθεῖν, καὶ γνῶναι οὐκ ἰδιωτικῶς, ἀλλ' ἐν ταῖς ἐννοίαις ταῖς νοηταῖς, τί ἐστιν ἡ ἐπωνυμία τοῦ κόσμου, καὶ ἐκ πόσων διαφορῶν συνίσταται τοῦτο τὸ ὄνομα, καὶ τότε δυνήσῃ γνῶναι τὴν ψυχήν σου, πόσον ἀπέχει ἀπὸ τοῦ κόσμου, καὶ ποίαν μίξιν ἔχει πρὸς τὸν κόσμον.

Κόσμος ἐστὶν ὄνομα περιεκτικὸν ἐπιπίπτον ἐπὶ τὰ εἰρημένα πάθη. ἐὰν γὰρ μὴ πρῶτον γνῷ ὁ ἄνθρωπος τί ἐστιν ὁ κόσμος, οὐδὲ φθάνει γνῶναι εἰς πόσα μέλη ἀπέχει ἀπὸ τοῦ κόσμου, καὶ εἰς πόσα δέδεται ἐν αὐτῷ. πολλοί εἰσιν οἵτινες ἐν δύω, καὶ τρισὶ μέλεσιν ἀπέστησαν ἐκ τοῦ κόσμου, καὶ ἐκώλυσαν ἑαυτοὺς ἐξ αὐτῶν, καὶ ἐνόμισαν ἑαυτοὺς ξένους εἶναι τοῦ κόσμου ἐν τῇ διαγωγῇ αὐτῶν, διὰ τὸ μὴ συνιέναι, καὶ ἰδεῖν σοφῶς, ὅτι ἐν δυσὶ μέλεσι τῷ κόσμῳ ἀπέθανον, καὶ τὰ λοιπὰ μέλη αὐτῶν ζῶσιν

ἔνδοθεν τοῦ σώματος τῷ κόσμῳ. ὅμως οὐδὲ εἰς τὰ πάθη αὐτῶν ἠδυνήθησαν αἰσθηθῆναι. καὶ ὅτε οὐκ ᾐσθήθησαν αὐτῶν, οὐδὲ περὶ τῆς θεραπείας αὐτῶν ἐφρόντισαν.

Ὁ κόσμος λέγεται ἐκ τῆς ἐξετάσεως τῆς θεωρίας καὶ σύστασις τοῦ περιεκτικοῦ ὀνόματος, τοῦ ἐπιπίπτοντος ἐπὶ τὰ πάθη τὰ μεμερισμένα. καὶ ὅτε θέλομεν ὀνομάσαι ὁλικῶς τὰ πάθη, ὀνομάζομεν αὐτὰ κόσμον. καὶ ὅτε θέλομεν ἀφορίσαι αὐτὰ εἰς τὴν διαίρεσιν τῶν ὀνομάτων αὐτῶν, πάθη ὀνομάζομεν αὐτά. καὶ τὰ πάθη μέρη εἰσὶ τοῦ δρόμου τῆς διαδοχῆς τοῦ κόσμου. (1) καὶ ὅπου λήγουσι τὰ πάθη, ἐκεῖ ὁ κόσμος ἠθήθη (2) ἐκ τῆς διαδοχῆς αὐτοῦ. τὰ δὲ πάθη, εἰσὶ ταῦτα. ὁ πόθος τοῦ πλούτου, τὸ συνάξαι πράγματά τινα, ἡ τρυφὴ τοῦ σώματος, ἀφ' ἧς τὸ πάθος τῆς συζυγίας, ὁ πόθος τῆς τιμῆς, ἐξ ἧς ὁ φθόνος βρύει, ἡ οἰκονομία τῆς ἀρχῆς, ἡ φυσίωσις τῆς εὐπρεπείας τῆς ἐξουσίας, ἡ κόσμησις καὶ ἡ περπερότης, ἡ ἀνθρωπίνη δόξα, ἥτις ἐστὶν αἰτία τῆς μνησικακίας, ὁ φόβος τοῦ σώματος. ὅπου ταῦτα παύονται τοῦ δρόμου, ἐκεῖ ἀπέθανεν ὁ κόσμος. καὶ καθ' ὅσον ἐκεῖ τινὰ μέρη ὑπολιμπάνεται ἐκ τούτων, κατὰ τοσοῦτον ἔξω μένει ὁ κόσμος, ἀργῶν ἐκ τῆς συστάσεως αὐτοῦ. καθὼς περὶ τῶν ἁγίων ἔφη τὶς, ὅτι ὅτε ἔζων, ἦσαν τεθνηκότες. ζῶντες γὰρ τῇ σαρκὶ, οὐ σαρκικῶς ἔζων. καὶ σὺ βλέπε ἐν ποίοις τούτων ζῇς, καὶ τότε γνώσῃ ἐν ποίοις (3) μέρεσι ζῇς τῷ κόσμῳ, καὶ ὅπως (4) τέθνηκας. ὅτε μάθῃς

τί ἐστι

(1) Τὸ Ε. Χ. καὶ τὰ πάθη μέρη εἰσὶ τοῦ κόσμου.
(2) Τὸ Ε. Χ. ὁ κόσμος ἔστη ἐκ τῆς διαδοχῆς αὐτοῦ.
(3) Ἐν πόσοις τὸ Ε. Χ.
(4) Τὸ Ε. Χ. καὶ ἐν ποίοις.

τί ἐστιν ὁ κόσμος, ἐκ τῆς διαφορᾶς τούτων μανθάνεις ἐν τίσι δέδεσαι ἐν τῷ κόσμῳ, καὶ ἐν τίσι λέλυσαι ἐξ αὐτοῦ. καὶ ἵνα συντόμως εἴπω, ὁ κόσμος ἐστὶν ἡ διαγωγὴ ἡ σαρκικὴ, καὶ τὸ φρόνημα τῆς σαρκός. διὰ τὸ ἀπᾶραι δὲ ἑαυτόν τινα ἐκ τούτων, γινώσκεται ὅτι ἐξῆλθεν ἐκ τοῦ κόσμου. καὶ τὸ ἀπαλλοτριωθῆναι ἐκ τοῦ κόσμου, ἐκ τῶν δύω τούτων γινώσκεται, ἐκ τῆς καλλίστης διαγωγῆς, καὶ ἐκ τῆς διαφορᾶς τῶν νοημάτων αὐτοῦ τοῦ νοός. λοιπὸν ἐξ ὧν βλαστάνει ἐν τῇ διανοίᾳ σου περὶ τῶν πραγμάτων, ὑπὲρ ὧν μετεωρίζεται ἡ διάνοια ἐν τοῖς νοήμασιν αὐτοῖς, καὶ ἐκ τούτων φθάνεις τὸ μέτρον τῆς διαγωγῆς σου· ἐν ποίοις ἐπιποθεῖ ἡ φύσις χωρὶς κόπου, καὶ ποῖά εἰσι βλαστήματα, τὰ ἀδιάλειπτα, καὶ ποῖά εἰσι τὰ κινήματα ἀπὸ τοῦ συμβεβηκότος· καὶ εἰ ἡ διάνοια ἔλαβεν αἴσθησιν τὴν τῶν νοημάτων παντελῶς τῶν ἀσωμάτων, καὶ ἐὰν ὅλη ὑλικῶς κινῆται. καὶ ταῦτα τὰ ὑλικὰ, ἐμπαθῆ εἰσίν. αἱ σφραγίδες γὰρ τῆς τῶν ἔργων σωματώσεως, ἐν αἷς φαντάζεται ἡ διάνοια ἀκουσίως ἐν πᾶσιν οἷς διαπράττεται, εἰσὶν αἱ ἀρεταί. καὶ ἐξ αὐτῶν χωρὶς ἀσθενείας λαμβάνει τῆς θέρμης αἰτίαν, καὶ τῆς συναγωγῆς τῶν λογισμῶν ἐν τῷ ἀγαθῷ σκοπῷ τοῦ καμεῖν σωματικῶς, διὰ τὴν γυμνασίαν αὐτῆς, ἐὰν οὐκ ἐμπαθῶς ἐργάζηται αὐτά. καὶ βλέπε ἐὰν οὐκ ἀῤῥωστῇ ἡ διάνοια ἐν τῇ ἀπαντήσει τῶν σφραγίδων τῶν κρυπτῶν λογισμῶν, διὰ τὴν φλόγα τὴν κρείττονα τὴν κατὰ Θεόν· ἥτις συνήθης ἐστὶ τοῦ κόπτειν τὰς μνήμας τὰς ματαίας.

Ταῦτα τὰ σημεῖα τὰ μικρὰ τοῦ κεφαλαίου τούτου ἀρκοῦσι τῷ ἀνθρώπῳ τοῦ φωτίσαι αὐτὸν, ἐὰν ἡσυχάζῃ, καὶ ἡ ἀφωρισμένος, ἀντὶ πολλῶν βιβλίων, οὕτω κραταιότερός ἐστιν ἐν τῷ

ἀνθρώπῳ ὁ φόβος τοῦ σώματος, ὥστε πολλάκις ἐκ τῶν ἐνδόξων, καὶ ἐντίμων πραγμάτων μένειν ἄπρακτον ἐξ αὐτοῦ. καὶ ὅτε παρακύψει ἐπὶ τῷ φόβῳ τοῦ σώματος ὁ φόβος τῆς ψυχῆς, τότε ἐξαδθενεῖ ὁ φόβος τοῦ σώματος ἀπὸ ἔμπροσθεν τοῦ φόβου τῆς ψυχῆς, ὡς κηρὸς ἐκ τῆς δυνάμεως τῆς φλογὸς τῆς ἐν αὐτῷ. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΛΑ.

ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΤΗΣ ΕΝ ΗΣΥΧΙΑ ΔΙΑΚΡΙΣΕΩΣ,

καὶ περὶ τῆς τοῦ νοὸς ἐξουσίας, καὶ μέχρι τίνος ἔχει ταύτην τὴν ἐξουσίαν τοῦ κινῆσαι τὰς ἰδίας κινήσεις ἐν τῇ διαφορᾷ τῶν τῆς προσευχῆς σχημάτων. καὶ τίς ὁ τῇ φύσει δεδομένος ὅρος τῆς προσευχῆς· καὶ τίνος μέχρι ἐξουσιάζεις ἐν αὐτῇ προσεύχεσθαι· καὶ ὃν διαβαινέσης ὅρον, μὴ εἶναι ταύτην προσευχήν, εἰ καὶ προσηγορίᾳ προσευχῆς λέγεται τὸ τελέμενον.

Δόξα τῷ ἐκχέαντι πλουσίως τὰς ἑαυτοῦ δωρεὰς ἐν τοῖς ἀνθρώποις. ὅτι σαρκικοὺς ὄντας, ἐποίησεν αὐτοὺς λειτουργεῖν αὐτῷ ἐν τάξει τῶν ἀσωμάτων φύσεων, καὶ κατηξίωσε τὴν τῶν χοϊκῶν φύσιν λαλῆσαι περὶ τοιούτων μυστηρίων· καὶ μάλιστα ἁμαρτωλοὺς, καθ᾽ ἡμᾶς, τοὺς μὴ ὄντας ἀξίους, μήτε ἀκοῦσαι τοιούτων λόγων. ἀλλὰ τῇ χάριτι αὐτοῦ διήνοιξε τὴν πόρωσιν

ὅιν τῆς καρδίας ἡμῶν, τῦ κατανοῆσαι ἐκ τῆς θεωρίας τῶν γραφῶν, καὶ διδαχῆς τῶν μεγάλων πατέρων. ὁ γὰρ ἠξιώθην ἐξ οἰκείου ἀγῶνος ἔχειν πεῖραν ἑνὸς ἐκ χιλίων, ὧν ἐν ταῖς ἐμαῖς χερσὶ διεθέμην. καὶ μάλιστα ἐν τῷδε τῷ συγγράμματι, ὅπερ μέλλω ἐκθέσθαι, πρὸς ἐρεθισμὸν, καὶ φωτισμὸν τῶν ψυχῶν ἡμῶν, καὶ τῶν ἐντυγχανόντων αὐτῷ, ἴσως ἂν ἐξυπνισθῶσι προσεγγίσαι (1) ἐξ ἐπιθυμίας τούτου.

Ἄλλο ἐςὶν ἡ ἡδονὴ τῆς προσευχῆς, καὶ ἑτερόν ἐςιν ἡ θεωρία τῆς προσευχῆς. τιμιωτέρα δὲ τῆς πρώτης ἡ δευτέρα, ὅσον ὁ τέλειος ἄνθρωπος τοῦ ἀτελοῦς παιδίου. ἐνίοτε ἐφηδύνονται οἱ ςίχοι ἐν τῷ ςόματι, καὶ ςιχολογία ἀναρίθμητος γίνεται ἑνὸς ςίχου ἐν τῇ προσευχῇ, μὴ συγχωροῦσα ἐπ᾽ ἄλλον ςίχον δραμεῖν, καὶ κόρον οὐκ οἶδεν. ἐνίοτε δὲ ἐκ τῆς προσευχῆς τίκτεται θεωρία τὶς, καὶ τὴν προσευχὴν τῶν χειλέων ἐκκόπτει, καὶ γίνεται ἐκεῖνος τῇ θεωρίᾳ σῶμα ἄπνουν, ἐκπεπληγμένος. τὸ τοιοῦτον λέγομεν τὴν τῆς προσευχῆς θεωρίαν, καὶ οὐχὶ καθὼς οἱ ἄφρονες λέγουσιν· εἶδος τινὸς, καὶ μορφὴν, ἢ σχῆμα φαντασθέν. καὶ πάλιν ἐν τῇ θεωρίᾳ ταύτης τῆς προσευχῆς μέτρον ἐςὶ, καὶ διάκρισις χαρισμάτων, καὶ μέχρι τούτου προσευχή ἐςι. διότι οὔπω διέβη ἡ διάνοια, τοῦ μὴ εἶναι προσευχὴν, ὅπερ ἐςὶν ὑψηλότερον αὐτῆς. αἱ γὰρ κινήσεις τῆς γλώττης καὶ τῆς καρδίας ἐν τῇ προσευχῇ, κλεῖδές εἰσι. τὰ μέντοι μετὰ ταῦτα, εἴσοδος εἰς τὰ ταμεῖα. παυσάσθω ἐνταῦθα πᾶν ςόμα, καὶ πᾶσα γλῶσσα, καὶ καρδία, ἡ τῶν λογισμῶν ταμιοῦχος, καὶ νοῦς ὁ τῶν αἰσθήσεων κυβερνήτης, καὶ

(1) Τὸ Ε. Χ. προσεγγίσαι τῇ ἐργασίᾳ.

καὶ ἡ διάνοια, τὸ ταχυπετὲς ὄρνεον καὶ ἀναιδέςατον, καὶ πᾶσα τέτων μηχανὴ παυσάσθω. κἀνταῦθα μενέτωσαν οἱ ζητοῦντες· διότι παρέςη ὁ οἰκοδεσπότης.

ΛΟΓΟΣ ΛΒ.

ΠΕΡΙ ΤΗΣ ΚΑΘΑΡΑΣ ΠΡΟΣΕΥΧΗΣ.

Καθώσπερ πᾶσα ἡ δύναμις τῶν νόμων, καὶ τῶν ἐντολῶν τῶν δοθεισῶν τοῖς ἀνθρώποις παρὰ Θεοῦ μέχρι τῆς καθαρότητος τῆς καρδίας διορίζεται κατὰ τὸν λόγον τῶν πατέρων, ὅτω καὶ πάντες οἱ τρόποι, καὶ τὰ σχήματα τῆς προσευχῆς, ἅτινα τῷ Θεῷ προσεύχονται οἱ ἄνθρωποι, μέχρι τῆς καθαρᾶς προσευχῆς διορίζονται. οὔτε γὰρ ςεναγμοὶ, καὶ αἱ γονυπετήσεις, καὶ αἱ καρδιακαὶ δεήσεις, καὶ οἱ γλυκύτατοι κλαυθμοὶ, καὶ πάντα τὰ ἐν τῇ προσευχῇ σχήματα, καθὼς ἔφην, ἕως τῆς καθαρᾶς εὐχῆς τὸν ὅρον κέκτηνται, καὶ ἐξεσίαν ἔχει κινεῖσθαι. ἀπὸ δὲ τῆς καθαρότητος τῆς προσευχῆς, καὶ μέχρι τῶν ἔνδον, ἡνίκα τὸν ὅρον τοῦτον διαβῇ, ἐκ ἔτι ἔξει ἄδειαν ἡ διάνοια, ὅτε εἰς προσευχὴν, ὅτε εἰς κίνησιν, ὅτε κλαυθμὸν, ὅτε ἐξεσίαν, ὅτε αὐτεξεσιότητα, ὅτε δέησιν, ὅτε ἐπιθυμίαν, ἤ τινος ἡδονὴν τῶν ἐν τῷδε τῷ βίῳ ἐλπιζομένων, ἢ τῶν ἐν τῷ μέλλοντι αἰῶνι. καὶ διὰ τοῦτο μετὰ τὴν καθαρὰν προσευχὴν, ἄλλη προσευχὴ ἐκ ἔςι. καὶ πᾶσα ταύτης κίνησις, καὶ πάντα τὰ σχήματα ἕως ὧδε τὸν νοῦν ἀπάγεσι τῇ ἐξεσίᾳ τῆς αὐτεξεσιότη-

ξενιότητος. διὰ τοῦτο ἀγὼν ἐν αὐτῇ. μετὰ δὲ τοῦτον τὸν ὅρον, ἔκπληξις ἔσται τότε, καὶ οὐχὶ προσευχή. διότι πέπαυται τὰ τῆς προσευχῆς, καὶ θεωρία τίς ἐστι, καὶ οὐχὶ προσευχὴν προσεύχεται ὁ νοῦς. πᾶς τρόπος προσευχῆς γινόμενος, διὰ κινήσεων γίνεται. ἡνίκα δὲ ὁ νοῦς εἰσέλθῃ εἰς τὰς πνευματικὰς κινήσεις, ἐκεῖ προσευχὴν οὐκ ἔχει. ἄλλο ἐστὶν ἡ προσευχὴ, καὶ ἄλλο ἡ ἐν αὐτῇ θεωρία, εἰ καὶ ἐξ ἀλλήλων τὰς ἀφορμὰς λαμβάνουσιν. ἐκείνη μὲν γὰρ, σπόρος· αὕτη δὲ, δραγμάτων ἄρσις. ἔνθα θέᾳ ἀνεκλαλήτῳ ἐξίσταται ὁ θερίζων, πῶς ἐξ ἐλαχίστων, καὶ γυμνῶν κόκκων, ὧν ἔσπειρε, τοιοῦτοι ἀνθηροὶ στάχυες ἐνώπιον αὐτοῦ ἐξαίφνης ἐβλάστησαν. οὗτος μένει ἐν τῇ ἰδίᾳ γεωργίᾳ ἐκτὸς πάσης κινήσεως. διότι πᾶσα προσευχὴ γινομένη, δέησίς ἐστιν, ἢ αἴτησις, ἢ εὐχαριστία, ἢ αἴνεσις. ἐξερεύνησον εἰ ἔστι μία τούτων, ἢ τινὸς αἴτησις, ὅταν διαβῇ ὁ νοῦς τὸν ὅρον τοῦτον, καὶ εἰσέλθῃ εἰς τὴν χώραν ἐκείνην. τὸν γὰρ εἰδότα τὴν ἀλήθειαν ἐγὼ ἐρωτῶ. διότι οὐ πᾶσιν αὐτὴ ἡ διάκρισις, ἀλλ' ἐκείνοις τοῖς θεαταῖς, καὶ λειτουργοῖς τούτου τοῦ πράγματος γεγενημένοις, ἢ παιδευθεῖσιν ὑπὸ τοιούτων πατέρων, καὶ ἐκ τῶν στομάτων αὐτῶν τὴν ἀλήθειαν δεδιδαγμένοις, καὶ ἐν ταύταις, καὶ ταῖς τοιαύταις ζητήσεσι διαπεράσασι τὸν βίον αὐτῶν.

Ὥσπερ μόλις ἐκ μυριάδων ἀνθρώπων εἷς εὑρίσκεται πληρώσας τὰς ἐντολὰς, καὶ τὰ νόμιμα μικρὸν, ἐνδεῶς, καὶ φθάσας εἰς τὴν τῆς ψυχῆς καθαρότητα, οὕτως εἷς ἐκ χιλίων εὑρίσκεται, καταξιωθεὶς φθάσαι μετὰ πολλῆς παραφυλακῆς εἰς τὴν καθαρὰν προσευχὴν, καὶ διαρρῆξαι τὸν ὅρον τοῦτον, καὶ τυχεῖν ἐκείνου τοῦ μυστηρίου. διότι πολλοὶ τῆς καθαρᾶς προσευχῆς οὐδαμῶς ἠξιώθησαν, ἀλλ' ὀλίγοι. πρὸς δὲ τὸ μυστήριον

Κατ' ἐρώτησιν καὶ ἀπόκρισιν περὶ τῆς ἀληθείας.

ἐκεῖνο,

ἐκεῖνο, καὶ μετ' ἐκείνῳ, καίπερ ἂν ὁ φθάσας, μόλις εὑρίσκεσται γενεᾶ καὶ γενεᾶ τῇ χάριτι τοῦ Θεοῦ.

Προσευχή ἐστι δέησις καὶ φροντὶς, καί τινος ἐπιθυμία, ἢ λυτρώσεως τῶν ἐνθάδε πειρασμῶν, ἢ τῶν μελλόντων, ἢ ἐπιθυμία τῆς τῶν πατέρων κληρουχίας. δέησις δὲ, δι' ἧς ὑπὸ Θεοῦ βοηθεῖται ἄνθρωπος. αὐτὸς τούτων τῶν κινήσεων περιορίζονται αἱ τῆς προσευχῆς κινήσεις. ἡ μέντοι καθαρότης αὐτῆς, καὶ ἡ μὴ καθαρότης, οὕτως ἔχει. ὅταν ἐν τῷ καιρῷ, ἐν ᾧ εὐτρέπισαι ὁ νοῦς προσενέγκαι μίαν τῶν κινήσεων αὐτοῦ, ὧν εἴπομεν, συμμιγῇ αὐτῷ ἔννοιά τις ξένη, ἢ ῥεμβασμὸς ἔν τινι, τότε οὐ καθαρὰ λέγεται ἐκείνη ἡ προσευχή. διότι ἐκ τῶν μὴ καθαρῶν ζώων ἀνήνεγκαν ἐπὶ τὸ θυσιαστήριον Κυρίου· ὅπερ ἐστὶν ἡ καρδία τὸ νοητὸν Θεοῦ θυσιαστήριον. ἐὰν δέ τις μνήμην ἄγῃ ἐκείνης τῆς ὑπὸ τῶν πατέρων καλουμένης πνευματικῆς προσευχῆς, καὶ μὴ συνιὼν τὴν δύναμιν τῶν λογίων τῶν πατέρων, καὶ εἴποι, αὕτη ἐκ τῶν τῆς πνευματικῆς προσευχῆς ὅρων ἐστὶν, ἐγὼ μὲν οἶμαι, εἰ πρὸς τὴν τῆς κατανοήσεως ἔρευναν ἔλθῃ, βλασφημία ἔσαι τὸ λέγειν τινὰ τῶν κτισμάτων, ὅτι ἡ πνευματικὴ προσευχὴ ὅλως κλίνει. ἡ γὰρ κλίνουσα, κατωθέν ἐστι τῆς πνευματικῆς. πᾶσα δὲ πνευματικὴ, κινήσεως ἠλευθέρωται. καὶ εἰ μετὰ καθαρότητος μόλις τὶς προσεύχεται, τί εἴπωμεν περὶ τῆς πνευματικῆς; διότι ἔθος ἦν τοῖς ἁγίοις πατράσι πάσας τὰς ἀγαθὰς κινήσεις, καὶ τὰς πνευματικὰς ἐργασίας τῷ τῆς προσευχῆς ὀνόματι προσαγορεύειν. οὐ μόνοις δὲ τούτοις, ἀλλὰ καὶ πᾶσι τοῖς πεφωτισμένοις τῇ γνώσει, τὰς καλὰς ἐργασίας παραπλησίως τῇ προσευχῇ λογίζεσθαι εἰώθε. καὶ τοῦτο φανερὸν ὄν. ὅτι ἕτερόν ἐστι προσευχὴ, καὶ ἕτερα ἐστὶ τὰ ἐκτελέ-

τελούμενα πράγματα. ἐνίοτε δὲ ταύτην τὴν λεγομένην πνευματικὴν προσευχὴν, ἔντισιν ὁδὸν προσαγορεύουσι· καὶ ἐν ἄλλοις, γνῶσιν· ἐν ἑτέροις δὲ, ὀπτασίαν νοεράν. ὁρᾷς πῶς διαλλάσσουσιν οἱ πατέρες τὰς προσηγορίας ἐν τοῖς πνευματικοῖς πράγμασιν; αὕτη γὰρ ἡ ἀκρίβεια τῶν ὀνομάτων τοῖς ἐνταῦθα συνίσταται πράγμασιν. ὑγιὲς δὲ, ἢ ἀληθινὸν ὄνομα τοῖς τοῦ μέλλοντος αἰῶνος πράγμασιν οὐδαμῶς. ἀλλὰ μία γνῶσις ἁπλῆ, ὑπεράνω πάσης προσηγορίας, καὶ παντὸς στοιχείου, καὶ μορφῆς, καὶ χροιᾶς, καὶ σχήματος, καὶ συνθέτων ὀνομάτων. διὰ τοῦτο ἡνίκα ὑψωθῇ ἡ γνῶσις τῆς ψυχῆς ἐκ τοῦ ὁρατοῦ κόσμου, ὡς βούλονται οἱ πατέρες χρῶνται τοῖς δηλωτικοῖς αὐτῆς, καθότι τὰ ὀνόματα αὐτῆς ἐν ἀκριβείᾳ οὐδεὶς ἐπίσταται. ἀλλ᾽ ἵνα ἐπιστηρίξωσιν αὐτῇ τοὺς ψυχικοὺς διαλογισμοὺς, προσηγορίαις χρῶνται, καὶ παραβολαῖς, κατὰ τὸ λόγιον τοῦ ἐν ἁγίοις Διονυσίου εἰπόντος, ὅτι ἐν παραβολαῖς, » καὶ συλλαβαῖς, καὶ ὀνόμασιν ἐνδεχομένοις, καὶ ῥήμασι » χρώμεθα τῶν αἰσθήσεων ἕνεκα. (1) ἡνίκα δὲ τῇ ἐνεργείᾳ τοῦ πνεύματος κινηθῇ ἡ ψυχὴ πρὸς ἐκεῖνα τὰ θεῖα, περιττὸν ἡμῖν ἐστὶ τότε οὔτε αἰσθήσεις, ἢ καὶ δι᾽ αὐτῶν ἐνέργειαι. ὥσπερ αἱ δυνάμεις τῆς ψυχῆς τῆς πνευματικῆς περιτταί εἰσιν, ἡνίκα ἡ ψυχὴ ὁμοία τῇ θεότητι κατασταθῇ, τῇ ἀκαταλή-

πτῳ

(1) Διονύσιος ὁ Ἀρεοπαγίτης ἐν τῷ περὶ θείων ὀνομάτων κεφ. α. » φησὶ, νῦν μὲν ἀναλόγως ἡμῖν διὰ τῶν ἱερῶν παραπετασμάτων τῆς τῶν » λογίων καὶ τῶν ἱεραρχικῶν παραδόσεων φιλανθρωπίας, αἰσθητοῖς τὰ » νοητὰ, καὶ τοῖς οὖσι τὰ ὑπερούσια περικαλυπτούσης, καὶ μορφὰς καὶ » τύπους τοῖς ἀμορφώτοις τε καὶ ἀτυπώτοις περιτιθείσης, καὶ τὴν ὑπερ» φυῆ, καὶ ἀσχημάτιστον ἁπλότητα τῇ ποικιλίᾳ τῶν μεριστῶν συμβόλων, » πληθυνούσης τε καὶ διαπλαττούσης.

πτωσότητι, καὶ φωτισθῇ τῇ ἀκτῖνι τοῦ ὑψηλοῦ φωτὸς ἐν ταῖς ἑαυτῆς κινήσεσι.

Λοιπὸν ἀδελφὲ πίστευε, ὅτι ἐξουσίαν ἔχει διακρίνειν ὁ νοῦς τὰς ἑαυτοῦ κινήσεις, ἕως τοῦ τόπου τῆς ἐν προσευχῇ καθαρότητος. ὅταν δὲ φθάσῃ ἐκεῖ, καὶ μὴ στραφῇ εἰς τὰ ὀπίσω, ἢ καταλείψῃ τὴν προσευχήν, τότε γίνεται ἡ προσευχὴ ὥσπερ τις μεσίτις μεταξὺ τῆς ψυχικῆς καὶ τῆς πνευματικῆς. ὅταν μὲν κινηθῇ, ἐν τῇ ψυχικῇ χώρᾳ ἐστίν· ὅταν δὲ εἰς ἐκείνην τὴν χώραν εἰσέλθῃ, παύεται τῆς προσευχῆς. οἱ γὰρ ἅγιοι ἐν τῷ μέλλοντι αἰῶνι, οὐ προσευχῇ προσεύχονται, ὅταν ὁ νοῦς αὐτῶν καταποθῇ ὑπὸ τοῦ πνεύματος, ἀλλὰ μετὰ καταπλήξεως ἐναυλίζονται ἐν τῇ εὐφραινούσῃ δόξῃ. οὕτω καὶ ἐν ἡμῖν. ἡνίκα ἀξιωθῇ ὁ νοῦς αἰσθάνεσθαι τῆς μελλούσης μακαριότητος, καὶ ἑαυτοῦ ἐπιλανθάνεται, καὶ πάντων τῶν ἐνθάδε, καὶ οὐκ ἔτι ἕξει κίνησιν ἐν τισι. τούτου ἕνεκεν μετὰ πεποιθήσεως θαῤῥεῖ τις λέγειν, ὅτι πᾶσαν ἀρετὴν γινομένην, καὶ πᾶσαν τάξιν προσευχῆς, εἴτε ἐν σώματι, εἴτε ἐν διανοίᾳ, τὸ αὐτεξούσιον τοῦ θελήματος ὁδηγεῖ, καὶ κινεῖ· καὶ αὐτὸν τὸν νοῦν τὸν ὄντα βασιλέα τῶν παθῶν, διὰ τῶν αἰσθήσεων. ἡνίκα δὲ τοῦ πνεύματος ἡ διοίκησις, καὶ ἡ οἰκονομία κυριεύσει τοῦ νοὸς τοῦ τῶν αἰσθήσεων καὶ λογισμῶν οἰκονόμου, ἀφαιρεῖται τὸ αὐτεξούσιον ἀπὸ τῆς φύσεως, καὶ ὁδηγίᾳ ὁδηγεῖται τότε, καὶ οὐχ ὁδηγήσει. καὶ ποῦ τότε ἔσται ἡ προσευχή, ἡνίκα ἡ φύσις μὴ ἰσχύῃ ἐξουσίαν ἔχειν καθ᾽ ἑαυτῆς, ἀλλ᾽ ἑτέρᾳ δυνάμει ὁδηγεῖται ἔνθα οὐ γινώσκει, οὐδὲ τὰς κινήσεις τῆς διανοίας κατορθῶσαι δυνηθῇ ἐν οἷς ἂν βούληται, ἀλλ᾽ αἰχμαλωσίᾳ κατακρατεῖται ἐν τῇ ὥρᾳ ἐκείνῃ, καὶ ὑπ᾽ αὐτῆς ὁδηγεῖται, ἔνθα οὐκ αἰσθάνεται;

» ἀλλ' ἐδὲ θέλησιν ἔξει τηνικαῦτα, ἔτε εἰ ἐν σώματι ἐςὶν, ἢ
» ἐκτὸς τῦ σώματος οἶδε, κατὰ τὴν τῆς γραφῆς μαρτυρίαν.

β. Κορινθ. β. β.

λοιπὸν ἔςαι ἄρα τῷ ὄντως αἰχμαλωτισθέντι, ᾗ ἑαυτὸν μὴ εἰδότι προσευχή· διὰ τῦτο μηδεὶς βλασφημείτω, ᾗ λέξειν θαῤῥείτω, δυνατὸν εἶναι προσεύχεσθαι τὴν πνευματικὴν προσευχήν. ταύτῃ γὰρ τῇ τόλμῃ καταχρῶνται οἱ μετὰ ἀλαζονείας προσευχόμενοι, ᾗ ἰδιῶται τῇ γνώσει, καὶ ἑαυτοῖς καταψεύδονται· ὅτι ὅταν βέλωνται, προσεύχονται τὴν πνευματικὴν προσευχήν. οἱ δὲ ταπεινόφρονες ᾗ νοήμονες συγκαταβαίνεσι μαθεῖν παρὰ τῶν πατέρων, ᾗ γνῶναι τὲς ὅρες τῆς φύσεως, ᾗ ταύτῃ τῇ τόλμῃ τὰς ἑαυτῶν διανοίας δῦναι ἐκ ἀνέχονται.

Καὶ τίνος ἕνεκεν, ἐπεὶ ἐκ ἔςι προσευχὴ, τῇ τῆς προσευχῆς ἐπωνυμίᾳ προσαγορεύεται αὕτη ἡ ἀνεκλάλητος χάρις;

Ἐρώτ.

Τὸ αἴτιον ὅτως εἶναι λέγομεν· διότι ἐν τῷ καιρῷ τῆς προσευχῆς δίδοται τοῖς ἀξίοις, καὶ ἐκ τῆς προσευχῆς ἔχει τὴν ἀφορμήν. καθότι ἐκ ἔςι ταύτῃ τῇ ἐπιδόξῳ τόπος ἐπιφοιτήσεως, ἀλλ' ἢ τὸν τοιῦτον καιρὸν, κατὰ τὴν τῶν πατέρων μαρτυρίαν. διατοι τῦτο τῇ ἐπωνυμίᾳ τῆς προσευχῆς προσαγορεύεται, διότι ἐκ τῆς προσευχῆς ὁδηγεῖται ὁ νοῦς πρὸς ἐκείνην τὴν μακαριότητα, καὶ διὰ τὸ τὴν προσευχὴν ταύτης εἶναι αἰτίαν, καὶ ἐν ἄλλοις καιροῖς χώραν ἐκ ἔχειν, ὡς δηλῦσι τὰ συγγράμματα τῶν πατέρων. ἴδωμεν γὰρ πολλὲς τῶν ἁγίων, ὡς καὶ ἐν τοῖς βίοις αὐτῶν ἐςὶν, ἱςαμένες εἰς προσευχὴν, ᾗ ἁρπαγέντας τὸν νῦν.

Ἀπόκρ.

Ἀλλ' ἐάντις ἐρωτήσῃ, τίνος χάριν ἐν τῷ καιρῷ τέτῳ μόνον γίνονται ταῦτα τὰ μεγάλα, καὶ ἀνεκλάλητα χαρίσματα;

ματα; ἐροῦμεν· διότι ἐν τούτῳ τῷ καιρῷ, πλέον παντὸς καιροῦ ὁ ἄνθρωπος ηὐτρεπισμένος, καὶ συνηγμένος τυγχάνει, τοῦ προσέχειν τῷ Θεῷ, καὶ ἐπιθυμῶν καὶ ἐκδεχόμενος παρ' αὐτοῦ τὸ ἔλεος. καὶ συντόμως εἰπεῖν, καιρός ἐστι στάσεως τῆς ἐπὶ τοῦ βασιλέως πύλης, εἰς τὸ δέεσθαι. καὶ ἡ αἴτησις τοῦ δεομένου, καὶ παρακαλοῦντος ἐν τούτῳ τῷ καιρῷ πρέπει δοθῆναι. ποῖος γὰρ ἄλλος καιρός ἐστιν, ἐν ᾧ ὁ ἄνθρωπος ηὐτρεπισμένος, καὶ ἐν παραφυλακῇ τυγχάνει, ὡς ὁ καιρὸς ἐν ᾧ προσεύχεσθαι μέλλει; ἢ πρέπον ἐστὶν ἴσως ἐν τῷ καιρῷ, ἐν ᾧ καθεύδει, ἢ ἐργάζεταί τι, ἢ πεφυρμένος τὸν νοῦν γίνεται, τυχεῖν ἑνὸς τῶν τοιούτων; ἰδοὺ γάρ, εἰ καὶ οἱ ἅγιοι καιρὸν ἀργίας οὐκ ἔχουσι, διότι ἐν πάσῃ ὥρᾳ ἠσχολημένοι εἰσὶν ἐν τοῖς πνευματικοῖς, ἀλλ' οὖν ἐστιν ὅταν μὴ ἐν ἑτοιμασίᾳ τῆς προσευχῆς ἱστάμενοι ὦσι. πολλάκις γάρ, ἢ μελετῶσιν ἔντισι τῶν ἐν τῷ βίῳ, ἢ ἐν τῇ θεωρίᾳ τῶν κτισμάτων, μετὰ καὶ τῶν ἄλλων τῶν ὄντων ἐπωφελῶν. ἀλλ' ἐν τῷ καιρῷ τῆς προσευχῆς, τῷ Θεῷ μόνῳ προσέχει τοῦ νοὸς ἡ θεωρία, καὶ πρὸς αὐτὸν τείνει πάσας τὰς κινήσεις αὐτοῦ, καὶ δεήσεις ἐκ καρδίας, μετὰ σπουδῆς καὶ θέρμης διηνεκοῦς προσάγει αὐτῷ. καὶ διὰ τοῦτο ἐν τούτῳ τῷ καιρῷ, ἐν ᾧ μονωτάτη φροντὶς ἔγκειται τῇ ψυχῇ, πρέπον ἐστὶν ἐξ αὐτοῦ βρύειν θείαν εὐμένειαν. ἰδοὺ γὰρ βλέπομεν, ὅτι ἡνίκα ὁ ἱερεὺς εὐτρεπισθῇ, καὶ εἰς προσευχὴν στῇ, ἐξευμενιζόμενος τὸ θεῖον, καὶ δεόμενος καὶ συνάγων τὸν νοῦν, τότε ἐπιφοιτᾷ τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τῷ ἄρτῳ, καὶ τῷ οἴνῳ τῷ ἐπιτεθειμένῳ ἐπὶ τῷ θυσιαστηρίῳ. καὶ τῷ Ζαχαρίᾳ δέ, ἐν τῷ καιρῷ τῆς προσευχῆς ὤφθη ὁ Ἄγγελος, καὶ τὸν Ἰωάννου τόκον προευηγγελίσατο. ὁμοίως καὶ τῷ Πέτρῳ ἐπὶ

τῷ

τῷ δωματίῳ προσευχομένῳ ἐν τῷ καιρῷ τῆς ἕκτης ὥρας, ὤφθη ἡ ὀπτασία ἡ ὁδηγήσασα ἐπὶ τὴν τῶν ἐθνῶν πρόσκλησιν, διὰ τῆς κατενεχθείσης οὐρανόθεν ὀθόνης, καὶ τῶν ἐν αὐτῇ ζώων. καὶ τῷ Κορνηλίῳ προσευχομένῳ ὤφθη Ἄγγελος, καὶ εἶπεν αὐτῷ τὰ περὶ αὐτοῦ γεγραμμένα. καὶ πάλιν Ἰησοῦ τῷ υἱῷ Ναυῆ, ἐπὶ πρόσωπον κεκυφότι ἐν προσευχῇ, ἐλάλησεν αὐτῷ ὁ Θεός. καὶ πάλιν ἐκ τοῦ ἱλαστηρίου τοῦ ἄνωθεν τῆς κιβωτοῦ, ἐξ οὗ ὁ ἱερεὺς ἐμυεῖτο θεόθεν τὰς ὀπτασίας ἑκάστου τῶν ὀφειλομένων, ἐν τῷ καιρῷ, ἐν ᾧ ὁ ἀρχιερεὺς ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσήρχετο ἐν τῷ φρικώδει καιρῷ τῆς προσευχῆς, τῶν φυλῶν πασῶν τῶν υἱῶν Ἰσραὴλ συνηγμένων, καὶ ἐν τῇ ἐξωτέρᾳ ἱσταμένων σκηνῇ εἰς προσευχήν, ἡνίκα εἰσήρχετο ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ ἔρριπτεν ἑαυτὸν ἐπὶ πρόσωπον, ἤκουε τῶν λογίων τοῦ Θεοῦ, δι᾽ ὀπτασίας φοβερᾶς καὶ ἀνεκλαλήτου. ὢ τί φοβερὸν ἐκεῖνο τὸ μυστήριον, ὃ ἐλειτουργεῖτο ἐν ἐκείνῳ τῷ πράγματι. οὕτω καὶ πᾶσαι αἱ ὀπτασίαι αἱ ἐν τοῖς ἁγίοις φανεῖσαι, ἐν τῷ καιρῷ τῆς εὐχῆς γίνονται. ποῖος γὰρ καιρὸς ἕτερος ἅγιος, καὶ τῷ ἁγιασμῷ πρέπων ἐν τῇ εἰσδοχῇ τῶν χαρισμάτων, ὡς ὁ τῆς προσευχῆς καιρός, ἐν ᾧ συνδιαλέγεταί τις τῷ Θεῷ; ἐν τούτῳ γὰρ τῷ καιρῷ, ἐν ᾧ αἱ πρὸς Θεὸν λιταί, καὶ δεήσεις, καὶ αἱ μετ᾽ αὐτοῦ συντυχίαι γίνονται, πάσας τὰς κινήσεις καὶ ἐνθυμήσεις πανταχόθεν μετὰ βίας συνάγει ὁ ἄνθρωπος, καὶ ἐν τῷ Θεῷ μόνῳ διαλογίζεται, καὶ τὴν καρδίαν αὐτοῦ ἐμπιπλαμένην ἐξ αὐτοῦ ἔχει. κἀντεῦθεν συνίησι τὰ ἀκατάληπτα. τὸ γὰρ πνεῦμα τὸ ἅγιον κατὰ τὸ μέτρον ἑκάστου κινεῖται ἐν αὐτῷ. καὶ ἐξ ὧν τις προσεύχεται ὕλην λαβών, κινεῖται ἐν αὐτῷ. ὥστε ἐν τῇ

προσοχῇ ἡ προσευχὴ ἐκκόπτεται τῆς κινήσεως, καὶ ἐν τῇ ἐκπλήξει καταπλήττεται, καὶ καταποθεῖται ὁ νοῦς, καὶ τῆς ἐπιθυμίας τοῦ ἰδίου αἰτήματος ἐπιλανθάνεται. καὶ ἐν βαθείᾳ μέθῃ βαπτίζονται αἱ κινήσεις αὐτοῦ, καὶ οὐκ ἔστιν ἐν τούτῳ τῷ κόσμῳ, καὶ τότε οὐκ ἔσαι ἐκεῖ διαφορὰ ψυχῆς, οὐδὲ σώματος, οὔτε τινὸς μνήμη, καθὼς ἔφη ὁ θεῖος καὶ μέγας Γρηγόριος. » προσευχή ἐστι, καθαρότης νοός, ἥτις μόνη ἐκ τοῦ Φωτὸς » τῆς ἁγίας Τριάδος μετ' ἐκπλήξεως τέμνεται. ὁρᾷς πῶς τέμνεται ἡ προσευχὴ διὰ τῆς ἐκπλήξεως τῆς κατανοήσεως ἐκείνων τῶν ἐξ αὐτῆς τικτομένων ἐν τῷ νοΐ, καθὼς προέφην ἐν τῇ ἀρχῇ τοῦ συγγράμματος, καὶ ἐν ἄλλοις πολλοῖς τόποις; καὶ πάλιν ὁ αὐτὸς ἔχει. » καθαρότης νοός ἐστι μετεωροπορία » τῶν νοητῶν. ἥτις ἁμιλλᾶται τῇ οὐρανίῳ χροιᾷ, ἐφ' ᾗ διαυ» γάζει ἐν τῷ καιρῷ τῆς προσευχῆς τὸ Φῶς τῆς ἁγίας Τριάδος.

Ἐρώτ. Καὶ πότε ἀξιοῦταί τις ταύτης τῆς χάριτος ὅλης;

Ἀπόκρ. Ἐν τῷ καιρῷ τῆς προσευχῆς φησίν, ὅταν ὁ νοῦς ἀποδύηται τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδύηται τὸν νέον τῆς χάριτος, τότε τὴν ἑαυτοῦ καθαρότητα ὄψεται ὁμοίαν τῇ ἐπουρανίῳ χροιᾷ. ἥτις Θεοῦ τόπος ὑπὸ τῆς γερουσίας τῶν υἱῶν Ἰσραὴλ ὠνόμασται, ἡνίκα ὤφθη αὐτοῖς ἐν τῷ ὄρει. ἐκεῖνο, ὡς εἶπον, οὐχὶ πνευματικὴν προσευχὴν δεῖ καλεῖν ταύτην τὴν δωρεὰν καὶ χάριν, ἀλλὰ τοκετὸν τῆς καθαρᾶς προσευχῆς, τῆς διὰ τοῦ ἁγίου πνεύματος καταπεμπομένης. τότε ὁ νοῦς ἐκεῖσε ὑπεράνω τῆς προσευχῆς γίνεται, καὶ ἐν τῇ εὑρέσει τῆς κρείττονος, ἡ προσευχὴ καταλείπεται. καὶ τότε οὐ προσευχῇ προσεύχεται, ἀλλ' ἐν ἐκστάσει γίνεται ἐν τοῖς ἀκαταλήπτοις πράγμασι, τοῖς ὑπερκειμένοις τοῦ τῶν θνησκόντων κόσμου,

κόσμε, καὶ σεσίγηται ἐν ἀγνοίᾳ πάντων τῶν ἐνθάδε. αὕτη ἐςὶν ἡ ἄγνοια, ἡ ὑπερτέρα τῆς γνώσεως, ἥτις εἴρηται. αὕτη ἐςὶ περὶ ἧς εἰρήκαμεν, μακάριος ὁ καταλαβὼν τὴν ἄγνοιαν τὴν τῆς προσευχῆς ἀχώριςον, ἧς ἀξιωθείημεν χάριτι τε μονογενες ὑιε τε Θεε· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις νῦν, καὶ ἀεὶ, καὶ εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΛΓ.

ΠΕΡΙ

ΤΟΥ ΤΡΟΠΟΥ ΤΗΣ ΕΥΧΗΣ,

καὶ τῶν λοιπῶν τῶν ἐξ ἀνάγκης ζητεμένων περὶ τῆς διηνεκες μνήμης, καὶ πολυμερῶς ὠφελέντων, ἐάντις ἐν διακρίσει ἀναγινώσκων φυλάττῃ αὐτά.

Τὸ βεβαιωθῆναί τινα ἐν τῇ αἰτήσει τῆς εὐχῆς αὐτε, ἐν τῇ ἐλπίδι τε Θεε, τετο μέρος ἄριςον τῆς χάριτος τῆς πίςεως. βεβαίωσις δὲ τῆς εἰς Θεὸν πίςεως ἐκ ἐςὶν ἡ ὑγεία τῆς ὁμολογίας, εἰ καὶ μήτηρ ἐςὶ τῆς πίςεως, ἀλλὰ ψυχὴ ἡ θεωρεσα τὴν ἀλήθειαν τε Θεε ἐκ τῆς τῆς πολιτείας δυνάμεως. ὅταν εὕρῃς ἐν ταῖς ἁγίαις γραφαῖς τὴν πίςιν μεμιγμένην ταῖς πολιτείαις, ἐχὶ περὶ τῆς ὀρθῆς ὁμολογίας θήσεις τὴν περὶ αὐτῆς θεωρίαν. ἐδέποτε γὰρ καταλαμβάνεται ἡ πίςις, ἡ παρέχεσα πληροφορίαν τῆς ἐλπίδος, ἐκ τῶν ἀβαπτίςων, ἢ ἐκ τῶν ἐφθαρμένων τὴν διάνοιαν ἐκ τῆς

ἀληθείας. πληροφορία γὰρ τῆς πίστεως ἀποκαλύπτεται τοῖς ὑψηλοῖς ἐν τῇ ψυχῇ, κατὰ τὴν ἀναλογίαν τῶν τρόπων, τῶν προσεχόντων εἰς τὴν διαγωγὴν τῶν ἐντολῶν τȢ Κυρίȣ.

Ἡ διηνεκὴς μελέτη ἐν τῇ γραφῇ τὸ φῶς ἐςὶ τῆς ψυχῆς. αὕτη γὰρ ἐνσημαίνει τῇ ψυχῇ μνήμας ὠφελίμȣς, τȢ παραφυλάξασθαι ἐκ τῶν παθῶν, τȢ διαμένειν τε ἐν τῷ πρὸς Θεὸν πόθῳ, ἐν τῇ ἁγνείᾳ τῆς προσευχῆς. ἀλλὰ καὶ κατευθύνει ἔμπροσθεν ἡμῶν ὁδὸν εἰρήνης τῶν ἰχνῶν τῶν ἁγίων. ὅμως μὴ διςάσῃς εἰς τὰς εὐχὰς ἡμῶν τῶν ςίχων, ὅτε ȣ̓κ ἀκολȣθεῖ αὐταῖς πολὺς ἐξυπνισμὸς, καὶ κατάνυξις διηνεκὴς, ἢ ἐν ταῖς εὐχαῖς, ἢ ἐν τῇ ἀναγνώσει κατὰ πᾶσαν ὥραν.

Λόγȣς ἀπὸ πείρας λεγομένȣς, ἐξ ἀνάγκης δέχȣ, εἰ καὶ ὁ λαλῶν αὐτȣ̀ς ἰδιώτης ἐςί. διότι οἱ θησαυροὶ τῶν βασιλέων οἱ μεγάλοι τῶν ἐπὶ τῆς γῆς, ȣ̓ καταφρονȢσι δέξασθαι προσθήκην ὀβολȢ ἀπαιτητȢ, ἢ ἐκ τῶν ῥυάκων τῶν μικρῶν πλημμυρȢνται οἱ ποταμοὶ, καὶ μεγαλύνονται ἐν τῇ ῥύσει αὐτῶν. ἐὰν γὰρ ἡ μνήμη τῶν ἀγαθῶν ἀνακαινίζῃ ἐν ἡμῖν τὴν ἀρετὴν, ὅταν ταῦτα διαλογιζώμεθα, δῆλον, ὅτι καὶ ἡ μνήμη τῆς ἀκολασίας ἀνακαινίζει ἐν τῇ διανοίᾳ ἡμῶν ἐπιθυμίαν αἰσχρὰν, ὅταν αὐτῆς μνημονεύσωμεν. διότι ἡ ἑκάςȣ τȢτων μνήμη διαφορὰν τῶν πραγμάτων ἐνσημαίνει, καὶ διαγράφει ἐν τοῖς διαλογισμοῖς ἡμῶν, καὶ δεικνύει ἡμῖν ὥσπερ ἐν δακτύλῳ, ἢ τὴν τῶν λογισμῶν ἡμῶν αἰσχρότητα, ἢ τὸ τῆς πολιτείας τῆς ἡμετέρας ὑψηλὸν, καὶ κραταιοῖ ἐν ἡμῖν τȣ̀ς λογισμȣ̀ς, καὶ τὰς κινήσεις, ἤτοι τῶν δεξιῶν, ἢ τῶν ἀριςερῶν. καὶ γινόμεθα μελετῶντες ἐν τῷ κρυπτῷ τῆς διανοίας ἡμῶν. καὶ εἰκονίζεται ὁ μερισμὸς τῆς πολιτείας ἡμῶν ἐν τῇ μελέτῃ τῆς δια-

Περὶ φυλακῆς μνημῶν.

διανοίας ἡμῶν· ἵνα ἐξ ἀνάγκης θεωρῶμεν ἑαυτοὺς διαπαντός. λοιπὸν, οὐχὶ ἡ μελέτη μόνη βλάπτει τὸν ἔχοντα αὐτὴν, ἀλλὰ σὺν αὐτῇ καὶ ἡ θεωρία, καὶ ἡ μνήμη πάλιν ἡ ταῦτα ἀναπληροῦσα· καὶ οὐ μόνη ἡ ἐργασία τῆς ἀρετῆς βοηθεῖ τῷ τελοῦντι αὐτὴν μεγάλως, ἀλλὰ καὶ ἡ φαντασία τῆς διανοίας, ἡ εἰκονιζομένη ἐκ τῆς μνήμης τῶν προσώπων τῶν ἐργασαμένων αὐτήν.

Καὶ ἐκ τούτου γνωστόν ἐστιν, ὅτι οἱ πλεῖστοι, οἱ τὴν τάξιν τῆς καθαρότητος φθάσαντες, πρὸς θεωρίαν τινῶν ἁγίων ἀξιοῦνται ἐν τῇ θεωρίᾳ τῆς νυκτὸς πάντοτε, καὶ ἐν τῇ ἡμέρᾳ κατὰ πᾶσαν ὥραν ὕλη αὐτοῖς χαρᾶς ἐγγίνεται ἐν τῇ τῆς διανοίας καὶ τῇ ἀδολεσχίᾳ ἡ τούτων θεωρία σφραγισθέντων ἐν ταῖς ψυχαῖς αὐτῶν. καὶ τούτου χάριν ἐν θερμότητι προσέρχονται τῇ ἐργασίᾳ τῶν ἀρετῶν, καὶ φλὸξ περισσὴ ἐμπίπτει ἐν αὐτοῖς εἰς τὴν ἐπιθυμίαν αὐτῶν. καὶ λέγουσιν, ὅτι οἱ ἅγιοι Ἄγγελοι λαμβάνουσι τὰ ὁμοιώματα τινῶν ἁγίων, τῶν τιμίων καὶ ἀγαθῶν, καὶ δεικνύουσιν αὐτὰ ἐν τῇ φαντασίᾳ τοῦ ὕπνου τῇ ψυχῇ ἐν τῷ μετεωρισμῷ τῶν διαλογισμῶν αὐτῆς, εἰς χαρὰν, καὶ περιποίησιν, καὶ ἀγαλλίαμα. καὶ ἐν ἡμέρᾳ κινοῦσιν αὐτὰ ἀεὶ ἐν τῇ τῶν λογισμῶν αὐτῶν θεωρίᾳ· καὶ ἐλαφρύνεται ἡ ἐργασία αὐτῆς ἐκ τῆς χαρᾶς τῶν ἁγίων. καὶ ἐκ τούτου προστιθέασιν εἰς τὸν δρόμον αὐτῶν. οὕτω καὶ ἐν τῇ συνεχείᾳ τῶν πολέμων. ὁ ἔχων συνήθειαν μελετᾶν ἐν τοῖς κακοῖς, ὑπὸ τῶν δαιμόνων ἐν τῇ ὁμοιότητι ταύτῃ φαντάζεται. λαμβάνουσι γὰρ ὁμοίωσιν, καὶ δεικνύουσι τῇ ψυχῇ φαντασίας πλούσας αὐτὴν, πλέον ἐν τῇ μνήμῃ τῇ ἡμερινῇ, ἐν τούτοις μεσάζοντες. καὶ ποτὲ μὲν, ἐν τῇ θεωρίᾳ ταύτῃ τῇ φοβερᾷ, τῇ πλούσῃ τὴν ψυχὴν, τάχος

ἀποθανεῖν

ἀθανεῖν αὐτὴν ποιȣ̃σι· ποτὲ δὲ πάλιν, δεικνύȣσιν αὐτῇ τὴν δυσχέρειαν τῆς πολιτείας, τὴν ἐν τῇ ἡσυχίᾳ, καὶ τῇ μονώσει, καὶ ἕτερά τινα.

Καὶ ἡμεῖς ȣ̃ν ἀδελφοὶ, περὶ τȣ̃ προσέχειν ταῖς μνήμαις, καὶ ἐκ τȣ́των τεκμαίρεσθαι τὴν κατάστασιν τῆς ψυχῆς, λάβωμεν ἄρτι τὸ διακρίνειν ἀεὶ ἐν ταῖς μνήμαις τῆς μελέτης ἡμῶν, ποίαις ὁμιλȣ̃μεν αὐτῶν, καὶ ποίας ἀποδιώκομεν ἀφ' ἡμῶν ταχέως, ὅταν προσεγγίσωσι τῷ φρονήματι ἡμῶν. ἐὰν ταῖς ἐκ τῆς προνοίας τῶν δαιμόνων, τῶν ῥιπτόντων τὴν ὕλην τοῖς πάθεσιν, εἴτε ταῖς ἐκ τῆς ἐπιθυμίας, καὶ τȣ̃ θυμȣ̃, ἢ ταῖς ἐκ τῶν ἁγίων Ἀγγέλων, τῶν παρεχόντων τὸ νεῦμα τῆς χαρᾶς, καὶ τῆς γνώσεως, τὰς μνήμας τε τὰς ἐν τοῖς λογισμοῖς τὰς ἐξυπνιζȣ́σας ἡμᾶς ἐν τῷ πρὸς ἡμᾶς αὐτῶν πλησιασμῷ, ἢ ταῖς ἐκ τῶν προλήψεων τῶν προλαβȣσῶν ἐν αἰσθήσει, ἐξ ὧν κινȣ̃νται ἐν τῇ ψυχῇ οἱ λογισμοὶ, οἱ ἁρπάζοντες ἐν τῷ μέρει τῷ ἐν ἐξ αὐτῶν. τὴν δὲ πεῖραν τῶν δύω τȣ́των ἐν τῇ διαγνώσει τῆς διακρίσεως κτησόμεθα, τὴν θεωρίαν τε αὐτῶν καὶ τὴν ἐργασίαν (1) τῶν ἔργων αὐτῶν, καὶ ἑκάστῃ ἐξ αὐτῶν ἀκολȣθεῖν ποιήσομεν εὐχὴν ἀφωρισμένην.

Περὶ διαφορᾶς τῆς ἀγάπης.

Ἡ ἀγάπη ἡ ἔκτινων γινομένη πραγμάτων, ὡς λαμπάς ἐστι μικρὰ ἐκ τȣ̃ ἐλαίȣ ἐκτρεφομένη, καὶ ȣ̃τω συνίσταται τὸ φῶς αὐτῆς· ἢ καὶ ὡς χείμαῤῥος ῥέων ἐκ τȣ̃ ὑετȣ̃, ȣ̃περ ἡ παρεῦσις καταπαύεται, τῆς συνιστώσης αὐτὸν ὕλης λεῖψιν παθȣ́σης. ἡ ἀγάπη δὲ ἡ τὸν Θεὸν αἴτιον ἔχȣσα, ὡς πηγή ἐστι βρύȣσα, καὶ ȣ̓δέποτε τὰ ῥεύματα αὐτῆς ἀνακόπτεται,) αὐτὸς

(1) Καὶ τὴν ὁμιλίαν, καὶ τὴν ἐργασίαν. τὸ Ε. Χ.

τὸς γὰρ μόνος ἐστὶ τῆς ἀγάπης πηγὴ) καὶ ἀνελλιπὴς ἡ ὕλη αὐτῆς.

Θέλεις τρυφῆσαι ἐν τῇ στιχολογίᾳ τῆς λειτουργίας σου, καὶ λαβεῖν αἴσθησιν τῶν λογίων τοῦ πνεύματος τῶν ὑπὸ σοῦ λεγομένων· τελείως τὴν ποσότητα ἄφες, καὶ τὴν γνῶσιν τῶν μέτρων τῶν ἐν αὐτοῖς μὴ στήσῃς, καὶ τοὺς στίχους ἵνα λέγῃς ὡς ἐν τοῖς τρόποις τῆς εὐχῆς, καὶ τὸν ἐκστηθισμὸν τὸν συνήθη καταλεῖψαι. καὶ νόησον ὅπερ σοι λέγω, καὶ ὅπερ ἰσαρίθμως εἴρηται, ὡς ἐν ἀναγνώσει (1) τινὸς τῶν ὑπὸ Θεοῦ κυβερνωμένων. ἔστω ἡ διάνοιά σου θεωροῦσα ἐν τῇ μελέτῃ αὐτῶν, ἕως ἂν εἰς τὰς κατανοήσεις αὐτῶν τὰς μεγάλας ἐξυπνωθῇ σου ἡ ψυχὴ τῇ ἐκπλήξει τῆς οἰκονομίας, καὶ ἐκ τούτου κινηθῆναι, ἢ εἰς δοξολογίαν, ἢ εἰς λύπην ἐπωφελῆ. καὶ εἴ τι ἐστὶν εἰς εὐχὴν, καθ' ἑαυτοῦ (2) λάβε, καὶ ὅτε βεβαιωθῇ ἡ διάνοια ἐν τούτοις, ἡ σύγχυσις ἔκτοτε δίδωσι τόπον, καὶ ἀπέρχεται. οὐκ ἔστι γὰρ ἐν τῇ ἐργασίᾳ τῇ δουλικῇ εἰρήνη τῆς διανοίας, οὐδὲ ἐν τῇ ἐλευθερίᾳ τῶν τέκνων σύγχυσις τῆς ταραχῆς. ἔθος γὰρ ἔχει ἡ σύγχυσις ἀφαιρεῖν τὴν γεῦσιν τῆς συνέσεως, καὶ τῆς κατανοήσεως, καὶ σκυλεῦσαι τὰ νοήματα τὰ ἐν αὐτοῖς, καθάπερ βδέλλα ἡ συμπίνουσα τὴν ζωὴν τῶν σωμάτων ἐν τῷ αἵματι τῶν μελῶν αὐτῶν. καὶ γὰρ ὄχημα διαβόλου, εἰ δυνατὸν, πρέπει ὀνομάζεσθαι τὴν σύγχυσιν. διότι ὁ Σατανᾶς κατὰ τὴν ὁμοίωσιν τοῦ ἡνιόχου ἔθος ἔχει ἀεὶ ἐπιβαίνειν τῷ νῷ, καὶ λαμβάνειν τὸ ἄθροισμα μετ' αὐτοῦ τῶν παθῶν, καὶ εἰσέρχεσθαι εἰς τὴν ταλαίπωρον ψυχὴν, καὶ καταποντίζειν αὐτὴν ἐν συγχύσει. καὶ

Πῶς ὀφείλεις εὔχεσθαι ἀρεμβάστως.

(1) Τὸ Ε. Χ. ἐν γνώσει. (2) Ἴσ. καθ' ἑαυτό.

τοῦτο δὲ ἐν διακρίσει νόησον. μὴ γίνου ἐν τοῖς στίχοις τῆς ψαλμῳδίας σου, ὡς παρ' ἄλλου δεχόμενος τοὺς λόγους, ἵνα μὴ οἰηθῇς τὸ ἔργον τῆς μελέτης πληθύνειν ἀδιαλείπτως. καὶ ἐκ τῆς κατανύξεως, καὶ τῆς χαρᾶς τῆς ἐν αὐτοῖς παρέλθῃς τελείως· ἀλλ' ὡς ἐξ ἑαυτοῦ, ἵνα λέγῃς τοὺς λόγους σου ἐν τῇ δεήσει σου ἐν κατανύξει, καὶ κατανοήσει τῆς διακρίσεως, ὡς ὁ συνιῶν τὸ ἔργον αὐτοῦ ἀληθῶς.

Σημείωσαι πόθεν τίκτεται ἡ ἀκηδία, καὶ πόθεν ὁ μετεωρισμός.

Ἡ ἀκηδία ἐκ τοῦ μετεωρισμοῦ τῆς διανοίας· καὶ οὗτος ἐκ τῆς τῶν ἔργων ἀργίας, καὶ τῆς ἀναγνώσεως, καὶ τῆς ματαίας συντυχίας· ἢ γίνεται, τῆς γαστρὸς πεπληρωμένης.

Ὅτι οὐ δεῖ ἀντιλέγειν τοῖς λογισμοῖς, ἀλλὰ παραρρίπτειν ἑαυτὸν τῷ Θεῷ.

Ὁ μὴ ἀντιλέγων τοῖς ἐν ἡμῖν ὑποσπειρομένοις ὑπὸ τοῦ ἐχθροῦ λογισμοῖς, ἀλλὰ διὰ τῆς πρὸς τὸν Θεὸν ἱκεσίας τὴν πρὸς αὐτοὺς ὁμιλίαν ἐκκόπτων, τοῦτο σημεῖόν ἐστιν, ὅτι εὗρεν ὁ νοῦς σοφίαν παρὰ τῆς χάριτος, καὶ ἐκ πολλῶν ἔργων ἠλευθέρωσεν αὐτὸν ἡ γνῶσις αὐτοῦ, ἡ ἀληθινή. καὶ ἐν τῇ εὑρέσει τῆς συντόμου τρίβου, ἣν ἔφθασε, τὸν πολὺν μετεωρισμὸν τῆς μακρᾶς ὁδοῦ ἐξέκοψε. διότι οὐκ ἐν παντὶ καιρῷ ἔχομεν δύναμιν ἀντιλέγειν πᾶσι τοῖς λογισμοῖς, τοῖς ἀντικειμένοις ἡμῖν, ὥστε παῦσαι αὐτούς, ἀλλὰ πολλάκις λαμβάνομεν πληγὴν ἐξ αὐτῶν, τὴν μὴ θεραπευομένην ἐν πολλῷ καιρῷ. ἐξ ἐναντίας γὰρ τούτων (1)

τῶν

(1) Ἐξ ἐναντίας γὰρ τούτων, τῶν δαιμόνων δηλαδή. οὓς ἐξακισχιλιοετεῖς φησιν, ἅμα τοῖς σύμπασι τὸ εἶναι λαβεῖν ὑποτιθέμενος. ἡνίκα γὰρ ἐν τῷ Ἰὼβ λέγει, ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με πάντες Ἄγγελοί μου. (ἐν Κεφ. λη. ἐδ. ζ.) καὶ ὁ Θεολόγος Γρηγόριός φησι, „πρῶτον „μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις, καὶ οὐρανίους, καὶ τὸ ἐννόημα ἔργον „ἦν Λόγῳ συμπληρούμενον, καὶ Πνεύματι τελειούμενον, (ἐν τῷ εἰς τὰ Γε„νέθλ. τοῦ σωτῆρ. λόγ.) οὐ μέντοιγε πολλῷ πρότερον τῶν ἄλλων κτισμάτων, καὶ τούτους σὺν πάσαις ταῖς ἀγγελικαῖς στρατιαῖς παραχθῆναι ὑπέλαβεν ὁ ὅσιος.

τῶν ἐχόντων ἑξακισχιλίους χρόνους εἰσφέρεις ἑαυτὸν θαυματίσαι. καὶ γίνεται τοῦτο αὐτοῖς παρασκευή, ἐν ᾗ δυνήσονται πλῆξαί σε ὑπέρμετρα τῆς σοφίας σου, καὶ τῆς φρονήσεώς σου. ἀλλὰ καὶ ὅτε νικήσεις αὐτοὺς σύ, ὁ ῥύπος τῶν λογισμῶν μολύνει τὴν διάνοιάν σου, καὶ ἡ ὀσμὴ τῆς δυσωδίας αὐτῶν πολὺν ἐναπομένει καιρὸν τῇ ὀσφρήσει σου. ἐν τῷ πρώτῳ δὲ τρόπῳ, ἐκ τούτων ἁπάντων μετὰ τοῦ φόβου γίνῃ ἐλεύθερος. διότι οὐκ ἔστι βοήθεια ἄλλη, ὡς ὁ Θεός.

Περὶ δακρύων.

Τὰ δάκρυα τὰ ἐν τῇ εὐχῇ, σημεῖόν ἐστι τοῦ ἐλέους τοῦ Θεοῦ, ὅπερ ἠξιώθη ἡ ψυχὴ ἐν τῇ ἑαυτῆς μετανοίᾳ· καὶ ὅτι προσεδέχθη, καὶ ἤρξατο εἰσέρχεσθαι εἰς πεδιάδα τῆς καθαρότητος ἐν τοῖς δάκρυσιν. ἐὰν γὰρ μὴ ἀρθῶσιν οἱ λογισμοὶ τῶν παρερχομένων, καὶ ῥίψωσιν ἐξ ἑαυτῶν τὴν ἐλπίδα τοῦ κόσμου, καὶ κινηθῇ ἐξ αὐτῶν ἡ καταφρόνησις αὐτοῦ, καὶ ἄρξωνται ἀγαθὰ ἐφόδια τῆς ἐξόδου αὐτῶν παρασκευάζειν, καὶ ἄρξωνται ἐν τῇ ψυχῇ λογισμοὶ κινεῖσθαι τινῶν ὄντων ἐκεῖσε, οὐ δύνανται οἱ ὀφθαλμοὶ δακρύειν. τὰ δάκρυα γὰρ ἐκ τῆς ἀκραιφνοῦς ἀδολεσχίας καὶ ἀμετεωρίστου, τῶν λογισμῶν τε τῶν πολλῶν καὶ συνεχῶν, καὶ ἀκλινῶς γινομένων, καὶ ἐκ μνήμης τινὸς λεπτοῦ γινομένου ἐν τῇ διανοίᾳ, καὶ λυποῦντος τὴν καρδίαν ἐκ τῆς μνήμης αὐτοῦ. καὶ ἐκ τούτων τὰ δάκρυα πληθύνονται, καὶ ἐπὶ πλέον αὐξάνονται.

Περὶ ἐργοχείρου, καὶ φιλαργυρίας.

Ὅταν στραφῇς εἰς τὸ ἔργον τῶν χειρῶν ἐν τῇ διαμονῇ τῆς ἡσυχίας σου, μὴ θήσῃς τὴν ἐντολὴν τῶν πατέρων κάλυμμα

ὁ ὅσιος. ἐνθέντοι καὶ καταμαθεῖν ῥᾴδιον, ὅτι ἔτος ἦν ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστόν, ὅτε τοῦτον συνέγραφε τὸν λόγον.

τῆς φιλαργυρίας σου. ἔργον μικρὸν ἔσω σαι χάριν τῆς ἀκηδίας σου,
τὸ μὴ ταράσσειν τὸν νοῦν. ἐὰν δὲ διὰ τὴν ἐλεημοσύνην τῷ ἔργῳ
χρήσασθαι πλέον ἐπιθυμῇς, γνῶθι, ὅτι ἡ εὐχὴ ἀνωτέρα ταύ-
της ἐστὶν ἐν τῇ τάξει αὐτῆς. ἐὰν δὲ διὰ τὴν χρείαν τοῦ σώμα-
τός σου, εἰ μὴ ἄπληστος ἦ, ἀρκεῖ σοι εἰς πλήρωσιν τῆς χρείας
σου ἐκεῖνο, ὅπερ ὁ Θεὸς οἰκονομεῖ σοι. οὐδέποτε γὰρ ἀφῆκεν ὁ
Θεὸς τοὺς ἐργάτας αὐτοῦ ἐνδεεῖς γενέσθαι τῶν παρερχομένων.
Ματθ. ς. λγ. « ζητεῖτε γὰρ πρῶτον, εἶπεν ὁ Κύριος, τὴν βασιλείαν τοῦ Θεοῦ,
» καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται
» ὑμῖν, πρὸ τοῦ αἰτήσασθαι ὑμᾶς.

Εἶπε γάρ τις τῶν ἁγίων, ὅτι οὐκ αὕτη ἐστὶν ἡ τάξις τῆς
πολιτείας σου, τοῦ κορέσαι τοὺς πεινῶντας, καὶ γενέσθαι τὸ κελλίον
σου ξενοδοχεῖον τῶν ξένων. αὕτη γὰρ ἡ πολιτεία τῶν κοσμικῶν
ἐστι, καὶ μᾶλλον αὐτοῖς πρέπει ὡς καλόν, οὐχὶ τοῖς ἀναχωρη-
ταῖς, καὶ ἐλευθέροις τῶν μεριμνῶν τῶν ὁρωμένων, καὶ φυ-
λάττουσι τὸν νοῦν αὐτῶν ἐν τῇ προσευχῇ.

ΛΟΓΟΣ ΛΔ.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΩΝ ΚΑΙ ΕΤΕΡΟΙ ΛΟΓΟΙ.

Μὴ ψηφίσῃς ἀργίαν τὴν ἔκτασιν τῆς εὐχῆς τῆς ἀμετεωρίστου, τῆς συνηγμένης καὶ μακρᾶς, διὰ τὸ καταλεῖψαί σε τοὺς ψαλμούς. πλέον δὲ τῆς μελέτης τῆς στιχολογίας, τὰς μετανοίας ἐν τῇ προσευχῇ ἀγάπησον. ὅτε δώσει σοι χεῖρα αὕτη, τὸν τόπον τῆς λειτουργίας ἀναπληροῖ. καὶ ὅτε ἐν αὐτῇ τῇ λειτουργίᾳ δοθῇ σοι τὸ χάρισμα τῶν δακρύων, μὴ ψηφίσῃς τὴν ἐν αὐτοῖς τρυφήν, ἀργίαν ἐξ αὐτῆς. πλήρωμα γὰρ τῆς εὐχῆς ἡ χάρις ἡ τῶν δακρύων.

Ἐν τῷ καιρῷ, ἐν ᾧ ἡ διάνοιά σου ἐσκορπισμένη ἐστί, πλέον τῆς εὐχῆς, τῇ ἀναγνώσει ἔμμεινον. οὐ πᾶσα δὲ γραφὴ ὠφέλιμος, καθὼς ἐῤῥέθη. πολὺ πλέον τῶν ἔργων, τὴν ἡσυχίαν ἀγάπησον. τίμησον τὴν ἀνάγνωσιν, εἰ δυνατόν, κρεῖττον τῆς στάσεως. αὕτη γὰρ πηγή ἐστι τῆς καθαρᾶς εὐχῆς. μὴ ἓν ἀμελήσῃς παντελῶς, νῆφε δὲ ἐκ τοῦ μετεωρισμοῦ. τῆς γὰρ πολιτείας ῥίζα ἡ ψαλμῳδία. ὅμως καὶ τοῦτο γνῶθι, ὅτι τῆς στιχολογίας τῆς μετὰ τοῦ μετεωρισμοῦ, τὰ ἔργα τοῦ σώματος πλέον ὠφελοῦσι. (1) τὸ δὲ λυπεῖσθαι κατὰ διάνοιαν, τὸν κόπον ὑπερ-

βάλλει

(1) Τὸ Β. Χ. ὅτι τῆς μετὰ τοῦ μετεωρισμοῦ ψαλμῳδίας κάλλιω τὰ ἔργα τοῦ σώματος.

βάλλει τȣ̃ σώματος. ἐν τῷ καιρῷ τῆς ἀμελείας τίθει, καὶ ἐκίνησον μικρὸν τὸν ζῆλον. μεγάλως γὰρ ἐξυπνίζει τὴν καρδίαν, καὶ διαθερμαίνει τὰ νοήματα τῆς ψυχῆς. (1) ἐξ ἐναντίας τῆς ἐπιθυμίας, ἐν τῷ τῆς ἀμελείας καιρῷ, τῇ φύσει ὁ θυμὸς βοηθεῖ. λύει γὰρ τὴν ψυχρότητα τῆς ψυχῆς. ἐκ τούτων γὰρ τῶν αἰτίων εἴωθεν ἔρχεσθαι καθ' ἡμῶν ἡ ἀμέλεια· ἢ ἐκ τȣ̃ βάρȣς τῆς γαστρὸς, ἢ ἐκ τῶν πολλῶν ἔργων.

Ἡ εὐταξία τῆς ἐργασίας, τὸ φῶς ἐστὶ τȣ̃ φρονήματος. οὐκ ἔστιν ἄλλοτι, ὡς ἡ γνῶσις. πᾶσα εὐχὴ, ἣν προσφέρεις ἐν τῇ νυκτὶ, πασῶν τῶν τῆς ἡμέρας πράξεων ἔσω ἐν ὀφθαλμοῖς σȣ τιμιωτέρα. μὴ βαρύνῃς τὴν γαστέρα σȣ, ἵνα μὴ συγχυθῇ ἡ διάνοιά σȣ, καὶ ἔσῃ τεταραγμένος ἐν τῷ μετεωρισμῷ, ὅταν ἀναστῇς νυκτὸς, καὶ ἐκλυθῶσι τὰ μέλη σȣ, καὶ αὐτὸς εὑρεθῇς γυναικώδης πεπληρωμένος χαυνώσεως, ȣ̓ μὴν δὲ, ἀλλὰ καὶ ἡ ψυχή σȣ ἐσκοτισμένη, καὶ τὰ νοήματά σȣ τεθολωμένα, καὶ ȣ̓ δύνῃ συνάξαι αὐτὰ παντελῶς ἐν τῇ στιχολογίᾳ διὰ τὴν σκότωσιν, καὶ μωραίνηται ἐν σοὶ ἡ τῶν πάντων γεῦσις, (2) καὶ ȣ̓ γλυκαίνηταί σοι ἡ στιχολογία τῆς ψαλμῳδίας, ἧς διὰ τῆς ἐλαφρότητος, καὶ λαμπρότητος τῆς διανοίας ὁ νȣ̃ς εἴωθε γεύεσθαι μεθ' ἡδονῆς τῆς ἐν αὐτῇ διαφορᾶς. ὅταν γὰρ ἡ εὐταξία τῆς νυκτὸς ταραχθῇ, τότε καὶ ἐν τῇ ἡμερινῇ ἐργασίᾳ γίνεται

(1) Τὸ Ε. Χ. Ὥσπερ ἐξ ἐναντίας τῆς ἐπιθυμίας ἐν τῷ τῆς ἀμελείας καιρῷ τῇ φύσει ὁ θυμὸς βοηθεῖ, ȣ̃τως ἐν τῷ καιρῷ τῆς ἀμελείας ὁ ζῆλος. λύει γὰρ κ.τ.λ.

(2) Ἡ τῶν πάντων γεῦσις. εἰ δὲ γένηται εὔτακτος ἐργασία, λαμπρύνεται τὸ φῶς τȣ̃ φρονήματος, καὶ γλυκαίνηταί σοι ἡ στιχολογία τῆς ψαλμῳδίας, ὁ νȣ̃ς εἴωθε γεύεσθαι μεθ' ἡδονῆς τῆς ἐν αὐτῇ διαφορᾶς. Τὸ Ε. Χ.

γίνεται ὁ νοῦς συγκεχυμένος, καὶ ἐν σκοτώσει διαπορθούμενος, καὶ ἐν τῇ ἀναγνώσει καθὼς εἴωθεν, οὐ τρυφᾷ. ἐπιπίπτει γὰρ ὡς καταιγὶς ἐπὶ τὰ νοήματα, καὶ ἐὰν εἰς εὐχὴν κινηθῇ, καὶ ἐὰν εἰς μελέτην. ἡ ἡδονὴ γὰρ ἡ ἐν ἡμέρᾳ διδομένη τοῖς ἀσκηταῖς ἐκ τοῦ φωτὸς τῆς ἐργασίας τῆς νυκτὸς βρύει ἐπὶ τῷ νῷ τῷ καθαρῷ. ἕκαστος ἄνθρωπος, ὃς οὐκ ἔλαβε πεῖραν τῆς ἡσυχίας τῆς μακρᾶς, μὴ προσδοκήσῃ μαθεῖν ἐξ ἑαυτοῦ τὶ πλέον ἐν τοῖς ἀγαθοῖς τῆς ἀσκήσεως, εἰ καὶ μέγας ἐστὶ, σοφὸς, καὶ διδάσκαλος, ἔχων πολλὰ κατορθώματα.

Παραφύλαξαι, μὴ ἐπὶ πλέον ἐξασθενήσῃ τὸ σῶμά σου, ἵνα μὴ ἐνδυναμωθῇ κατὰ σοῦ ἡ ἀμέλεια, καὶ ψυχράνῃ τὴν ψυχήν σου ἐκ τῆς γνώσεως τῆς ἐργασίας αὐτῆς. ὡς ἐν ζυγῷ ἁρμόζει σταθμίσαι ἕκαστον τὴν ἑαυτοῦ πολιτείαν. ἐν τῷ καιρῷ, ἐν ᾧ κορέννυσαι, παραφύλαξαι ὀλίγον ἐκ τῆς πρὸς ἑαυτὸν παῤῥησίας. ἐν σωφροσύνῃ ἔστω τὸ κάθισμά σου καὶ ἐν τῇ ὥρᾳ τῆς χρείας σου. μάλιστα δὲ γίνου σώφρων, καὶ καθαρὸς ἐν τῇ ὥρᾳ τοῦ δείπνου σου, (1) καὶ παρατετηρημένος, οὐ μόνον ἐν τῷ λογισμῷ σου, ἀλλὰ καὶ ἐν τοῖς μέλεσί σου. φυλάττου ἐκ τῆς οἰήσεως ἐν τῇ ὥρᾳ τῶν καλῶν ἀλλοιώσεων. τὴν ἀσθένειάν σου, καὶ τὴν ἰδιωτείαν σου πρὸς τὴν λεπτότητα αὐτῆς τῆς οἰήσεως ἐν προσευχῇ ἀσεβαίως [illegible]ξον τῷ Κυρίῳ, ἵνα μὴ καταλειφθῇς πειρασθῆναι ἐν τοῖς αἰσχροῖς. ἡ πορνεία γὰρ ἀκολουθεῖ τῇ ὑπερηφανίᾳ· καὶ τῇ οἰήσει, ἡ πλάνη.

Ἐν τοῖς ἔργοις τῶν χειρῶν σου πρὸς τὴν χρείαν σου ἐργάσαι, μᾶλλον δὲ πρὸς δεσμὸν τὸν ἐν τῇ ἡσυχίᾳ σου. μὴ ἀσθενήσῃς ἐν

(1) τὸ Ε. Χ. τοῦ ὕπνου σου.

ἐν πεποιθήσει σε πρὸς τὸν προνοητήν σε. οἰκονομίαι γὰρ θαυμασαὶ γίνονται ἐν τοῖς οἰκείοις αὐτε. διότι ἐν ἐρήμῳ ἀοικήτῳ οἰκονομεῖ τὲς ἐν πεποιθήσει αὐτε καθημαίες, ἐκ ἐν χερσὶν ἀνθρώπων. ἐὰν ἐπισκέψηταί σε ὁ Κύριος ἐν ταῖς σωματικοῖς χωρὶς ἔργε, ὅτε σὺ ἀγωνίζῃ ἐν τῇ ἐπιμελείᾳ τῆς ψυχῆς σε, κινεῖται τότε ἐν σοὶ καὶ λογισμὸς ἐκ τῆς μηχανῆς τε διαβόλε τε φονευτε· ὅτι ἡ αἰτία τῆς προνοίας ταύτης ἁπάσης, πάντως ἐκ σε ἐςί. καὶ τότε αὐθωρα τέτῳ τῷ λογισμῷ παύεται ἐκ σε καὶ ἡ πρόνοια τε Θεε. καὶ αὐτῇ τῇ ὥρᾳ βρύεσι κατὰ σε πλεῖςοι πειρασμοὶ, εἴτε ἐκ τῆς ἀμελείας τε προνοητε, εἴτε ἐκ τῶν ἀναμιμνισμῶν τῶν πόνων, καὶ τῶν νοσημάτων τῶν κινεμένων ἐν τῷ σωματίῳ σε. ἐκ ἐκ μόνης δὲ τῆς κινήσεως τε λογισμε ἀμελεῖ ὁ Θεὸς, ἀλλὰ καὶ ἐκ τε διαμεῖναι τὴν διάνοιαν ἐν αὐτῇ. ἐκ τῆς κινήσεως γὰρ τῆς ἀκεσίε, ἐ παιδεύει, καὶ κρίνει ὁ Θεὸς τὸν ἄνθρωπον, ἐδὲ ἐὰν πρὸς ὥραν συμφωνήσωμεν αὐτῇ. καὶ ἐὰν αὐτῇ τῇ ὥρᾳ καντήσωμεν τὸ πάθος, καὶ ἡ κατάνυξις φθάσῃ ἡμᾶς, ἐ λογοθετεῖ ὁ Κύριος εἰς τὴν τοιαύτην ἀμέλειαν ἡμᾶς, ἀλλ᾽ εἰς ἐκείνην, ἣν ἡ διάνοια ἀληθῶς ἐδέξατο, καὶ ἀνεπαισθήτως προσβλέπει αὐτῇ, καὶ ὡς καθήκεσαν, καὶ ὠφελεσαν ἐδέξατο αὐτὴν, καὶ ἐκ ἐλογίσατο αὐτὴν φροντίδα δεινήν. ἡμεῖς ἀεὶ τετο προσευξώμεθα τῷ Κυρίῳ.

Εὐχή. Χριςὲ τὸ πλήρωμα τῆς ἀληθείας ἀνατειλάτω ἡ ἀλήθειά σε ἐν ταῖς καρδίαις ἡμῶν· καὶ κατὰ τὸ θέλημά σε γνῶμεν πορευθῆναι ἐν τῇ ὁδῷ σε.

Ὅτε λογισμός τις πονηρὸς ἐπαπαρεῖ σοι, εἴτε τέτων τῶν ἀπὸ μακρὰν ὄντων, εἴτε τῶν προλήψεων, καὶ συνεχῶς δεικνύει

-κνύει ἑαυτὸν τῷ νοΐ, γνῶθι ἀληθῶς, ὅτι παγίδα κρύψει σε· ἀλλ᾽ ἐξυπνίσθητι, καὶ νῆφε ἐν καιρῷ. εἰ δὲ ἐστιν ἐκ τούτων τῶν τοῦ μέρους τῶν δεξιῶν, καὶ τῶν ἀγαθῶν, γνῶθι ὅτι τρόπον τινὰ ζωῆς θέλει ὁ Θεὸς δοῦναί σοι, καὶ διὰ τοῦτο ἀεὶ ἔξωθεν τοῦ ἔθους κινεῖται ἐν σοί· ἐὰν δὲ σκοτεινὸς λογισμὸς ᾖ, καὶ διστάζῃς ἐν αὐτῷ, ὅτι οὐ δύνῃ τηλαυγῶς φθάσαι, ἐάν τε οἰκεῖος, ἢ κλέπτης ᾖ, ἢ ἀντιλήπτωρ, ἢ ἐνεδρευτὴς, ὃς ἐν σχήματι ἀγαθῷ ἐκρύβη, ἐν εὐχῇ ἐκτενεῖ καὶ ὀξυτάτῃ, νυκτὸς καὶ ἡμέρας, ἐν ἀγρυπνίᾳ πολλῇ παρασκευασθῶμεν κατ᾽ αὐτοῦ. μὴ ὠθήσῃς αὐτὸν, μὴ δὲ συμφωνήσῃς αὐτῷ, ἀλλ᾽ εὐχὴν ἐν πένθει, καὶ θερμότητι ποίησον ὑπὲρ αὐτοῦ. καὶ μὴ σιωπήσῃς ἐπικαλέσασθαι τὸν Κύριον. καὶ αὐτὸς δεικνύει σοι αὐτὸν πόθεν ἐστίν.

Περὶ σιωπῆς.

Ὑπὲρ πάντα τὴν σιωπὴν ἀγάπησον, ὅτι προσεγγίζει σοι πρὸς καρπόν. ἡ γλῶσσα γὰρ ἀσθενεῖ πρὸς τὴν ἐξήγησιν αὐτοῦ. πρῶτον μὲν, βιασώμεθα ἑαυτοὺς σιωπᾶν, καὶ τότε ἐκ τῆς σιωπῆς γεννᾶται ἡμῖν τι ὁδηγοῦν ἡμᾶς εἰς αὐτὴν τὴν σιωπήν. δώῃ σοι ὁ Θεὸς αἰσθηθῆναί τινος γεννωμένου ἐκ τῆς σιωπῆς. ἐὰν δὲ ἐν ταύτῃ τῇ πολιτείᾳ ἄρξῃ, οὐκ ἐπίσταμαι ἐγὼ πόσον φῶς ἀνατελεῖ σοι ἐντεῦθεν. μὴ λογίσῃ, ὦ ἀδελφὲ, ὅτι ὅπερ ἐῤῥέθη ἐπὶ τοῦ θαυμασίου ἐκείνου Ἀρσενίου, ὅτε παρέβαλον αὐτῷ οἱ πατέρες, καὶ οἱ ἀδελφοὶ οἱ ἐρχόμενοι τοῦ θεάσασθαι αὐτὸν, καὶ ἐκαθέζετο μετ᾽ αὐτῶν σιωπῶν, καὶ ἐν τῇ σιωπῇ ἣν ἀπολύων αὐτοὺς, ἐν θελήματι μόνον τοῦτο ἐποίει, ἀλλ᾽ ἐπεὶ ἐξ ἀρχῆς εἰς τοῦτο ἑαυτὸν ἐβιάσατο. ἡδονή τις τίκτεται ἐν τῇ καρδίᾳ ἐκ τῆς γυμνασίας τῆς ἐργασίας ταύτης μετὰ καιρὸν, καὶ ἐν βίᾳ ὁδηγεῖ τὸ σῶμα ὑπομεῖναι ἐν τῇ ἡσυχίᾳ. καὶ πλῆθος

δακρύων τίκτεται ἡμῖν ἐν ταύτῃ τῇ πολιτείᾳ. καὶ ἐν τῇ θεωρίᾳ τῇ θαυμαστῇ αἰσθάνεταί τινος ἐν αὐτοῖς ἡ καρδία διακριτικῶς ἐν καιρῷ μετὰ πόνου, καὶ ἐν καιρῷ ἐκ τοῦ θαύματος. συμκρινέεται γὰρ ἡ καρδία, καὶ γίνεται ὡς νήπιον. καὶ ὅτε ἄρξεται ἐν τῇ εὐχῇ, προεπιῤῥέουσι τὰ δάκρυα. μέγας ἐστὶν ἄνθρωπος ὁ ἐν ὑπομονῇ τῶν μελῶν ἑαυτοῦ συνήθειαν κτώμενος θαυμαστὴν ἔσω ἐν τῇ ἑαυτοῦ ψυχῇ. ὅτε πάντα τὰ ἔργα τῆς πολιτείας ταύτης εἰς ἓν μέρος θήσεις, καὶ τὴν σιωπὴν ἐν ἄλλῳ, εὑρίσκεις αὐτὴν ὑπερβάλλουσαν τῷ σταθμῷ. παραινέσεις εἰσὶ πολλαὶ τῶν ἀνθρώπων. ὅτε ἡνίκα τῇ σιωπῇ τὶς προσεγγίσει, περιττὴ αὐτῷ ἡ ἐργασία τῆς φυλακῆς αὐτῶν. καὶ εὑρίσκονται γενόμεναι περιτταὶ αἱ ἐργασίαι. καὶ αὐτὸς εὑρίσκεται ὑπερυψωθεὶς αὐτῶν, ὅτι τῇ τελειότητι προσήγγισε. καὶ γὰρ βοήθειά ἐστι τῇ ἡσυχίᾳ: πῶς δὲ τοῦτο; ὅτι ἀδύνατον ἐν τῇ τῶν πολλῶν κατασκηνώσει ὄντων ἡμῶν, μὴ ἀπαντηθῆναι ἡμᾶς ὑπό τινος. οὐδὲ γὰρ ὁ ἰσάγγελος Ἀρσένιος, ὃς ὑπὲρ ἅπαντας ἠγάπησε τὴν ἡσυχίαν, ἠδυνήθη ἀποστῆναι τούτων. τὸ γὰρ συναντηθῆναι ἡμᾶς ὑπὸ τῶν πατέρων, καὶ τῶν ἀδελφῶν τῶν ὄντων μεθ᾽ ἡμῶν, καὶ ἡ ἀπάντησις αὐτῶν ἡ ἀπροσδοκήτως γινομένη, καὶ τὸ ἀπέρχεσθαι αὐτὸν ἐν τῇ ἐκκλησίᾳ, ἢ ἀλλαχοῦ, ταῦτα πάντα ὅτε εἶδεν ὁ ἄνθρωπος ἐκεῖνος ὁ ἀξιομακάριστος, ὅτι οὐ δυνατόν ἐστιν ἀποστῆναι τούτων, ὅσον ἐστὶ πλησίον τῆς κατοικήσεως τῶν ἀνθρώπων· ἡνίκα δὲ ἦν (1) πολλάκις, μὴ

(1) Τὸ Ε. Χ. ἡνίκα ἦν πολλάκις κτ. σαφέστερον δὲ τυχὸν οὕτω· ταῦτα πάντα ὅτε εἶδεν ὁ ἄνθρωπος ἐκεῖνος ὁ ἀξιομακάριστος, (καὶ ἐπέγνω) ὅτι οὐ δυνατὸν ἀποστῆναι τούτων, ὅσον ἐστὶ πλησίον τῆς κατοικήσεως τῶν ἀνθρώπων, (ἡνίκα ἦν πολλάκις, (πλησίον τῶν ἀνθρώπων) μὴ δυνάμενος ἐν τῷ

μὴ δυνάμενος μακρυνθῆναι ἐν τόπῳ τῆς ἑαυτοῦ κατοικίας ἐκ τοῦ πλησιασμοῦ τῶν ἀνθρώπων, καὶ ἐκ τῶν μοναστῶν τῶν κατοικούντων ἐν ἐκείνοις τοῖς τόποις, τοῦτον τὸν τρόπον ἔμαθεν ἐκ τῆς χάριτος, τὴν διηνεκῆ σιωπήν. καὶ εἴποτε ἐξ ἀνάγκης ἤνοιγε τὴν θύραν ἑαυτοῦ τισὶν αὐτῶν, ἐν τῇ θεωρίᾳ αὐτοῦ μόνον ἀνηυφραίνοντο· ἡ δὲ ὁμιλία τοῦ λόγου, καὶ ἡ χρεία αὐτοῦ, περιττὴ ἐγίνετο μεταξὺ αὐτῶν.

Πολλοὶ τῶν πατέρων ἐν τῇ θεωρίᾳ ταύτῃ ἦλθον εἰς κατάστασιν, εἰς τὸ παραφυλάξασθαι ἑαυτοὺς, τοῦ λαβεῖν αὐτοὺς προσθήκην τοῦ πλούτου τοῦ πνευματικοῦ ἐκ τῆς μαθήσεως, ἧς ἐδέξαντο ἐκ τῆς θεωρίας τοῦ μακαρίου. καί τινες ἐξ αὐτῶν ἐν λίθῳ, ἢ ἐν χοινίῳ ἐδέσμευν ἑαυτοὺς, ἢ ἐν λιμῷ ἔτηξαν ἑαυτοὺς ἐν τῷ καιρῷ, ἡνίκα ἤθελον πρὸς τοὺς ἀνθρώπους ἐξελθεῖν. διότι ἡ πεῖνα πολὺ ὠφελεῖ εἰς τὴν συστολὴν τῶν αἰσθήσεων.

Πολλοὺς πατέρας εὗρον, ἀδελφὲ, μεγάλους καὶ θαυμαστοὺς, πλεῖον τῶν ἔργων, εἰς τὴν εὐταξίαν τῶν αἰσθήσεων πρόνοιαν ποιουμένους, καὶ εἰς τὸ ἦθος τοῦ σώματος. ὅτι ἐξ αὐτῶν γεννᾶται ἡ εὐταξία τῶν λογισμῶν. αἰτίαι πολλαὶ ἔξωθεν τοῦ θελήματος συναντῶσι τῷ ἀνθρώπῳ, καὶ ποιοῦσιν αὐτὸν ἐξελθεῖν ἔξωθεν τοῦ ὅρου τῆς ἐλευθερίας αὐτοῦ. καὶ εἰ μὴ εὑρεθείη παραφυλαττόμενος ἐν ταῖς ἑαυτοῦ αἰσθήσεσιν ἐν τῇ ἀδιαλείπτῳ συνηθείᾳ, τῇ προηγησαμένῃ ἐν αὐτῷ, εἶχον ποιῆσαι αὐτὸν ἐν πολλῷ χρόνῳ μὴ ἐλθεῖν εἰς ἑαυτὸν, καὶ εὑρεῖν τὴν πρώτην εἰρηνικὴν ἑαυτοῦ κατάστασιν.

ἐν τῷ τόπῳ τῆς ἑαυτοῦ κατοικίας μακρυνθῆναι ἐκ τοῦ πλησιασμοῦ τῶν ἀνθρώπων, καὶ ἐκ τῶν μοναστῶν τῶν κατοικούντων ἐν ἐκείνοις τοῖς τόποις) τοῦτον τὸν τρόπον ἔμαθεν ἐκ τῆς χάριτος, τὴν διηνεκῆ σιωπήν.

Προκοπὴ τῆς καρδίας ἀδολεχία ἐστὶν ἐν τῇ ἑαυτῆς ἐλπίδι. προκοπὴ τῆς πολιτείας, ἡ ἐκ πάντων λύσις. ἡ μνήμη τοῦ θανάτου, δεσμός ἐστιν ἀγαθὸς τῶν μελῶν τῶν ἔξωθεν. δέλεαρ ψυχῆς ἐστὶν ἡ χαρὰ, ἡ ἐκ τῆς ἐλπίδος τῆς ἐξανθούσης ἐν τῇ καρδίᾳ. αὔξησις τῆς γνώσεως, αἱ διηνεκεῖς δοκιμασίαι εἰσὶν ἃς ἐκ τῶν δύω ἀλλοιώσεων λαμβάνει ὁ νοῦς ἔσωθεν καθ' ἡμέραν. ἐὰν γὰρ καὶ ἀκηδία ἡμῖν κατὰ καιρὸν ἐγγένηται διὰ τὴν μόνωσιν, (καὶ τοῦτο ἴσως οἰκονομικῶς παραχωρεῖται γενέσθαι.) ἀλλ' ἔχομεν παράκλησιν τῆς ἐλπίδος ὑπερβάλλουσαν τὸν λόγον τῆς πίστεως, ὃν ἔχομεν ἐν ταῖς καρδίαις ἡμῶν. καὶ καλῶς εἶπέ τις τῶν θεοφόρων, ὅτι ἱκανοῖ ὁ πόθος τοῦ Θεοῦ τῷ πιστῷ γενέσθαι παράκλησις καὶ ἐν τῇ ἀπωλείᾳ τῆς ἑαυτοῦ ψυχῆς. τί γάρ φησι βλάπτουσιν αἱ θλίψεις τὸν τὴν τρυφὴν, καὶ τὴν ἀνάπαυσιν καταπεφρονημένας ἔχοντα, διὰ τὰ μέλλοντα ἀγαθά;

Καὶ τοῦτο δὲ ἀδελφὲ παραγγέλλω σοι· ἔσω ἐν σοὶ ἀεὶ ἐκνικῶν ὁ τῆς ἐλεημοσύνης σταθμὸς, ἕως ἂν αἰσθηθῇς ἐν ἑαυτῷ ἐκείνου τοῦ ἐλέους, οὗ ἔχεις πρὸς τὸν κόσμον. (1) ταῦτα γὰρ τὰ ἡμέτερα ἔσοπτρα γενέσθω, τοῦ ἰδεῖν ἐν ἑαυτῷ τὴν ὁμοιότητα, καὶ τὸν τύπον τὸν ἀληθινὸν, τὸν τῇ φύσει ὑπάρχοντα, καὶ τῇ οὐσίᾳ ἐκείνῃ τοῦ Θεοῦ. ἐν τούτοις καὶ τοῖς τοιούτοις φωτισθῶμεν

κινηθῆναι

(1) „Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ. (Ψαλμ. λβ. ε.) δεῖ οὖν καὶ τὸν θεαρέστως πολιτευόμενον ἄνθρωπον, κἂν πόῤῥω τοῦ κόσμου διάγῃ, σπλάγχνα οἰκτιρμῶν ἔχοντα, οἰκτείρειν τοὺς ἐν τῷ κόσμῳ, καὶ ἐλεεῖν. καὶ τοῦτό ἐστιν οἶμαι ὅπερ φησὶν ὁ ὅσιος, ἕως ἂν αἰσθηθῇς ἐν ἑαυτῷ ἐκείνου τοῦ ἐλέους, οὗ ἔχεις πρὸς τὸν κόσμον. ἡνίκα δ' ἂν τὸ τοιοῦτον ἔλεος ἐν τῇ καρδίᾳ αὐτοῦ ἐνοικήσῃ, τηνικαῦτα ἔσοπτρον ἐν ἑαυτῷ ἔχει,
„ ἐν ᾧ τὸν ἀληθινὸν τοῦ ἐλέους τύπον καθορᾷ, τοῦ ἐν τῇ φύσει, καὶ οὐσίᾳ
„ τοῦ Θεοῦ ὑπάρχοντος. οἰκτίρμων γὰρ καὶ ἐλεήμων ὁ Κύριος. Ψαλ. ρβ. η.

κινηθῆναι κατὰ Θεὸν ἐν διαυγεῖ προαιρέσει. καρδία ἀπότομος καὶ ἀνηλεὴς, οὐδέποτε καθαίρεται. ἄνθρωπος ἐλεήμων, ἰατρός ἐστι τῆς ἑαυτοῦ ψυχῆς. τὴν σκότωσιν γὰρ τῶν παθῶν, ὡς ἐν πνεύματι βιαίῳ καταδιώκει ἐκ τῶν ἔνδον ἑαυτοῦ. χρέος ἀγαθὸν πρὸς τὸν Θεὸν τοῦτό ἐστι, (1) κατὰ τὸν εὐαγγελικὸν λόγον τῆς ζωῆς.

Ὅταν προσεγγίσῃς τῇ στρωμνῇ σου, εἰπὲ αὐτῇ, ὦ στρωμνὴ, ἴσως ἐν τῇ νυκτὶ ταύτῃ τάφος μοι γίνῃ. καὶ οὐ γινώσκω, μήπως ἀντὶ τοῦ προσκαίρου ὕπνου, ἐκεῖνος ὁ αἰώνιος ὁ μέλλων εἰσέλθῃ ἐν ἐμοὶ ἐν ταύτῃ τῇ νυκτί. ἐν ὅσῳ οὖν ἔχεις πόδας, δράμε ὀπίσω τῆς ἐργασίας, πρὸ τοῦ δεσμευθῆναι ἐν ἐκείνῳ τῷ δεσμῷ, τῷ μὴ ἐνδεχομένῳ πάλιν λυθῆναι. ἐν ὅσῳ ἔχεις δακτύλους, σταύρωσον ἑαυτὸν ἐν προσευχῇ, πρὸ τοῦ ἐλθεῖν τὸν θάνατον. ἐν ὅσῳ ἔχεις ὀφθαλμοὺς, πλήρωσον αὐτοὺς δακρύων, πρὸ τοῦ σκεπασθῆναι αὐτοὺς ὑπὸ τοῦ κονιορτοῦ. καθάπερ γὰρ τὸ ῥόδον, τὸ ὑπ' ἀνέμου ἐκπνεόμενον, καὶ μαραινόμενον, οὕτως ἔσωθέν σου ἐν τῶν στοιχείων τῶν ἐν σοὶ, καὶ ἀποθνήσκεις. θοῦ ἐν τῇ καρδίᾳ σου τοῦ ἀπελθεῖν, ὦ ἄνθρωπε, ἐν τῷ λέγειν σε ἀεὶ, ἴδε ἔφθασε τὴν θύραν ὁ ἀπόστολος, ὁ ἐρχόμενος ὀπίσω μου. τί κάθημαι; ἀποδημία ἐστὶν αἰώνιος, μὴ ἔχουσα πάλιν ἐπάνοδον.

Ὁ ἀγαπῶν τὴν ὁμιλίαν τὴν μετὰ Χριστοῦ, ἀγαπᾷ γενέσθαι μοναστικός· ὁ δὲ ἀγαπῶν ὑπολειφθῆναι μετὰ τῶν πολλῶν, οὗτος φίλος τοῦ κόσμου τούτου. ἐὰν ἀγαπᾷς τὴν μετάνοιαν, ἀγάπησον καὶ τὴν ἡσυχίαν. ἔξωθεν γὰρ τῆς ἡσυχίας οὐ τελειοῦται

(1) „Τοῦτό ἐστιν, εἶτουν τὸ οἰκτείρειν. γίνεσθε, γάρ φησιν, οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. Λουκ. ς. λς.

λεῖται ἡ μετάνοια. καὶ ἐάν τις ἀντιλέγῃ σοι τούτῳ, μὴ φιλονεικήσῃς μετ᾽ αὐτοῦ. ἐὰν ἀγαπᾷς τὴν ἡσυχίαν τὴν μητέρα τῆς μετανοίας, ἀγάπησον ἐν ἡδονῇ καὶ τὴν μικρὰν ζημίαν τοῦ σώματος, καὶ τὰς βρυούσας μέμψεις, καὶ τὰς ἀδικίας τὰς ὑπὲρ αὐτῆς. ἐκτὸς γὰρ ταύτης τῆς παρασκευῆς, ζῆσαι ἐν ἡσυχίᾳ μετ᾽ ἐλευθερίας ἀταράχως, οὐ δυνήσῃ. ἐὰν δὲ τούτων καταφρονήσῃς, μέτοχος γίνῃ τῆς ἡσυχίας, κατὰ τὸ θέλημα τοῦ Θεοῦ, καὶ μενεῖς καθήμενος ἐν αὐτῇ, ὡς θέλει ὁ Θεός. πόθος ἡσυχίας ἐστὶ προσδοκία διηνεκὴς τοῦ θανάτου. ὁ ἐκτὸς ταύτης τῆς μελέτης εἰσερχόμενος ἐν τῇ ἡσυχίᾳ, οὐ δύναται βαστάξαι ἅπερ ὀφείλομεν καρτερεῖν, καὶ βαστάζειν ἐκ παντὸς τρόπου.

Καὶ τοῦτο δὲ γνῶθι, ὦ διακριτικέ, ὅτι οὐχὶ διὰ τὰ ἔργα τὰ περισσὰ τῶν κανόνων, ὅπως ταῦτά γε ἐργασώμεθα, τὴν κατοίκησιν μοναστικῶς μετὰ τῶν ψυχῶν ἡμῶν, καὶ τὴν ἡσυχίαν, καὶ τὸν ἐγκλεισμὸν ποιοῦμεν. γνώριμον γάρ ἐστιν, ὅτι μᾶλλον ἡ μετὰ τῶν πολλῶν κοινωνία χεῖρα παρέχει εἰς τοῦτο, διὰ τὴν προθυμίαν τοῦ σώματος. καὶ εἰ ἦν ἀναγκαῖον τοῦτο, οὐκ ἦσάν τινες τῶν πατέρων τὴν συντυχίαν καὶ τὴν κοινωνίαν τῶν ἀνθρώπων ἐάσαντες, καὶ ἄλλοι ἐν τάφοις οἰκήσαντες, τινὲς δὲ τὸν ἐγκλεισμὸν ἐκλεξάμενοι ἐν οἴκῳ μοναστικῷ, ἐν ἐκείνῳ μάλιστα τὸ σῶμα ἐκλύοντες, καὶ ἀφιέντες αὐτὸ, μὴ δυνάμενον πληρῶσαι τοὺς κανόνας ἑαυτοῦ, σὺν πάσῃ ἀσθενείᾳ, καὶ μόχθῳ σωματικῷ· ἀλλὰ καὶ τὰ βαρέα νοσήματα τὰ φθάνοντα αὐτοὺς, ἐν ἡδονῇ ὑπέφερον ἐν πάσῃ τῇ ζωῇ αὐτῶν. ἐξ ὧν οὔτε κἂν στῆναι ἐν τοῖς ποσὶν ἑαυτῶν, ἢ τὴν προσευχὴν τὴν συνήθη προσφέρειν, ἢ δοξολογεῖν ἐν τῷ ἑαυτῶν ἠδύναντο σώματι· ἀλλ᾽ οὐδὲ ψαλμὸν, οὔτε ἄλλο τὶ τῶν ἐν σώματι τελουμένων ἐποίουν. καὶ

ἤρκεσεν

ἤρκεσεν αὐτοῖς μόνη ἡ τȣ̃ σώματος ἀσθένεια, καὶ ἡ ἡσυχία ἀντὶ πάντων τῶν κανόνων. καὶ ȣ̃τος ὁ τρόπος ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς αὐτῶν. καὶ ἐν ταύτῃ πάσῃ τῇ νομιζομένῃ ἀργίᾳ, ȣ̓δεὶς ἐπεθύμησεν ἐξ αὐτῶν καταλεῖψαι τὸ κελλίον ἑαυτȣ̃, καὶ διὰ τὴν ἀργίαν τῆς ἐργασίας τῶν κανόνων αὐτȣ̃ ἔξω πȣ περιάγειν, ἢ ἐν ταῖς ἐκκλησίαις ἐνευφραίνεσθαι ταῖς φωναῖς, καὶ ταῖς λειτȣργίαις τῶν ἄλλων.

Ὁ αἰσθηθεὶς τῶν ἑαυτȣ̃ ἁμαρτιῶν, κρείττων ἐςὶ τȣ̃ ἐγείροντος τȣ̀ς νεκρȣ̀ς ἐν τῇ ἑαυτȣ̃ προσευχῇ, ὅτε εὑρεθῇ ἡ κατοίκησις αὐτȣ̃ ἐν μέσῳ πολλῶν. ὁ ςενάζων μίαν ὥραν ὑπὲρ τῆς ψυχῆς ἑαυτȣ̃, κρείττων ἐςὶ τȣ̃ ὠφελȣ̃ντος ὅλον τὸν κόσμον ἐν τῇ θεωρίᾳ ἑαυτȣ̃. ὁ ἀξιωθεὶς ἰδεῖν ἑαυτὸν, αὐτὸς κρείττων ἐςὶ τȣ̃ ἀξιωθέντος ἰδεῖν τȣ̀ς Ἀγγέλȣς. ȣ̃τος γὰρ, ἐν τοῖς σωματικοῖς ὀφθαλμοῖς κοινωνεῖ· ἐκεῖνος δὲ, ἐν τοῖς ὀφθαλμοῖς τῆς ψυχῆς. ὁ ἀκολȣθῶν τῷ Χριςῷ ἐν πάθει μοναςικῷ, ȣ̃τος κρείττων ἐςὶ τȣ̃ ἐπαινȣ̃ντος ἑαυτὸν ἐν ταῖς συναγωγαῖς. καὶ „ μηδεὶς ἀνέγκῃ εἰς μέσον τὸ τȣ̃ Ἀποςόλȣ, τὸ ἀνάθεμα εἶναι „ ἐγώ φησιν ηὐχόμην ἀπὸ τȣ̃ Χριςȣ̃. τῷ γὰρ λαβόντι τὴν δύναμιν τȣ̃ Παύλȣ, καὶ ἐκεῖνα ποιῆσαι ἐπιτάττεται. Παῦλος δὲ ἐκ τȣ̃ πνεύματος τȣ̃ ἐν ἑαυτῷ ἐλαμβάνετο, εἰς ὠφέλειαν τȣ̃ κόσμȣ, καθὼς αὐτὸς ἐμαρτύρησεν. ὅτι ȣ̓κ ἐν τῷ „ ἑαυτȣ̃ θελήματι τȣ̃το ἐποίει. ἀνάγκη γάρ μοι φησὶν ἐςὶ, καὶ „ ȣ̓αί μοι ἐὰν μὴ εὐαγγελίζωμαι. καὶ ἡ ἐκλογὴ τȣ̃ Παύλȣ, ȣ̓ τῆς ἑαυτȣ̃ μετανοίας ἐθεώρει τὸν τρόπον, ἀλλὰ τὸ εὐαγγελίσασθαι τῇ ἀνθρωπότητι, καὶ δύναμιν περιοσὴν ἔλαβεν.

Ῥωμ. θ. γ.

α. Κορινθ. θ. ις.

Ὅμως τὴν ἡσυχίαν ἀγαπήσωμεν ἡμεῖς ἀδελφοὶ, ἕως ἂν νεκρωθῇ ὁ κόσμος ἐκ τῆς καρδίας ἡμῶν. καὶ μνημονεύ-

σωμεν τȣ̃ θανάτȣ ἀεὶ, καὶ ἐν τῇ τοιαύτῃ μελέτῃ προσεγγίσωμεν τῷ Θεῷ ἐν τῇ καρδίᾳ ἡμῶν, καὶ καταφρονήσωμεν τῆς ματαιότητος τȣ̃ κόσμȣ, καὶ περιφρονηθῇ ἡ ἡδονὴ αὐτȣ̃ ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ ὑπομείνωμεν ἐν ἡδονῇ ἐν σώματι νοσερῷ τὴν ἀργίαν τὴν διηνεκῆ, τὴν ἐν τῇ ἡσυχίᾳ. ὅπως ἀξιωθῶμεν τῆς τρυφῆς, τῆς μετὰ τῶν ἐν σπηλαίοις, καὶ ὀπαῖς τῆς γῆς προσδοκώντων τὴν ἀποκάλυψιν τὴν ἐπιφανείαν τȣ̃ Κυρίȣ, τὴν ἐξ ȣ̓ρανȣ̃. ὅτι αὐτῷ, καὶ τῷ πατρὶ αὐτȣ̃, καὶ τῷ ἁγίῳ αὐτȣ̃ πνεύματι ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ τὸ κράτος, καὶ ἡ μεγαλοπρέπεια εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΛΕ.

ΠΕΡΙ ΤΟΥ ΔΙΑΤΙ ΟΙ ΑΝΘΡΩΠΟΙ ΟΙ ΨΥΧΙΚΟΙ ΕΝ ΤΗ ΓΝΩΣΕΙ ΠΕΡΙΒΛΕΠΟΥΣΙΝ ΕΙΣ ΠΝΕΥΜΑΤΙΚΑ ΤΙΝΑ

κατὰ τὴν τῶν σωμάτων παχύτητα. καὶ πῶς δύναται ὑψωθῆναι ἡ διάνοια ἐκ ταύτης. καὶ τίς ἐστιν ἡ αἰτία τȣ̃ μὴ ἐλευθερωθῆναι ἐξ αὐτῆς. καὶ πότε, καὶ ἐν ποίῳ δυνατὸν ἐμμένειν τὴν διάνοιαν ἐκτὸς φαντασίας ἐν τῇ ὥρᾳ τῆς λιτῆς.

Εὐλογημένη ἡ τιμὴ τȣ̃ Κυρίȣ, τȣ̃ ἀνοίγοντος θύραν ἔμπροσθεν ἡμῶν, ἵνα μὴ σχῶμεν αἴτησιν, εἰ μὴ τὴν εἰς αὐτὸν

τὸν ἐπιθυμίαν. ὅτω γαρ καταλιμπάνομεν πάντα, καὶ εἰς τὴν καταδίωξιν αὐτȣ̃ μόνον ἐξέρχεται ἡ ψυχὴ, ὡς μὴ ἔχειν τινὰ μέριμναν κωλύȣσαν αὐτὴν κατέναντι τῆς θεωρίας ἐκείνης τȣ̃ Κυρίȣ. καθ' ὅσον γαρ, ἀγαπητοὶ, ἀφίησιν ἡ διάνοια τὴν μέριμναν τȣ́των τῶν ὁρατῶν, καὶ φροντίζει ἐν τῇ ἐλπίδι τῶν μελλόντων κατὰ τὸ μέτρον τῆς ὑψώσεως αὐτῆς ἐκ τῆς μεριμνης τȣ̃ σώματος, καὶ τῆς μελέτης αὐτῆς ἐν ἐκείνῃ, κατὰ τοσȣ̃τον λεπτύνεται, καὶ γίνεται διαυγὴς ἐν τῇ εὐχῇ. καὶ καθ' ὅσον ἐλευθερȣ̃ται τὸ σῶμα ἐκ τῶν δεσμῶν τῶν πραγμάτων, κατὰ τοσȣ̃τον καὶ ἡ διάνοια. καὶ καθ' ὅσον ἡ διάνοια ἐκ τῶν δεσμῶν τῶν φροντίδων ἐλευθερȣ̃ται, κατὰ τοσȣ̃τον τηλαυγὴς γίνεται. καὶ καθ' ὅσον τηλαυγὴς γίνεται, λεπτύνεται, καὶ ὑψȣ̃ται ἐκ τῶν νοημάτων τȣ̃ αἰῶνος τȣ́τȣ, τȣ̃ βασάζοντος τȣ̀ς τρόπȣς τῆς παχύτητος. καὶ τότε γινώσκει ἡ διάνοια θεωρεῖν ἐν Θεῷ κατ' αὐτὸν, (1) καὶ ȣ̓ καθὼς ἡμεῖς. ἐὰν γαρ μὴ πρῶτον ὁ ἄνθρωπος τῆς ἀποκαλύψεως ἄξιος γένηται, ȣ̓ δύναται γνῶναι (2) αὐτήν. καὶ ἐὰν μὴ ἔλθῃ εἰς καθαρότητα, ȣ̓ δύναται εἶναι τὰ νοήματα (3) τηλαυγῆ, τȣ̃ θεωρῆσαι τὰ κρυπτά. καὶ ἕως ἂν ἐλευθερωθῇ ἐκ πάντων τῶν ὁρατῶν τῶν ὁρωμένων ἐν τῇ κτίσει αὐτῶν, ȣ̓κ ἐλευθερȣ̃ται ἐκ τῶν νοημάτων τῶν περὶ αὐτῶν, ȣ̓δὲ ἀργὸς γίνεται ἐκ τῶν λογισμῶν τῶν σκοτεινῶν. καὶ ἔνθα ἡ σκο-

(1) Θεωρεῖν ἐν Θεῷ κατ' αὐτὸν, ταυτοσήμαντον δοκεῖ τῷ θεωρεῖν τὸν Θεὸν θεοπρεπῶς, καὶ ȣ̓ καθὼς ἡμεῖς, τȣτέσι παχυλῶστε καὶ ἀνθρωπίνως.

(2) Τὸ E. X. ȣ̓ δύναται θεωρεῖν αὐτήν.

(3) Οὐ γίνονται τὰ νοήματα. τὸ E. X.

σκοτία, καὶ ἡ πλοκὴ τῶν λογισμῶν, καὶ τὰ πάθη ἐκεῖ. ἐὰν γὰρ μὴ ἐλευθερωθῇ ὁ ἄνθρωπος ἐκ τούτων, ὧν εἴπομεν, καὶ τῶν αἰτιῶν αὐτῶν, οὐ μὴ θεάσηται ἐν τοῖς κρυπτοῖς ἡ διάνοια. διὰ τοῦτο πρὸ πάντων τὴν ἀκτημοσύνην ἐκέλευσεν ὁ Κύριος κρατῆσαι, καὶ ἀποστῆναι τῆς ταραχῆς τοῦ κόσμου, καὶ λυθῆναι ἐκ τῆς μερίμνης πάντων τῶν ἀνθρώπων. ὅστις, λέγων, οὐκ ἀποτάσσεται πάσῃ τῇ ἀνθρωπότητι, καὶ πᾶσι τοῖς ἑαυτοῦ, καὶ ἀρνεῖται ἑαυτὸν, οὐ δύναταί μου εἶναι μαθητής.

Λουκ. ιδ. λγ.

Ἵνα γὰρ μὴ ἡ διάνοια ἐν πᾶσι βλαβῇ, ἐν θεωρίᾳ, ἐν ἀκοῇ, ἐν μερίμνῃ τῶν πραγμάτων, ἐν ἀφανισμῷ αὐτῶν, ἐν αὐξήσει αὐτῶν, ἐν ἀνθρώπῳ, καὶ διὰ τὸ δεσμῆσαι αὐτὴν (1) ἐν τῇ ἐλπίδι μόνῃ τῇ πρὸς αὐτὸν, ἔτρεψε πᾶσαν μέριμναν τοῦ φρονήματος ἐν τῇ λύσει πάντων· ἵνα ἐκ τούτου ὀρεγώμεθα τῆς ὁμιλίας αὐτοῦ. ἀλλὰ γυμνασίας πάλιν χρήζει ἡ εὐχή· ἵνα διὰ τοῦ μακροῦ χρόνου τοῦ ἐν αὐτῇ, σοφισθῇ ἡ διάνοια. μετὰ γὰρ τὴν ἀκτημοσύνην τὴν λύσαν τὰ νοήματα ἡμῶν ἐκ τῶν δεσμῶν, διαμονὴν θέλει ἡ εὐχή. ὅτι ἐκ τῆς διαμονῆς τοῦ καιροῦ λαμβάνει ἡ διάνοια τὴν γυμνασίαν, καὶ γινώσκει ἀποδιώξαι τὸν λογισμὸν ἀπ' αὐτῆς, καὶ μανθάνει ἐκ τῆς πολλῆς πείρας ἅπερ παρ' ἄλλου δέξασθαι οὐ δύναται. ἑκάστη γὰρ πολιτεία γινομένη, αὔξησιν λαμβάνει ἐκ τῆς πολιτείας τῆς πρὸ αὐτῆς. καὶ τὰ πρὸ αὐτῆς ζητεῖται εἰς εὕρεσιν

(1) Τὸ Ε. Χ. καὶ διὰ τὸ δεσμῆσαι τὴν διάνοιαν ἡμῶν ἐν τῇ ἐλπίδι μόνῃ τῇ πρὸς αὐτὸν, ἔτρεψε πᾶσαν μέριμναν τῶν λογισμῶν. καὶ ἐν ἑαυτῷ πᾶσαν μέριμναν ἐδέσμησε τοῦ φρονήματος ἐν τῇ λύσει πάντων· ἵνα ἐκ τούτου ὀρεγώμεθα τῆς ὁμιλίας αὐτοῦ ἐν τῇ διαμονῇ τῆς μερίμνης ἡμῶν, τῆς περὶ αὐτόν. ἀλλὰ καὶ γυμνασίας κτ.

ρεσιν τῶν μετ᾽ αὐτὴν. τὴν εὐχὴν, προλαμβάνει ἡ ἀναχώρησις. καὶ αὕτη ἡ ἀναχώρησις, διὰ τὴν εὐχήν. καὶ αὕτη ἡ εὐχὴ, ἵνα κτησώμεθα τὴν ἀγάπην τοῦ Θεοῦ, ὅτι ἐξ αὐτῆς εὑρίσκονται αἱ αἰτίαι, ἵνα ἀγαπήσωμεν τὸν Θεόν.

Καὶ τοῦτο δὲ πρέπον γνῶναι ἡμᾶς, ἀγαπητοὶ, ὅτι ἑκάστη ὁμιλία ἐν κρυπτῷ γινομένη, καὶ πᾶσα μέριμνα ἀγαθῆς διανοίας ἐν Θεῷ, καὶ πᾶσα τῶν πνευματικῶν μελέτη, ἐν τῇ εὐχῇ ὁρίζεται, καὶ ἐν τῷ ὀνόματι τῆς εὐχῆς ψηφίζεται, καὶ ἔσωθεν τούτου συνάγεται τοῦ ὀνόματος. εἴτε ἀναγνώσεων εἴποις διαφορὰς, εἴτε φωνὰς στόματος εἰς δοξολογίαν Θεοῦ, εἴτε λυπηρὰν ἐν Κυρίῳ φροντίδα, εἴτε σώματος προσκυνήσεις, εἴτε ψαλμῳδίαν στιχολογίας, εἴτε τὰ λοιπὰ ἄλλα, ἐξ ὧν ἡ διδαχὴ (1) ἐπιγίνεται τῆς εὐχῆς τῆς εἰλικρινοῦς. ἐξ ἧς ἡ ἀγάπη γεννᾶται τοῦ Θεοῦ. ἡ γὰρ ἀγάπη, ἐκ τῆς εὐχῆς. καὶ ἡ εὐχὴ, ἐκ τῆς διαγωγῆς τῆς ἀναχωρήσεως. ταύτης δὲ τῆς ἀναχωρήσεως εἰς τοῦτο χρήζομεν, (2) εἰς τὸ ἔχειν ἡμᾶς τόπον ἀδολεσχῆσαι μόνους μετὰ τοῦ Θεοῦ. τῆς δὲ ἀναχωρήσεως προηγεῖται ἡ τοῦ κόσμου ἀποταγή. ἐὰν γὰρ ὁ ἄνθρωπος μὴ ἀποτάξηται τῷ κόσμῳ πρῶτον, καὶ διαιρήσῃ ἐκ πάντων τῶν αὐτοῦ, οὐ δύναται μονωθῆναι. καὶ οὕτω πάλιν τῆς ἀποταγῆς τοῦ κόσμου, προηγεῖται ἡ ὑπομονή. καὶ τῆς ὑπομονῆς, τὸ μῖσος τοῦ κόσμου. καὶ τοῦ μίσους τοῦ κόσμου, ὁ φόβος καὶ ὁ πόθος. ἐὰν γὰρ μὴ ἐκφοβήσῃ τὴν καρδίαν (3) ὁ φόβος τῆς γεέννης, καὶ εἰς ἔφεσιν τῶν μακαρισμῶν ἐλθεῖν ὁ πόθος ποιή-

(1) Διαδοχὴ ὀρθότερον. ἧς καὶ κατωτέρω μέμνηται.
(2) Τὸ Ε. Χ. αὐτὴ δὲ ἡ ἀναχώρησις εἰς τοῦτο, εἰς τὸ ἔχειν κτ.
(3) Τὸ Ε. Χ. τὴν διάνοιαν.

σῃ; ȣ̓ κινηθήσεται ἐν αὐτῷ τὸ μῖσος τȣ́τȣ τȣ̃ κόσμȣ. καὶ ἐὰν μὴ μισήσῃ τὸν κόσμον, ȣ̓χ ὑπομενεῖ ἐκτὸς εἶναι τῆς ἀναπαύσεως αὐτȣ̃. καὶ ἐὰν μὴ προηγήσηται ἡ ὑπομονὴ ἐν τῇ διανοίᾳ, ȣ̓ δύναται ἐκλέξασθαι τόπον πεπληρωμένον ἀγριότητος, καὶ κενὸν τῶν ἐν αὐτῷ οἰκȣ́ντων. καὶ ἐὰν μὴ ἐκλέξηται ἑαυτῷ ζωὴν ἀναχωρήσεως, ȣ̓ δύναται διαμεῖναι ἐν τῇ εὐχῇ. καὶ ἐὰν μὴ μείνῃ ἀδολεσχῶν μετὰ τȣ̃ Θεȣ̃, καὶ διαμείνῃ ἐν τȣ́τοις τοῖς διανοήμασι τοῖς μεμιγμένοις ἐν τῇ εὐχῇ, καὶ ἐν τοῖς εἴδεσι τῆς διαδοχῆς, ἧς εἰρήκαμεν, ȣ̓ μὴ αἰσθανθῇ τῆς ἀγάπης.

Λοιπὸν ἡ ἀγάπη τȣ̃ Θεȣ̃, ἐκ τῆς μετ' αὐτȣ̃ ὁμιλίας. ἡ δὲ ἀδολεσχία καὶ ἡ μελέτη τῆς εὐχῆς, διὰ τῆς ἡσυχίας. καὶ ἡ ἡσυχία, ἐν τῇ ἀκτημοσύνῃ. καὶ ἡ ἀκτημοσύνη, ἐν τῇ ὑπομονῇ, καὶ ἐν τῷ μίσει τῶν ἐπιθυμιῶν. καὶ τὸ μῖσος τῶν ἐπιθυμιῶν, ἐκ τȣ̃ φόβȣ τῆς γεέννης, καὶ τῆς τῶν μακαρισμῶν προσδοκίας. μισεῖ δὲ τὰς ἐπιθυμίας ὁ γινώσκων τὸν καρπὸν τὸν ἐξ αὐτῶν, τί εὐτρεπίζει αὐτῷ, καὶ ἐκ ποίȣ μακαρισμȣ̃ κωλύεται δι' αὐτάς. ȣ̔́τως ἑκάστη πολιτεία ἐν τῇ πρὸ αὐτῆς δεδεμένη ἐστὶ, καὶ ἐξ αὐτῆς λαμβάνει προσθήκην, καὶ μεταβαίνει εἰς ἄλλην ὑψηλοτέραν αὐτῆς. καὶ ἐὰν μία ἐξ αὐτῆς ὑπολείπηται, ȣ̓ δύναται στῆναι τὸ ὀπίσω αὐτῆς, καὶ ὁρᾶσθαι. ὅτι πάντα λύονται, καὶ ἀπόλλυνται. τὸ δὲ πλέον τȣ́των, μέτρον ἐστὶ τῶν λόγων. (1) τῷ δὲ Θεῷ ἡμῶν δόξα, καὶ μεγαλοπρέπεια εἰς τȣ̀ς αἰῶνας. Ἀμήν

ΛΟΓΟΣ

(1) Ἐπειδὴ ἀπὸ τȣ̃, λοιπὸν ἡ ἀγάπη τȣ̃ Θεȣ̃, ἄχρι τȣ̃, κωλύεται δι' αὐτὰς, ἐπανάληψίν τινα πεποιηκὼς, καὶ ἕτερ᾽ ἄττα ἐπεσύνα-

ΛΟΓΟΣ ΛϚ.

ΠΕΡΙ
ΤΟΥ ΜΗ ΔΕΙΝ ΧΩΡΙΣ ΑΝΑΓΚΗΣ ΕΠΙΘΥΜΕΙΝ, Η ΕΠΙΖΗΤΕΙΝ ΣΗΜΕΙΑ ΤΙΝΑ ΦΑΝΕΡΑ ΕΧΕΙΝ ΕΝ ΤΑΙΣ ΧΕΡΣΙΝ ΗΜΩΝ.

Ἐν παντὶ καιρῷ, ἐν ᾧ ὁ Κύριος ἐγγὺς εἰς ἀντίληψιν τῶν ἑαυτοῦ ἁγίων, χωρὶς ἀνάγκης οὐ δεικνύει τὴν δύναμιν ἑαυτοῦ φανερῶς ἐν ἔργῳ τινὶ, καὶ σημείῳ αἰσθητῷ. ἵνα μὴ μωρανθῇ ἡ ἀντίληψις ἡμῶν, καὶ εἰς βλάβην παρασκευασθῇ ἡμῶν. καὶ τοῦτο ποιεῖ, πρόνοιαν τῶν ἁγίων ποιούμενος. θέλων δεῖξαι αὐτοῖς, ὅτι οὐδὲ πρὸς ὥραν λήγει ἐξ αὐτῶν ἡ κρυπτὴ αὐτοῦ ἐπιμέλεια, ἀλλ᾽ ἐν παντὶ πράγματι ἀφίησιν αὐτοὺς κατὰ τὴν ἑαυτῶν δύναμιν, ἀγῶνα ἐνδείξασθαι, καὶ ἐν τῇ προσευχῇ κοπιάσαι. εἰ δέ ἐστι πρᾶγμα νικῶν ἐκ τῆς δυσκολίας αὐτοὺς, ὅταν ἀσθενήσωσι, καὶ ἀπολειφθῶσιν ἐξ αὐτοῦ, διὰ τὸ μὴ ἱκανὴν εἶναι τὴν φύσιν πρὸς αὐτὸ, τελειοῖ (1) αὐτὸς κατὰ τὸ μέγεθος τοῦ ἑαυτοῦ κράτους, κατὰ τὸ ὀφειλόμενον, καὶ ὡς γινώσκει, ὅτι βοηθοῦνται. ἢ κατὰ τὸ δυνατὸν,

συναψεν ὕστερον, διὰ τοῦτο τυχὸν φησι, τὸ δὲ πλέον τούτων, μέτρον ἐστὶ τῶν λόγων. ὥσπερ ἂν εἰ λέγοι, τὸ δὲ τοῖς ἄρτι ἐπαναληφθεῖσι προστεθὲν, ὅρος ἐστὶ τῶν εἰρημένων, καὶ γὰρ ἀληθῶς ὅρος τίς ἐστιν ἡ προσθήκη. λέγει γὰρ, ἐὰν μία ἐξ αὐτῶν ὑπολείπηται, οὐ δύναται στῆναι τὸ ὀπίσω αὐτῆς, καὶ ὁρᾶσθαι.

(1) Τὸ Ε. Χ. καὶ ὡς γινώσκει τελειοῖ αὐτός.

τὸν ἐν κρυπτῷ ἐνισχύει αὐτȣ̀ς, ἕως ȣ̃ ἐνδυναμωθῶσι κατέναντι τῆς θλίψεως αὐτῶν. ἐν γνώσει γὰρ τῇ δωρεμάνῃ αὐτοῖς ὑπ' αὐτȣ̃ ποιεῖ λυθῆναι τὸ πολύπλοκον τῆς θλίψεως αὐτῶν, καὶ ἐν τῇ θεωρίᾳ αὐτῆς ἐξυπνίζει αὐτȣ̀ς εἰς δοξολογίαν ὠφελȣ̃σαν κατ' ἀμφοτέρȣς τȣ̀ς τρόπȣς. εἰ δὲ φανερωθῆναι τὸ ἔργον δέεται, καὶ τὸ πρᾶγμα, τότε ἐξ ἀνάγκης ποιεῖ τȣ̃το. οἱ τρόποι αὐτȣ̃ σοφώτατοί εἰσι, καὶ ἐν τῇ ἐνδείᾳ καὶ ἀνάγκῃ διαρκȣ̃σι, καὶ ȣ̓χ ὡς ἔτυχεν.

Ὁ χωρὶς ἀνάγκης κατατολμῶν ἐν τȣ́τῳ, ἢ παρακαλῶν τὸν Θεὸν, καὶ ἐπιθυμῶν θαυμάσια, καὶ δυνάμεις γενέσθαι ἐν ταῖς χερσὶν αὐτȣ̃, πειραζόμενος ὑπὸ τȣ̃ γελοιαςȣ̃ εὑρίσκεται δαίμονος ἐν τῇ διανοίᾳ αὐτȣ̃, καὶ καυχώμενος καὶ ἀσθενῶν ἐν τῇ συνειδήσει αὐτȣ̃. ἐν τῇ θλίψει γὰρ τὴν βοήθειαν τȣ̃ Θεȣ̃ αἰτεῖσθαι ἡμᾶς δέον. χωρὶς ἀνάγκης πειράσαι τὸν Θεὸν, κίνδυνος. καὶ ȣ̓κ ἔςιν ἀληθείᾳ δίκαιος ὁ ἐφιέμενος τȣ́τȣ. ἐκεῖνο δὲ, ὅπερ ὁ Κύριος ȣ̓κ εὐδοκῶν ἐποίησε, (1) τοῖς πολλοῖς τῶν ἁγίων εὑρίσκεται. ὁ δὲ θέλων, καὶ ἐπιθυμῶν τȣ̃το ἐν τῷ ἑαυτȣ̃ θελήματι, μὴ ȣ̓́σης ἀνάγκης, πτῶμα πίπτει ἐκ τῆς φυλακῆς, καὶ ὀλισθαίνει ἐκ τῆς γνώσεως τῆς ἀληθείας. ἐὰν γὰρ ἐν τȣ́τῳ εἰσακȣσθῇ ὁ αἰτῶν, καθὼς κατατολμᾷ πρὸς τὸν Θεὸν, εὑρίσκει ἐν αὐτῷ τόπον ὁ πονηρὸς, καὶ εἰς μείζονα τȣ́των μεταφέρει αὐτόν. οἱ γὰρ ἀληθινοὶ δίκαιοι, ȣ̓ μόνον ȣ̓κ ἐπιθυμȣ̃σι τȣ́των, ἀλλὰ καὶ διδομένων αὐτοῖς, ἀποςρέφονται. καὶ ȣ̓ μόνον ἐν τοῖς ἀνθρώπων ὀφθαλμοῖς τȣ̃το ȣ̓ θέλȣσιν, ἀλλὰ καὶ κρυπτῶς ἐν ἑαυτοῖς.

Ἰδȣ̀

(1) Ἰσ. ὁ Κύριος εὐδοκῶν.

Ἰδὲ γάρ τις τῶν πατέρων τῶν ἁγίων, ἐκ τῆς καθαρότητος ἑαυτȣ̃, ἔλαβε πρὸ τῆς χάριτος χάρισμα τȣ̃ προγινώσκειν τȣ̀ς ἐρχομένȣς πρὸς αὐτὸν, καὶ ἠτήσατο τὸν Θεὸν, εὐχομένων καὶ ἄλλων ἁγίων, δεηθέντων πρὸς τȣ̃το παρὰ τȣ̃ γέροντος, ὅπως ληφθείη τὸ χάρισμα ἀπ' αὐτȣ̃. εἰ δέ τινες ἐξ αὐτῶν ἐδέξαντο χαρίσματα, ἐξ ἀνάγκης ἐδέξαντο, ἢ ἐξ ἁπλότητος αὐτῶν. ἐν τοῖς λοιποῖς δὲ, τὸ νεῦμα τὸ θεῖον ȣ̓κ ἐκίνει, (1) ἀλλ' ȣ̓χ ὡς ἔτυχε παντελῶς.

Ὁ μακάριος ἐκεῖνος ὁ Ἀμμȣ̃ν ὁ ἅγιος, ὅτε ἀπῆλθε πρὸς τὸν ἀσπασμὸν τȣ̃ ἁγίȣ μεγάλȣ Ἀντωνίȣ, καὶ ἐπλανήθη τὴν ὁδὸν, βλέπε τὶ εἶπε πρὸς τὸν Θεόν· καὶ πάλιν, τὶ ἐποίησεν αὐτῷ ὁ Θεός. καὶ μνήσθητι καὶ τȣ̃ ἀββᾶ Μακαρίȣ, καὶ τῶν λοιπῶν. οἱ δίκαιοι οἱ ἀληθινοὶ ἀεὶ τȣ̃το λογίζονται ἐν ἑαυτοῖς· ὅτι ȣ̓κ εἰσὶν ἄξιοι τȣ̃ Θεȣ̃. καὶ ἐν τȣ́τῳ δοκιμάζονται, ὅτι ἀληθινοί εἰσιν, ὅτι ταλαιπώρȣς ἔχȣσιν ἑαυτȣ̀ς, καὶ ȣ̓κ εἰσὶν ἄξιοι τῆς ἐπιμελείας αὐτȣ̃. καὶ τȣ̃το ἐξομολογȣ̃νται κρυπτῶς, καὶ φανερῶς, καὶ τȣ̃το σοφίζονται ἐκ τȣ̃ ἁγίȣ πνεύματος· ἵνα μὴ ἀπολειφθῶσιν ἐκ τῆς πρεπȣ́σης αὐτοῖς φροντίδος, καὶ τȣ̃ ἐργάσασθαι ὅσον εἰσὶν ἐν τῇ ζωῇ ταύτῃ. τὸν καιρὸν δὲ τῆς ἀναπαύσεως, ἐν τῷ μέλλοντι αἰῶνι ἐτήρησε. καὶ οἱ ἔχοντες ἐν ἑαυτοῖς τὸν Κύριον οἰκȣ̃ντα, διὰ τȣ̃το ȣ̓κ ἐπιθυμȣ̃σιν εἶναι ἐν ἀναπαύσει, καὶ ἀπαλλαγῆναι τῶν θλίψεων, εἰ καὶ παράκλησις κατὰ καιρὸν αὐτοῖς δίδοται ἐν τοῖς πνευματικοῖς μυστικῶς.

Καὶ

(1) Τὸ Ε. Χ. ȣ̓κ ἐκκλίνει.

Καὶ ȣκ ἔςιν αὕτη ἡ ἀρετὴ, ἵνα ὅταν φθάσῃ αὐτὴν ὁ ἄνθρωπος, ἀπολειφθείη τῆς μερίμνης, καὶ τȢ κόπȣ αὐτῆς· ἀλλὰ τȢτό ἐςι τὸ σκώπωμα τȢ πνεύματος, ὅπως ἀεὶ ὑποτάσσειν ἑαυτὸν βιάζηται, εἰ καὶ τρόπος ἐςὶ ποιῆσαι τὸ πρᾶγμα ἐν ἀναπαύσει. ὅτι τȢτο τȢ πνεύματος θέλημα ἐν οἷς κατοικεῖ, μὴ τῇ ὀκνηρίᾳ ἐνεθίζειν αὐτȢς. ἀλλ' ȣδὲ τὴν ἀνάπαυσιν ζητεῖν προτρέπεται αὐτȢς, ἀλλὰ μᾶλλον τῇ ἐργασίᾳ, καὶ ταῖς περιοσαῖς ἐκδȣ̃ναι ἑαυτȢς θλίψεσι. καὶ σὺ τοῖς πειρασμοῖς κρατιώει αὐτȢς, καὶ τῇ σοφίᾳ προσεγγίσαι ποιεῖ. τȢτο τὸ θέλημα τȢ πνεύματος, ἵνα ἐν κόποις γενῶνται οἱ ἀγαπητοὶ αὐτȢ.

Οὐ τὸ πνεῦμα τȢ ΘεȢ κατοικεῖ ἐν τοῖς ἐν ἀναπαύσει διάγȣσιν, ἀλλὰ τὸ τȢ διαβόλȣ, καθώς τις τῶν ἀγαπώντων τὸν Θεὸν εἶπεν· ὤμοσα, ὅτι καθ' ἑκάςην ἡμέραν ἀποθνήσκω. ἐν τȣ́τῳ ἀφορίζονται οἱ ὑιοὶ τȢ ΘεȢ, ἐκ τῶν λοιπῶν· ἵνα αὐτοὶ μὲν, ἐν θλίψεσι ζῶσιν· ὁ δὲ κόσμος, ἐν τρυφῇ καὶ ἀναπαύσει λαμπρύνηται. ȣκ ηὐδόκησε γὰρ ὁ Θεὸς, ἵνα ἀναπαυθῶσιν οἱ ἀγαπητοὶ αὐτȢ, ἕως ȣ̃ εἰσὶν ἐν τῷ σώματι, ἀλλὰ μᾶλλον ἠθέλησεν εἶναι αὐτȢς, ἐν ὅσῳ εἰσὶν ἐν τῷ κόσμῳ, ἐν θλίψει, ἐν βάρει, ἐν μόχθοις, καὶ ἐν ἐνδείᾳ, καὶ γυμνώσει, καὶ μονώσει, καὶ χρείᾳ, καὶ ἀῤῥωσίᾳ, καὶ ἐξȣδενώσει, καὶ κολαφισμοῖς, καὶ καρδίας συντριβῇ, καὶ σώματι κατακόπῳ, καὶ ἀποταξίᾳ τῶν συγγενῶν, ἐν φρονήματι λυπηρῷ, καὶ παρηλλαγμένῃ θεωρίᾳ πάσης τῆς κτίσεως, καὶ καθίσματι ἀνομοίῳ τῶν ἀνθρώπων, καὶ σκηνώματι μοναςικῷ, καὶ ἡσυχαςικῷ, καὶ τῇ θεωρίᾳ τῶν ἀνθρώπων μὴ φαινομένῳ, ἀπηλλαγμένῳ ἀπὸ παντὸς πράγματος εὐφραίνοντος ἐνταῦθα. αὐτοὶ κλαίȣσι,

σι, καὶ ὁ κόσμος γελᾷ· αὐτοὶ συγνάζουσι, καὶ ὁ κόσμος ἱλαρύνεται· αὐτοὶ νηστεύουσι, καὶ ὁ κόσμος τρυφᾷ. ἐν ἡμέρᾳ μοχθοῦσι, καὶ νυκτὸς εἰς ἀγῶνας ἑαυτοὺς προτρέπονται ἐν στενοχωρίᾳ καὶ κόποις. τινὲς δὲ ἐξ αὐτῶν, ἐν ἑκουσίαις θλίψεσιν· ἄλλοι ἐν κόποις τῶν παθῶν αὐτῶν· ἕτεροι, διωκόμενοι ὑπὸ τῶν ἀνθρώπων· ἄλλοι, ἐν κινδύνοις παθῶν, ὑπό τε δαιμόνων καὶ τῶν λοιπῶν. καὶ οἱ μὲν αὐτῶν, ἐδιώχθησαν· οἱ δὲ, ἐφονεύθησαν· ἄλλοι, περιῆλθον ἐν μηλωταῖς, καὶ τοῖς λοιποῖς. καὶ ὁ λόγος
» τοῦ Κυρίου ἐπληρώθη ἐν αὐτοῖς, ὁ λέγων, ὅτι ἐν τῷ κόσμῳ, θλῖ-
» ψιν ἕξετε, ἀλλ' ἐν ἐμοὶ χαρήσεσθε. γινώσκει ὁ Κύριος, ὅτι οὐκ ἔστι δυνατὸν ἐν ἀναπαύσει τοῦ σώματος ὄντας, ἐμμεῖναι ἐν τῇ ἀγάπῃ αὐτοῦ· καὶ διὰ τοῦτο ἐκώλυσεν αὐτοὺς ἐκ τῆς ἀναπαύσεως, καὶ τῆς ἡδονῆς αὐτῆς· ὁ Χριστὸς ὁ σωτὴρ ἡμῶν, οὗτινος ἡ ἀγάπη αὐτοῦ ὑπερισχύει ὑπὲρ θανάτους τοὺς σωματικούς. αὐτὸς φανερώσοι ἡμῖν τὴν ἰσχὺν τῆς ἀγάπης αὐτοῦ.

Ἰωάν. ιϛ. μγ.

ΛΟΓΟΣ ΛΖ.

ΠΕΡΙ ΤΩΝ ΕΓΓΙΣΤΑ ΤΟΥ ΘΕΟΥ ΖΩΝΤΩΝ, ΚΑΙ ΕΝ ΤΗ ΖΩΗ ΤΗΣ ΓΝΩΣΕΩΣ ΤΑΣ ΗΜΕΡΑΣ ΑΥΤΩΝ ΔΙΑΓΟΝΤΩΝ.

Γέρων τὶς ἔγραψεν εἰς τὰ τείχη τοῦ κελλίου αὐτοῦ λόγους, καὶ ἐννοίας πολυτρόπους. καὶ ἠρωτήθη, τί ἐστι ταῦτα; καὶ εἶπεν, οὗτοί εἰσιν οἱ λογισμοὶ τῆς δικαιοσύνης, οἱ ἐρχόμε-

 νοι

νοι ὑπὸ τοῦ Ἀγγέλου τοῦ παραμένοντός με, καὶ οἱ διαλογισμοὶ τῆς φύσεως οἱ οὐδὲ εἷς, οἱ κινούμενοι ἐν ἐμοί. καὶ διαγράφω αὐτοὺς ἐν τῷ καιρῷ αὐτῶν τῆς κινήσεως· ὅπως ἐν τῷ καιρῷ τῆς σκοτώσεώς μου ἀδολεσχήσαιμι ἐν αὐτοῖς, καὶ λυτρώσωνταί με τῆς πλάνης.

Ἄλλος γέρων μακαριζόμενος ὑπὸ τῶν ἑαυτοῦ λογισμῶν, ὅτι ἀντὶ τοῦ παρερχομένου κόσμου ἠξιώθης τῆς μὴ ἀφανιζομένης ἐλπίδος, ἀπεκρίθη ὁ γέρων, ἀκμὴν ἐν ὅσῳ εἰμὶ ἐν τῇ ὁδῷ, μάτην ἐπαινεῖτέ με. ἀκμὴν οὐκ ἐτελείωσα τὴν ὁδόν.

Ἐὰν ποιήσῃς ἀρετὴν καλήν, καὶ μὴ αἰσθανθῇς τῆς γεύσεως τῆς ἀντιλήψεως αὐτῆς, μὴ θαυμάσῃς. ἕως γὰρ ἂν ταπεινωθῇ ὁ ἄνθρωπος, οὐ λαμβάνει τὸν μισθὸν τῆς ἑαυτοῦ ἐργασίας. ἡ δὲ ἀμοιβὴ, οὐ τῇ ἐργασίᾳ δίδοται, ἀλλὰ τῇ ταπεινώσει. ὁ ἀδικῶν τὴν δευτέραν, τὴν πρώτην ἀπόλλυσιν. ὁ προλαβὼν, καὶ λαβὼν τὴν ἀμοιβὴν τῶν ἀγαθῶν, οὗτος ὑπερέχει τὸν ἔχοντα τὴν ἐργασίαν τῆς ἀρετῆς. ἡ ἀρετὴ μήτηρ τῆς λύπης ἐστί· καὶ ἐκ τῆς λύπης γεννᾶται ἡ ταπείνωσις· καὶ τῇ ταπεινώσει δίδοται ἡ χάρις. λοιπὸν ἡ ἀνταπόδοσις, οὐ τῇ ἀρετῇ, οὐδὲ τῷ ὑπὲρ αὐτῆς πόνῳ, ἀλλὰ τῇ τικτομένῃ ἐξ αὐτῶν ταπεινώσει ἐστίν. ἐὰν δὲ αὕτη ὑστερηθῇ, τὰ πρῶτα ματαίως γίνονται.

Ἡ ἐργασία τῆς ἀρετῆς, ἡ φυλακὴ τῶν ἐντολῶν ἐστὶ τοῦ Κυρίου. ἡ περίσσεια τῆς ἐργασίας, αὕτη ἐστὶν ἡ ἀγαθὴ κατασκευὴ τῆς διανοίας· ἥτις συνίσταται ἐκ τῆς ταπεινοφροσύνης, καὶ ἐκ τῆς φυλακῆς. ὅταν ἡ τῶν πράτων δύναμις ὑστερηθῇ, αὕτη ἀντ' αὐτῶν ἀπόδεκτος γίνεται. ὁ Χριστὸς δὲ, οὐ τὴν ἐργασίαν τῶν ἐντολῶν, ἀλλὰ τὴν διόρθωσιν ἀπαιτεῖ τῆς ψυχῆς.

χῆς. (1) δι᾽ ἣν τὰς ἐντολὰς τοῖς νομικοῖς ἐνομοθέτησε. τὸ μὲν σῶμα, ἐργάζεται ἐν τοῖς δεξιοῖς, καὶ τοῖς ἀριστεροῖς ἐπίσης· ἡ δὲ διάνοια, καθὼς θέλει, ἢ δικαιοῦται, ἢ πλημμελεῖ. ἔστιν ὁ ἐν τοῖς πράγμασι τοῖς ἀριστεροῖς ἐργαζόμενος τὴν ζωὴν ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ· καὶ ἔστιν ὁ τὴν ἁμαρτίαν πραγματευόμενος, ὡς ἐν προσώπῳ τῶν θεϊκῶν. (2)

Τὰ ἐλαττώματα (3) ἔντισι τοῖς φυλάττουσιν ἑαυτοὺς, φύλακες εἰσὶ τῆς δικαιοσύνης. χάρισμα ἄνευ πειρασμῶν, ἀπώλεια τῶν δεχομένων αὐτό ἐστιν. ἐὰν ἐργάζῃ ἀγαθὸν ἐνώπιον τοῦ Θεοῦ, καὶ δῷ σοι χάρισμα, πεῖσον αὐτὸν δοῦναί σοι ἐπίγνωσιν, πῶς ἁρμόζει σοι ταπεινωθῆναι, ἢ στῆσαί σοι φρουρὸν ὑπὲρ αὐτοῦ, ἢ λαβεῖν αὐτὸ ἀπὸ σοῦ, ἵνα μὴ πρόξενον ἀπωλείας σοι γένηται. οὐ πάντων γάρ ἐστι τὸ φυλάξαι τὸν πλοῦτον ἐκτὸς βλάβης.

(1) Οὐχ ὡς ἔτυχε πάντως τὴν τῶν ἐντολῶν ἐργασίαν παρ᾽ ἡμῶν ἀπαιτεῖ ὁ Κύριος, οὐδὲ διὰ τοῦτο καὶ μόνον, διὰ τὸ ἐντολὰς αὐτοῦ εἶναι, ἐνετείλατο τὴν ἀκριβῆ τούτων τήρησιν, ἀλλὰ διὰ τὴν τῆς ψυχῆς χαλιναγωγίαν, καὶ παίδευσιν, καὶ ἐπανόρθωσιν. διὸ καὶ Παῦλος τὸ τοῦ Χριστοῦ στόμα ἀπεφήνατο, δικαίῳ νόμος οὐ κεῖται. ἀνόμοις δὲ, καὶ ἀνυποτάκτοις κτ. (α. Τιμ. α. θ.) καὶ ἀλλαχοῦ, κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Γαλ. ε. κδ.

(2) Τὰ δεξιὰ καὶ ἀριστερὰ, τὰς εὐπραγίας σημαίνουσι, καὶ δυσπραγίας. ἅπερ ὁ θεῖος Ἀπόστολος ὅπλα καλεῖ, λέγων· διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν, καὶ ἀριστερῶν. (β. Κορινθ. ε. ς.) τὸ δὲ, ὡς ἐν προσώπῳ τῶν θεϊκῶν, τί ἂν ὑπεμφαίνοι ἄλλο, εἰ μὴ τὸ, προφασιζόμενος τὴν ὑπὸ Θεοῦ ἐπενεχθεῖσαν αὐτῷ θλῖψιν καὶ στενοχωρίαν, παραίτιον εἶναι τῆς ἁμαρτίας;

(3) Τὰ ἐλαττώματα, τὰ φυσικὰ δηλαδὴ, οἷον ἡ ἀδυναμία, ἡ μικροψυχία, ἡ ἀφυΐα, ἡ ἀμνημοσύνη, καὶ τὰ τούτοις ἐφάμιλλα. ἅπερ δὴ τοῖς γε ἑαυτοὺς ἐπιγινώσκουσι, ταπεινοφροσύνης παραίτια, καὶ τοῖς προσέχουσιν ἑαυτοῖς, ἀρετῆς ἁπάσης φύλακες.

Ψυχὴ ἡ λαβοῦσα μέριμναν τῆς ἀρετῆς, καὶ ἐν ἀκριβείᾳ, καὶ φόβῳ ζῶσα Θεοῦ, οὐ δύναται εἶναι χωρὶς λύπης καθ' ἡμέραν. διότι συμπεπλεγμένας ἔχουσιν αἱ ἀρεταὶ τὰς λύπας ἐν αὐταῖς. ὁ ἐξερχόμενος ἐκ τῶν θλίψεων, πάντως καὶ τῆς ἀρετῆς ἀδιςάκτως χωρίζεται. ἐὰν ἐπιθυμῇς τὴν ἀρετὴν, παράδος ἑαυτὸν εἰς πᾶσαν θλίψιν. αἱ γὰρ θλίψεις γεννῶσι τὴν ταπείνωσιν. οὐ θέλει ὁ Θεὸς τὴν ψυχὴν εἶναι δίχα μερίμνης. καὶ ὁ θέλων ἀμεριμνεῖν, ἔξωθεν τοῦ θελήματος εὑρίσκεται τοῦ Θεοῦ, ἐν τῷ ἑαυτοῦ φρονήματι. μέριμναν δὲ, οὐ τὴν περὶ τῶν σωματικῶν λέγομεν, ἀλλὰ τὴν περὶ τῶν καταπονέντων, τῶν ἀκολουθέντων (1) τοῖς ἔργοις τοῖς ἀγαθοῖς. ἕως ἐὰν φθάσωμεν τὴν ἀληθινὴν γνῶσιν, ἥτις ἐςὶν ἡ ἀποκάλυψις τῶν μυςηρίων, ἐν πειρασμοῖς προσεγγίζομεν τῇ ταπεινώσει. ὁ ἄνευ θλίψεως ἐν τῇ ἑαυτοῦ ἀρετῇ εὑρισκόμενος, θύρα ὑπερηφανίας ἠνοίχθη αὐτῷ.

Καὶ τίς ἐςι λοιπὸν ὁ ἐπιθυμῶν ἄλυπος εἶναι ἐν τῷ ἑαυτοῦ φρονήματι; οὐ δύναται ἡ διάνοια χωρὶς αἰτίας τῶν κολαφισμάτων ἐν τῇ ταπεινώσει ἐμμεῖναι, ἀλλ' οὐδὲ ἐν τῇ ἀδολεσχίᾳ τῆς δεήσεως τῆς πρὸς τὸν Θεὸν καθαρῶς, ἐκτὸς ταπεινοφροσύνης. πρῶτον μὲν ἐκ τῆς καθηκούσης μερίμνης μακρύνεται ὁ ἄνθρωπος ἐν τῷ ἑαυτοῦ φρονήματι, καὶ μετὰ ταῦτα προσεγγίζει αὐτῷ τὸ πνεῦμα τῆς ὑπερηφανίας. καὶ ἐμμένοντος αὐτῇ τοῦ ἀνθρώπου, τότε ὁ Ἄγγελος τῆς προνοίας μακρύνεται ἀπ' αὐτοῦ. ὃς ἐςι πλησίον αὐτοῦ, κινῶν ἐν αὐτῷ τὴν μέριμναν

τῆς

(1) Ἴσ. τὴν περὶ τῶν καταπονέντων τοὺς ἀκολουθοῦντας τοῖς ἔργοις τοῖς ἀγαθοῖς.

τῆς δικαιοσιώης. καὶ ὅτε ἀδικήσει τῦτον καὶ ἐξ αὐτῦ μακρυνθείη, τότε ὁ ἀλλότριος προσεγγίζει αὐτῷ. καὶ ἔκτοτε ἐκ ἔςιν ἐν αὐτῷ μία μέριμνα δικαιοσιώης.

„ Πρὸ τῆς σιωτριβῆς, ὑπερηφανία λέγει ὁ σοφός· καὶ πρὸ τῦ χαρίσματος, ἡ ταπείνωσις. κατὰ τὸ μέτρον τῆς ὑπερηφανίας τῆς ἐν τῇ ψυχῇ ὁρωμένης, καὶ τὸ μέτρον τῆς σιωτριβῆς τῆς παιδείας τῆς ἐκ Θεῦ γινομένης αὐτῇ. ὑπερηφανία ἐςὶν, ἐχ ὅταν ἐν τῇ διανοίᾳ ὁ ταύτης περάσειε λογισμὸς, ἐδὲ ἐὰν νικᾶταί τις ἐξ αὐτῆς κατὰ καιρὸν, ἀλλ᾽ ἐκείνη ἡ διαμένεσα ἐν τῷ ἀνθρώπῳ. ἐκείνῳ μὲν τῷ πρώτῳ, ἡ κατάνυξις ἀκολεθεῖ· ἔτος δὲ ὅτε αὐτὴν ἀγαπήσειεν, ἐκ οἶδε κατάνυξιν. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα, καὶ μεγαλοπρέπεια εἰς τὲς αἰῶνας. Ἀμήν.

Παροιμ. ιϛ. ιθ.

ΛΟΓΟΣ ΛΗ.

ΠΕΡΙ ΤΟΥ ΣΥΝΙΕΝΑΙ ΕΝ ΠΟΙΩ ΜΕΤΡΩ ΙΣΤΑΤΑΙ ΤΙΣ ΕΚ ΤΩΝ ΚΙΝΟΥΜΕΝΩΝ ΕΝ ΑΥΤΩ ΛΟΓΙΣΜΩΝ.

„ Ἄνθρωπος ὅσον ἐςὶν ἐν ἀμελείᾳ, ἐκ τῆς ὥρας τῦ θανάτε φοβεῖται. ὅτε δὲ ἀπαντήσει (1) τῷ Θεῷ, ἐκ τῆς ἀπαντή-

(1) Τὸ Ε. Χ. καὶ ὅτε δὲ προσεγγίσει τῷ Θεῷ.

ἀπαντήσεως τῆς κρίσεως· ὅτε δὲ ὁλοτελῶς (1) ἔλθῃ εἰς τοὔμπροσθεν ἐν τῇ ἀγάπῃ, ταῦτα τὰ δύω καταπίνονται. πῶς δὲ τοῦτο; ὅτι ὅτε ἐν τῇ γνώσει καὶ τῇ πολιτείᾳ τοῦ σώματος ἵσταταί τις, ἐκ τοῦ θανάτου πτοεῖται· καὶ ὅτε ἐν τῇ γνώσει τῇ ψυχικῇ, καὶ τῇ ἀγαθῇ πολιτείᾳ γένηται, ἐν τῇ μνήμῃ τῆς κρίσεως τῆς μελλούσης κινεῖται ἡ διάνοια αὐτοῦ ἐν πάσῃ ὥρᾳ. διότι ἐν αὐτῇ τῇ φύσει ὀρθῶς ἵσταται, καὶ ἐν τῇ τάξει τῇ ψυχικῇ κινεῖται, καὶ ἀναστρέφεται ἐν τῇ γνώσει ἑαυτοῦ, καὶ τῇ πολιτείᾳ, καὶ πρὸς τὸν πλησιασμὸν τοῦ Θεοῦ καλῶς καθίσταται. ὅτε δὲ φθάσῃ τὴν γνῶσιν ἐκείνην τῆς ἀληθείας ἐν τῇ κινήσει τῆς αἰσθήσεως τῶν μυστηρίων τοῦ Θεοῦ, καὶ ἐν τῇ στερεώσει τῆς ἐλπίδος τῶν μελλόντων, ἐν τῇ ἀγάπῃ καταπίνεται ἐκεῖνος ὁ σωμάτειος, καὶ καθ' ὁμοιότητα τοῦ ζώου φοβούμενος τὴν θυσίαν· ὁ λογικὸς δὲ, ἐκ τῆς κρίσεως τοῦ Θεοῦ φοβεῖται· ὁ δὲ γενόμενος υἱὸς, εἰς τὴν ἀγάπην καλλωπίζεται, (2) καὶ οὐκ ἐν τῇ πτοούσῃ ῥάβδῳ παιδαγωγεῖται. ἐγὼ δὲ, καὶ ὁ οἶκος τοῦ πατρός μου τῷ Κυρίῳ δουλεύσωμεν. (Ἰησ. κδ. ιε.)

Ὁ φθάσας τὴν ἀγάπην τοῦ Θεοῦ, οὐκ ἔτι πάλιν ἐπιθυμεῖ διαμεῖναι ἐνταῦθα. ἡ γὰρ ἀγάπη καταργεῖ τὸν φόβον. ἀγα- [illegible] πητοί,

(1) Ὀρθότερ. ἴσ. οὕτως· ὅτε δὲ προσεγγίσῃ τῷ Θεῷ ἐκ τῆς ἀπαντήσεως τῆς κρίσεως, καὶ ὅτε ὁλοτελῶς ἔλθῃ κτ. λ.

(2) Περὶ τριῶν ὁ λόγος αὐτοῦ ἐστί. τοῦ φοβουμένου τὸν θάνατον, τοῦ ἀναλογιζομένου τὴν κρίσιν, καὶ τοῦ ἔχοντος τὴν ἀγάπην. ὧν τὸν μὲν, ἀμελῆ ὀνομάζει καὶ σωμάτειον, καὶ φοβεῖσθαί φησι τὸν θάνατον, καθάπερ πτοεῖται τὸ ζῶον τὴν σφαγὴν καὶ θυσίαν· τὸν δὲ, λογικὸν, ὅστις δὴ μετὰ λόγου τὴν τοῦ Θεοῦ κρίσιν δεδίττεται· τὸν δὲ, υἱὸν, ὡς τῇ ἀγάπῃ καλλωπιζόμενον, καὶ τὴν παιδαγωγοῦσαν ῥάβδον μὴ πτοούμενον, καὶ αὐθαιρέτως τῷ Κυρίῳ δουλεύοντα.

πητοὶ, διότι γέγονα μωρὸς, ἐχ ὑπομένω φυλάξαι τὸ μυςήριον ἐν σιωπῇ, ἀλλὰ γίνομαι ἄφρων, διὰ τὴν τῶν ἀδελφῶν ὠφέλειαν. διότι αὕτη ἐςὶν ἡ ἀγάπη ἡ ἀληθινὴ, ἥτις ἐ δύναται ὑπομεῖναι ἔντινι μυςηρίῳ ἐκ τῶν ἀγαπητῶν αὐτῆς. πολλάκις ὅτε ταῦτα ἔγραφον, ὑπελείποντόμε οἱ δάκτυλοι ἐπὶ τὸν χάρτlω, καὶ ἐχ ὑπέφερον κατέναντι τῆς ἡδονῆς τῆς ἐμπιπτέσης ἐν τῇ καρδίαμε, καὶ τὰς αἰθήσεις κατασιγαζέσης. ὅμως μακάριος, ἐ ἡ ἀδολεχία ἐν τῷ Θεῷ ἀεὶ, καὶ ἑαυτὸν ἐκ πάντων κατέχε τῶν κοσμικῶν, καὶ πρὸς αὐτὸν μόνον γέγονεν ἐν τῇ ὁμιλίᾳ τῆς γνώσεως αὐτῆ. ἢ εἰ μακροθυμήσειεν, ἐ βραδύνει μακρὸν ἰδέθαι καρπόν. (1).

Ἡ χαρὰ ἡ ἐν Θεῷ, ἰχυροτέρα ἐςὶ τῆς ἐνταῦθα ζωῆς. καὶ ὁ εὑρὼν αὐτlὼ, ἐ μόνον εἰς τὰ πάθη ἐ περιβλέψεται, ἀλλ' ἐδὲ ἐπὶ τlὼ ἑαυτῆ ζωlὼ ἐπιςραφήσεται, ἐδὲ αἴθησις ἑτέρα γενήσεται ἐκεῖθεν, εἰ ἐξ ἀληθείας γέγονεν αὕτη. ἡ ἀγάπη γλυκυτέρα τῆς ζωῆς. καὶ γλυκυτέρα ἡ κατὰ Θεὸν σύνεσις, ἐξ ἧς ἡ ἀγάπη τίκτεται ὑπὲρ μέλι καὶ κηρίον. ἐκ ἔςι λύπη τῇ ἀγάπῃ, δέξαθαι ὑπὲρ τῶν ἀγαπώντων αὐτlὼ μέγαν θάνατον. ἡ ἀγάπη γέννημά ἐςι τῆς γνώσεως. καὶ ἡ γνῶσις, γέννημά ἐςι τῆς ὑγείας τῆς ψυχῆς. ἡ ὑγεία τῆς ψυχῆς ἐςὶ δύναμις, ἥτις ἐκ τῆς ὑπομονῆς τῆς μακρᾶς γέγονεν.

Καὶ τί ἐςιν ἡ γνῶσις; — Ἐρώτ.

Αἴθησις τῆς ζωῆς τῆς ἀθανάτε. — Ἀπόκρ.

Καὶ τί ἐςιν ἡ ζωὴ ἡ ἀθάνατος; — Ἐρώτ.

Αἴθησις ἐν Θεῷ. ὅτι ἐκ τῆς συνέσεως ἡ ἀγάπη. ἡ δὲ — Ἀπόκρ.

κατὰ

(1) Τὸ Ε. Χ. ὁ βραδύνει πολὺν καρπὸν ἰδεῖν.

κατὰ Θεὸν γνῶσις, βασιλεύς ἐςι πασῶν τῶν ἐπιθυμιῶν, καὶ τῇ δεχομένῃ καρδίᾳ αὐτὴν, πᾶσα ἡ ἐν τῇ γῇ γλυκύτης περιτ-τή ἐςι. τῇ γὰρ γλυκύτητι τῆς ἐπιγνώσεως τῦ Θεῦ, ὐκ ἔςιν ὐ-δὲν ὅμοιον.

Εὐχή. Κύριε πλήρωσον τὴν καρδίαν με ζωῆς αἰωνίε.

Ζωὴ αἰώνιός ἐςι παράκλησις εἰς Θεόν. καὶ ὁ εὑρὼν παρά-κλησιν ἐν Θεῷ, περιττὴν ἡγεῖται τὴν κοσμικήν.

Ἐρώτ. Πόθεν αἰσθάνεται ὁ ἄνθρωπος, ὅτι ἐδέξατο σοφίαν ἐκ τῦ πνεύματος;

Ἀπόκρ. Ἐξ ἐκείνης τῆς διδασκέσης αὐτὸν ἐν τῷ κρυπτῷ αὐτῦ, καὶ ἐν ταῖς αἰσθήσεσι τὲς τρόπες τῆς ταπεινώσεως. καὶ ἀ-ποκαλύπτεται αὐτῷ ἐν τῇ διανοίᾳ αὐτῦ, πῶς δεχθήσεται ἡ ταπείνωσις.

Ἐρώτ. Πόθεν δὲ αἰσθάνεταί τις, ὅτι ἔφθασεν αὐτήν;

Ἀπόκρ. Ἐξ ὧν ἀηδίζεται αἱρεθῆναι τῷ κόσμῳ ἐν ταῖς ἀναςρο-φαῖς αὐτῦ, ἢ τῷ λόγῳ, καὶ μισητή ἐςιν ἐν ὀφθαλμοῖς αὐ-τῦ ἡ δόξα τῦ κόσμε τέτε.

Ἐρώτ. Καὶ τί εἰσι τὰ πάθη;

Ἀπόκρ. Προσβολαί εἰσιν, αἵτινες ἐν τοῖς πράγμασι τῦ κόσμε τέτε ἐτέθησαν, κινῦσαι τὸ σῶμα πρὸς τὴν χρείαν αὐτῦ τὴν ἀναγκαςικήν. καὶ ὐ παύονται προσβάλλεσαι, ἄχρι ὗ ὅ-τος ὁ κόσμος ἐςίν. ἄνθρωπος δὲ ἀξιωθεὶς τῆς χάριτος τῆς θείας, καὶ γευσάμενος, καὶ αἰσθηθεὶς τινὸς ὑπερέχοντος τέ-των, ὐκ εἰσέρχεσθαι ταύτας εἰς τὴν ἑαυτῦ καρδίαν ἀφίη-σιν. ὅτι ἐν τῷ τόπῳ τῶν προσβολῶν κατεκράτησεν ἄλλη ἐπι-θυμία, κρείττων αὐτῶν. καὶ ὔτε δὲ αὗται προσεγγίζεσι τῇ καρδίᾳ αὐτῦ, ὔτε τὰ τικτόμενα ἐξ αὐτῶν, ἀλλ᾽ ἵςανται ἔξω

ἀργαί.

ἀργαὶ· ὐχ ὅτι προσβολαὶ ὐκ εἰσὶ τῶν παθῶν, ἀλλ' ὅτι ἡ καρδία ἡ δεχομένη αὐτὰς, νεκρά ἐςιν ἐν αὐταῖς, καὶ ζῇ ἔν τινι ἄλλῳ· ὐχ ὅτι ἔληξεν ἐκ τῆς φυλακῆς τῆς διακρίσεως, καὶ τῶν ἔργων, ἀλλ' ὅτι ὐκ ἔςιν ἐν τῇ διανοίᾳ αὐτῦ ὄχλησις τινός. ἐκορέσθη γὰρ ἡ συνείδησις αὐτῦ ἀπὸ τρυφῆς ἄλλυ τινός.

Καρδία ἡ δεξαμένη αἴσθησιν τῶν πνευματικῶν, καὶ τῆς θεωρίας τῦ μέλλοντος αἰῶνος ἐν ἀκριβείᾳ, ἐν τοιύτῳ τρόπῳ γίνεται τῇ συνειδήσει ἐν τῇ μνήμῃ τῶν παθῶν, οἵῳ ἂν κεκορεσμένος ἄνθρωπος τροφῆς τιμίας γένοιτο ἐπὶ τροφῇ ἄλλῃ μὴ τοιαύτῃ παρακειμένῃ ἐνώπιον αὐτῦ, μὴ προσέχων αὐτῇ τὸ παράπαν, μὴ δὲ ἐπιθυμῶν, ἀλλὰ μᾶλλον βδελυττόμενός τε καὶ ἀποςρεφόμενος. ὐ μόνον διὰ τὸ ἑαυτῆς βδελυρόντε καὶ ἔμμυσον, ἀλλὰ καὶ διὰ τὸν κόρον τῆς προτέρας καλλίςης, ἧς ἐτράφη τροφῆς. ὐχ ὥσπερ ὁ σκορπίσας τὸ μέρος αὐτῦ, καὶ ἐπιθυμήσας τῶν κερατίων διὰ τὸ προφθάσαι σκορπίσαι τὸν πατρικὸν πλῦτον, ὃν εἶχε. καὶ πάλιν ὐκ ἔςιν ὁ ἐμπιςευθεὶς θησαυρὸν, καθεύδων.

Ἐὰν φυλάξωμεν τὸν νόμον τῆς νήψεως, καὶ τὸ ἔργον τῆς διακρίσεως ἐν γνώσει, ἐξ ὧν καρπῦται ἡ ζωὴ, παντελῶς ὁ ἀγὼν τῶν προσβολῶν τῶν παθῶν τῇ διανοίᾳ ὐ προσεγγίζει. ὐκ ἐκ τῦ ἀγῶνος δὲ κωλύονται εἰς τὴν καρδίαν εἰσελθεῖν, ἀλλ' ἐκ τῦ κόρυ τῆς συνειδήσεως, καὶ ἐκ τῆς γνώσεως τῆς ψυχῆς, ἧς ἐπληρώθη, καὶ ἐκ τῆς ἐπιθυμίας τῶν θεωριῶν τῶν θαυμασίων τῶν εὑρισκομένων ἐν αὐτῇ. ταῦτα ἐκώλυσαν τὰς προσβολὰς, μὴ προσεγγίσαι αὐτῇ· ὐχ ὅτι ἐχωρίσθη ἐκ τῆς φυλακῆς, καθὼς εἶπον, καὶ τῶν ἔργων τῆς

διακρίσεως, ἅπερ φυλάττουσι τὴν γνῶσιν τῆς ἀληθείας, καὶ τὸ φῶς τὸ ψυχικὸν, ἀλλ' ὅτι οὐκ ἔχει ἀγῶνα ἡ διάνοια, διὰ τὰς αἰτίας, ἃς προείπομεν. τὸ βρῶμα γὰρ τῶν πτωχῶν, τοῖς πλουσίοις βδελυκτόν ἐστιν. ὁμοίως καὶ τὸ βρῶμα τῶν ἀῤῥώστων, τοῖς ὑγιαίνουσιν. ἀλλ' ὁ πλοῦτος καὶ ἡ ὑγεία, ἐκ τῆς νήψεως καὶ τῆς ἐπιμελείας συνίσταται. ὅσον γὰρ ζῇ τὶς, χρήζει τῆς νήψεως, καὶ τῆς ἐπιμελείας, καὶ τοῦ ἐξυπνισμοῦ, τοῦ φυλάξαι τὸν ἑαυτοῦ θησαυρόν. ἐὰν δὲ τὸν ὅρον αὐτοῦ καταλείψῃ, νοσῆσαι ἔχει καὶ κλαπῆναι. οὐ μέχρι δὲ τοῦ τὸν καρπὸν ἰδέσθαι δέον ἐργάζεσθαι, ἀλλ' ἕως τῆς ἐξόδου χρεὼν ἀγωνίζεσθαι. πολλάκις γὰρ τὸν καρπὸν πεπανθέντα, καταβάλλει ἐξάπινα χάλαζα. ὁ μισγόμενος ἐν πράγμασι, καὶ λύων ἑαυτὸν εἰς ὁμιλίας, οὐκ ἔτι πιστεύεται, ὅτι ἡ ὑγεία αὐτοῦ προσμεῖναι ἔχει ἐν αὐτῷ.

Εὐχή. Ὅταν προσεύχῃ, ταύτην τὴν προσευχὴν εἰπέ. Κύριε ἀξίωσόν με νεκρωθῆναι τῇ συνομιλίᾳ τοῦ αἰῶνος τούτου ἐν ἀληθείᾳ.

Καὶ γίνῃ, (1) ὅτι πᾶσαν δέησιν συνήγαγες. ἀγώνισαι δὲ τὸ ἔργον τοῦτο πληρῶσαι ἐν σοί. ἐὰν γὰρ τὸ ἔργον ἀκολουθήσῃ τῇ εὐχῇ, ἀληθῶς ἐν τῇ ἐλευθερίᾳ ἕστηκας τοῦ Χριστοῦ. νέκρωσις δὲ τοῦ κόσμου ἐστὶν, οὐ τὸ ἀποστῆναι τῆς κοινωνίας τῆς ὁμιλίας τινὰ τῶν πραγμάτων αὐτοῦ μόνων, ἀλλὰ τὸ μὴ ἐπιθυμῆσαί τινος τῶν ἀγαθῶν αὐτοῦ ἐν τῇ ὁμιλίᾳ τῆς διανοίας αὐτοῦ.

Ἐὰν ἐν τῇ μελέτῃ τῇ ἀγαθῇ ἐθίσωμεν ἑαυτοὺς, αἰσχυνόμεθα ἐκ τῶν παθῶν, ὅταν αὐτοῖς ἀπαντήσωμεν. καὶ γινώσ-

(1) Ἴσ. γίνωσκε.

νώσκεσι τῦτο οἱ κτησάμενοι πεῖραν ἐν ἑαυτοῖς. ἀλλὰ καὶ ἐκ τῶν αἰτιῶν τῶν παθῶν αἰσχυνθῆναι ἔχομεν προσεγγίσαι αὐτοῖς. ὅταν εἰς ἔργον τινὸς (2) ὑπὲρ τῆς ἀγάπης τῦ Θεῦ ἀκολεθῆσαι ἐπιθυμῇς, δὸς κατὰ τῆς ἐπιθυμίας αὐτῦ τὸν ὅρον τῦ θανάτε. καὶ ὕτως ἐν τῷ πράγματι εἰς τὸν βαθμὸν τῆς μαρτυρίας ἀξιωθήσῃ ἀναδραμεῖν ἐφ' ἕκαςον πάθος, καὶ βλάβην τινὰ τῶν ἀπαντώντων σοι ἔσωθεν ἐκείνε τῦ ὅρε, ὐ μὴ καταλάβῃς, ἐὰν μέχρι τέλες ὑπομείνῃς, καὶ μὴ χαυνωθῇς. ἡ μελέτη τῦ ἀθενῦς λογισμῦ, ἀθενῆ ποιεῖ τὴν ἰσχὺν τῆς ὑπομονῆς· ἡ δὲ ςερεὰ διάνοια, καὶ τὴν δύναμιν, ἣν ὐκ ἔχει ἡ φύσις παρέχει τῷ ἀκολεθῦντι τῇ μελέτῃ αὐτῆς.

Κύριε ἀξίωσόν με μισῆσαι τὴν ζωήν με, διὰ τὴν ζωὴν τὴν ἐν σοί. Εὐχή.

Ἡ πολιτεία τῦ κόσμε τύτε ὁμοία ἐςὶ τοῖς χεδιάζεσί τινα γράμματα τῶν ἐν χεδίοις ἀκμὴν ὑπαρχόντων. καὶ ὅτε θέλει τὶς, καὶ ἐπιθυμεῖ, προσίθησιν ἐν αὐτοῖς, καὶ ἀφαιρεῖται, ᾗ ποιεῖ ἐναλλαγὴν ἐν τοῖς γράμμασιν. ἡ πολιτεία δὲ τῶν μελλόντων, ὁμοία ἐςὶ τοῖς χειρογράφοις, τοῖς γραφεῖσιν ἐν σωματίοις καθαροῖς, καὶ σφραγιθεῖσιν ἐν τῇ σφραγίδι τῇ βασιλικῇ, ἐν οἷς ὔτε προσθήκη, ὔτε ἔλλειψις. ὅσον

(1) Ὅταν εἰς ἔργον τινὸς κτ. τῦτο δοκεῖ αἰνίττεσθαι. ὅταν ἐπιθυμῇ τὶς ὑπὲρ τῆς ἀγάπης τῦ Θεῦ ἔργον ἐργάσασθαι, δεῖ αὐτὸν ὑπολαβόντα καὶ τὴν ζωὴν χρῆν ὑπὲρ τύτε δῦναι, μέχρι θανάτε παρεσκευάσθαι. ὕτω μὲν γαρ ὐ μόνον παντὸς πάθες νικητὴς, καὶ βλάβης τῶν ἐπισυμβαινόντων ὑπέρτερος ἔσεται, ἀλλὰ καὶ βαθμῦ καὶ τάξεως μαρτύρων ἀξιωθήσεται, ἅτε δὴ καὶ θανεῖν ἑλόμενος ὑπὲρ τῦ ἔργε, τῦ ὑπὲρ τῆς τῦ Θεῦ ἀγάπης.

ὂν ἐσμαὶ ἐν μέσῳ τῆς ἀλλοιώσεως, προσέχωμαν ἑαυτοῖς. ἠ ἡνίκα ἐξϐσιάζομαι εἰς τὸ χειρόγραφον τῆς ζωῆς ἡμῶν, ὅπερ διὰ τῶν χειρῶν ἡμῶν γεγραφήκαμαι, ἀγωνισώμεθα ποιῆσαι ὐ αὐτῷ προσθήκlω ὐ πολιτείᾳ ἀγαθῇ, ἠ ἀπαλείψωμαι ἐξ αὐτῦ τὰ ἐλατlώματα τῆς πρώτης πολιτείας. ὅσον γὰρ ὐ τῷ κόσμῳ τϋτῳ ἐσμαὶ, ϋ τίθησιν ὁ Θεὸς τlὼ σφραγῖδα, ὄτε ἐπὶ τοῖς ἀγαθοῖς, ὄτε ἐπὶ τοῖς κακοῖς, ἕως τῆς ὥρας τῆς ἐξόδϐ, ὐ ᾗ τελειϋται τὸ ἔργον τῆς πατρίδος ἡμῶν, ἠ ἐρχόμεθα εἰς τlὼ ἀποδημίαν. ἠ καθὼς εἶπαι ὁ ἅγιος Ἐφραίμ· πρέπει λογίζεσθαι ἡμᾶς, ὅτι ὁμοία ἐςὶν ἡ ψυχὴ ἡμῶν πλοίῳ ἑτοίμῳ, μὴ γινώσκοντι πότε ἐπέρχεται αὐτῷ ὁ ἄνεμος. ἠ ςρατῷ, μὴ εἰδότι πότε σαλπίσει ἡ πολεμικὴ σάλπιγξ. ἠ ἐὰν ταῦτα, φησι, διὰ τlὼ διαφορὰν τlὼ μικρὰν ὅτως, ἃ ἠ ἴσως ςρέφονται πάλιν, πόσον δέον ἄρα ἡμᾶς ϐὐτρεπίζεσθαι, ἠ προπαρασκϐάζεσθαι πρὸ ἐκείνης τῆς ἡμέρας τῆς ἀποτόμϐ, ἠ γεφύρας, ἠ θύρας τῦ καινῦ αἰῶνος; δῴη ἡμῖν ὁ Χριςὸς ὁ μεσίτης τῆς ζωῆς ἡμῶν ἑτοιμασίαν, ἐπερείδεσθαι ἐκείνῃ τῇ ἀποφάσει τῆς προσδοκίας· ὁ ἔχων τlὼ δόξαν, ἠ τlὼ προσκύνησιν, ἠ τlὼ ϐὐχαριςίαν εἰς τϋς αἰῶνας τῶν αἰώνων. Ἀμlώ.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΛΘ.

ΠΕΡΙ
ΤΗΣ ΑΓΓΕΛΙΚΗΣ ΚΙΝΗΣΕΩΣ

τῆς πρὸς προκοπὴν τῆς ψυχῆς ἐν τοῖς πνευματικοῖς, διὰ τῆς προνοίας τȣ̃ Θεȣ̃ ἐξυπνιζομένης ἐν ἡμῖν.

Πρώτη ἔννοια ἡ ἐκ τῆς φιλανθρωπίας τȣ̃ Θεȣ̃ ἐμπίπτȣσα ἐν τῷ ἀνθρώπῳ, ἡ ὁδηγȣ̃σα τὴν ψυχὴν εἰς τὴν ζωήν, περὶ τῆς ἐξόδȣ τῆς φύσεως ταύτης, ἐμπίπτει τῇ καρδίᾳ. τȣ́τῳ τῷ λογισμῷ ἀκολȣθεῖ φυσικῶς ἡ καταφρόνησις τȣ̃ κόσμȣ. καὶ ἐκ τȣ́τȣ ἔρχεται ἐν τῷ ἀνθρώπῳ πᾶσα κίνησις ἀγαθή, ἡ ὁδηγȣ̃σα αὐτὸν εἰς τὴν ζωήν. καὶ ὥσπερ θεμέλιόν τινα τίθησιν ἐν τῷ ἀνθρώπῳ ἡ θεϊκὴ δύναμις ἡ ἀκολȣθȣ̃σα αὐτῷ, ὅτε θελήσει φανερῶσαι ἐν αὐτῷ τὴν ζωήν. ταύτην τὴν ἔννοιαν, ἣν εἰρήκαμεν, ἐὰν μὴ σβέσῃ αὐτὴν ὁ ἄνθρωπος ἐν ταῖς συμπλοκαῖς ταῖς βιωτικαῖς, καὶ τῇ ματαιολογίᾳ, ἀλλὰ αὐξήσῃ ταύτην τὴν ἔννοιαν ἐν ἡσυχίᾳ, καὶ διαμένῃ (1) ἐν αὐτῷ θεωρῶν, καὶ σχολάζων ἐν αὐτῇ, πρὸς τὴν θεωρίαν τὴν βαθεῖαν τὴν μὴ δυναμένην ἐκφρασθῆναι ὑπότινος ἄγει αὐτόν. τȣ̃τον τὸν λογισμὸν ὁ σατανᾶς πολλὰ μισεῖ, καὶ ἐν πάσῃ δυνάμει αὐτȣ̃ πολεμεῖ ἐκτῖλαι αὐτὸν ἐκ τȣ̃ ἀνθρώπȣ. καὶ εἰ δυνα-

(1) Τὸ Ε. Χ. ἐν ἡσυχίᾳ καὶ δυνάμει ἐν αὐτῷ, σχολάζων κτ.

δυνατὸν ἦν, ἐδίδε αὐτῷ τὴν βασιλείαν ὅλε τῦ κόσμε, μόνον ἵνα τῷ περισπασμῷ ἀπαλείψῃ ἐκ τῆς διανοίας τῦ ἀνθρώπε τὸν τοιῦτον λογισμόν. καὶ εἰ ἐδύνατο, ὡς εἴρηται, ἐποίει τῦτο προθύμως. γινώσκει γὰρ ὁ δόλιος, ὅτι ἐὰν ὁ λογισμὸς ὗτος διαμείνῃ ἐν τῷ ἀνθρώπῳ, ἐκ ἔτι ἡ διάνοια αὐτῦ ἐν τῇ γῇ ταύτῃ τῆς πλάνης ἵσαται. καὶ αἱ μηχαναὶ αὐτῦ πρὸς αὐτὸν ἐκ ἐγγίζεσι. ἐχὶ περὶ τῦ πρώτε ἐκείνε λογισμῦ τῦ κινῦντος ἐν ἡμῖν τὴν μνήμην τῦ θανάτε ἐν τῇ ὑπομνήσει αὐτῦ λογισόμεθα τῦτον, ἀλλὰ περὶ τῦ πληρώματος τῦ πράγματος τέτε, τῦ ἐντιθεμένε ἐν τῷ ἀνθρώπῳ τὴν μνήμην αὐτῦ ἀχωρίσως. καὶ ἐν τῇ ἀδολεχίᾳ αὐτῦ, εἰς τὸ θαυμάσαι αὐτὸν συνισῶντος αὐτὴν πάντοτε. ἐκεῖνος γὰρ ὁ λογισμὸς, ἐσὶ σωματικός· ὗτος δὲ, θεωρία ἐσὶ πνευματική, καὶ χάρις θαυμασή. καὶ ἐννοίαις λαμπραῖς ἡ θεωρία αὕτη ἐνδεδυμένη ἐσί. καὶ ὁ ἔχων αὐτὴν, τὸν κόσμον τῦτον πάλιν ἐκ ἐξετάζει, καὶ πρὸς τὸ σῶμα αὐτῦ ἐκ ἐμμένει.

Ἀληθῶς ὄντως, ὦ ἀγαπητοὶ, εἰ ἀφῆκεν ὁ Θεὸς τὴν ἀληθῆ ταύτην θεωρίαν πρὸς τὲς ἀνθρώπες ὀλίγον καιρὸν, εἶχεν ἂν ὁ κόσμος ὗτος διαμεῖναι ἀδιάδοχος. αὕτη ἡ θεωρία δεσμός ἐσιν, ὗτινος ἔμπροσθεν ἡ Φύσις ἐ δύναται σῆναι, καὶ τῷ λαμβάνοντι ταύτην τὴν ἀδολεχίαν ἐν τῇ ψυχῇ αὐτῦ, χάρις ἐσὶν ἐκ τῦ Θεῦ ἰσχυροτέρα πασῶν τῶν ἐργασιῶν τῶν ἰδικῶν. ἥτις δίδοται τοῖς ἐν τῇ τάξει τῇ μέσῃ ἐσι, τοῖς ἐν εὐθύτητι καρδίας ἐπιθυμῦσι τὴν μετάνοιαν. καὶ δίδοται ἀκριβῶς οἷς γινώσκει ὁ Θεὸς, ὅτι πρέπει αὐτὲς ἀναχωρῆσαι ἀληθῶς ἐκ τῦ κόσμε τέτε πρὸς τὴν κρείττονα ζωὴν, διὰ τὸ θέλημα αὐτῦ τὸ ἀγαθὸν, ὅπερ εὗρεν ἐν αὐτοῖς. αὐξάνει δὲ, καὶ διαμένει πρὸς αὐτὲς

τὲς ἐν τῇ οἰκήσει τῇ ἀναχωρητικῇ, καὶ ἰδιαζέσῃ. ταύτην ἐν εὐχαῖς αἰτησώμεθα. ὑπὲρ ταύτης ἀγρυπνίας μακρὰς ποιήσωμεν. καὶ ὡς χάριν μὴ ἔχουσαν ὁμοίωσιν, μετὰ δακρύων παρὰ τε Κυρίε, ἵνα παράσχῃ αὐτὴν ἡμῖν αἰτήσωμεν. καὶ ἐκ ἔτι πάλιν ἀτονήσωμεν ἐν τῷ μόχθῳ τε κόσμε τέτε. αὕτη ἡ ἀρχὴ τῶν λογισμῶν τῆς ζωῆς, ἡ τελειέσα ἐν τῷ ἀνθρώπῳ τὸ πλήρωμα τῆς δικαιοσύνης.

ΛΟΓΟΣ Μ.

ΠΕΡΙ ΔΕΥΤΕΡΑΣ ΕΡΓΑΣΙΑΣ ΤΗΣ ΕΝ ΤΩ ΑΝΘΡΩΠΩ.

Ἐργασία ἑτέρα μετὰ ταύτην, ὅτε προσθέεται ἄνθρωπος καλῶς ἐν πολιτείᾳ ἀγαθῇ, καὶ φθάσει ἀνελθεῖν τὸν βαθμὸν τῆς μετανοίας, καὶ ἐγγίσει γεύσασθαι τῆς θεωρίας, καὶ τῆς ἐργασίας αὐτῆς, ὅταν καταλάβῃ αὐτὸν χάρις ἄνωθεν, γεύσασθαι τῆς ἡδύτητος τῆς γνώσεως τε πνεύματος, ἡ ἀρχὴ αὐτε ἐςὶν ἐντεῦθεν· προηγεμένως περὶ τῆς προνοίας τε Θεε τῆς ἐπὶ τῷ ἀνθρώπῳ βεβαιεῖται, καὶ ἐν τῇ ἀγάπῃ αὐτε τῇ πρὸς τὸν κτίσιν φωτίζεται, καὶ τῇ συςάσει τῶν λογικῶν, καὶ τῇ ἐπιμελείᾳ αὐτε τῇ πολλῇ περὶ αὐτῶν ὁμε θαυμάζει. ἐντεῦθεν ἄρχεται ἐν αὐτῷ ἡ ἡδύτης τε Θεε, καὶ ἡ πύρωσις τῆς ἀγάπης αὐτε, τῆς ἐν τῇ καρδίᾳ καιομένης, τῆς καιέσης τὰ πάθη τῆς ψυχῆς, καὶ τε σώματος. καὶ ταύτης

τῆς δυνάμεως αἰσθάνεταί τις, ὅτε ἐν πάσαις ταῖς φύσεσι τῆς κτίσεως, καὶ ἐν παντὶ πράγματι συναντῶντι αὐτῷ ἀδολεχήσει συνετῶς, καὶ ἐξετάσει, καὶ διακρίνει ἐν αὐτοῖς πνευματικῶς. ὅθεν διὰ πολλῆς καὶ θείας τοιαύτης ἐπιμελείας, καὶ ἀγαθῆς συνειδήσεως, τότε ἄρχεται ὁ ἄνθρωπος κινεῖσθαι εἰς θεῖον ἔρωτα, καὶ ἅπαξ μεθύσκεται ἐν αὐτῇ, ὡς ἐν οἴνῳ· καὶ διαλύονται αὐτοῦ τὰ μέλη· καὶ διαμένει ἡ διάνοια αὐτοῦ ἐκπληττομένη· καὶ αἰχμαλωτίζεται ἡ καρδία αὐτοῦ ὀπίσω τοῦ Θεοῦ. καὶ γίνεται οὕτω, καθὼς εἶπον, ὥσπερ τὶς μεθύων ἀπὸ οἴνου. καὶ ὅσον ἐνδυναμοῦνται αἱ αἰσθήσεις αἱ ἐσωτικαὶ, τοσοῦτον ἐνδυναμοῦται καὶ αὕτη ἡ θεωρία. καὶ ὅσον ἀγωνίζεται πολιτεύεσθαι καλῶς, καὶ φυλάξαι, καὶ ἐργάζεσθαι ἐν τῇ ἀναγνώσει, καὶ ἐν ταῖς εὐχαῖς, τοσοῦτον στερεοῦται, καὶ βεβαιοῦται ἐν αὐτῷ ἡ δύναμις αὐτῶν. ὄντως ἀληθῶς, ὦ ἀδελφοὶ, τοῦτο ἔρχεται ἐν καιρῷ τοῦ μνημονεῦσαι ἑαυτοῦ, ὅτι φορεῖ τὸ σῶμα τοῦτο, καὶ οὐ γινώσκει ὅτι ἐστὶν ἐν τῷ κόσμῳ τούτῳ.

Αὕτη ἡ ἀρχὴ τῆς θεωρίας τῆς πνευματικῆς ἐν τῷ ἀνθρώπῳ, καὶ αὕτη ἡ ἀρχὴ πασῶν τῶν ἀποκαλύψεων τῆς διανοίας, καὶ ἐν αὐτῇ ἡ διάνοια αὐξάνεται ἐν τοῖς κρυπτοῖς, καὶ ἐνδυναμοῦται, καὶ ἐν αὐτῇ ἐκβιβάζεται πρὸς τὰς ἄλλας τὰς ὑπερβαινούσας τὴν φύσιν τὴν ἀνθρωπίνην. καὶ συντόμως λέγω, ὅτι ἐν τῇ χειρὶ αὐτῆς μετανίστανται πρὸς τὸν ἄνθρωπον πᾶσαι αἱ θεῖαι θεωρίαι, καὶ ἀποκαλύψεις τοῦ πνεύματος, ἃς δέχονται οἱ ἅγιοι ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἅπερ ἡ φύσις γνῶναι δύναται ἐν τῇ ζωῇ ταύτῃ χαρίσματα, καὶ ἀποκαλύψεις. αὕτη ἡ ῥίζα τῆς αἰσθήσεως ἡμῶν, ἡ παρὰ τοῦ δημιουργοῦ ἡμῶν ἐν ἡμῖν τιθεμένη. μακάριος ἄνθρωπος, ὃς ἐφύλαξε τοῦτον τὸν

ἀπόρον

σπόρον τὸν ἀγαθὸν, ὅταν πέσῃ ἐν τῇ ψυχῇ αὐτῦ, καὶ ηὔξησα αὐτὸν, καὶ ἐκ ἐσκόρπισεν αὐτὸν ἐξ ἑαυτῦ ἐν τοῖς ματαίοις, ἢ ἐν τῷ μετεωρισμῷ τῶν παρερχομένων. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΜΑ.

ΠΕΡΙ ΑΜΑΡΤΙΩΝ ΕΚΟΥΣΙΩΝ, ΚΑΙ ΑΚΟΥΣΙΩΝ, ΚΑΙ ΤΩΝ ΑΠΟ ΤΙΝΟΣ ΣΥΜΒΕΒΗΚΟΤΟΣ ΓΙΝΟΜΕΝΩΝ.

Ἔστιν ἁμαρτία ἀπὸ ἀσθενείας γινομένη, εἰς ἣν ἀκυσίως ὁ ἄνθρωπος ἀνθέλκεται, καὶ ἔστιν ἁμαρτία ἑκυσίως γινομένη, καὶ ἀπὸ ἀγνοίας. συμβαίνει δὲ πάλιν καὶ ἀπό τινος συμβεβηκότος ποιῆσαί τινα ἁμαρτίαν, καὶ πάλιν ἀπὸ τῆς διαμονῆς, καὶ τῆς ἐν τῷ κακῷ ἕξεως. ὗτοι δὲ πάντες οἱ τρόποι, καὶ τὰ εἴδη τῶν ἁμαρτιῶν, εἰ καὶ πάντες ἄξιοι μομφῆς εἰσιν, ἀλλ' ὖν εὑρίσκεται κατὰ σύγκρισιν τὴν πρὸς ἐκδίκησιν, εἷς μείζων τῦ ἑτέρυ. καὶ τινὸς μὲν, ἡ μέμψις μεγίστη, καὶ μετὰ κόπυ προσδέχεται τῦτο ἡ μετάνοια· τινὸς δὲ, ἐγγυτέρα ἐστὶν ἡ ἁμαρτία τῆς συγχωρήσεως. καὶ ὥσπερ ὁ Ἀδὰμ, ἢ ἡ Εὔα, καὶ ὁ ὄφις, πάντες μὲν ἐδέξαντο παρὰ Θεῦ τῆς ἁμαρτίας τὴν ἀμοιβὴν, διαφορᾷ δὲ πολλῇ τὴν κατάραν ἐκληρώσαντο, ὕτω καὶ ἐν τοῖς ὑιοῖς αὐτῶν. ἑκάστῳ κατὰ τὴν πρόθεσιν αὐτῦ, καὶ τὸν πόθον τὸν εἰς τὴν ἁμαρτίαν, ὕτω καὶ τὸ σφοδρὸν τῆς κο-

 λάσεως.

λάσεως. ἐὰν δέ τις μὴ βουλόμενος μὲν ἀκολουθῆσαι τῇ ἁμαρτίᾳ, ὑπὸ δὲ τῆς ἀμελείας, τῆς εἰς τὴν ἀρετὴν ἀνθέλκεται πρὸς ἐκείνην, ἐκ τοῦ μὴ σχολάσαι ταύτῃ, εἰ καὶ βαρύ ἐστιν αὐτῷ συνεῖναι τῇ ἁμαρτίᾳ, ἀλλ' οὖν ἡ κόλασις αὐτοῦ ἐπιβαρής. ἐὰν δὲ συμβῇ τινὶ ἐπιμελουμένῳ τῆς ἀρετῆς πειρασθῆναι οἵτινι πλημμελήματι, ὅμως τὸ ἔλεος ἐγγύς ἐστι τοῦ καθαρισμοῦ αὐτοῦ ἀδιστάκτως.

Ἄλλη ἐστὶν ἡ ἁμαρτία ἡ γινομένη, ὅταν εὑρεθῇ ὁ ἄνθρωπος ἐπιμελούμενος τῆς ἀρετῆς, καὶ ἐμμένων τῇ ἐργασίᾳ, καὶ νύκτα μὲν οὐ καθεύδει, φροντίζων μηδὲν ζημιωθῆναι, ὧν ἐπιμελεῖται· ἡμέρας δὲ, περιερχόμενος καὶ βαστάζων τὸ βάρος. καὶ πᾶσα ἡ φροντὶς αὐτοῦ ἐν τῇ ἀρετῇ. καὶ ἐν ὅσῳ ἐστὶν ἐν τούτοις καὶ τοῖς τοιούτοις, ἢ διά τινα ἄγνοιαν, ἢ ἀπὸ τῶν πραγμάτων τῶν ἐναντιουμένων ἐν τῇ ὁδῷ αὐτοῦ, ἤτοι τῆς ἀρετῆς, καὶ τῶν κυμάτων τῶν ὑψουμένων ἐν παντὶ καιρῷ ἐν τοῖς μέλεσιν αὐτοῦ, ἢ διὰ τὴν ἔκκλισιν τὴν ἐνδεχομένην εἶναι ἐν αὐτῷ εἰς τὸ δοκιμάζεσθαι αὐτοῦ τὸ αὐτεξούσιον, κλίνει ἡ πλάστιγξ τοῦ ζυγοῦ αὐτοῦ μικρὸν εἰς τὰ ἀριστερὰ, καὶ ἀνθέλκεται ὑπὸ τῆς ἀσθενείας τοῦ σώματος εἰς ἓν εἶδος τῆς ἁμαρτίας, ἐν οἷς λυπεῖται, καὶ ἀδημονεῖ, καὶ στενάζει μετὰ πόνου κατὰ τῆς ψυχῆς αὐτοῦ, διὰ τὴν ταλαιπωρίαν τὴν ἐπισυμβᾶσαν αὐτῷ ὑπὸ τῶν ἐναντίων.

Ἑτέρα δὲ, ὅταν εὑρεθῇ ὁ ἄνθρωπος χαῦνος, καὶ ἀμελὴς εἰς τὴν ἐργασίαν τῆς ἀρετῆς, καὶ παντελῶς τὴν ὁδὸν ἐγκαταλιπὼν, καὶ δραμὼν δουλικῶς εἰς τὴν ὑπακοὴν πάσης ἡδονῆς τῶν ἁμαρτημάτων, καὶ ζῆλον ἐνδεικνύμενος, μηχανὰς εὑρῆσαι εἰς ὁλοκληρίαν αὐτῆς, καὶ ὢν ἕτοιμος, ὥσπερ τὶς δοῦλος,

δῦλος, εἰς τὸ ἐπιμελῶς ποιῆσαι τὸ θέλημα τῦ ἐχθρῦ αὐτῦ, καὶ ἑτοιμάσαι τὰ μέλη αὐτῦ ὅπλα τῷ διαβόλῳ ἐν πάσῃ ὑπακοῇ αὐτῦ, καὶ μηδαμῶς βυλόμενος προσέχειν τῇ μετανοίᾳ, μήτε προσεγγίσαι τῇ ἀρετῇ, μήτε ποιῆσαι ἐκκοπὴν καὶ τέλος τῆς ὀλεθρίας ὁδῦ αὐτῦ.

Καὶ ἄλλη μὲν ἐςὶν ἡ ἐξ ὀλισθήσεων, καὶ ἐκπ]ώσεων τῶν ἐνδεχομένων γενέσθαι ἐν τῇ ὁδῷ τῆς ἀρετῆς, καὶ ἐν τῇ τρίβῳ τῆς δικαιοσύνης, κατὰ τὰ τῶν πατέρων λόγια τὰ φάσκοντα, ὅτι εὑρίσκονται ἐν τῇ ὁδῷ τῆς ἀρετῆς, καὶ ἐν τῇ τρίβῳ τῆς δικαιοσύνης ἐκπ]ώσεις, καὶ ἐναντιώσεις, καὶ ἀναγκασμοὶ, καὶ τὰ αὐτοῖς ὅμοια.

Ἑτέρα δέ ἐςιν ἡ π]ῶσις τῆς ψυχῆς, καὶ ἡ ὁλόκληρος ἀπώλεια, καὶ ἡ τελεία ἐγκατάλειψις. καὶ φανερός ἐςι τὶς ἐκ τέτων, ὅταν πέσῃ, μὴ ἐπιλάθηται τῆς ἀγάπης τῦ οἰκείυ πατρὸς, ἀλλ' ἐὰν συμβῇ αὐτῷ ποικίλοις ἐμπεσεῖν παραπ]ώμασιν, ἔςαι μὴ ἀμελῶν τῦ ἀγαθῦ, καὶ τῦ δρόμυ αὐτῦ ςάσιν μὴ ποιῶν, ἀλλὰ καὶ νικώμενος, πάλιν ἀνίςαται πρὸς ἀγῶνα τὸν κατὰ τῶν ἐναντίων αὐτῦ, καὶ τῆς καταλυθείσης οἰκοδομῆς καθ' ἑκάςην ἡμέραν ἀρχὴν θεμελίων ἐμβάλλει, τὸ προφητικὸν λόγιον κατὰ ςόμα ἔχων, μέχρι τῆς ἐξόδυ αὐτῦ ἀπὸ τῦδε τῦ κόσμυ· » μὴ ἐπιχαρῇς μοι ὁ ὑπεναντίος μυ, ὅτι πέπ]ωκα. » πάλιν γὰρ ἐγὼ ἀναςήσομαι. καὶ ἐὰν ἐν τῷ σκότει καθήσω, » ὁ Κύριος ἐπιλάμψει μοι. καὶ μηδαμῦ τῦ πολέμυ παύσηται μέχρι τῦ θανάτυ, καὶ ὐ μὴ προδῷ τῇ ἥτ]ῃ τῆς ψυχῆς αὐτῦ ἐν ὅσῳ ἐςὶν αὐτῷ πνοὴ, καὶ ἐν αὐτῇ τῇ ἥτ]ῃ αὐτός. ἀλλὰ καὶ ἐὰν καθ' ἡμέραν κλασθῇ αὐτῦ τὸ σκάφος, καὶ ναυαγήσῃ τὰ ἀγώγιμα αὐτῦ, ὐ μὴ παύσηται περιποιύμενος, καὶ

Μιχ. ζ. η.

φροντίζων, ἅμα δὲ ἢ δανειζόμενος, καὶ εἰς ἕτερα πλοῖα ἀναβαίνων, καὶ ἐπ᾽ ἐλπίδι πλέων, ἕως ἂν ὁ Κύριος κατιδὼν αὐτȣ͂ τὸν ἀγῶνα, καὶ σπλαγχνισθεὶς ἐπὶ τῇ συντριβῇ αὐτȣ͂, καταπέμψῃ ἐπ᾽ αὐτὸν τὸ ἔλεος αὐτȣ͂, καὶ δῷ αὐτῷ κινήσεις ἰσχυρὰς, εἰς τὸ ὑπομεῖναι ἢ ἀπαντῆσαι τοῖς καυσικοῖς βέλεσι τȣ͂ ἐχθρȣ͂. καὶ αὕτη ἐςὶν ἡ δεδομένη σοφία παρὰ Θεȣ͂. καὶ ȣ̃τός ἐςιν ὁ σοφὸς ἄῤῥωςος, ὁ μὴ ἐκκόψας τὴν ἐλπίδα αὐτȣ͂. κρεῖσσον κατακριθῆναι ἡμᾶς ἐν ἐνίοις τῶν πραγμάτων, καὶ μὴ ἐπὶ τῇ καταλείψει τῶν πάντων. καὶ διὰ τȣ͂το ὁ ἀββᾶς Μαρτινιανὸς παρεγγυᾷ, μὴ ῥαθυμῆσαι πρὸς τὸ πλῆθος τῶν ἀγώνων, καὶ πρὸς τὸ ποικίλον τȣ͂ πολέμȣ, καὶ συνεχὲς τὸ ἐν τῇ ὁδῷ τῆς δικαιοσύνης, καὶ μὴ ςραφῆναι εἰς τὰ ὀπίσω, καὶ παραδȣ͂ναι τῷ ἐχθρῷ τὴν καθ᾽ ἡμῶν νίκην ἐν ἑνὶ τῶν αἰσχρῶν τρόπων. ὥσπερ γάρ τις φιλότεκνος πατὴρ εὐτάκτως καὶ ςοιχηδὸν διορίζων, ταῦτα λέγει.

Παραίνεσις τȣ͂ ὁσίȣ Μαρτινιανȣ͂.

Τέκνα, εἰ ἐςὲ ἐν ἀληθείᾳ ἀγωνιςαὶ προσέχοντες τῇ ἀρετῇ, ἢ ἔςιν ὑμῖν ἐπιμέλεια ψυχικὴ, παραςῆσαι θελήσατε τὸν
» νȣ͂ν ὑμῶν τῷ Χριςῷ καθαρὸν, καὶ ἐργάζεσθε πρᾶξιν τὴν ȣ̃σαν
» αὐτῷ εὐάρεςον. δέον γὰρ ὑμᾶς πάντως ἀναδέξασθαι ὑπὲρ τȣ-
» τȣ πάντα πόλεμον ἐγειρόμενον ὑπὸ τῶν παθῶν τῆς φύσεως,
» καὶ τῆς ἀνθολκῆς τȣ͂ κόσμȣ τȣ́τȣ, καὶ τῆς διαμονῆς, τῆς τε
» συνεχείας τῶν κακιῶν τῶν δαιμόνων, ἐν οἷς εἰώθασι προσα-
» παντᾷν ὑμῖν, καὶ πάσης τȣ́των ἐνέδρας. καὶ μὴ φοβηθῆτε
» διὰ τὸ συνεχὲς, καὶ ἐπίμονον τῆς σφοδρότητος τȣ͂ πολέμȣ,
» καὶ μὴ διςάσητε διὰ τὸ διαρκὲς τȣ͂ ἀγωνίσματος, ἢ μὴ ὀκλά-
» σητε, μήτε τρομάξητε ἀπὸ τῶν ςρατευμάτων τῶν ἐχθρῶν,
» καὶ μὴ ἐμπέσητε εἰς βόθυνον ἀνελπιςίας, εἰ συμβῇ ὑμῖν ἴσως

ὀλισθή-

„ ὀλισθῆσαι πρὸς καιρὸν, καὶ ἁμαρτῆσαι. ἀλλ' ἔτι ἂν πάθητε
„ ἐν τούτῳ τῷ μεγίστῳ πολέμῳ, καὶ κατὰ πρόσωπον ἂν λάβητε,
„ καὶ τραυματισθῆτε, μηδαμῶς ἐμποδίσῃ ὑμᾶς τοῦτο τοῦ ἀγαθοῦ
„ σκοποῦ ὑμῶν. μᾶλλον δὲ ἐν τῇ ᾑρετισμένῃ ὑμῖν ἐργασίᾳ διαμεί-
„ νατε, καὶ κτήσασθε τοῦτο τὸ ἐπιθυμητὸν, καὶ ἐπαινετὸν, τὸ
„ φανῆναι λέγω δὴ ἐν τῷ πολέμῳ ἑδραῖοι, καὶ ἀμετακίνητοι,
„ καὶ τῷ αἵματι τῶν τραυματισμῶν ὑμῶν πεφοινιγμένοι, καὶ
„ μὴ παύσησθε παντελῶς ἀπὸ τῆς μετὰ τῶν ἀντιδίκων ὑμῶν
„ παλαίστρας.

Αὗταί εἰσιν αἱ παραινέσεις τοῦ μεγάλου γέροντος. ὥστε οὐ χρὴ ὑμᾶς χαυνοῦσθαι, ἢ ῥαθυμῆσαι, δι' οὓς τρόπους ἔφημεν. οὐαὶ δὲ τῷ μοναχῷ ἐκείνῳ τῷ ψευδομένῳ ἐν τῇ ὑποσχέσει αὐτοῦ, καὶ προτείνοντι χεῖρα τῷ διαβόλῳ ἐν τῷ καταπατεῖν τὴν συνείδησιν αὐτοῦ, τοῦ ἐπαρθῆναι αὐτὸν κατ' αὐτοῦ ἔντινι μικρῷ, ἢ μεγάλῳ τῶν τῆς ἁμαρτίας τρόπων, καὶ μὴ δυναμένῳ πάλιν στῆναι κατ' ἐνώπιον τῶν ἐχθρῶν αὐτοῦ ἐν τῷ διερρωγότι μέρει τῆς ψυχῆς αὐτοῦ. ἐν ποίῳ ἄρα προσώπῳ μέλλει ὑπαντῆσαι τῷ κριτῇ, ἡνίκα οἱ ἑταῖροι αὐτοῦ καθηγνισμένοι προσυπαντήσουσιν ἀλλήλοις; ἐκεῖνοι, ἀφ' ὧν τὴν ὁδὸν αὐτοῦ ἀφώρισε, καὶ τὴν τρίβον τῆς ἀπωλείας ἐβάδισε, καὶ τῆς παῤῥησίας ἐκπέπτωκεν, ἥτις ἐστὶ τοῖς ὁσίοις πρὸς τὸν Θεὸν, καὶ τῆς προσευχῆς τῆς ἀνιούσης ἀπὸ τῆς καθαρᾶς καρδίας, καὶ ὑψουμένης, καὶ διαπερώσης τὰς ἀγγελικὰς δυνάμεις, καὶ μὴ κωλυομένης, ἕως ἂν τεύξηται τῆς αἰτήσεως αὐτῆς, καὶ ὑποστρέψῃ μετὰ χαρᾶς πρὸς τὸ ἐκπέμψαν αὐτὴν στόμα; καὶ τὸ δὴ φοβερώτερον πάντων, ὅτι ὥσπερ αὐτὸς ἐνταῦθα τὴν ὁδὸν αὐτοῦ ἀπ' αὐτῶν ἀφώρισεν, οὕτως ἀφορίσει αὐτὸν ἀπ' αὐτῶν ὁ Χριστὸς

ἐν

ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἡνίκα βαστάσει ἡ φωτεινὴ νεφέλη ἐπὶ νῶτα αὐτῆς τὰ διαστίλβοντα σώματα ἀπὸ τῆς καθαρότητος, καὶ εἰσάξει εἰς τὰς οὐρανίους πύλας. διὰ γὰρ τοῦτο οὐκ ἀναστήσονται » ἀσεβεῖς ἐν κρίσει, διότι ἀπ' ἐντεῦθεν ἡ πρᾶξις αὐτῶν κέκριται, » οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων ἐν τῇ ἀναστάσει τῆς κρίσεως.

Ψαλμ. α. ς.

ΛΟΓΟΣ ΜΒ.

ΠΕΡΙ ΔΥΝΑΜΕΩΣ ΚΑΙ ΕΝΕΡΓΕΙΑΣ ΤΩΝ ΚΑΚΙΩΝ ΤΗΣ ΑΜΑΡΤΙΑΣ

ὑπὸ τίνων συνίστανται, καὶ ὑπὸ τίνων παύονται.

Ἕως ἂν μὴ ἐκ καρδίας ἀληθῶς μισήσῃ τὶς τὴν αἰτίαν τῆς ἁμαρτίας, ἐκ τῆς ἡδονῆς τῆς ἐνεργείας αὐτῆς οὐκ ἐλευθεροῦται. οὗτός ἐστιν ὁ ἀγὼν ὁ σφοδρότατος, ὅστις ἀντικαθίσταται τῷ ἀνθρώπῳ μέχρις αἵματος, ἐν ᾧ δοκιμάζεται αὐτοῦ τὸ αὐτεξούσιον ἐν τῇ ἐνάδι τῆς ἀγάπης αὐτοῦ τῶν ἀρετῶν. αὕτη ἐστὶν ἡ δύναμις, ἥν τινα καλοῦσιν ἐρεθισμὸν, καὶ παράταξιν. ἀφ' ὧν τινων τῆς ὀσμῆς ἐξασθενεῖ ἡ ψυχὴ ἡ ταλαίπωρος χάριν τῆς ἀπαραιτήτου παρατάξεως, τῆς οὔσης ἐν αὐτῇ. αὕτη ἐστὶν ἡ δύναμις τοῦ μεγέθους τῆς ἁμαρτίας. ἐν ᾗ τὰς ψυχὰς τῶν σωφρόνων ὁ ἐχθρὸς συμφύρειν εἴωθε, καὶ τὰς καθαρὰς κινήσεις ἀναγκάζει πεῖραν λαβεῖν, ὧν ὅλως οὐδέποτε εἰλήφασιν. ἐνταῦθα δεικνύομαι τὴν ὑπομονὴν ἡμῶν, ὦ ἀγαπητοὶ ἀδελφοὶ,

ἀδελφοὶ, καὶ τὸν ἀγῶνα, καὶ τὴν σπουδήν. οὗτος γάρ ἐστιν ὁ καιρὸς τῆς ἀφανοῦς ἀθλήσεως, δι᾽ ἧς λέγεται, ὅτι ἡ τάξις τῶν μοναχῶν ἑκάστοτε νικᾷ. τῇ προσαπαντήσει τούτου τοῦ πολέμου ταχέως συμφύρεται ὁ εὐσεβὴς νοῦς, ἐὰν μὴ μεγάλως παρατάξηται.

Δυνατὸς εἶ Κύριε ἡ πηγὴ τῆς πάσης βοηθείας ὑποστηρίξαι ἐν τοῖς τοιούτοις καιροῖς, οἵτινές εἰσι μαρτυρίας καιροὶ τὰς νυμφευσαμένας σοι ἑαυτὰς μετὰ χαρᾶς ψυχὰς τῷ οὐρανίῳ νυμφίῳ, καὶ δεδωκυίας τὰς συνθήκας τῆς ἁγιότητος ἐν συνέσει μετὰ εἰλικρινείας κινήσεων, καὶ οὐ μετὰ πανουργίας. διὸ δώρησαι αὐταῖς δύναμιν μετὰ παῤῥησίας καθελεῖν ὠχυρωμένα τείχη, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς ἀληθείας. ἵνα μὴ τοῦ ἰδίου σκοποῦ ἀστοχήσωσι βίᾳ ἀνυποίστῳ, καὶ ἀνυπομονήτῳ ἐν τῷ καιρῷ, ἐν ᾧ περὶ αἵματος ἀνταγώνισμα γίνεται.

Εὐχή.

Οὐ πάντοτε δὲ γίνεται ἀγώνισμα σωφροσύνης ἐν τούτῳ τῷ σφοδρῷ πολέμῳ. γίνεται γὰρ ἐγκατάλειψις καὶ πρὸς δοκιμασίαν. οὐαὶ δὲ τῷ ἀσθενεῖ τῷ δοκιμαζομένῳ ἐν τούτῳ τῷ διακριτικῷ πολέμῳ. διότι μεγίστην ἰσχὺν κέκτηται οὗτος ὁ πόλεμος ἐκ τῆς συνηθείας, ἧς ἔλαβον ἐξ ἐκείνων τῶν παραδεδωκότων ἑαυτὸν τῇ ἥττῃ, ἐν συγκαταθέσει τῶν ἰδίων λογισμῶν.

Παραφυλάττεσθε, ὦ ἀγαπητοὶ, ἀπὸ τῆς ἀργίας. διότι ἐγκέκρυπται ἐν αὐτῇ ἐγνωσμένος θάνατος. καθότι χωρὶς αὐτῆς ταῖς χερσὶ τῶν αἰχμαλωτίσαι τὸν μοναχὸν σπουδόντων ἐμπίπτειν οὐκ ἔστιν. οὐ περὶ ψαλμῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κατακρινεῖ ἡμᾶς ὁ Θεὸς, οὐδὲ περὶ τῆς ἐκ τῆς προσευχῆς ἀργίας, ἀλλ᾽ ὅτι τῇ καταλείψει τούτων, εἴσοδος γίνεται τοῖς δαίμοσιν. ἡνίκα δ᾽ ἂν εὕρωσι χώραν, καὶ εἰσέλθωσι, καὶ συγκλείσωσι

τὰς θύρας τῶν ὀφθαλμῶν ἡμῶν, τότε πληρώσουσιν εἰς ἡμᾶς τυραννικῶς, καὶ ἀκαθάρτως ἅτινα ὑπὸ τὴν θείαν ἀπόφασιν συνέχουσι τοὺς ἐργάτας αὐτῶν μετὰ ἐκδικήσεως σφοδροτάτης. καὶ γινόμεθα ὑποχείριοι, χάριν τῆς ἐγκαταλείψεως τῶν μικρῶν τούτων. ἅτινα διὰ τὸν Χριστὸν φροντίδος ἀξιοῦνται, ὡς γέγραπται παρὰ τῶν σοφωτάτων. ὁ μὴ ὑποτάσσων τῷ Θεῷ τὸ ἑαυτοῦ θέλημα, ὑποταγήσεται τῷ ἀντιδίκῳ αὐτοῦ. ὥστε ταῦτα τὰ μικρά σοι φαινόμενα, ὡς τείχη σοι λογισθήσονται κατέναντι τῶν αἰχμαλωτιζόντων ἡμᾶς. ὧντινων ἡ τελείωσις ἔνδοθεν τοῦ κελλίου ὑπὸ τῶν κρατούντων τὴν τάξιν τῆς ἐκκλησίας σοφῶν τέθειται, (1) πρὸς φυλακὴν τῆς ἡμετέρας ζωῆς ἐν πνεύματι ἀποκαλύψεως. ὧν ἡ κατάλειψις ὑπὸ τῶν ἀσόφων μικρὰ λογίζεται. (2) τὴν δὲ ὑπ᾽ αὐτῶν ζημίαν μὴ λογιζομένων τούτων, ἥτε ἀρχὴ τῆς ὁδοῦ, καὶ ἡ μεσότης, ἐλευθερία ἀπαίδευτος. ἥτις ἐστὶ μήτηρ τῶν παθῶν. κρεῖσσον γὰρ ἀγωνίσασθαι μὴ ἐγκαταλεῖψαι τὰ μικρά, ἢ τόπον δοῦναι τῇ ἁμαρτίᾳ (3) ἐν τῷ πλατυσμῷ αὐτῶν. ταύτης γὰρ τῆς ἀκαίρου ἐλευθερίας, δουλεία τὸ τέλος ἀπότομος.

Ἐν ὅσῳ τὰς αἰσθήσεις ζώσας ἔχεις πρὸς ἀπάντησιν τῶν συμβεβηκότων, νεκρὸν σαυτὸν ὑπολάμβανε. διότι οὐ μή σοι λείψῃ ἔκκαυσις ἁμαρτίας ἐν πᾶσι τοῖς μέλεσί σου, καὶ οὐ μὴ δυνήσῃ κτήσασθαι σεαυτῷ σωτηρίαν. ἐάν τις τῶν μοναχῶν εἴπῃ ἐν τῇ καρδίᾳ αὐτοῦ, ὅτι παραφυλάττεται ἐκ τούτων, οὗτος οὐ θέλει

(1) Τὸ Ε. Χ. ὑπὸ τῶν τῆς Ἐκκλησίας σοφῶν τέθειται.

(2) Ὧν ἡ κατάληψις, ἡ ὑπὸ τῶν ἀσόφων, μικρὰν λογίζεται τὴν ζημίαν τὴν ἀπ᾽ αὐτῶν, μὴ λογιζομένων τούτων κτ. τὸ Ε. Χ.

(3) Τὸ πᾶν δοῦναι τῇ ἁμαρτίᾳ. τὸ Ε. Χ.

και μαθεῖν πότε ῥαπίζεται. ὅσις ἀπατήσει τὸν ἑαυτῦ ἑταῖρον, τῆς κατάρας ἠξίωται τῦ νόμυ. ὁ δὲ ἑαυτὸν ἐξαπατήσας, ποίας τεύξεται ἐκδικήσεως; διότι ἐπιςάμενος τὴν κακίαν τῦ πονηρῦ ἔργυ, ἄγνοιαν προσποιεῖται. ὅτι δὲ ἐπίςαται, δείκνυσιν ὁ ἔλεγχος τῦ συνειδότος. καὶ τῦτο δύσκολον αὐτῷ φαίνεται, διότι ἐπίςαται ὃ ἀγνοεῖν προσποιεῖται. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΜΓ.

ΠΕΡΙ ΦΥΛΑΚΗΣ, ΚΑΙ ΤΗΡΗΣΕΩΣ, ΤΗΣ ΕΚ ΤΩΝ ΧΑΥΝΩΝ ΚΑΙ ΑΜΕΛΩΝ.

Καὶ ὅτι ἐκ τῦ πλησιασμῦ αὐτῶν βασιλεύει ἐπὶ τῷ ἀνθρώπῳ ἡ ἀμέλεια καὶ ἡ χαυνότης, καὶ πληρῦται ἀπὸ παντὸς πάθυς ἀκαθάρτυ. καὶ περὶ τῦ φυλάξασθαι ἑαυτὸν ἀπὸ τῆς ἐγγύτητος τῶν νεωτέρων· ἵνα μὴ μολυνθῇ ὁ νῦς ἐν τοῖς ἀκολάςοις λογισμοῖς.

Ὁ κωλύων τὸ ςόμα αὐτῦ ἐκ τῆς καταλαλιᾶς, φυλάττει τὴν καρδίαν αὐτῦ ἐκ τῶν παθῶν. ἐν πάσῃ ὥρᾳ θεωρεῖ τὸν Κύριον, (ῦτινος ἡ μελέτη διαπαντὸς ἐςὶν ἐν τῷ Θεῷ) φυγαδεύει τὺς δαίμονας ἀπ᾽ αὐτῦ, καὶ ἐκριζοῖ τὸ σπέρμα τῆς κακίας αὐτῶν. ὁ ἐπισκεπτόμενος τὴν ἑαυτῦ ψυχὴν ἐν πάσῃ ὥρᾳ, εὐφραίνεται ἐν ταῖς ἀποκαλύψεσιν ἡ καρδία αὐτῦ. καὶ ὁ συνάγων τὴν θεωρίαν τῦ νοὸς αὐτῦ ἔσωθεν αὐτῦ ἐν αὐτῷ, θεω-

θεωρεῖ τὴν αὐγὴν τοῦ πνεύματος. ὅστις ἐβδελύξατο πάντα μετεωρισμὸν, θεωρεῖ τὸν δεσπότην αὐτοῦ ἔσωθεν τῆς καρδίας αὐτοῦ. ἐὰν ἀγαπᾷς τὴν καθαρότητα, ἐν ᾗ καθορᾶται ὁ τῶν ὅλων δεσπότης, μὴ καταλαλήσῃς τινὸς, μὴ δὲ ἀκούσῃς τινὰς καταλαλοῦντος τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ ἐὰν διαμάχωνταί τινες ἔμπροσθέν σου, κλεῖσον τὰ ὦτά σου, καὶ φεῦγε ἐκεῖθεν, ἵνα μὴ ἀκούσῃς ῥημάτων ὀργῆς, καὶ ἀποθάνῃ ἡ ψυχή σου ἐκ τῆς ζωῆς. καρδία θυμώδης διάκενός ἐστιν ἐκ τῶν μυστηρίων τοῦ Θεοῦ. ὁ δὲ πραῢς καὶ ταπεινόφρων, πηγή ἐστι τῶν μυστηρίων τοῦ καινοῦ αἰῶνος.

Ἰδοὺ ὁ οὐρανὸς ἔσωθέν σου, εἰ καθαρὸς ἔσῃ, καὶ ἐν σεαυτῷ ὄψει τοὺς Ἀγγέλους σὺν τῷ φωτὶ αὐτῶν, καὶ τὸν δεσπότην αὐτῶν μετ' αὐτῶν τε καὶ ἔσωθεν αὐτῶν. ὁ ἐπαινούμενος δικαίως, οὐ ζημιοῦται. ἀλλ' ἐὰν ἡδυνθῇ αὐτῷ ὁ ἔπαινος, ἐργάτης ἐστὶν ἄμισθος. ὁ θησαυρὸς τοῦ ταπεινόφρονος ἔσωθεν αὐτοῦ ἐστὶν, ὅς ἐστιν ὁ Κύριος. καὶ ὁ τηρούμενος τῇ γλώσσῃ αὐτοῦ, εἰς τὸν αἰῶνα οὐ συλληθήσεται ἐξ αὐτῆς. στόμα σιωπηλὸν ἑρμηνεύει τὰ μυστήρια τοῦ Θεοῦ, ὁ δὲ ταχύλαλος μακρύνεται ἀπὸ τοῦ πλάσαντος αὐτόν. ἡ ψυχὴ τοῦ ἀγαθοῦ λάμπει ὑπὲρ τὸν ἥλιον, καὶ ἐν τῇ θεωρίᾳ τῶν θείων ἀποκαλύψεων ἐν πάσῃ ὥρᾳ εὐφραίνεται. καὶ ὁ ἀκολουθῶν τῷ ἀγαπῶντι τὸν Θεὸν, πλουτήσει ἐκ τῶν μυστηρίων τοῦ Θεοῦ. ὁ δὲ ἀκολουθῶν τῷ ἀδίκῳ καὶ ὑπερηφάνῳ, μακρωθήσεται ἐκ τοῦ Θεοῦ, καὶ ἐκ τῶν φίλων αὐτοῦ μισηθήσεται. ὁ τῇ γλώσσῃ σιγηλὸς, ἐν πᾶσι τοῖς σχήμασιν αὐτοῦ κτήσεται τάξιν ταπεινόφρονα. καὶ οὗτος χωρὶς κόπου ἐξουσιάσει τῶν παθῶν. τὰ πάθη ἐκριζοῦνται καὶ φυγαδεύονται ἐν τῇ ἀδιαλείπτῳ ἐν Θεῷ μελέτῃ. καὶ τοῦτό ἐστι τὸ ξίφος τὸ ἀποκτέ-

νον αὐτά. καθάπερ ἐν τῇ ἡσυχίᾳ καὶ γαλήνῃ τῆς αἰσθητῆς θαλάσσης κινεῖται καὶ νήχεται ὁ Δελφὶν, οὕτω καὶ ἐν τῇ ἡσυχίᾳ καὶ γαλήνῃ τῆς θαλάσσης τῆς καρδίας ἐκ τοῦ θυμοῦ καὶ τῆς ὀργῆς, ἐν παντὶ καιρῷ κινεῖται ἐν αὐτῇ τὰ μυστήρια, καὶ αἱ θεῖαι ἀποκαλύψεις, πρὸς εὐφροσύνην αὐτῆς.

Ὁ θέλων ἰδεῖν τὸν Κύριον ἐντὸς αὐτοῦ, μηχανᾶται καθαρίσαι ἑαυτοῦ τὴν καρδίαν ἐν ἀδιαλείπτῳ μνήμῃ τοῦ Θεοῦ. καὶ οὕτως ἐν τῇ λαμπρότητι τῶν ὀφθαλμῶν τῆς διανοίας αὐτοῦ ἐν πάσῃ ὥρᾳ ὄψεται τὸν Κύριον. ὅπερ συμβαίνει τῷ ἰχθύϊ ἐξεληλυθότι ἐκ τοῦ ὕδατος, τοῦτο καὶ τῷ νοῒ συμβαίνει ἐξεληλυθότι ἐκ τῆς μνήμης τοῦ Θεοῦ, καὶ μετεωριζομένῳ ἐν τῇ μνήμῃ τοῦ κόσμου. ὅσον μακρύνεται ὁ ἄνθρωπος ἐκ τῆς συνομιλίας τῶν ἀνθρώπων, τοσοῦτον ἀξιοῦται τῆς μετὰ τοῦ Θεοῦ παῤῥησίας ἐν τῷ νοῒ αὐτοῦ. καὶ καθ' ὅσον κόπτει ἐξ ἑαυτοῦ τὴν παράκλησιν τοῦ κόσμου τούτου, κατὰ τοσοῦτον ἀξιοῦται τῆς χαρᾶς τοῦ Θεοῦ ἐν τῷ πνεύματι τῷ ἁγίῳ. καὶ καθάπερ ἀπόλλυνται οἱ ἰχθύες ἐκ τῆς λείψεως τοῦ ὕδατος, οὕτω καὶ ἐκ τῆς καρδίας τοῦ μοναχοῦ αἱ νοεραὶ κινήσεις, αἱ διὰ τοῦ Θεοῦ βλαστάνουσαι, τοῦ συνεχῶς μετὰ τῶν κοσμικῶν ἀναστρεφομένου, καὶ διάγοντος.

Κρείσσων κοσμικὸς ταλαιπωρῶν ἐν τοῖς κοσμικοῖς, καὶ τοῖς βιωτικοῖς κακοπαθῶν, μοναχοῦ κακοπαθοῦντος, καὶ τοῖς κοσμικοῖς συνδιάγοντος. φοβερός ἐστι τοῖς δαίμοσι, καὶ ποθητὸς τῷ Θεῷ, καὶ τοῖς Ἀγγέλοις αὐτοῦ ὁ μετὰ θερμοῦ ζήλου ἐκζητῶν ἐν τῇ καρδίᾳ αὐτοῦ τὸν Θεὸν ἐν νυκτὶ καὶ ἡμέρᾳ, καὶ ἐκριζῶν ἀπ' αὐτῆς τὰς προσβολὰς τὰς ὑπὸ τοῦ ἐχθροῦ φυομένας. τοῦ καθαροῦ ἐν τῇ ψυχῇ ἡ χώρα ἡ νοητὴ, ἔνδοθεν αὐτοῦ ἐστί. καὶ ὁ ἥλιος ὁ λάμπων ἐν αὐτῷ, τὸ φῶς τῆς ἁγίας Τριάδος ὑπάρχει.

καὶ ὁ ἀὴρ, ὃν πνέουσιν οἱ οἰκήτορες αὐτῆς, τὸ παράκλητον καὶ πανάγιον πνεῦμά ἐστιν. οἱ δὲ συγκάθεδροι αὐτοῦ, αἱ ἅγιαι καὶ ἀσώματοι φύσεις. καὶ ἡ ζωὴ, καὶ ἡ χαρὰ, καὶ ἡ εὐφροσύνη αὐτῶν, ὁ Χριστός ἐστι, τὸ ἐκ φωτὸς τοῦ πατρὸς φῶς. ὁ τοιοῦτος καὶ ἐν τῇ θεωρίᾳ τῆς ψυχῆς αὐτοῦ ἐν πάσῃ ὥρᾳ εὐφραίνεται, καὶ ἐν τῷ κάλλει ἑαυτοῦ θαυμάζει, τηλαυγεστέρῳ ὄντι ἑκατονταπλασίως τῆς τοῦ ἡλίου λαμπρότητος. αὕτη ἐστὶν ἡ Ἱερουσαλὴμ καὶ τοῦ Θεοῦ ἡ βασιλεία, ἡ ἐντὸς ἡμῶν κεκρυμμένη, κατὰ τὸ τοῦ Κυρίου λόγιον. (Λουκ. ιη. κα.) αὕτη ἡ χώρα, νεφέλη ἐστὶ τῆς δόξης τοῦ Θεοῦ, εἰς ἣν μόνοι οἱ καθαροὶ τῇ καρδίᾳ εἰσελεύσονται, τοῦ θεάσασθαι τὸ πρόσωπον τοῦ ἰδίου δεσπότου, καὶ καταυγασθῆναι τοὺς νόας αὐτῶν, διὰ τῆς ἀκτῖνος τοῦ φωτὸς αὐτοῦ.

Ὁ δὲ θυμώδης, καὶ ὁ ὀργίλος, καὶ ὁ φιλόδοξος, καὶ ὁ πλεονέκτης, καὶ ὁ γαστρίμαργος, καὶ ὁ κοσμικοῖς συναναστρεφόμενος, καὶ ὁ τὸ ἴδιον θέλημα στῆσαι θέλων, καὶ ὁ ὀξύχολος, καὶ ὁ παθῶν πλήρης, οἱ τοιοῦτοι ὡς ἐν νυκτομαχίᾳ διάγουσι, καὶ σκότος ψηλαφῶσιν, ἔξωθεν ὄντες τῆς χώρας τῆς ζωῆς, καὶ τοῦ φωτός. ἐκείνη γὰρ ἡ χώρα τοῖς ἀγαθοῖς, καὶ ταπεινόφροσι, καὶ τοῖς καθαρίσασι τὰς ἑαυτῶν καρδίας, κεκλήρωται. οὐ δύναται ἄνθρωπος θεάσασθαι τὸ κάλλος τὸ ὂν ἔνδοθεν αὐτοῦ, πρὶν ἢ ἀτιμάσει, καὶ βδελύξηται πᾶν κάλλος ἔξωθεν αὐτοῦ. καὶ οὐ δύναται ἀτενίσαι γνησίως πρὸς τὸν Θεὸν, ἕως ἂν ἀπαρνήσηται τελείως τὸν κόσμον. ὁ ἐξουτελίζων καὶ σμικρύνων ἑαυτὸν, ὑπὸ τοῦ Κυρίου σοφισθήσεται. καὶ ὁ νομίζων ἑαυτὸν εἶναι σοφὸν, τῆς τοῦ Θεοῦ σοφίας ἀποπεσεῖται. ἐν ὅσῳ ἡ γλῶττα τῆς πολυλογίας ἀπέχεται, ἐν τοσούτῳ καταυγάζεται τοῦ διαφέρ-

τὰ

τὰ διανοήματα. ἐκ γὰρ τῆς πολυλογίας, συμφύρεται καὶ ὁ λογικώτατος νοῦς.

Ὁ πτωχεύων ἐκ τῶν κοσμικῶν πραγμάτων, πλουτίσει ἐν τῷ Θεῷ. καὶ ὁ φίλος τῶν πλουσίων, πτωχεύσει ἐκ τοῦ Θεοῦ. ὁ σωφρονῶν, καὶ ταπεινοφρονῶν, καὶ βδελυττόμενος τὴν παῤῥησίαν, καὶ τὸν θυμὸν ἐκ τῆς καρδίας ἀπωσάμενος, ἐγὼ πιστεύω, ὅτι ὅταν ἀναστῇ ἐν τῇ προσευχῇ, καθορᾷ ἐν τῇ ψυχῇ αὐτοῦ τὸ φῶς τοῦ ἁγίου πνεύματος, καὶ σκιρτᾷ ἐν ταῖς λαμπηδόσιν αὐτοῦ τῆς ἐλλάμψεως τοῦ φωτὸς, καὶ εὐφραίνεται ἐν τῇ θεωρίᾳ τῆς δόξης αὐτῆς, καὶ ἐν τῇ ἑαυτῆς ἀλλοιώσει πρὸς τὴν αὐτοῦ ὁμοιότητα. (1) οὐκ ἔστιν ἄλλη ἐργασία δυναμένη οὕτω καταλῦσαι τὰς παρεμβολὰς τῶν ἀκαθάρτων δαιμόνων, ὡς ἡ ἐν τῷ Θεῷ θεωρία.

Διήγησις ἁγίου ἀνδρός.

Διηγήσατο γάρ μοι τὶς τῶν πατέρων οὕτως· ὅτι ἐν μιᾷ ἡμέρᾳ ὡς ἐκαθήμην, ἠχμαλωτίσθη ὁ νοῦς μου ἐν τῇ θεωρίᾳ. καὶ ὅτε ἐν ἐμαυτῷ γέγονα, ἐστέναξα ἐν ἰσχύϊ. ὁ δὲ κατ' ἐναντίας ἱστάμενος δαίμων, ὡς ἤκουσεν, ἐφοβήθη, καὶ ὥσπερ ὑπὸ ἀστραπῆς τινὸς κατεπόθη, ἔκτε τῆς ἀνάγκης κράξας, καὶ ὡς ὑπό τινος διωχθεὶς, φυγὰς ᾤχετο.

Μακάριος ὁ μνημονεύων τῆς ἐξόδου αὐτοῦ, τῆς ἐκ τοῦδε τοῦ βίου, καὶ ἀπέχων αὐτοῦ τὴν σχέσιν ἐκ τῆς τοῦ κόσμου τούτου τρυ-

φῆς

(1) Καὶ ἐν τῇ ἑαυτῆς ἀλλοιώσει πρὸς τὴν ἑαυτοῦ ὁμοιότητα· ἡ λαμπηδὼν, καὶ τὸ φῶς, καὶ ἡ δόξα τοῦ ἁγίου πνεύματος φύσει μὲν, ἀχώρητα τῷ νῷ διὰ τὸ ἄπειρον, καὶ ἀθέατα τοῖς ὀφθαλμοῖς διὰ τὸ ἄϋλον. συγκαταβάσει δὲ θείᾳ, καὶ ἀγαθότητι, χωρητὰ ἐπισυμβαίνει γίνεσθαι καὶ θεατά. τοῦτο γοῦν τυχὸν ἀλλοίωσιν τῆς δόξης τοῦ πνεύματος εἴρηκε, προσθεὶς καὶ τὸ, πρὸς τὴν ἑαυτοῦ ὁμοιότητα, καθότι τοιαῦτα γενόμενα, τῷ ὁρατῷ, καὶ χωρητῷ ἀνθρώπῳ ἔχουσί τινα ὁμοίωσιν.

φῆς. διότι πολυπλασίως λήψεται τὸν μακαρισμὸν ἐν τῇ ἐξόδῳ αὐτοῦ, καὶ οὐκ ἐκλείψει ἐξ αὐτοῦ ὁ μακαρισμὸς οὗτος. οὗτός ἐστιν ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ, καὶ τὸ ἅγιον πνεῦμα τυγχάνει τροφὸς αὐτοῦ, καὶ ἐκ τοῦ κόλπου αὐτοῦ θηλάζει τὴν ζωτικὴν τροφὴν, καὶ ὀσφραίνεται τῆς ὀσμῆς αὐτοῦ πρὸς εὐφροσύνην αὐτοῦ: ὁ δὲ τοῖς κοσμικοῖς συνδεδεμένος, καὶ τῷ κόσμῳ καὶ τῇ τούτου ἀναπαύσει, καὶ ἀγαπῶν τὴν ὁμιλίαν αὐτοῦ, οὗτος ἐξέρηται τῆς ζωῆς, καὶ οὐκ ἔχω τὶ εἰπεῖν περὶ αὐτοῦ, ἀλλ' ἢ μετὰ κλαυθμοῦ πενθῆσαι πένθος ἀπαραμύθητον· οὗ ἡ ἀκοὴ συντρίβει τὰς τῶν ἀκουόντων καρδίας.

Οἱ ἐν τῷ σκότει διακείμενοι, ὑψώσατε τὰς κεφαλὰς ἡμῶν, ἵνα λάμψωσι τὰ πρόσωπα ἡμῶν ἐν τῷ φωτί. ἐξέλθετε ἐκ τῶν παθῶν τοῦ κόσμου, ἵνα ἐξέλθῃ πρὸς ὑπάντησιν ἡμῶν τὸ ἐκ τοῦ πατρὸς φῶς, καὶ τοὺς λειτουργοὺς τῶν μυστηρίων αὐτοῦ προτρέψηται τοὺς δεσμοὺς ὑμῶν λῦσαι, τοῦ περιπατεῖν ἐν τοῖς ἴχνεσιν αὐτοῦ πρὸς τὸν πατέρα. οὐκ ἐν ποίοις ἐσμὲν συνδεδεμένοι, καὶ ἀπὸ τίνος ἐσμὲν καθειργμένοι, τοῦ μὴ ἰδεῖν τὴν δόξαν αὐτοῦ. εἴθε διεκόπτοντο ἡμῶν οἱ δεσμοὶ, ἵνα ζητήσαντες εὕρωμεν τὸν Θεὸν ἡμῶν. εἰ θέλεις γνῶναι τὰ τῶν ἀνθρώπων μυστήρια, καὶ οὔπω κατέλαβες μαθεῖν ἐκ τοῦ πνεύματος, ἔκ τε τῶν λόγων ἑκάστου, καὶ τῆς διαγωγῆς καὶ τῆς διοικήσεως μαθήσῃ, εἰ σοφὸς κεχρημάτικας. ὁ καθαρὸς τὴν ψυχὴν, καὶ ἁγνὸς τὴν διαγωγὴν, οὗτος πάντοτε μετὰ σωφροσύνης λαλεῖ τὰ λόγια τοῦ πνεύματος, καὶ κατὰ τὸ οἰκεῖον μέτρον περί τε τῶν θείων διαλέγεται, καὶ περὶ τῶν ἐν αὐτῷ. ὁ δὲ τοῖς πάθεσι συντετριμμένος τὴν καρδίαν, ὑπ' αὐτῶν ἔχει καὶ τὴν γλῶσσαν κινουμένην. καὶ κἂν περὶ πνευματικῶν λαλῇ, ἀλλ' ὅμως ἐμπα-

θῶς

θῶς διαλέγεται, ἵνα ἀδίκως νικήσῃ. τὸν τοιῦτον ὁ σοφὸς ἐκ μόνης ἀπαντήσεως σημειῦται, καὶ ὁ καθαρὸς ἐνοσφραίνεται τῆς δυσοδμίας αὐτῦ.

Ὁ ἐμμαίων ταῖς ματαιολογίαις, καὶ τοῖς μετεωρισμοῖς ψυχῇ καὶ σώματι, πόρνος ἐςὶ, καὶ ὁ συνευδοκῶν αὐτῷ καὶ ὁ συναχολέμενος, μοιχός ἐςι, καὶ ὁ συγκοινωνῶν αὐτῷ, εἰδωλολάτρης ἐςίν. ἡ πρὸς τὺς νεωτέρυς φιλία, βδελυκ]ὴ πορνεία παρὰ τῷ Θεῷ. τῇ συντριβῇ τῦ τοιύτυ ὐκ ἔςιν ἐπίπλασμα. (1) ὁ δὲ πάντας ἐξίσυ ἀγαπῶν συμπαθῶς, καὶ ἀδιακρίτως, ὗτος ἔφθασε τὴν τελειότητα. νέος νεωτέρῳ ἀκολυθῶν, ποιεῖ τὺς διακριτικὺς ἐπ᾽ αὐτὺς πενθεῖν, καὶ κλαίειν. γέρων δὲ ἀκολυθῶν νεωτέρῳ, δυσωδέςερον τῦ τῶν νεωτέρων κέκ]ηται πάθος, κἂν περὶ ἀρετῶν διαλεχθῇ πρὸς αὐτὺς, ἀλλ᾽ ἡ καρδία αὐτῦ πεπληγμένη ὑπάρχει. νέος ταπεινόφρων καὶ ἡσύχιος, καθαρός τε τὴν καρδίαν ἀπὸ ζήλυ καὶ θυμῦ, ἀπεχόμενός τε ἀπὸ παντὸς ἀνθρώπυ, καὶ ἑαυτῷ προσέχων, ταχέως συνιεῖ τὰ πάθη τῦ ἀμελῦς γέροντος. γέροντα δὲ μὴ ἐξίσυ ἔχοντα τὸν γέροντα καὶ τὸν νεώτερον, τῷ τοιύτῳ πάσῃ δυνάμει μὴ συναναςραφῇς, ἀλλὰ μᾶλλον μακρυύνθητι ἀπ᾽ αὐτῦ.

Οὐαὶ τοῖς ἀμελεςέροις, τοῖς προσποιυμένοις ἐν σχήματι καθαρῷ διατρέφειν τὰ ἴδια πάθη. ὁ δὲ τὴν πολιὰν φθάσας ἐν καθαρότητι λογισμῶν, καὶ πολιτείᾳ, καὶ ἐπικρατείᾳ τῆς γλώτ]ης, ἐνταῦθα μὲν κατατρυφᾷ τῆς γλυκύτητος τῦ καρπῦ τῆς γνώσεως, ἐν δὲ τῇ ἐξόδῳ αὐτῦ τῇ ἐκ τῦδε τῦ σώματος δέχεται τὴν δόξαν τῦ Θεῦ. ὐδὲν ὕτω ψυχραίνει τὸ πῦρ τὸ

(1) Ἐμπίπλασμα τὸ Ε. Χ.

τὸ ἐκ τȣ͂ ἁγίȣ πνεύματος ἐμπνεόμενον ἐν τῇ καρδίᾳ τȣ͂ μοναχȣ͂ πρὸς ἁγιασμὸν τῆς ψυχῆς, ὡς ἡ συναναστροφὴ, καὶ ἡ πολυλογία, καὶ ἡ συντυχία, (1) ἐκτὸς τῆς μετὰ τῶν τέκνων τῶν μυστηρίων τȣ͂ Θεȣ͂, τῆς πρὸς αὔξησιν τῆς γνώσεως αὐτȣ͂, καὶ πλησιασμόν. ἡ τοιαύτη γὰρ συντυχία ἐξυπνίζει τὴν ψυχὴν πρὸς τὴν ζωὴν, καὶ ἐκριζοῖ τὰ πάθη, καὶ τȣ̀ς αἰσχρȣ̀ς λογισμȣ̀ς κατακοιμίζει ὑπὲρ πάσας τὰς ἀρετάς. μὴ κλήσῃ φίλȣς, μηδὲ συμμύστας, ἀλλ' ἢ τȣ̀ς τοιȣ́τȣς, ἵνα μὴ πρόσκομμα ποιήσῃς τῇ σῇ ψυχῇ, καὶ ἐκκλίνῃς ἀπὸ τῆς ὁδȣ͂ τȣ͂ Κυρίȣ. μεγαλυνθήτω ἐν τῇ καρδίᾳ σȣ ἡ τῷ Θεῷ ἐνȣ͂σά σε, καὶ συνάπτȣσα ἀγάπη, ἵνα μὴ αἰχμαλωτεύσῃ σε ἡ ἀγάπη τȣ͂ κόσμȣ, ἧς τὸ αἴτιον καὶ τὸ τέλος φθορά. ἡ μετὰ τῶν ἀγωνιστῶν διαγωγὴ, καὶ συναναστροφὴ πλȣτῆσαι ἀμφοτέρȣς ποιεῖ τῶν μυστηρίων τȣ͂ Θεȣ͂· ἡ δὲ πρὸς τȣ̀ς ῥαθύμȣς καὶ ὀκνηρȣ̀ς ἀγάπη, ἐμπλῆσαι τὴν γαστέρα κατακόρως, καὶ ἀπλήστως ποιεῖ ἐν τῷ μετεωρισμῷ τῷ μετ' ἀλλήλων γινομένῳ. τῷ τοιȣ́τῳ ἀηδῆ φαίνεται τὰ βρώματα χωρὶς τȣ͂ ἑταίρȣ αὐτȣ͂· καί φησιν, ȣ̓καὶ τῷ ἐσθίοντι τὸν ἄρτον αὐτȣ͂ μόνως, ὅτι ȣ̓χ ἡδυνθήσεται αὐτῷ. οἵτινες καλȣ͂νται ἀλλήλȣς πρὸς εὐωχίας, καὶ ἀμείβονται ἀλλήλȣς, ὡς μισθωτοί. φεῦ τῆς ἐναγȣ͂ς ἀγάπης ταύτης, καὶ τῆς ἀπρεπȣ͂ς καὶ ἀσέμνȣ διαγωγῆς. φεῦγε, ὦ ἀδελφὲ, τȣ̀ς ἐθισθέντας τοῖς τοιȣ́τοις, καὶ μηδαμῶς τȣ́τοις συνεσθίειν θέλε, μηδὲ ἐάν σοι ἀνάγκη συμβῇ. ἡ γὰρ τράπεζα αὐτῶν ἐναγὴς, καὶ τȣ̀ς δαίμονας ὑπηρέτας κέκτηται. οἱ φίλοι τȣ͂ νυμφίȣ Χριστȣ͂ ταύτης ȣ̓ γεύονται.

Ὁ τὰς

(1) Τὸ Ε. Χ. καὶ ἡ πολιτεία τῆς πολυλογίας, καὶ τῆς συντυχίας.

Ὁ τὰς εὐωχίας συνεχῶς ἐκτελῶν, ἐργάτης ἐςὶ τοῦ τῆς πορνείας δαίμονος, καὶ τὴν ψυχὴν τοῦ ταπεινόφρονος μολύνει. ἄρτος εὐτελὴς ἀπὸ τραπέζης ἁγνοῦ, ἁγνίζει τὴν ψυχὴν τοῦ ἐσθίοντος ἀπὸ παντὸς πάθους. ὀσμὴ τραπέζης γαςριμάργου, ἡ δαψίλεια τῶν ἐδεσμάτων, καὶ τῶν τηγανισμάτων. ὁ δὲ ἄφρων καὶ ἀσύνετος ἀνθέλκεται πρὸς αὐτὴν, ὥσπερ κύων πρὸς μάκελλον. τοῦ δὲ τῇ προσευχῇ προσκαρτεροῦντος διαπαντὸς ἡ τράπεζα ἡδυτέρα πάσης ὀσμῆς μόσχου, καὶ μυρωδίας. ὁ δὲ φιλόθεος ταύτην ἐπιποθεῖ, ὥσπερ θησαυρὸν ἀτίμητον.

Ἀπὸ τραπέζης νηςευόντων, καὶ ἀγρυπνέντων, καὶ κοπιώντων ἐν Κυρίῳ λάβε σεαυτῷ φάρμακον ζωῆς, καὶ διέγειρον τῆς ψυχῆς σου τὴν θνῆξιν. ὁ γὰρ ἠγαπημένος ἀνακέκλιται ἐν μέσῳ αὐτῶν ἁγιάζων, καὶ τὸ πικρὸν τῆς κακουχίας αὐτῶν μεταβάλλει εἰς τὴν γλυκύτητα αὐτοῦ τὴν ἀνεκδιήγητον. οἱ δὲ πνευματικοὶ καὶ ἐπουράνιοι λειτουργοὶ αὐτοῦ ἐπισκιάζουσιν αὐτοὺς, καὶ τὰ ἅγια αὐτῶν βρώματα. οἶδα ἐγώ τινα τῶν ἀδελφῶν, ὀφθαλμοφανῶς τοῦτο βλέποντα.

Μακάριος ὁ ἀποσομίσας ἑαυτὸν ἀπὸ πάσης ἡδυπαθείας, τῆς χωριζούσης αὐτὸν ἀπὸ τοῦ κτίσαντος αὐτόν. μακάριος ὁ ἔχων τροφὴν τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ καταβάντα, καὶ ζωὴν δεδωκότα τῷ κόσμῳ. μακάριος ὁ ἐν τῇ πεδιάδι αὐτοῦ ἑωρακὼς τὴν ἀρδείαν τῆς ζωῆς, τὴν ἐξ ἐλέους προϊοῦσαν ἐκ τῶν κόλπων τοῦ πατρὸς, καὶ πρὸς αὐτὴν τὸ ὄμμα διατείνας. ὅταν γὰρ πίῃ ἐξ αὐτῆς, εὐφρανθήσεται, καὶ ἀναθάλλει ἡ καρδία αὐτοῦ, καὶ ἐν εὐφροσύνῃ, καὶ ἀγαλλιάσει ἔςαι. ὁ ἑωρακὼς ἐν τῇ ἰδίᾳ τροφῇ τὸν ἑαυτοῦ Κύριον, ὑποκλέπτει ἑαυτὸν, καὶ μόνος αὐτοῦ μεταλαμβάνει, μὴ κοινωνῶν τοῖς ἀναξίοις, ἵνα μὴ συμμεταλάβῃ

λάβῃ αὐτοῖς, καὶ γυμνωθῇ τῆς ἀκτῖνος αὐτοῦ. ὁ δὲ ἔχων μεμιγμένον ἰὸν θανάτου ἐν τῇ βρώσει αὐτοῦ, οὐ δύναται ἡδέως ταύτης μεταλαμβάνειν χωρὶς τῶν ἑταίρων αὐτοῦ. λύκος θνησιμαίων γενόμενος ἐστὶν ὁ τὴν φιλίαν ἔχων διὰ τὴν ἰδίαν γαστέρα. πόσονσου τὸ ἀκόρεστον, ὦ ἄφρων; ὅτι ἐμπλῆσαι σὴν γαστέρα θέλει ἐκ τῆς τραπέζης τῶν ἀμελῶν, ἐξ ὧν ἡ ψυχήσου παντὸς πάθους πληροῦται. αὗται αἱ παραφυλακαὶ αὐταρκοῦσι τοῖς δυναμένοις κατακρατῆσαι τῆς γαστρός.

Ὀσμὴ νηστεύτου ἡδυτάτη, καὶ ἡ ἀπάντησις αὐτοῦ εὐφραίνει καρδίας διακριτικῶν· τῷ δὲ γαστριμάργῳ ἐκ τῆς συναναστροφῆς αὐτοῦ ἐπιπεσεῖται φόβος, καὶ μηχανᾶται μὴ συνεσθίειν αὐτῷ. (1)

Προσφιλὴς τῷ Θεῷ ἡ διαγωγὴ τοῦ ἐγκρατοῦς, οὗ ἡ γειτνίασις βαρυτάτη τῷ φιλοκτήμονι. λίαν ἐπαινεῖται παρὰ τοῦ Χριστοῦ ὁ σιγηλός. τοῖς δὲ αἰχμαλωτισθεῖσιν ὑπὸ τῶν δαιμόνων ἔντε παιγνίοις καὶ μετεωρισμοῖς, οὐχ ἡδυνθήσεται ὁ πλησιασμὸς αὐτοῦ. τίς οὐκ ἀγαπᾷ τὸν ταπεινόφρονα καὶ πρᾶον; ἀλλ' ἤ, οἱ ὑπερήφανοι καὶ κατάλαλοι οἱ ὄντες ξένοι τῆς αὐτοῦ ἐργασίας.

Διήγησις Ἁγίου τινός.

Διηγήσατό μοι τὶς ἐξ ὧν ἐδοκίμασεν, ὅτι ἐν αἷς ἡμέραις συναναστρέφομαί τισιν, ἐσθίω τρεῖς παξαμάτας, ἢ τέσσαρας, τῆς

(1) Πραΰνουσίπως τὸν τῆς συνειδήσεως ἔλεγχον οἱ τῶν παθῶν τῷ βορβόρῳ ἐγκαλινδούμενοι, καὶ ἄλλους τοῖς αὐτοῖς καθορῶντες συμφυρομένους πάθεσι. καὶ ὁ γαστρίμαργος ἄρα συνεστιάτορας ἔχειν μηχανᾶται, πρὸς θεραπείαν τοῦ τῆς γαστριμαργίας ἄλγους, καὶ θάρσος τοῦ διὰ τὴν ἁμαρτίαν ἐπιπίπτοντος αὐτῷ φόβου. διὸ μᾶλλον τῇ ἐννοίᾳ κατάλληλον τό, μηχανᾶται συνεσθίειν αὐτῷ, ὡς ἐν τῷ ἑτέρῳ κεῖται χειρογράφῳ.

τῆς ἡμέρας· ἐὰν δὲ παραβιάσω ἐμαυτὸν εἰς τὴν προσευχὴν, παῤῥησίαν ὁ νοῦς μου οὐκ ἔχει πρὸς τὸν Θεὸν, οὐδὲ δύναμαι πρὸς αὐτὸν ἀτενίσαι. ὅταν δὲ ἐμαυτὸν χωρίσω ἐκ τούτων εἰς τὴν ἡσυχίαν, τῇ μὲν πρώτῃ ἡμέρᾳ, παραβιάζω ἐμαυτὸν ἐσθίειν ἕνα ἥμισυ· τῇ δὲ δευτέρᾳ, ἕνα. ὅταν δὲ παγιωθῇ ὁ νοῦς μου εἰς τὴν ἡσυχίαν, ἀγωνίζομαι φαγεῖν ἕνα ὁλόκληρον, καὶ οὐ δύναμαι. ὁ δὲ νοῦς μου ἀκαταπαύστως μετὰ παῤῥησίας διαλέγεται πρὸς τὸν Θεὸν, ἐμοῦ μὴ ἀναγκάζοντος. καὶ ἡ ἔλλαμψις αὐτοῦ ἀδιαλείπτως με καταυγάζει, καὶ καθέλκει με ἰδεῖν, καὶ εὐφρανθῆναι ἐν τῷ κάλλει τοῦ θείου φωτός. ἐὰν δὲ συμβῇ ἐν τῷ καιρῷ τῆς ἡσυχίας ἐλθεῖν τινὰ καὶ συνδιαλεχθῆναί μοι, κἂν μίαν ὥραν, ἀδύνατόν μοι τότε μὴ προσθεῖναι εἰς τὴν βρῶσιν, λεῖψαι δὲ καὶ ἐκ τοῦ κανόνος, χαυνοῦσθαί τε τὸν νοῦν εἰς τὴν θεωρίαν τοῦ φωτὸς ἐκείνου. ἰδοὺ ὁρᾶτε ἀδελφοί μου τί καλὴ, καὶ ὠφέλιμος ἡ ὑπομονὴ καὶ ἡ μόνωσις, καὶ οἵαν δύναμιν παρέχει καὶ εὐκολίαν τοῖς ἀγωνισαῖς. μακάριος ὁ διὰ τὸν Θεὸν ὑπομένων ἐν τῇ ἡσυχίᾳ, καὶ ἐσθίων μόνος τὸν ἄρτον αὐτοῦ, ὅτι διαπαντὸς μετὰ τοῦ Θεοῦ διαλέγεται. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΜΔ.

ΠΕΡΙ ΤΩΝ ΑΙΣΘΗΣΕΩΝ· ΕΝ Ω ΚΑΙ ΠΕΡΙ ΠΕΙΡΑΣΜΩΝ.

Αἱ αἰσθήσεις αἱ σώφρονες καὶ συνηγμέναι εἰρήνην γεννῶσι τῇ ψυχῇ, καὶ οὐκ ἐῶσιν αὐτὴν πεῖραν λαβεῖν τῶν πραγμάτων. ὅταν δὲ αἴσθησιν τῶν πραγμάτων οὐ λάβῃ, τότε γενήσεται νίκη δίχα ἀγῶνος. εἰ μέντοι ἀμελήσει ὁ ἄνθρωπος, καὶ τὰς προσβολὰς εἰσελθεῖν ἐν αὐτῷ παραχωρήσει, τότε ἀναγκάζεται πολεμῆσαι. ταράττεται δὲ ἡ πρώτη καθαρότης, ἥτις ἐστὶν ἁπλουστάτη, καὶ ὁμαλή. οἱ πλεῖστοι γὰρ τῶν ἀνθρώπων, ἢ καὶ ὅλος ὁ κόσμος, διὰ τὴν ἀμέλειαν ταύτην ἐξέρχονται ἐκ τῆς φυσικῆς, καὶ καθαρᾶς καταστάσεως. διὰ τοῦτο οἱ ἐν κόσμῳ, καὶ τοῖς κοσμικοῖς συμφυρόμενοι, οὐ δύνανται καθαρθῆναι τὴν διάνοιαν, διὰ τὴν πολλὴν τῆς κακίας ἐπίγνωσιν. ὀλίγοι δέ εἰσιν οἱ δυνάμενοι ὑποστρέψαι εἰς τὴν πρώτην καθαρότητα τῆς διανοίας. διὰ τοῦτο χρὴ ἀσφαλῶς τηρεῖν ἕκαστον ἄνθρωπον τὰς αἰσθήσεις αὐτοῦ, καὶ τὴν διάνοιαν ἐκ τῶν προσβολῶν ἀεί. νήψεως γὰρ χρεία πολλῆς, καὶ φυλακῆς καὶ τηρήσεως.

Ἡ πολλὴ ἁπλότης πέφυκεν εὐπρεπής. φόβου χρεία τῇ ἀνθρωπίνῃ φύσει, ἵνα τοὺς ὅρους τῆς ὑπακοῆς, τῆς πρὸς τὸν Θεὸν φυλάξῃ. ἡ δὲ ἀγάπη ἡ πρὸς Θεὸν κινεῖ πρὸς πόθον τῆς

ἐργα-

ἐργασίας τῶν ἀρετῶν, καὶ δι᾽ αὐτῆς ἁρπάζεται πρὸς ἀγαθοεργίαν. ἡ πνευματικὴ γνῶσις δευτέρα ἐστὶ τῇ φύσει τῆς ἐργασίας τῶν ἀρετῶν. προηγεῖται δὲ ἀμφοτέρων ὁ φόβος καὶ ἡ ἀγάπη. καὶ πάλιν προηγεῖται τῆς ἀγάπης ὁ φόβος. πᾶς τις ἀναιδῶς λέγων, ὅτι δυνατὸν κτήσασθαι τὰς τελευταίας πρὸ τῆς τῶν πρώτων ἐργασίας, πρῶτον ἀναμφιβόλως θεμέλιον ἀπωλείας τῇ ἑαυτοῦ ψυχῇ τέθεικεν. αὕτη γάρ ἐστιν ἡ ὁδὸς τοῦ Κυρίου. ὅτι αὗται ὑπ᾽ ἐκείνων γεννῶνται.

Μὴ ἀλλάξῃς τὴν ἀγάπην τοῦ ἀδελφοῦ σου ἀγάπῃ τινὸς τῶν πραγμάτων. διότι τὸν τῶν πάντων τιμιώτερον λεληθότως ἔνδοθεν κέκτηται. κατάλειψον τὰ μικρὰ, ἵνα εὕρῃς τὰ μεγάλα. ἐξουτένισον τὰ περισσὰ καὶ ἄτιμα, ἵνα εὕρῃς τὰ τίμια. γενοῦ τεθνεὼς ἐν τῇ ζωῇ σου, καὶ ζήσῃ μετὰ θάνατον. δίδου σεαυτὸν θανεῖν ἐν τοῖς ἀγωνίσμασι, καὶ μὴ ζῆν ἐν ἀμελείᾳ. οὐ μόνον γὰρ οἱ διὰ τὴν εἰς Χριστὸν πίστιν δεξάμενοι τὸν θάνατον μάρτυρές εἰσιν, ἀλλὰ καὶ οἱ διὰ τὴν τῶν ἐντολῶν αὐτοῦ τήρησιν ἀποθνήσκοντες. μὴ γίνου ἄφρων ἐν τοῖς σοῖς αἰτήμασιν, ἵνα μὴ τὸν Θεὸν καθυβρίσῃς τῇ σμικρότητι τῆς σῆς γνώσεως. γενοῦ σοφὸς ἐν ταῖς σαῖς προσευχαῖς, ἵνα τῶν ἐνδόξων καταξιωθῇς. ζήτησον τὰ τίμια παρὰ τοῦ μὴ φθονοῦντος, ἵνα καὶ τὴν τιμὴν παρ᾽ αὐτοῦ δέξῃ, διὰ τὸ σοφόν σου θέλημα. σοφίαν ᾐτήσατο ὁ Σολομὼν, καὶ σὺν αὐτῇ βασιλείαν γῆς ἐδέξατο, καθότι σοφῶς ᾐτήσατο, λέγω δὴ παρὰ τοῦ μεγάλου βασιλέως. Ἐλισσαιὲ διπλῆν ᾐτήσατο τὴν χάριν τοῦ πνεύματος, τὴν οὖσαν τῷ διδασκάλῳ αὐτοῦ, καὶ οὐδαμῶς τῆς αἰτήσεως ἀπέτυχεν. ὁ γὰρ παρὰ βασιλέως ζητῶν τὰ εὐτελῆ, τοῦτο τὴν τιμὴν ἐξουτελίζει. ὁ Ἰσραὴλ ᾐτήσατο τὰ εὐτελῆ,

καὶ

καὶ τὴν ὀργὴν τοῦ Θεοῦ ἐδέξατο. ἀφῆκε γὰρ τοῦ θαυμάσαι ἐν τοῖς ἔργοις τοῦ Θεοῦ τὰ φοβερὰ θαυμάσια αὐτοῦ, καὶ ἐξήτησε τὰς ἐπιθυμίας τῆς γαστρὸς αὐτοῦ. ἔτι δὲ οὔσης τῆς βρώσεως „ ἐν τῷ στόματι αὐτῶν, καὶ ἡ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ᾽ αὐτούς. πρόσφερε τῷ Θεῷ κατὰ τὴν δόξαν αὐτοῦ τὰς αἰτήσεις σου· ἵνα σου μεγαλυνθῇ πρὸς αὐτὸν ἡ ἀξία, καὶ ἐπιχαρῇ σοι. ὥσπερ γὰρ ἐάν τις αἰτήσηται παρὰ τοῦ βασιλέως μικρὰν κόπρον, (1) οὐ μόνον αὐτὸς ἀτιμάζεται χάριν τῆς εὐτελείας τῆς αἰτήσεως αὐτοῦ, καθότι πολλὴν ἀγνωμοσύνην ἐπεδείξατο, ἀλλ᾽ ὅτι καὶ ὕβριν τῷ βασιλεῖ, χάριν τῆς αἰτήσεως αὐτοῦ ἐπέθηκεν· οὕτω καὶ ὁ τὰ γήϊνα ζητῶν ἐν ταῖς προσευχαῖς αὐτοῦ παρὰ Θεοῦ. ἰδοὺ γὰρ Ἄγγελοι, καὶ Ἀρχάγγελοι, οἵτινές εἰσι τοῦ βασιλέως μεγιστᾶνες, εἰς σὲ ἀτενίζουσιν ἐν τῷ καιρῷ τῆς προσευχῆς σου, ὁποίαν αἴτησιν αἰτῇ παρὰ τῷ δεσπότῃ αὐτῶν, καὶ ἐκπλήττονται καὶ ἀγάλλονται, ὅταν ἴδωσι τὸν γεώδη καταλείψαντα τὴν ἑαυτοῦ σάρκα, καὶ τὰ οὐράνια αἰτοῦντα. ὥσπερ δὴ ἀνιῶνται αὖθις πρὸς τὸν ἐάσαντα τὰ οὐράνια, καὶ αἰτοῦντα τὴν ἑαυτοῦ κόπρον.

Ψαλμ. οζ. λδ.

Μὴ αἰτήσῃς παρὰ Θεοῦ πρᾶγμα, ὅπερ αὐτὸς ἄνευ αἰτήσεως ἡμῖν διδόναι προνοεῖται, καὶ οὐ μόνον τοῖς ἰδίοις καὶ προσφιλέσιν, ἀλλὰ καὶ τοῖς οὖσι ξένοις τῆς αὐτοῦ γνώσεως. μὴ γίνεσθε γάρ φησιν ὡς τὰ ἔθνη, βαττολογοῦντες ἐν ταῖς προσευχαῖς. ταῦτα γὰρ τὰ σωματικὰ, τὰ ἔθνη ἐπιζητοῦσιν, ἔφη ὁ Κύριος· ὑμεῖς δὲ μὴ μεριμνήσητε, τί φάγητε, ἢ τί πίητε, ἢ τί ἐνδύσησθε. ὁ γὰρ πατὴρ ὑμῶν οἶδεν, ὅτι χρείαν ἔχετε τούτων. ὁ υἱὸς

Ματθ. ϛ. ζ.

Ματθ. ϛ. λα.

(1) Τὸ Ε. Χ. μέτρον κόπρου.

ὁ υἱὸς οὐκ ἔτι αἰτεῖ παρὰ τοῦ πατρὸς αὐτοῦ ἄρτον, ἀλλὰ ζητεῖ τὰ μέγιστα, καὶ τὰ ὑψηλὰ τῆς οἰκίας τοῦ πατρὸς αὐτοῦ. διὰ γὰρ τὴν ἀσθένειαν τῆς διανοίας τῶν ἀνθρώπων ἐνετείλατο ὁ Κύριος αἰτεῖσθαι τὸν καθημερινὸν ἄρτον. ὅρα γὰρ τί ἐντέταλται τοῖς τελείοις τὴν γνῶσιν, καὶ ὑγιεινοῖς τὴν ψυχήν. μὴ
» μεριμνήσητε, γάρ φησι, περὶ βρώματος, ἢ ἐνδύματος. εἰ
» γὰρ τῶν ἀλόγων ζώων, καὶ τῶν πετεινῶν, καὶ αὐτῶν δὴ τῶν
» ἀψύχων ἐπιμελεῖται, οὐ πολλῷ μᾶλλον ἡμῶν; ἀλλὰ ζητήσα-
» τε μᾶλλον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προσεθήσεται ὑμῖν.

Ματθ. ϛ. κη.

Ματθ. ϛ. λγ.

Ἐὰν δεηθῇς τοῦ Θεοῦ περὶ πράγματος, καὶ μακροθυμήσῃ τοῦ μὴ ταχέως ἐπακοῦσαί σου, μὴ λυποῦ. οὐ γὰρ εἶ σὺ τοῦ Θεοῦ σοφώτερος. τοῦτο δὲ συμβαίνει σοι, ἢ διὰ τὸ ἀνάξιόν σε ὄντα τυχεῖν τῆς αἰτήσεως, ἢ διὰ τὸ μὴ εἶναι τὰς ὁδοὺς τῆς καρδίας σου ἐφαμίλλους τοῖς αἰτήμασί σου, ἀλλ' ἐναντίας, ἢ διὰ τὸ μήπω ἐφθακέναι σε τὸ μέτρον τοῦ δέξασθαί σε τὸ χάρισμα, ὅπερ αἰτεῖς. καθότι οὐ δεῖ ἡμᾶς εἰς μέτρα μεγάλα πρὸ καιροῦ ἐπιβάλλειν ἑαυτοὺς, ἵνα μὴ ἀχρειωθῇ τὸ χάρισμα τοῦ Θεοῦ ἐν τῇ ταχύτητι τῆς ὑποδοχῆς αὐτοῦ. πᾶν γὰρ τὸ ῥᾳδίως καταλαμβανόμενον, ταχέως καὶ ἀπόλλυται. ἕκαστον δὲ πρᾶγμα μετὰ πόνου καρδίας εὑρισκόμενον, μετὰ παραφυλακῆς καὶ φυλάττεται.

Διὰ Χριστὸν δίψησον, ἵνα σε μεθύσῃ τῆς ἀγάπης αὐτοῦ. κάμμυσον τοὺς ὀφθαλμούς σου ἀπὸ τῶν τερπνῶν τοῦ βίου, ἵνα καταξιωθῇς παρὰ τοῦ Θεοῦ, τοῦ βασιλεύειν ἐν τῇ σῇ καρδίᾳ τὴν αὐτοῦ εἰρήνην. ἐγκρατεύου ἀπὸ τῶν πραγμάτων, ὧν τὰ σὰ ὄμματα θεωρεῖ, ἵνα τῆς πνευματικῆς χαρᾶς καταξιωθῇς.

ἐὰν μὴ ἀρέσωσι τῷ Θεῷ τὰ ἔργα σου, μὴ ζητήσῃς παρ' αὐτοῦ τὰ ἐπίδοξα, ἵνα μὴ γένῃ ὡς ἄνθρωπος πειράζων τὸν Θεόν. κατὰ τὴν διαγωγήν σου, δέον εἶναι καὶ τὴν εὐχήν σου. ἀδύνατον γάρ τινα συνδεδεμένον τοῖς γηΐνοις, ζητεῖν τὰ ἐπουράνια. ἀμήχανόν τε τὸν ἐν τοῖς κοσμικοῖς ἀσχολούμενον, τὰ θεῖα αἰτήσασθαι. διότι ἑκάστου ἀνθρώπου ἡ ἐπιθυμία, ἐκ τῶν ἔργων αὐτοῦ δείκνυται. καὶ ἐν οἷς τισι πράγμασι δείκνυσι τὴν ἑαυτοῦ σπουδὴν, ὑπὲρ αὐτῶν ἀγωνίζεται ἐν τῇ προσευχῇ. ὁ τὰ μέγιστα θέλων, οὐκ ἐνασχολεῖται τοῖς εὐτελεστέροις.

Γενοῦ ἐλεύθερος, συνδεδεμένος ὢν τῷ σώματι, καὶ δεῖξόν σου τῆς ὑπακοῆς τὴν ἐλευθερίαν διὰ τὸν Χριστόν. γενοῦ δὲ καὶ νουνεχὴς ἐν τῇ σῇ πραότητι, ἵνα μὴ κλαπῇς. ἀγάπησον τὴν ταπείνωσιν ἐν πᾶσι τοῖς ἔργοις σου, ἵνα ῥυσθῇς τῶν ἀκαταλήπτων παγίδων, αἵτινες εὑρίσκονται ἀεὶ ἔξωθεν τῆς ὁδοῦ τῶν ταπεινοφρόνων· μὴ ἀπαναίνου τὰς θλίψεις, διότι δι' αὐτῶν εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας εἰσέρχῃ. καὶ μὴ φοβηθῇς τοὺς πειρασμοὺς, διότι ἐν αὐτοῖς εὑρίσκεις τὰ τίμια. πρόσευξαι τοῦ μὴ εἰσελθεῖν εἰς τοὺς ψυχικοὺς πειρασμοὺς, πρὸς δὲ τοὺς σωματικοὺς εὐτρεπίζου ἐξ ὅλης τῆς ἰσχύος σου. ἐκτὸς γὰρ τούτων, οὐ δύνασαι προσπελάσαι τῷ Θεῷ. διότι ἔνδοθεν αὐτῶν ἀπόκειται ἡ θεία ἀνάπαυσις. ὁ φεύγων τοὺς πειρασμοὺς, φεύγει τὴν ἀρετήν. πειρασμὸν δὲ λέγω, οὐ τῶν ἐπιθυμιῶν, ἀλλὰ τῶν θλίψεων.

Ἐρώτ. Καὶ πῶς ὁμοφωνήσει τὸ, εὔξασθε μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ τὸ, ἀγωνίσασθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης; καὶ πάλιν μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν; πῶς

Ματθ. κϛ. μα. Λουκ. ιγ. κδ. Ματθ. ι. κη. λθ.

ἐν

ἐν πανταχοῦ προτρέπεται ἡμᾶς ὁ Κύριος πρὸς τοὺς πειρασμοὺς, ἐνταῦθα δὲ προσέταξεν εὔξασθε μὴ εἰσελθεῖν εἰς αὐτούς; ποία γὰρ ἀρετὴ γίνεται ἄνευ θλίψεως, καὶ πειρασμοῦ; ἢ ποῖος πειρασμὸς μείζων τοῦ ἀπολέσαι τινὰ ἑαυτὸν, εἰς ὃν εἰσελθεῖν ἡμᾶς ἕνεκεν αὐτοῦ διεκελεύσατο; ὅστις γάρ φησι μὴ ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθῇ ὀπίσωμου, οὐκ ἔστιμου ἄξιος. πῶς οὖν ἐν πάσῃ τῇ διδασκαλίᾳ αὐτοῦ προστάξας εἰσελθεῖν εἰς τοὺς πειρασμοὺς, ἐνταῦθα μὴ εἰσελθεῖν προσεύξασθαι ἐνετείλατο; διὰ πολλῶν γάρ φησι θλίψεων δεῖ ὑμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ ἐν τῷ κόσμῳ θλίψιν ἕξετε. καὶ ἐν τῇ τούτων ὑπομονῇ, κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Ματθ. ι. λη. Ἰωάν. ις. λγ. Λουκ. κα. ιθ.

Ὦ τῆς λεπτότητος τῆς ὁδοῦ τῶν σῶν διδαγμάτων Κύριε, ἧς ἔξωθεν πάντοτε καθέστηκεν ὁ μὴ συνετῶς, καὶ μετὰ γνώσεως ἀναγινώσκων. ἡνίκα ἐπεθύμησαν οἱ υἱοὶ τοῦ Ζεβεδαίου, καὶ ἡ μήτηρ αὐτῶν τῆς μετὰ σοῦ καθέδρας εἰς τὴν βασιλείαν, ταῦτα εἶπες αὐτοῖς· δύνασθε πιεῖν τὸ ποτήριον τῶν πειρασμῶν, ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; καὶ πῶς ἐνταῦθα, ὦ δέσποτα, ἐπιτρέπεις ἡμῖν εὔξασθαι τοῦ μὴ εἰσελθεῖν εἰς πειρασμόν; περὶ ποίων πειρασμῶν κελεύεις ἡμῖν εὔξασθαι τοῦ μὴ εἰσελθεῖν;

Ματθ. κ. κβ.

Εὖξαί φησι, τοῦ μὴ εἰσελθεῖν πρὸς τοὺς εἰς τὴν πίστιν πειρασμούς. εὖξαι, τοῦ μὴ εἰσελθεῖν πρὸς τοὺς ἐν τῇ οἰήσει τοῦ νοός σου πειρασμοὺς μετὰ τοῦ δαίμονος τῆς βλασφημίας, καὶ τῆς ὑπερηφανίας. εὖξαι, μὴ εἰσελθεῖν κατὰ παραχώρησιν Θεοῦ εἰς πειρασμὸν φανερὸν τοῦ διαβόλου, διὰ τὰς κακὰς ἐνθυμήσεις. ἃς ἐνεθυμήθης ἐν τῇ διανοίᾳ σου, δι᾽ ἃς καὶ παρεχωρήθης. εὖξαι, μὴ ἀποστῆναι ἀπὸ σοῦ τὸν Ἄγγελον τῆς σωφροσύ-

Ἀπόκρ.

νης σε, ἵνα μὴ ἐμπύρῳ πολέμῳ πολεμηθῇς τῆς ἁμαρτίας, ϗ χωρισθῇς ἀπ' αὐτȣ. εὖξαι, μὴ εἰσελθεῖν εἰς πειρασμὸν ἐρεθισμȣ τινὸς κατά τινος, ἢ εἰς πειρασμὸν διψυχίας καὶ δισαγμȣ, ἐξ ὧν ἡ ψυχὴ εἰς μέγαν ἀγῶνα ἐκβιάζεται. (1) τȣς μέντοι πειρασμȣς τȣ σώματος, ὁλοψύχως ὑποδέξασθαι εὐτρεπίζȣ, καὶ ἐν πᾶσι τοῖς μέλεσί σȣ διάπλευσον ἐν αὐτοῖς, καὶ τȣς ὀφθαλμȣς σȣ δακρύων πλήρωσον, ἵνα μὴ ἀποςῇ ὁ φυλάσσων σε ἀπὸ σȣ. ἐκτὸς γὰρ πειρασμῶν, ἡ πρόνοια τȣ Θεȣ ȣχ ὁρᾶται, καὶ τὴν πρὸς Θεὸν παῤῥησίαν ἀδύνατον κτήσασθαι, καὶ τὴν σοφίαν τȣ πνεύματος ἀδύνατον μαθεῖν, καὶ τὸν θεῖον πόθον ἐν τῇ ψυχῇ σȣ βεβαιωθῆναι ἀνενδεκτον. πρὸ γὰρ τῶν πειρασμῶν, ὥσπερ τὶς ξένος ὁ ἄνθρωπος εὔχεται τῷ Θεῷ. ἐπὰν δὲ εἰσέλθῃ εἰς πειρασμȣς διὰ τὴν ἀγάπην αὐτȣ, καὶ μὴ δέξηται ἀλλοίωσιν, τηνικαῦτα καθάπερ τὶς ὑπόχρεων ἔχων τὸν Θεὸν, καὶ ὡς γνήσιος φίλος λογίζεται παρὰ τῷ Θεῷ. διότι ἕνεκεν τȣ θελήματος αὐτȣ ἐπολέμησε τὸν ἐχθρὸν αὐτȣ, καὶ ἐνίκησεν αὐτόν. τȣτό ἐςι τὸ, εὔξασθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. καὶ πάλιν εὖξαι, τȣ μὴ εἰσελθεῖν εἰς τὸν πειρασμὸν τὸν φοβερὸν τȣ διαβόλȣ, διὰ τὴν ἀλαζονείαν σȣ, ἀλλὰ διὰ τὸ ἀγαπᾶν σε τὸν Θεόν. ἵνα ἡ δύναμις αὐτȣ συνεργήσῃ σοι, ϗ ἐν σοὶ νικήσῃ τȣς ἐχθρȣς αὐτȣ. εὖξαι, τȣ μὴ εἰσελθεῖν εἰς τȣς πειρασμȣς τȣτȣς, διὰ τὴν κακίαν τῶν λογισμῶν σȣ, καὶ τῶν πράξεων, ἀλλ' ἵνα δοκιμασθῇ σȣ ἡ πρὸς Θεὸν ἀγάπη, καὶ δοξασθῇ ἡ δύναμις αὐτȣ ἐν τῇ ὑπομονῇ σȣ. αὐτῷ ἡ δόξα, ϗ τὸ κράτος εἰς τȣς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(1) Τὸ Ε. Χ. ἐκβιβάζεται.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΜΕ.

ΠΕΡΙ
ΤΗΣ ΕΥΣΠΛΑΓΧΝΙΑΣ ΤΟΥ ΔΕΣΠΟΤΟΥ,

δι' ἧς ἐκ τοῦ ὕψους τῆς μεγαλωσύνης αὐτοῦ πρὸς τὴν ἀσθένειαν τῶν ἀνθρώπων συγκατέβη. καὶ περὶ πειρασμῶν.

Καὶ πάλιν ὁ Κύριος ἡμῶν κατὰ τὸν τρόπον τοῦ ἐλέους αὐτοῦ πρόνοιαν ποιησάμενος, καὶ κατὰ τὸ μέτρον τῆς χάριτος αὐτοῦ, ἐὰν συνετῶς πρόσχῃς, καὶ περὶ τῶν σωματικῶν πειρασμῶν προσέταξε προσεύξασθαι. ἰδὼν γὰρ τὴν φύσιν ἡμῶν ἀσθενῆ οὖσαν, διὰ τὸ γεῶδες καὶ σαθρὸν τοῦ σώματος, καὶ μὴ δυναμένην ἀντιστῆναι τοῖς πειρασμοῖς, ὅταν ἐν μέσῳ αὐτῶν γένηται, καὶ διὰ τοῦτο ἐκπίπτουσαν τῆς ἀληθείας, καὶ νῶτα παρέχουσαν, καὶ νικωμένην ὑπὸ τῶν θλίψεων, προσέταξε προσεύξασθαι, μὴ ἐμπεσεῖν ἐξαίφνης εἰς τοὺς πειρασμούς, εἰ δυνατόν ἐστιν ἄνευ αὐτῶν εὐαρεστεῖν τῷ Θεῷ. ἐὰν μέντοι αἰφνιδίως ἕνεκα μεγίστης ἀρετῆς εἰς φοβεροὺς πειρασμοὺς ἐμπέσῃ ὁ ἄνθρωπος, καὶ μὴ ὑπομείνῃ, οὐδὲ τελειῶσαι τὴν ἀρετὴν ἐν τῷ καιρῷ ἐκείνῳ δύναται.

Οὐ χρὴ ἡμᾶς πρόσωπον λαμβάνειν, οὔτε ἡμῶν αὐτῶν, οὔτε ἄλλων. οὐδὲ χάριν φόβου καταλιπεῖν τὸ εὐγενὲς, καὶ τίμιον πρᾶγμα, ἐν ᾧ ἡ ζωὴ τῆς ψυχῆς ταμιεύεται, καὶ προφάσεις φέρειν, καὶ δόγματα τῆς καινότητος. οἷον, εὔξασθαι

μὴ εἰσελθεῖν εἰς πειρασμόν. περὶ τῶν τοιέτων γὰρ εἴρηται, ὅτι διὰ τῆς ἐντολῆς κρυπτῶς ἁμαρτάνεσιν. ἐὰν ἓν συμβῆ ἀνθρώπῳ, καὶ ἐπέλθη αὐτῷ πειρασμὸς, καὶ ἀναγκασθῆ καταλύσαι μίαν τῶν ἐντολῶν με τέτων, ἤγεν καταλεῖψαι τὴν σωφροσύνην, ἢ τὴν μοναχικὴν πολιτείαν, ἢ ἀρνήσασθαι τὴν πίστιν, ἢ μὴ ἀγωνίσασθαι διὰ Χριστὸν, ἢ καταργῆσαι μίαν τῶν ἐντολῶν, ἔτος ἐὰν δειλιάσῃ, καὶ μὴ ἀντιστῆ γενναίως πρὸς τὲς πειρασμὲς, ἐκπεσεῖται τῆς ἀληθείας.

Λοιπὸν (1) πάσῃ δυνάμει περιφρονήσωμεν τε σώματος, καὶ παραδῶμεν τῷ Θεῷ τὴν ψυχὴν, καὶ εἰσέλθωμεν ἐν ὀνόματι Κυρίε εἰς τὸν ἀγῶνα τῶν πειρασμῶν. καὶ ὁ διασώσας τὸν Ἰωσὴφ ἐν γῆ Αἰγύπτε, καὶ ἀναδείξας αὐτὸν εἰκόνα καὶ τύπον τῆς σωφροσύνης, καὶ ὁ τὸν Δανιὴλ ἀλώβητον φυλάξας ἐν τῷ λάκκῳ τῶν λεόντων, καὶ τὲς τρεῖς νεανίας ἐν τῆ καμίνῳ τε πυρὸς, ϗ τὸν Ἱερεμίαν ἐκ τε λάκκε τῶν βορβόρων, ϗ ὁ ῥυσάμενος αὐτὸν, ϗ χαρισάμενος αὐτῷ ἔλεος ἐν μέσῳ τε στρατοπέδε τῶν Χαλδαίων, καὶ ὁ ἐξαγαγὼν τὸν Πέτρον ἐκ τε δεσμωτηρίε, κεκλεισμένων τῶν θυρῶν, ϗ τὸν Παῦλον διασώσας ἐκ τῆς συναγωγῆς τῶν Ἰεδαίων, καὶ ἁπλῶς εἰπεῖν, ὁ πάντοτε ἐν παντὶ τόπῳ καὶ χώρᾳ συνὼν τοῖς δέλοις αὐτε, καὶ δεικνύων αὐτε τὴν δύναμιν καὶ νίκην ἐν αὐτοῖς, καὶ διατηρῶν αὐτὲς ἐν πολλοῖς τερασίοις, καὶ ἐμφανίζων αὐτοῖς τὸ σωτήριον αὐτε ἐν πάσαις ταῖς θλίψεσιν αὐτῶν, αὐτὸς καὶ ἡμᾶς ἐνισχύσοι, καὶ διασώσοι ἐν μέσῳ τῶν κυμάτων τῶν περικυκλέντων ἡμᾶς. Ἀμήν.

Ἔν-

(1) Τὸ Ε. Χ. λοιπὸν ἀπὸ τε νῦν.

Ἔςω ἔν ἡμῖν ζῆλος ἐν ταῖς ψυχαῖς ἡμῶν κατὰ τῦ διαβόλε, καὶ τῶν αὐτῦ ταξεωτῶν, οἷον εἶχον οἱ Μακκαβαῖοι, ἢ οἱ ἅγιοι Προφῆται, ἢ οἱ Ἀπόςολοι, καὶ Μάρτυρες ἢ Ὅσιοι καὶ Δίκαιοι. οἵτινες συνεςήσαντο τὲς θείες νόμες, καὶ τὰς ἐντολὰς τῦ πνεύματος ἐν χώραις φοβεραῖς, καὶ πειρασμοῖς χαλεπωτάτοις, καὶ ἀπέῤῥιψαν τὸν κόσμον, καὶ τὸ σῶμα ὀπίσω αὐτῶν, καὶ ὑπέμειναν ἐν τῇ δικαιοσιώῃ αὐτῶν, μὴ ἡττηθέντες ὑπὸ τῶν κινδιώων τῶν κυκλωσάντων σιὼ ταῖς ψυχαῖς αὐτῶν ἢ τὰ σώματα, ἀλλὰ νικήσαντες ἀνδρείως. ὧν τὰ ὀνόματα γέγραπται ἐν βίβλῳ ζωῆς μέχρι τῆς παρεσίας τῦ Χριςῦ. ἢ ἡ διδαχὴ αὐτῶν τετήρηται διὰ προςαγῆς Θεῦ πρὸς ἡμετέραν διδασκαλίαν, καὶ ἀνάῤῥωσιν, ὡς μαρτυρεῖ ὁ μακάριος Ἀπόςολος. (1) ἵνα σοφοὶ γενώμεθα, ἢ μάθωμεν τὰς ὁδὲς τῦ Θεῦ, καὶ ὑπ' ὄψιν ἔχωμεν τὰ διηγήματα, ἢ τὲς βίες αὐτῶν, ὡς ἐμψύχες ἢ ζώσας εἰκόνας, ἢ λάβωμεν ἐξ αὐτῶν τύπον, ἢ δράμωμεν ἐν τῷ δρόμῳ αὐτῶν, ἢ ὁμοιωθῶμεν αὐτοῖς. ὡς ἡδέα τὰ θεῖα λόγια τῇ συνετωτάτῃ ψυχῇ, ὥσπερ τροφὴ θάλπεσα τὸ σῶμα. ἐπιθυμητὰ δὲ τὰ διηγήματα τῶν δικαίων ἐν τοῖς ὠσὶ τῶν πραέων, ὡς διηνεκὴς ἀρδεία τῷ νεωςὶ πεφυτευμένῳ φυτῷ.

Ἔχε ἔν, ἀγαπητὲ, κατὰ νῦν τιὼ πρόνοιαν τῦ Θεῦ, ἣν ἐξ ἀρχῆς ἢ μέχρι τῦ νιῶ προνοεῖται, ὥσπερ τὶ καλὸν φάρμακον τοῖς ἀσθενέσιν ὄμμασι, καὶ κάτεχε παρὰ σεαυτῷ τέτε τιὼ μνήμιω ἐν πάσῃ ὥρᾳ, ἢ διαλογίζε, καὶ φρόντισον, ἢ παιδεύ-

» (1) Ὅσα γὰρ προεγράφη, εἰς τιὼ ἡμετέραν διδασκαλίαν προεγράφη. Ῥωμ. ιε. δ.

παιδεύθητι ἐν αὐτοῖς, ἵνα μάθῃς λαβεῖν μνήμην ἐν τῇ σῇ ψυχῇ τῆς μεγαλωσύνης τῆς τιμῆς τοῦ Θεοῦ, καὶ εὕρῃς τῇ σῇ ψυχῇ ζωὴν αἰώνιον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, τῷ γενομένῳ μεσίτῃ Θεοῦ καὶ ἀνθρώπων, ὡς ἐξ ἀμφοτέρων ἡνωμένῳ, οὗ τῇ δόξῃ τῇ περικυκλώσῃ τὸν θρόνον αὐτοῦ τῆς τιμῆς, αἱ τῶν Ἀγγέλων τάξεις προσπελάσαι οὐ δύνανται, δι᾽ ἡμᾶς δὲ φανέντι ἐν κόσμῳ ἐν εὐτελεῖ καὶ ταπεινῷ προσχήματι, καθὼς φησιν ὁ Ἡσαΐας· (Ησ. νγ. β.) » εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος. ἐκεῖνος » ὁ πάσῃ τῇ κτιστῇ φύσει ἀόρατος, καὶ σῶμα ἐνδυσάμενος, καὶ τελειώσας τὴν οἰκονομίαν εἰς σωτηρίαν καὶ ζωὴν πάντων τῶν καθαρθέντων δι᾽ αὐτοῦ ἐθνῶν. ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΜϚ΄.

ΠΕΡΙ ΤΩΝ ΕΙΔΩΝ ΤΩΝ ΔΙΑΦΟΡΩΝ ΠΕΙΡΑΣΜΩΝ.

καὶ πόσην ἔχουσιν ἡδύτητα οἱ πειρασμοὶ, οἱ ὑπὲρ τῆς ἀληθείας γινόμενοι, καὶ ὑπομενόμενοι. καὶ βαθμοὶ καὶ τάξεις, ἐν αἷς ὁ ἄνθρωπος ὁ συνετὸς πορεύεται.

Αἱ ἀρεταὶ ἀλλήλας διαδέχονται, διὰ τὸ μὴ γίνεσθαι τὴν ὁδὸν τῆς ἀρετῆς ἐπαχθῆ καὶ βαρείαν, καὶ διὰ τὸ κατὰ τάξιν αὐτὰς κατορθοῦσθαι, καὶ ἐκ τούτου ἐλαφροῦσθαι· καὶ οὕτω προσφιλῆ ἔσεσθαι τὰ δυσχερῆ τὰ ὑπὲρ τοῦ ἀγαθοῦ, ὡς τὰ ἀγαθά.

ἀγαθά. οὐδεὶς γὰρ δύναται κτήσασθαι τὴν ἀκτημοσύνην ἐν ἀληθείᾳ, εἰ μὴ πείσῃ ἑαυτὸν, καὶ ἑτοιμάσῃ ἑαυτὸν ὑπομεῖναι τοὺς πειρασμοὺς μετὰ χαρᾶς. καὶ οὐδεὶς δύναται ὑπομεῖναι τοὺς πειρασμοὺς, εἰ μὴ ὁ πιστεύσας, ὅτι ἔστι τὶ ὑπερέχον τὴν σωματικὴν ἀνάπαυσιν, ἀντὶ τῶν θλίψεων, ὧν ἐν μετοχῇ γενέσθαι παρεσκεύασεν ἑαυτὸν ὑποδέξασθαι. (1) πᾶς οὖν ὁ τῇ ἀκτημοσύνῃ ἑαυτὸν ἑτοιμάσας, πρῶτον μὲν ἡ ἀγάπη τῶν θλίψεων κινεῖται ἐν αὐτῷ, καὶ τότε ἐπέρχεται αὐτῷ λογισμὸς τοῦ ἀκτημονεῖν τῶν τοῦ κόσμου τούτου. καὶ πᾶς ὁ ἐγγίζων τῇ θλίψει, πρῶτον μὲν διὰ πίστεως στερεῖται, καὶ τότε προσεγγίζει ταῖς θλίψεσιν. ὅστις στερήσει ἑαυτὸν τῶν ὑλικῶν πραγμάτων, καὶ μὴ στερήσῃ ἑαυτὸν τῆς ἐνεργείας τῶν αἰσθήσεων, ὁράσεως λέγω, καὶ ἀκοῆς, διπλῆν θλίψιν προεξένησεν ἑαυτῷ, καὶ διπλασίως ταλαιπωρήσει καὶ θλιβήσεται· μᾶλλον δὲ, τί ὄφελος στερηθῆναι τῶν αἰσθητῶν πραγμάτων, καὶ διὰ τῶν αἰσθήσεων ἐνδιαίεσθαι ἐν αὐτοῖς; τὸ αὐτὸ γὰρ πάσχει ἐκ τῶν ἐν αὐτοῖς παθῶν, ὅπερ ἔπασχε πρώην πρακτικῶς. διότι ἡ μνήμη τῆς συνηθείας αὐτῶν οὐκ ἀφίσταται τῆς διανοίας αὐτοῦ. εἰ γὰρ αἱ φαντασίαι αὐτῶν νοητῶς γινόμεναι, ὀδύνην τῷ ἀνθρώπῳ παρέχουσιν ἄνευ τῶν πραγμάτων αὐτῶν, τί ἔχομεν εἰπεῖν περὶ τῆς συνυπάρξεως τῆς ἐγγιζούσης; λοιπὸν καλὴ ἡ ἀναχώρησις, λίαν γὰρ συνεργεῖ. τοὺς γὰρ λογισμοὺς γενναίως καταπραΰνει, καὶ δύναμιν ἐν τῇ διατριβῇ ἐντίθησι, καὶ ὑπο-

μονὴν

(1) Ἀνάγνωθι, ἤτοι ὧν ἐν μετοχῇ γενέσθαι παρεσκεύασεν ἑαυτὸν, ἢ ὧν ἐν μετοχῇ γενέσθαι παρεσκεύασεν ἑαυτὸν καὶ ὑποδέξασθαι, ἢ ἃς παρεσκεύασεν ἑαυτὸν ὑποδέξασθαι, ὡς καὶ ὁ Λατῖνος μετέφρασε pro tribulationibus, ad excipiendas se praeparavit.

μονίω μεγάλω διδάσκει τὸν ἄνθρωπον τῶν ἐπερχομένων αὐτῷ ἀναγκαίων θλίψεων.

Μὴ ζητήσης λαβεῖν βελω παράτινος, μὴ ὄντος ἐν τῇ διαγωγῇ σε, κἂν λίαν σοφὸς ὑπάρχῃ. ἀνάθε δὲ μᾶλλον τὸν λογισμόν σε ἰδιώτῃ ἐν πείρᾳ γεγονότι τῶν πραγμάτων, ἤπερ φιλοσόφῳ λογίῳ ὁμιλοῦντι ἐκ τῆς ἐξετάσεως, ἄνευ τῆς πείρας τῶν πραγμάτων. τί δέ ἐςι πεῖρα; ἡ πεῖρά ἐςιν, ἐχὶ τὸ εἰσελθεῖν τινὰ καὶ κατασκοπεῦσαί τινα τῶν πραγμάτων, μήπω λαβόντα τὴν γνῶσιν αὐτῶν εἰς ἑαυτὸν, ἀλλὰ τὸ αἰσθηθῆναι τῆς πείρας τῆς ὠφελείας αὐτῶν, καὶ τῆς ζημίας ἐνεργῶς, διὰ τὸ χρονίσαι ἐν αὐτοῖς. καὶ γὰρ πολλάκις φαίνεται πρᾶγμα ζημίαν ἔχον, ἔνδον δὲ αὐτε εὑρίσκεται πᾶσα πραγματεία γέμεσα ὠφελείας. τὸν αὐτὸν δὲ τρόπον νόει καὶ ἐν τῷ ἐναντίῳ τετε. τετέςι, πολλάκις φαίνεται πρᾶγμα ὠφέλειαν ἔχον, ἔσωθεν δέ ἐςι μεμεσωμένον ζημίας. διὸ καὶ πολλοὶ τῶν ἀνθρώπων πάλιν ἐκ τῶν φαινομένων ἐπικερδῶν πραγμάτων ζημίαν εὑρίσκεσι. καὶ ἐδὲ ἐκ τετων ἡ μαρτυρία τῆς γνώσεως ἀληθινή ἐςιν. ἐκείνῳ ἐν συμβελῳ χρῆσαι, τῷ ἐπιςαμένῳ δοκιμάσαι ἐν ὑπομονῇ τὰ πράγματα τῆς διακρίσεως. διὰ τετο ἐχὶ ἕκαςος ἐςὶν ἀξιόπιςος τε δεῖναι βελω, εἰ μὴ ὅςις πρῶτος καλῶς τὴν ἐλευθερίαν αὐτε ἐκυβέρνησε, καὶ ε φοβεῖται κατηγορίας καὶ συκοφαντίας.

Ὅταν γὰρ εὕρῃς εἰρήνην ἐν τῇ ὁδῷ σε ἀναλλοίωτον, τότε φοβήθητι. διότι μακρὰν ἀπέχεις ἐκ τῆς εὐθείας τρίβε τῆς πατεμένης ὑπὸ τῶν μοχθηρῶν ποδῶν τῶν ἁγίων. ὅσον γὰρ διαβαίνεις ἐν τῇ ὁδῷ τῆς πόλεως τῆς βασιλείας, καὶ τῇ τε Θεε πόλει πλησιάζεις, τετο ἔςω σοι τὸ σημεῖον· ἡ ἰσχὺς τῶν πειρασμῶν

ρασμῶν ἀπαντᾷ σοι. καὶ ὅσον πλησιάζεις καὶ προκόπτεις, τοσοῦτον οἱ πειρασμοὶ πληθυώνται κατὰ σοῦ. ὅταν οὖν αἰσθῇ ἐν τῇ ψυχῇ σου διαφόρους, καὶ ἰσχυροτέρους πειρασμοὺς ἐν τῇ ὁδῷ σου, γνῶθι ὅτι ἐν τοῖς καιροῖς ἐκείνοις ὄντως ἐδέξατο ἡ ψυχή σου βαθμὸν ἐν τῷ κρυπτῷ ἄλλον ὑψηλὸν, καὶ προσετέθη αὐτῇ χάρις ἐν τῇ καταστάσει, ἐν ᾗ ἵστατο ἐν αὐτῇ. κατὰ γὰρ τὸ μέγεθος τῆς χάριτος, κατὰ τοσοῦτον εἰς τὴν θλίψιν τῶν πειρασμῶν εἰσφέρει ὁ Θεὸς τὴν ψυχήν. οὐχὶ εἰς τοὺς πειρασμοὺς τοὺς κοσμικοὺς, οἵτινες γίνονταί τισι, διὰ τὸ χαλινῶσαι τὴν κακίαν, καὶ τὰ φανερὰ πράγματα· μηδὲ σωματικὰς ταραχὰς νόει τούτους, ἀλλὰ πειρασμοὺς ἁρμόζοντας μοναχοῖς ἐν τῇ ἡσυχίᾳ αὐτῶν, οὕσπερ ὕστερον μέλλομεν διαιρεῖν. ἐὰν δὲ ἔχῃ ἡ ψυχὴ ἀσθένειαν, καὶ οὐκ ἱκανοῖ πρὸς τοὺς πειρασμοὺς τοὺς μεγάλους, καὶ αἰτῆται μὴ εἰσελθεῖν εἰς αὐτοὺς, καὶ εἰσακούσῃ αὐτῆς ὁ Θεὸς, γνῶθι σαφῶς, ὅτι καθ' ὅσον ἀνικανοῖ πρὸς τοὺς μεγάλους πειρασμοὺς, κατὰ τοσοῦτον καὶ πρὸς τὰ μεγάλα χαρίσματα ἀνίκανος ὑπάρχει. καὶ ὥσπερ ἐκωλύθη ἐξ αὐτῆς ἡ ἔφοδος τῶν μεγάλων πειρασμῶν, οὕτω κωλύεται ἐξ αὐτῆς καὶ τὰ μεγάλα χαρίσματα. οὐ δίδωσι γὰρ ὁ Θεὸς χάρισμα μέγα, χωρὶς μεγάλου πειρασμοῦ. κατὰ γὰρ τοὺς πειρασμοὺς, καὶ τὰ χαρίσματα ὡρίσθησαν ὑπὸ τοῦ Θεοῦ, κατὰ τὴν σοφίαν αὐτοῦ, ἣν οὐ καταλαμβάνουσιν οἱ δημιουργηθέντες ὑπ' αὐτοῦ. λοιπὸν ἐκ τῶν δυσχερῶν θλίψεων τῶν συμβαινουσῶν σοι ὑπὸ τῆς προνοίας τοῦ Θεοῦ, καταλαμβάνεις πόσην ἐδέξατο ἡ ψυχή σου (1) ἐκ τῆς

 μεγαλω-

(1) Καταλαμβάνει σου ἡ ψυχὴ, πόσην ἐδέξατο ἐκ Θεοῦ τὴν τιμήν. Τὸ Ε. Χ.

μεγαλωσιώης αὐτᾶ τιμίω. κατὰ γὰρ τίω λύπίω, καὶ ἡ παράκλησις.

Ἐρώτ. Τὶ ἂν λοιπὸν, πρῶτον ὁ πειρασμὸς, καὶ τότε τὸ χάρισμα· ἢ τὸ χάρισμα πρῶτον, καὶ ἔτως ὀπίσω αὐτᾶ ὁ πειρασμός;

Ἀπόκρ. Οὐκ ἔρχεται ὁ πειρασμὸς, εἰ μὴ πρῶτον δέξεται ἡ ψυχὴ ἐν τῷ κρυπτῷ μέγεθος ὑπὲρ τὸ μέτρον αὐτῆς, καὶ τὸ πνεῦμα τῆς χάριτος, ὅπερ ἐδέξατο πρῶτον. καὶ μαρτυρεῖ περὶ τέτα ὁ πειρασμὸς τᾶ Κυρίε, ὁμοίως καὶ οἱ πειρασμοὶ τῶν Ἀποςόλων. ἐ γὰρ παρεχωρήθησαν εἰσελθεῖν εἰς πειρασμὲς, ἕως ἂν ἐδέξαντο τὸν παράκλητον. οἱ γὰρ κοινωνᾶντες τοῖς ἀγαθοῖς, ἁρμόζει αὐτοῖς ὑπομεῖναι τὲς πειρασμὲς αὐτῶν· ὅτι μετὰ τᾶ ἀγαθᾶ ἡ θλίψις αὐτῶν. ἔτω γὰρ ἤρεσε τῷ σοφῷ Θεῷ ἐν πᾶσι ποιεῖν. καὶ εἰ τᾶτο ἔτω, τετέςιν ἡ χάρις πρὸ τᾶ πειρασμᾶ, ἀλλ᾽ ὅμως πάντως προηγήσατο ἡ αἴσθησις τῶν πειρασμῶν τῆς αἰσθήσεως τῆς χάριτος, διὰ τίω δοκιμίω τῆς ἐλευθερίας. ἐδέποτε γὰρ ἡ χάρις προλαμβάνει εἴς τινα, πρὸ τᾶ γεύσασθαι τῶν πειρασμῶν. προηγεῖται μοὶ ἂν ἡ χάρις ἐν τῷ νοΐ, ἐν δὲ τῇ αἰσθήσει βραδιώει. λοιπὸν πρέπει ἡμᾶς ἐν τοῖς καιροῖς τέτων τῶν πειρασμῶν ἔχειν δύω τινὰ ἐναντία ἀλλήλοις, καὶ κατὰ μηδὲν ὁμοιᾶντα. ταῦτα δέ εἰσι χαρὰ, καὶ φόβος. χαρὰ μὲν, ὅτι ἐν τῇ ὁδῷ τῇ πατηθείσῃ ὑπὸ τῶν ἁγίων, μᾶλλον δὲ ὑπὸ τᾶ ζωοποιᾶντος τὰ πάντα, εὑρέθης βαδίζων. καὶ τᾶτο δῆλον ἐκ τῆς διαγνώσεως τῶν πειρασμῶν. τὸν φόβον δὲ ὀφείλομεν ἔχειν, ὅτι μήπως ἐκ τῆς αἰτίας τῆς ὑπερηφανίας πειραζόμεθα ἐν τέτοις. ὅμως σοφίζονται ὑπὸ τῆς χάριτος οἱ ταπεινόφρονες τᾶ διώασθαι ταῦτα πάντα διακρῖναι, καὶ γνῶναι τίς ἐςιν ὁ πειρασμὸς ὁ ἐκ τᾶ καρπᾶ τῆς ὑπερηφανίας, καὶ τίς ὁ

ἐκ

ἐκ τῶν ῥαπισμάτων τῶν τυπτομένων ἐκ τῆς ἀγάπης. διακέκρινται γὰρ οἱ πειρασμοὶ τοῦ ἐκβιβασμοῦ, καὶ τῆς αὐξήσεως τῆς πολιτείας ἐν τῷ ἀγαθῷ, ἐκ τῶν πειρασμῶν τῆς παραχωρήσεως τῆς εἰς παιδείαν, διὰ τὴν ὑπερηφανίαν τῆς καρδίας.

Οἱ ὑπὸ τῆς πνευματικῆς ῥάβδου εἰς προκοπὴν καὶ αὔξησιν τῆς ψυχῆς γινόμενοι πειρασμοί, ἐν οἷς γυμνάζεται, καὶ δοκιμάζεται ἡ ψυχή, καὶ ἀγωνίζεται, εἰσὶν οὗτοι· ἡ ὀκνηρία, βάρος τοῦ σώματος, ἡ χαύνωσις τῶν μελῶν, ἡ ἀκηδία, ἡ σύγχυσις τῆς διανοίας, ὑπόνοια ἀσθενείας τοῦ σώματος, τὸ κόψαι τὴν ἐλπίδα πρὸς ὥραν, ἡ σκότωσις τῶν λογισμῶν, ἡ ἔκλειψις τῆς ἀνθρωπίνης βοηθείας, ἡ ἔνδεια τῆς σωματικῆς χρείας, καὶ τὰ ὅμοια τούτων. ἐκ τούτων τῶν πειρασμῶν κτᾶται ὁ ἄνθρωπος ψυχὴν μεμονωμένην καὶ ἀπροσάτευτον, καὶ καρδίαν νενεκρωμένην, καὶ ταπείνωσιν. καὶ ἐκ τούτου δοκιμάζεταί τις ἐλθεῖν εἰς ἐπιθυμίαν τοῦ κτίσαντος. καὶ ταῦτα πρὸς τὴν δύναμιν ὁ προνοητὴς οἰκονομεῖ, καὶ πρὸς τὴν χρείαν τῶν ὑποδεχομένων αὐτά. τούτοις συγκέκραται ἡ παράκλησις καὶ αἱ ἐπιφοραί, τὸ φῶς καὶ τὸ σκότος, οἱ πόλεμοι καὶ αἱ ἀντιλήψεις, καὶ συντόμως εἰπεῖν, στένωσις καὶ πλατυσμός. καὶ τοῦτό ἐστι τὸ σημεῖον τῆς προκοπῆς τοῦ ἀνθρώπου διὰ τῆς βοηθείας τοῦ Θεοῦ.

Οἱ πειρασμοὶ τῶν φίλων τοῦ Θεοῦ, οἵτινές εἰσιν οἱ ταπεινόφρονες.

Οἱ δὲ πειρασμοὶ οἱ γινόμενοι ἐκ τῆς παραχωρήσεως τοῦ Θεοῦ κατὰ τῶν ἀναισχυντούντων, καὶ ἐπαιρομένων ἐν ταῖς διανοίαις αὐτῶν ἐνώπιον τῆς ἀγαθότητος τοῦ Θεοῦ, καὶ ἀδικούντων τὴν ἀγαθότητα τοῦ Θεοῦ ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν, εἰσὶν οὗτοι οἱ πειρασμοὶ οἱ φανεροὶ τῶν δαιμόνων, οἱ καὶ ὑπὲρ τὸν ὅρον τῆς δυνάμεως ὑπάρχοντες τῆς ψυχῆς, ἡ στέρησις τῶν δυνάμεων τῆς σοφίας τῆς οὔσης ἐν αὐτοῖς, αἴσθησις δριμεῖα τῆς

Οἱ πειρασμοὶ τῶν ἐχθρῶν τοῦ Θεοῦ, οἵτινές εἰσιν οἱ ὑπερήφανοι.

ἐννοίας τῆς πορνείας τῆς παραχωρεμένης κατ᾽ αὐτῶν εἰς ταπείνωσιν τῆς ἐπάρσεως αὐτῶν, τὸ θυμεσθαι ταχέως, τὸ θέλειν σῆσαι τὸ ἴδιον θέλημα, τὸ φιλονεικεῖν ἐν λόγοις, τὸ ἐπιτιμῆσαι, ἡ καταφρόνησις τῆς καρδίας, πλάνη τε νε τελεία, βλασφημίαι κατὰ τε ὀνόματος τε Θεε, ἐννοιαι μωραὶ πεπληρωμέναι γέλωτος, μᾶλλον δὲ κλαυθμε, τὸ καταφρονεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, καὶ ἀφανίζεσθαι τὴν τιμὴν αὐτῶν, τὸ γενέσθαι αἰσχύνη καὶ ὄνειδος ὑπὸ τῶν δαιμόνων ἐν πολλοῖς τρόποις κρυπτῶς καὶ φανερῶς, ἐπιθυμία τε μιγῆναι καὶ συναναςραφῆναι τῷ κόσμῳ, τὸ λαλεῖν καὶ κηρεῖν ἀφρόνως πάντοτε, τὸ εὑρεῖν ἑαυτῷ καινισμὸν ἀεὶ σὺν ψευδοπροφητεία, τὸ ἐπαγγέλλεσθαι πολλὰ ὑπὲρ τὴν δύναμιν αὐτε. καὶ ταῦτα μὲν τὰ ψυχικά.

Ἐν δὲ τοῖς σωματικοῖς, συμβαίνεσιν αὐτῷ συμβάσεις ὀδυνηραὶ, διαμένεσαι ἀεὶ συμπεπλεγμέναι καὶ δύσλυτοι, ἀπαντήσεις κακῶν ἀεὶ καὶ ἀθέων ἀνθρώπων, τὸ ἐμπεσεῖν εἰς χεῖρας θλιβόντων ἀνθρώπων, τὸ κινεῖσθαι τὴν καρδίαν αὐτε ἀεὶ ἀναιτίως ὑπὸ τε θείε φόβε ἐξαίφνης, τὸ πολλάκις πάσχειν αὐτὲς πτώματα μεγάλα ἐκ πετρῶν, καὶ ἀπὸ ὑψηλῶν τόπων, καὶ τῶν ὁμοίων τέτοις τῶν γινομένων εἰς συντριβὴν τε σώματος. (1) καὶ τέλος ἔνδεια τῶν ἀντιλαμβανομένων τὴν καρδίαν ὑπὸ τῆς θεϊκῆς δυνάμεως, καὶ τῆς ἐλπίδος τῆς πίςεως αὐτῶν. καὶ συντόμως εἰπεῖν, ὅσα ἀδύνατα, καὶ ὑπὲρ δύναμιν ἐπάγονται αὐτοῖς σὺν τοῖς ἑαυτε. ταῦτα γὰρ πάντα ὅσα ἐτάξα-

(1) Τὸ Ε. Χ. καὶ τὰ ὅμοια τέτοις, τὰ γινόμενα εἰς συντριβὴν τε σώματος.

τάξαμεν, καὶ ἠριθμήσαμεν εἰσὶν ἐκ τῶν τρόπων τῶν πειρασ-
μῶν τῆς ὑπερηφανίας.

Φαίνεται δὲ ἡ ἀρχὴ τούτων ἐν τῷ ἀνθρώπῳ, ὅταν τὶς ἄρ-
ξηται ἔχειν σοφὸν ἑαυτὸν ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ οὗτος μετα-
κινῆται ἐν πᾶσι τοῖς κακοῖς τούτοις κατὰ τὸ μέτρον τῆς ὑποδο-
χῆς τῶν τοιούτων λογισμῶν τῆς ὑπερηφανίας. λοιπὸν ἐκ τῶν
εἰδῶν τῶν πειρασμῶν σου καταλάμβανε τὰς ὁδοὺς τῆς λεπτό-
τητος τῆς διανοίας σου. ἐὰν δὲ ἴδῃς τινὰς τούτων τῶν πειρασμῶν
μεμιγμένους μετὰ τῶν πρὸ τούτων εἰρημένων πειρασμῶν, γνῶθι
ὅτι καθ᾽ ὅσον ἔχεις ἐκ τούτων, κατὰ τοσοῦτον ἡ ὑπερηφανία ἐν
σοὶ ἐνέσκηψεν.

Περὶ ὑπομονῆς.

Ἄκουσον δὲ πάλιν καὶ τρόπον ἄλλον. πᾶσαι αἱ περιστά-
σεις, καὶ αἱ θλίψεις αἱ μὴ μετέχουσαι ὑπομονῆς, διπλῆ ἐστὶν
ἡ βάσανος αὐτῶν. ὑπομονὴ γὰρ ἀνθρώπου, ἀποβάλλει τὰς
συμφορὰς αὐτοῦ. μικροψυχία δὲ, μήτηρ ἐστὶ τῆς κολάσεως.
ὑπομονὴ ἐστὶ μήτηρ τῆς παρακλήσεως, καὶ δύναμίς τις, ἥτις
ἐκ τῆς εὐρυχωρίας τῆς καρδίας ἀποτίκτεσθαι πέφυκεν. ἥντι-
να δύναμιν δυσχερὲς τὸν ἄνθρωπον εὑρεῖν ἐν ταῖς θλίψεσιν
αὐτοῦ, ἐκτὸς τοῦ θείου χαρίσματος, τοῦ ἐκ τῆς καταδιώξεως τῆς
εὐχῆς, καὶ τῆς ἐκχύσεως τῶν δακρύων εὑρισκομένου.

Περὶ μικροψυχίας.

Ὅταν βουληθῇ ὁ Θεὸς ἐπὶ πλεῖον θλίψαι ἄνθρωπον, πα-
ραχωρεῖ αὐτὸν εἰσελθεῖν εἰς τὰς χεῖρας τῆς μικροψυχίας.
καὶ αὕτη τίκτει ἐν αὐτῷ κραταιὰν δύναμιν τῆς ἀκηδίας, ἐν ᾗ
γεύεται τοῦ ψυχικοῦ πνιγμοῦ. ὅπερ ἐστὶ γεῦσις τῆς γεέννης. καὶ
ἐκ τούτου ἐπάγεται τὸ πνεῦμα τῆς ἐκστάσεως, ἐξ οὗ πηγάζουσιν
οἱ μύριοι πειρασμοί· ἡ σύγχυσις, ὁ θυμὸς, ἡ βλασφημία, ἡ
μεμψιμοιρία, οἱ διεστραμμένοι λογισμοὶ, ἡ ἀπὸ χώρας εἰς χώ-

ραν

ραν μετάστασις, καὶ τὰ ὅμοια τούτοις. ἐὰν δὲ εἴπῃς ἡ αἰτία τούτων τίς ἐστι; λέγω σοι, ὅτι ἡ σὴ ἀμέλεια. οὐ γὰρ ἐμερίμνησας ἐκζητῆσαι τὴν ἰατρείαν αὐτῶν. ἡ ἰατρεία γὰρ τούτων πάντων μία ἐστὶν, ἐν ᾗ ἐν τῇ χειρὶ αὐτῆς εὑρίσκει τις παράκλησιν ἐν τῇ ψυχῇ αὐτοῦ εὐθέως. καὶ τίς ἐστιν αὕτη; ἡ ταπεινοφροσύνη τῆς καρδίας. καὶ ἐκτὸς ταύτης καταλῦσαι τὸν φραγμὸν τῶν κακιῶν τούτων οὐ δύναταί τις, ἀλλὰ μᾶλλον εὑρίσκει αὐτὰς ὑπερισχυούσας κατ' αὐτοῦ.

Μὴ θυμωθῇς κατ' ἐμοῦ, ὅτι λέγω σοι τὴν ἀλήθειαν. οὐκ ἐζήτησας ταύτην ἐν ὅλῃ σου τῇ ψυχῇ ποτέ. ἐὰν δὲ θέλῃς, γενοῦ ἐν τῇ χώρᾳ αὐτῆς, καὶ ὄψει πῶς δώσει σοι τὴν λύσιν τῆς κακίας σου. πρὸς γὰρ τὸ μέτρον τῆς ταπεινοφροσύνης δίδοταί σοι καὶ ὑπομονὴ ἐν ταῖς συμφοραῖς σου. καὶ κατὰ τὴν ὑπομονήν σου, ἐλαφρύνεται τὸ βάρος τῶν θλίψεων σου, καὶ τῆς παρακλήσεως τεύξῃ. κατὰ δὲ τὴν παράκλησίν σου, μεγαλύνεται ἡ πρὸς Θεὸν ἀγάπη σου. καὶ κατὰ τὴν ἀγάπην σου, μεγαλύνεται ἡ χαρά σου ἐν τῷ πνεύματι τῷ ἁγίῳ. τῶν δὲ ἐν ἀληθείᾳ υἱῶν ὄντων, ὁ πατὴρ ἡμῶν ὁ οἰκτίρμων, ὅτε εὐδοκήσει ἔκβασιν ποιήσασθαι τῶν πειρασμῶν αὐτῶν, οὐχὶ λήψει λαμβάνει τοὺς πειρασμοὺς ἐξ αὐτῶν, ἀλλ' ὑπομονὴν παρέχει αὐτοῖς ἐν τοῖς πειρασμοῖς αὐτῶν. καὶ ταῦτα πάντα τὰ ἀγαθὰ ἐν τῇ χειρὶ τῆς ὑπομονῆς αὐτῶν δέχονται, πρὸς τελειότητα τῶν ψυχῶν αὐτῶν. ἀξιώσαι δὲ ἡμᾶς Χριστὸς ὁ Θεὸς ἐν τῇ χάριτι αὐτοῦ ὑπομένειν τὰ κακὰ διὰ τὴν ἀγάπην αὐτοῦ ἐν εὐχαριστίᾳ τῆς καρδίας. Ἀμήν.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΜΖ.

ΠΕΡΙ
ΤΟΥ ΟΤΙ ΤΟ ΣΩΜΑ ΦΟΒΟΥΜΕΝΟΝ ΤΟΥΣ ΠΕΙΡΑΣΜΟΥΣ ΓΙΝΕΤΑΙ ΦΙΛΟΣ ΤΗΣ ΑΜΑΡΤΙΑΣ.

Εἶπέ τις τῶν ἁγίων, ὅτι γίνεται τὸ σῶμα φίλος τῆς ἁμαρτίας φοβȣ́μενον τȣ̀ς πειρασμȣ̀ς, ἵνα μὴ ςενωθῇ, καὶ ἀποθάνῃ ἐκ τῆς ζωῆς αὐτȣ̃. διὰ τȣ̃το καταναγκάζει αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον ἀποθανεῖν. γινώσκει γὰρ ὅτι ἐὰν μὴ ἀποθάνῃ, ȣ̓ νικᾷ τὴν ἁμαρτίαν. εἴτις θέλει ἵνα κατοικήσῃ ἐν αὐτῷ ὁ Κύριος, τὸ σῶμα αὐτȣ̃ βιάζεται, καὶ λειτȣργεῖ τῷ Κυρίῳ, καὶ δȣλεύει ἐν ταῖς ἐντολαῖς τȣ̃ πνεύματος ταῖς γεγραμμέναις ἐν τῷ Ἀποςόλῳ, καὶ φυλάττει τὴν ψυχὴν αὐτȣ̃ ἀπὸ τῶν ἔργων τῆς σαρκὸς, ὧν ἔγραψεν ὁ Ἀπόςολος. σῶμα δὲ συμμεμιγμένον τῇ ἁμαρτίᾳ ἀναπαύεται ἐν τοῖς ἔργοις τῆς σαρκὸς, καὶ τὸ πνεῦμα τȣ̃ Θεȣ̃ ȣ̓κ ἀναπαύεται ἐν τοῖς καρποῖς αὐτȣ̃. ὅτε γὰρ ἀσθενεῖ τὸ σῶμα ἐν νηςείᾳ καὶ ταπεινώσει, ἡ ψυχὴ ἐνδυναμȣ̃ται ἐν τῇ προσευχῇ. ἔθος ἔχει τὸ σῶμα ὅταν ςενωθῇ πολλαχῶς ἐν θλίψεσι τῆς ἡσυχίας, καὶ ὑςερηθῇ, καὶ δεηθῇ, ὥςε ἐγγίζειν τȣ̃ ἀποθανεῖν ἐκ τῆς ζωῆς αὐτȣ̃, τότε παρακαλεῖσε, λέγων· ἄφες με ὀλίγον, ἵνα συμμέτρως πολιτεύσωμαι, ἄρτι ὀρθοποδῶ, διότι ἐπειράσθην τῶν τοιȣ́των κακῶν. καὶ ὅταν ἀναπαύσῃς αὐτὸ ἐκ τῶν θλίψεων, καὶ παράσχῃς αὐτῷ μικρὰν ἄνεσιν, διότι συνεπάθησας αὐτῷ, καὶ κἂν πρὸς

μικρὸν ἀναπαύσηται, τότε ψιθυρίζει σοὶ κολακȣτικῶς μικρὸν, μικρὸν, ἕως ἂν ποιήσῃ σε ἐξελθεῖν ἐκ τῆς ἐρήμȣ, (πάνυ γάρ εἰσι τὰ κολακȣ́ματα αὐτȣ͂ ἰσχυρά.) καὶ λέγει σοι, δυνάμεθα καλῶς πολιτεύσασθαι ἢ πλησίον τȣ͂ κόσμȣ. πολλὰ γὰρ ἐπειράσθημεν. δυνάμεθα ȣ͂ν ἐν οἷς ἐσμεν, ἐκεῖσε πολιτεύεσθαι. δοκίμασόν με μόνον, καὶ ἐὰν ȣ̓ γίνωμαι ὡς θέλεις, δυνάμεθα ὑποςρέψαι. ἰδὲ ἡ ἔρημος ȣ̓ φεύγει ἐξ ἡμῶν. μὴ ȣ͂ν πιςεύσῃς αὐτῷ, κἂν σφόδρα παρακαλέσῃ, καὶ ὑποσχέσεις πολλὰς ποιήσῃ. διότι ȣ̓ ποιεῖ ἃ εἶπε. μετὰ τὸ δȣ͂ναί σε αὐτῷ τὴν αἴτησιν αὐτȣ͂, ῥίπτει σε εἰς μεγάλα πλώματα, ἐξ ὧν ȣ̓ δύνῃ ἀνασῆναι, καὶ ἐξελθεῖν ἐξ αὐτῶν.

Ὅταν ἀκηδιάσῃς ἐκ τῶν πειρασμῶν, καὶ χορτασθῇς ἐξ αὐτῶν, εἰπὲ σεαυτῷ, σὺ πάλιν τὴν ἀκαθαρσίαν, καὶ τὴν αἰσχρὰν ζωὴν ἐπιθυμεῖς. καὶ ἐὰν εἴπῃ σοι, ἁμαρτία μεγάλη ἐςὶ τὸ φονεῦσαι ἑαυτὸν, εἰπὲ σὺ αὐτῷ, φονεύω ἑαυτὸν, διότι ȣ̓ δύναμαι ἀκαθάρτως ζῆσαι. (1) ἀποθάνω ὧδε, καὶ μὴ πάλιν θεάσωμαι τὸν θάνατον τὸν ἀληθινὸν τῆς ψυχῆς μȣ, τὸν ἐκ τȣ͂ Θεȣ͂. συμφέρει μοι, ἵνα ἀποθάνω ὧδε ὑπὲρ τῆς ἁγνείας, καὶ μὴ κακὴν ζωὴν ζήσω ἐν τῷ κόσμῳ. τὸν θάνατον τȣ͂τον προαιρέσει ἐξελεξάμην ὑπὲρ τῶν ἁμαρτιῶν μȣ. ἀποκτενῶ ἑαυτὸν, διότι ἡμάρτηκα τῷ Κυρίῳ, ἢ μηκέτι αὐτὸν παροργίσω. τί θέλω ζωὴν ἀπέχȣσαν ἀπὸ τȣ͂ Θεȣ͂; τὰς κακώσεις ταύτας ὑπομένω, ἵνα μὴ ἀλλοτριωθῶ ἐκ τῆς ἐπȣρανίȣ ἐλπίδος. ποίαν ὠφέλειαν ἔχει ὁ Θεὸς ἐκ τῆς ἐμῆς ζωῆς τῆς ἐν τῷ βίῳ, ἐὰν ἐν αὐτῷ ζήσω κακῶς, καὶ παροργίσω αὐτόν;

(1) Καθαρῶς ζῆσαι. Τὸ Ε. Χ.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΜΗ.

ΠΕΡΙ

ΤΟΥ ΔΙΑ ΠΟΙΑΣ ΑΙΤΙΑΣ ΑΦΙΗΣΙΝ Ο ΘΕΟΣ ΤΟΥΣ ΠΕΙΡΑΣΜΟΥΣ *ἐπὶ τοὺς ἀγαπῶντας αὐτόν.*

Ἐκ τῆς ἀγάπης, ἧς ἔδειξαν οἱ ἅγιοι πρὸς τὸν Θεὸν, ὑπὲρ ὧν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ πάσχουσιν, ὅτε συνοχωρεῖ αὐτοὺς, καὶ οὐκ ἀφίσαται τῶν ὑπ' αὐτοῦ ἀγαπωμένων, κτᾶται ἡ καρδία αὐτῶν παῤῥησίαν, τοῦ ἰδεῖν πρὸς αὐτὸν ἀπερικαλύπτως, καὶ ἐν πεποιθήσει αἰτήσασθαι αὐτόν. μεγάλη ἐστὶν ἡ δύναμις τῆς εὐχῆς τῆς παῤῥησίας. (1) διὰ τοῦτο ἀφίησιν ὁ Θεὸς τοὺς ἁγίους αὐτοῦ πειρασθῆναι ἐν πάσῃ λύπῃ, καὶ λαβεῖν πάλιν τὴν πεῖραν, καὶ τὴν δοκιμὴν τῆς ἀντιλήψεως αὐτοῦ, καὶ ὅσην πρόνοιαν ἔχει περὶ αὐτῶν, ὅτι κτῶνται ἐκ τῶν πειρασμῶν σοφίαν. ἵνα μὴ γενόμενοι ἰδιῶται, στερηθῶσι τῆς τῶν δύο γυμνασίας μερῶν· ἵνα κτήσωνται ἐκ τῆς δοκιμῆς τὴν γνῶσιν τῶν ἁπάντων, μήπως καταγελασθῶσιν ὑπὸ τῶν δαιμόνων. ὅτι εἰ ἐν τοῖς ἀγαθοῖς ἐγύμναζον αὐτοὺς, ἦσαν τῆς γυμνασίας τῆς ἑτέρας λειπόμενοι, καὶ ἐγένοντο ἂν ἐν τοῖς πολέμοις γυμνοί. (2)

 Καὶ

(1) Ἴσ. τῆς μετὰ παῤῥησίας.
(2) Τὸ Ε. Χ. ἐν τοῖς πολέμοις τυφλοί.

Καὶ ἐὰν εἴπωμεν, ὅτι αὐτὸς γυμνάζει αὐτοὺς χωρὶς τῆς αὐτῶν ἐπιγνώσεως, λοιπὸν λέγομεν, ὅτι θέλει αὐτοὺς γενέσθαι κατὰ τοὺς βόας καὶ τὰς ὄνους, καὶ τοὺς μὴ ἔχοντας ἐλευθερίαν ἥντινι· καὶ ὅτι οὐ γίνεται γεῦσις ἐν τῷ ἀγαθῷ τῷ ἀνθρώπῳ, εἴπερ μὴ πειραθείη πρῶτον ἐν τῇ τῶν κακῶν δοκιμῇ. ἵνα ὅταν ἀπαντήσῃ ἐν αὐτοῖς τὰ ἀγαθὰ, ἐν γνώσει καὶ ἐλευθερίᾳ χρήσωνται αὐτοῖς, ὡς ἰδίοις. πόσον ἡ γνῶσις, ἡ ἐκ τῆς τῶν ἔργων πείρας, καὶ ἐκ τῆς γυμνασίας προσληφθεῖσα ἰδέα πέφυκε, καὶ πόσην δύναμιν παρέχει τῷ ἐκ πολλῆς πείρας αὐτοῦ ἐν ἑαυτῷ εὑρόντι αὐτὴν, τούτοις γινώσκεται τοῖς πεπεισμένοις καὶ εἰδόσι τὴν συνέργειαν αὐτῆς, ὡς δὲ καὶ τὴν ἀσθένειαν τῆς φύσεως, καὶ τὴν ἀντίληψιν τῆς θεϊκῆς δυνάμεως. τότε γὰρ γινώσκουσιν, ὅτε πρῶτον κωλύσας τὴν ἑαυτοῦ δύναμιν ἐξ αὐτῶν, αἰσθηθῆναι ποιήσει τῆς ἀσθενείας τῆς φύσεως, καὶ τῆς δυσχερείας τῶν πειρασμῶν, καὶ τῆς πονηρίας τοῦ ἐχθροῦ· καὶ πρὸς ποῖον παλαιστὴν ἔχουσι, καὶ ποίαν ἐνδεδυμένοι φύσιν εἰσὶ, καὶ πῶς εἰσὶ πεφυλαγμένοι ἐν τῇ δυνάμει τῇ θεϊκῇ· καὶ πόσον ἔδραμον, καὶ πόσον ὑψώθησαν ἐν αὐτῇ· καὶ ὅτι ὅτε μακρυνθεῖ ἡ θεϊκὴ δύναμις ἐξ αὐτῶν, πῶς ἀσθενοῦσι κατέναντι πάθους παντός. ἵνα καὶ ἐκ τούτων πάντων ταπείνωσιν κτήσωνται, καὶ τῷ Θεῷ προσπελάσωσι, καὶ τὴν ἀντίληψιν αὐτοῦ προσδοκήσωσι, καὶ εἰς τὴν προσευχὴν ὑπομείνωσι. καὶ ταῦτα πάντα πόθεν ἔλαβον, εἰ μὴ ὅτε πεῖραν ἐκτήσαντο τῶν πολλῶν κακῶν, ἐν οἷς παραχωρήσει Θεοῦ ἐνέπεσον; καθὼς φησιν ὁ Ἀπόστολος, „ἵνα μὴ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ὑπεραίρωμαι, ἐδόθη μοι „σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατάν. ἀλλὰ καὶ πίστιν βεβαίαν κτᾶταί τις ἐκ τῶν πειρασμῶν ἐν τῇ πείρᾳ τῆς ἀντιλήψεως τῆς θεϊκῆς,

β. Κορινθ. ιβ. ζ.

θεϊκῆς, ἧς εἶχε πολλάκις. ἐντεῦθεν ἄφοβος γίνεται, καὶ θάρσος κτᾶται ἐν τοῖς πειρασμοῖς, καὶ (1) ἐκ τῆς γυμνασίας ἣν ἐκτήσατο.

Παντὶ ἀνθρώπῳ ὠφελεῖ ὁ πειρασμός. ἐὰν γὰρ τὸν Παῦλον ὠφελεῖ ὁ πειρασμὸς, πᾶν στόμα φραγήσεται, καὶ ὑπόδικος γενήσεται ὁ κόσμος τῷ Θεῷ. οἱ ἀγωνισταὶ πειράζονται, ἵνα προσθήσωσι τῷ πλούτῳ αὐτῶν· οἱ χαῦνοι, ἵνα ἐκ τῶν βλαπτόντων φυλάξωνται ἑαυτοὺς· καὶ οἱ ὑπνώττοντες, ἵνα εἰς ἐξυπνισμὸν συντρεπισθῶσι· καὶ οἱ μακρὰν ὄντες, ἵνα προσεγγίσωσι τῷ Θεῷ· οἱ δὲ οἰκεῖοι, ἵνα ἐν παῤῥησίᾳ εἰσοικισθῶσι. πᾶς υἱὸς ἀγύμναστος, οὐ δέχεται τὸν πλοῦτον τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, εἰς τὸ βοηθεῖσθαι ὑπ' αὐτοῦ. διὰ τοῦτο λοιπὸν, πρῶτον πειράζει ὁ Θεὸς καὶ βασανίζει, εἶτα δεικνύει τὸ χάρισμα. δόξα τῷ δεσπότῃ, τῷ ἐν φαρμάκοις στρυφνοῖς τὴν τρυφὴν τῆς ὑγείας ἡμῖν προσάγοντι.

Οὐκ ἔστιν ὅστις ἐν τῷ καιρῷ τῆς γυμνασίας μὴ ἄχθεται· καὶ οὐκ ἔστι τὶς, ᾧ οὐ πικρὸς ὁ καιρὸς, ἐν ᾧ τὸν ἰὸν ποτίζεται τῶν πειρασμῶν, καταφαίνεται. χωρὶς τούτων οὐ δυνατὸν κρᾶσιν προσκτήσασθαι ἰσχυράν. καὶ τὸ ὑπομεῖναι δὲ, οὐχ ἡμῶν ἐστί. πόθεν γὰρ ἔχει τὸ κεράμιον τὸ ἀπὸ πηλοῦ ὑπομεῖναι τὴν ῥύσιν τοῦ ὕδατος, εἰ μὴ τὸ πῦρ τὸ θεϊκὸν αὐτὸ στερεώσειεν; ἐὰν ὑποταγῶμεν αἰτούμενοι ἐν ταπεινώσει μετὰ ἐφέσεως ἀδιαλείπτου ἐν καρτερίᾳ, πάντα λαμβάνομεν. ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

(1) Τὸ καὶ ἰσ. περιττόν.

ΛΟΓΟΣ ΜΘ.

ΠΕΡΙ
ΤΗΣ ΑΛΗΘΟΥΣ ΓΝΩΣΕΩΣ ΚΑΙ
ΠΕΡΙ ΠΕΙΡΑΣΜΩΝ

καὶ περὶ τῦ ἀκριβῶς γινώσκειν, ὅτι ὐχὶ μόνον τινὲς ἐλάχισοι, καὶ ἀσθενεῖς, καὶ ἀγύμνασοι, ἀλλὰ καὶ οἱ ἀξιωθάντες τῆς ἀπαθείας χρονικῶς, καὶ φθάσαντες τὴν τελειότητα τῦ φρονήματος, καὶ πλησίον γινόμενοι τῆς καθαρότητος μερικῶς, τῆς μετὰ τῆς νεκρώσεως συνεζευγμένης, γίνεται πρὸ αὐτῦς παραχώρησις ἐν ἐλέει, διὰ τὴν πλῶσιν τῆς ὑπερηφανίας.

Κατὰ μίαν, καὶ μίαν ποσάκις παραβαίνεσί τινες, καὶ ἐν τῇ μετανοίᾳ ἰατρεύεσι τὰς ψυχὰς ἑαυτῶν, καὶ ἡ χάρις ὑποδέχεται αὐτῦς. ἐν πάσῃ γὰρ τῇ φύσει τῇ λογικῇ ἡ τροπὴ ἀδιορίσως διέρχεται. καὶ ἀλλοιώσεις διέρχονται κατὰ παντὸς ἀνθρώπε ἐν πάσαις ταῖς ὥραις αὐτῦ· ἐξ ὧν πολλῶν εὑρίσκει ὁ διακριτικὸς συνιέναι τῦτο. ἀλλ᾽ αἱ δοκιμασίαι αἱ μετ᾽ αὐτῦ καθ᾽ ἑκάστην ἡμέραν, μάλιστα δύνανται σοφίσαι αὐτὸν ταῦτα, ἐὰν νήφῃ· ἵνα καὶ παρατηρήσηται ἑαυτὸν ἐν τῷ νῷ, καὶ μάθῃ πόσην ἀλλοίωσιν πρᾳότητος, καὶ ἐπιεικείας ὑποδέχεται ἡ διάνοια καθ᾽ ἑκάστην ἡμέραν· καὶ πῶς ἐκ τῆς εἰρήνης αὐτῆς ἐξαίφνης εἰς θόλωσιν στρέφεται, ὅταν αἰτία τὶς ἐκ τόπε μὴ ᾖ αὐτῷ· καὶ πῶς ἐν κινδύνῳ μεγάλῳ καὶ ἀῤῥήτῳ γίνεται.

Καὶ

Καὶ τοῦτό ἐστιν ὅπερ ὁ ἅγιος Μακάριος ἔγραψε φανερῶς ἐν πολλῇ προνοίᾳ καὶ σπουδῇ, εἰς μνήμην τῶν ἀδελφῶν καὶ διδασκαλίαν, τοῦ μὴ ἐκκλῖναι ἐν τῷ καιρῷ τῆς ἀλλοιώσεως τῶν ἐναντιώσεων εἰς τὴν ἀπόγνωσιν. ὅτι τοῖς ἐν τῇ τάξει τῆς καθαρότητος ἱσταμένοις ἀεὶ συμβαίνει αὐτοῖς πλώματα, καθὼς συμβαίνει τῷ ἀέρι ψύχος, καὶ χωρὶς τοῦ εἶναι αὐτοὺς ἐν ἀμελείᾳ, ἢ ἐν λύσει, οὐ μὴν δὲ ἀλλὰ καὶ ἡνίκα κατὰ τάξιν αὐτῶν πορεύονται συμβαίνει αὐτοῖς πλώματα ἐναντιούμενα τῷ σκοπῷ τοῦ ἑαυτῶν θελήματος. ἀλλὰ καὶ ὁ μακάριος Μάρκος μαρτυρεῖ περὶ τούτου, ὡς ἐκ πείρας ἀκριβοῦς ὑπάρχων, καὶ τίθησιν αὐτὸ ἐν τοῖς ἑαυτοῦ γράμμασιν εἰς σύστασιν περιουσίαν· ἵνα μὴ νομίσῃ ἄνθρωπος, ὅτι ὡς ἔτυχε, καὶ οὐχὶ ἐν πείρᾳ ἀληθινῇ ἔθηκεν αὐτὸ ὁ ἅγιος Μακάριος ἐν τῇ ἑαυτοῦ ἐπιστολῇ· καὶ ἵνα ὡς ἐκ παντὸς ἐκ τῶν δύω μαρτύρων τῶν τοιούτων γένηται ἡ διάνοια δεχομένη ἀδιστάκτως τὴν παράκλησιν αὐτῆς ἐν τῷ „ καιρῷ τῆς χρείας. τί οὖν ἐστιν ἄρτι; ἀλλοιώσεις, φησὶ, γίνονται „ εἰς ἕκαστον κατὰ τὸν ἀέρα· συνῆκες ἐκεῖνο τὸ εἰς ἕκαστον· ὅτι καὶ ἡ φύσις μία ἐστίν· ἵνα μὴ νομίσῃς, ὅτι περὶ τῶν ὑποδεεστέρων, καὶ ἐλαχίστων μόνων εἶπε, καὶ οἱ τέλειοι ἐλεύθεροι τῆς ἀλλοιώσεως, καὶ ἐν μιᾷ τάξει ἀκλινῶς ἵστανται οὗτοι, χωρὶς ἐμπαθῶν λογισμῶν, καθὼς καὶ οἱ Εὐχῖται (1) λέγουσι. διὰ τοῦτο ἔθηκε τὸ, πρὸς ἕκαστον.

Πῶς

(1) „ Μεσσαλιανοὶ δὲ, τοὔνομα δὲ τοῦτο μεταβαλλόμενον εἰς τὴν Ἑλλάδα φωνὴν, τοὺς Εὐχίτας σημαίνει, τὸ μὲν βάπτισμα φασὶ μηδὲν ὀνεῖν „ τοὺς προσιόντας. ξυροῦ γὰρ δίκην ἀφαιρεῖται τῶν ἁμαρτημάτων τὰ πρότερα, τὴν δὲ ῥίζαν οὐκ ἐκκόπτει τῆς ἁμαρτίας. ἡ δὲ ἐνδελεχὴς προσευχὴ, „ καὶ τὴν ῥίζαν τῆς ἁμαρτίας πρόῤῥιζον ἀνασπᾷ, καὶ τὸν ἐξ ἀρχῆς συγκληρω-

Πῶς οὖν τοῦτο ὦ Μακάριε; ὅμως σὺ λέγεις τὸ ψῦχος, καὶ μετὰ μικρὸν, καύσων, καὶ ἴσως χάλαζα, καὶ μετ' ὀλίγον εὐδία. καὶ ἐν τῇ γυμνασίᾳ ἡμῶν οὕτω γίνεται· πόλεμος, καὶ ἀντίληψις τῆς χάριτος, καὶ ἐν καιρῷ γίνεται ἡ ψυχὴ ἐν χειμῶνι, καὶ ἐπανίστανται ἐπ' αὐτὴν κύματα σκληρά. καὶ πάλιν ἀλλοίωσις, ἐπισκεπτομένης τῆς χάριτος, καὶ πληρούσης τὴν καρδίαν αὐτοῦ χαρᾶς τε καὶ εἰρήνης τῆς ἀπὸ τοῦ Θεοῦ, καὶ λογισμῶν σωφρόνων καὶ εἰρηνικῶν. τούτους τοὺς λογισμοὺς τῆς σωφροσύνης ἐκφαίνει ὧδε, αἰνιττόμενος τοὺς πρὸ τούτων κληνώδεις ὄντας, καὶ ἀκαθάρτους, καὶ παραινεῖ λέγων· ἐὰν οὖν μετὰ

» κληρωθέντα πονηρὸν δαίμονα τῆς ψυχῆς ἐξελαύνει. ἑκάστῳ γὰρ φασιν ἀνθρώπῳ τικτομένῳ παραυτίκα συνέπεσθαι δαίμονα, καὶ τοῦτον εἰς τὰς ἀτόπους πράξεις παρακινεῖν. τοῦτον δὲ οὔτε τὸ βάπτισμα, οὔτε ἄλλο τὶ δύναται τῆς ψυχῆς ἐξελάσαι, ἀλλὰ μόνη τῆς προσευχῆς ἡ ἐνέργεια. ἐξιέναι δὲ φασι τὸν ἔνοικον δαίμονα διὰ κορύζης, καὶ τῶν περιττωμάτων τοῦ πτύσματος, οὕτως ἐξαπατηθέντες οἱ τρισάθλιοι, ἔργον μὲν οὐδὲν μετιᾶσι, πνευματικοὺς γὰρ ἑαυτοὺς ὀνομάζουσι, τῇ δὲ εὐχῇ δῆθεν ἐσχολακότες, τῆς ἡμέρας τὸ πλεῖστον καθεύδουσιν. εἶτα ὑπὸ τοὺς σφᾶς ἐκβακχευσάντος δαίμονος ἐξαπατηθέντες, ἀποκαλύψεις ἑωρακέναι φασὶ, καὶ τὰ ἐσόμενα προλέγειν ἐπιχειροῦσιν. ἐλέγχονται δὲ διὰ τῶν πραγμάτων ψευδόμενοι. βρενθύονται δὲ καὶ τὸν πατέρα βλέπειν, καὶ τὸν υἱὸν, καὶ τὸ πανάγιον πνεῦμα τοῖς τοῦ σώματος ὀφθαλμοῖς, καὶ τῆς γινομένης τοῦ πνεύματος ἐπιφοιτήσεως τὴν αἴσθησιν δέχεσθαι. πρόχειροι δὲ εἰσιν εἰς ἄρνησιν, κἂν βιασθῶσιν, ἀναθεματίζουσιν εὐπετῶς τοὺς τούτων τὶ λέγοντας. καὶ μετ' ὀλίγα. καὶ ἄλλα δὲ πολλὰ φρενίτιδος ἔργα τολμῶσι. καὶ γὰρ ἐξαπίνης πηδῶσι, καὶ δαίμονας ὑπερπηδηκέναι νεανιεύονται· καὶ τοῖς δακτύλοις τὸ τῆς τοξείας ἐπιτελοῦσι σχῆμα, τοὺς δαίμονας τοξεύειν ἰσχυριζόμενοι. καὶ ἕτερα ἄττα δρῶσι παραπλησίως, παραπληξίας μεστά. διὸ δὴ καὶ τῶν ἐνθουσιαστῶν ἐσχήκασιν ὄνομα. ταύτης ἡγήσατο τῆς αἱρέσεως Σάββας, καὶ Ἀδέλφιος, καὶ Δαώδης, καὶ Συμεώνης, καὶ Ἑρμᾶς, καὶ ἄλλοι τινές. Θεοδώριτ. ἐν Τόμ. δ. Βιβλ. δ. περὶ αἱρετικ. κακομυθ. σελ. σμγ'. ὅρα καὶ Ἐπιφαν. Βιβλ. γ. Τομ. β. αἱρεσ. π.

μετὰ τούτους τοὺς λογισμοὺς τοὺς σώφρονας καὶ ἐπιεικεῖς ἀκολουθῇ ἐπιφορά, μὴ λυπηθῶμεν, καὶ ἀπογνῶμεν· καὶ ἐν τῇ ὥρᾳ τῆς ἀναπαύσεως τῆς χάριτος μὴ καυχησώμεθα πάλιν, ἀλλ' ἐν τῷ καιρῷ τῆς χαρᾶς ἐκδεξώμεθα τὴν θλίψιν. τὸ δὲ μὴ λυπεῖσθαι ἡμᾶς, ἐὰν ἀκολουθήσῃ συμπτώματα, παραινεῖ· οὐχὶ τὸ μὴ κλαῖσθαι κατ' ἐναντίον ἡμῶν, ἀλλὰ τὸ μετὰ χαρᾶς, ἐμφαίνων ὡς φυσικὰ ταῦτα καὶ ἡμέτερα τὴν διάνοιαν δέχεσθαι. καὶ μὴ στῶμεν ἐν ἀπογνώσει, ὥς τις προσδοκήσας τὶ ὑπὲρ τὸν ἀγῶνα, καὶ ἀνάπαυσιν τελείαν καὶ ἀναλλοίωτον, καὶ πάλιν μὴ δεχόμενος ἀγῶνας καὶ λύπας· μηδὲ γενέσθαι ἐν αὐτῷ κίνησίν τινος τῶν ἐναντίων τούτων, τῶν μὴ προσηκόντων Κυρίῳ τῷ Θεῷ ἡμῶν δοῦναι τῇ φύσει ἡμῶν ταύτῃ ἐν τῷδε τῷ κόσμῳ.

Καὶ τοῦτο ποιεῖ, ἵνα μὴ γενώμεθα ἀργοὶ ἐκ τῶν ἔργων τελείως, καὶ ἐν ταύτῃ τῇ διανοίᾳ χαυνωθῶμεν ἐν τῇ ἀπογνώσει, καὶ ἀκίνητοι ἐκ τοῦ δρόμου ἡμῶν μείνωμεν. καί φησι· γνῶθι, ὅτι πάντες οἱ ἅγιοι ἐν τούτῳ τῷ ἔργῳ ἐγένοντο. ὅσον ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἡ παράκλησις ἡ περιοσὴ μετὰ τούτων γίνεται ἡμῖν ἐν τῷ κρυπτῷ. διότι ἐν πάσῃ ἡμέρᾳ, καὶ ἐν πάσῃ ὥρᾳ ἐκζητεῖται παρ' ἡμῶν ἡ δοκιμὴ τῆς πρὸς Θεὸν ἀγάπης ἡμῶν ἐν πάλῃ, καὶ ἀγῶνι πρὸς τοὺς πειρασμούς. καὶ τοῦτό ἐστι τὸ μὴ λυπεῖσθαι ἡμᾶς, τὸ μὴ ἀκηδιᾷν ἐν τῷ ἀγῶνι. καὶ οὕτω κατευθύνεται ἡ ὁδὸς ἡμῶν. ὁ δὲ θέλων ἐκ τούτων τραπῆναι, ἢ κλῖναι, οὗτος τῶν λύκων μέρος ἐστίν. ὢ θαῦμα ἐκ τούτου τοῦ ἁγίου. πῶς ἐν λόγῳ μικρῷ ἐβεβαίωσε τὴν χρῆσιν ταύτην, καὶ ἀπέδειξεν αὐτὴν πεπληρωμένην συνέσεως, καὶ ἐξέβαλε τὸν διστασμὸν τελείως ἐκ τῆς διανοίας τοῦ ἀναγινώσκοντος. ἐκεῖνος

δέφησιν ὁ ἐκκλίνων ἐκ τούτων, καὶ μέρος τῶν λύκων ὢν, ἐν οὐχ ὁδῷ θέλει πορεύεσθαι. καὶ τοῦτο ἔθηκεν ἐν τῇ διανοίᾳ αὐτοῦ κλήσασθαι, καὶ ἐν τρίβῳ ἰδικῇ τῇ μὴ πατηθείσῃ ὑπὸ τῶν πατέρων πορεύεσθαι βούλεται. τὸ δὲ ἐν τῇ ὥρᾳ τῆς χαρᾶς ἐκδέχεσθαι θλίψεις, τοῦτο ἐκδιδάσκει. ὅταν ἐκ τῆς ἐνεργείας τῆς χάριτος ἐξαίφνης γένωνται ἐν ἡμῖν λογισμοὶ μεγάλοι, καὶ ἐκπλήξεις τῆς θεωρίας τῆς διανοίας τῆς ὑψηλοτέρας τῆς φύσεως, καθὼς εἶπεν ὁ ἅγιος Μάρκος. ὅταν οἱ ἅγιοι Ἄγγελοι πλησιάσωσιν ἡμῖν, πληροῦσιν ἡμᾶς θεωρίας πνευματικῆς. κ̀ ταῦτα πάντα τὰ ἐναντία ἀναχωροῦσι, καὶ γίνεται εἰρήνη, καὶ γαλήνη ἄῤῥητος ἐν τῷ καιρῷ, ἐν ᾧ τὶς διάγει ἐν τοῖς τοιούτοις. ὅτε ἐπισκιάσειεν ἡ χάρις, καὶ οἱ ἅγιοι Ἄγγελοι σοὶ πλησιάσουσι περιτειχίζοντες, καὶ παρὰ τοῦτο ἀπὸ τοῦ πλησιασμοῦ σου πάντες οἱ πειράζοντες ἀποστήσονται, μὴ ἐπαρθῇς, καὶ νομίσῃς ἐν τῇ ψυχῇ σου, ὅτι τὸν λιμένα τὸν ἀχείμαστον ἔφθασας, καὶ εἰς τὸν ἀέρα τὸν ἀναλλοίωτον, καὶ τελείως ὑπερήρθης ἐκ τούτου τοῦ κόλπου ἐξ ἐναντίας τῶν ἐμπνεύσεων τῶν ἐν αὐτῷ, καὶ οὐκ ἔστι πάλιν ἐχθρὸς, οὐδὲ ἀπάντησις κακή. διότι πολλοὶ ταῦτα ἐνεθυμήθησαν, καὶ ἔπεσον εἰς κινδύνους, καθάπερ εἶπεν ὁ μακάριος Νεῖλος. ἢ πάλιν ὡς ὑπάρχων ὑπὲρ τοὺς πολλοὺς μέγας, καὶ ὡς σὲ καθήκει εἶναι ἐν τούτοις, καὶ ἄλλους οὐδαμοῦ, διὰ τὸ ὑστέρημα τῆς πολιτείας αὐτῶν, ἢ ὅτι οὐχ ἱκανοῖ, φησὶν, ἡ γνῶσις αὐτῶν, καὶ διὰ τοῦτο τῶν τοιούτων στεροῦνται, ἐγὼ δὲ ἐν τῷ καθήκοντι, καὶ ὡς ἔφθασα τὴν τελειότητα τῆς ἁγιότητος, κ̀ τὸν βαθμὸν τὸν πνευματικὸν, καὶ εἰς τὴν χαρὰν τὴν ἀναλλοίωτον. ἀλλὰ μᾶλλον λάβε καθ᾽ ἑαυτὸν τοὺς ἀκαθάρτους λογισμοὺς,

γισμὸς; καὶ τὰ ἀπρεπῆ εἴδωλα τὰ ἐν τῷ καιρῷ τοῦ χειμῶνος ἐμπηχθέντα τῇ διανοίᾳ σου, καὶ τῇ ὥρᾳ τῆς ταραχῆς, καὶ τῆς ἀταξίας τῶν λογισμῶν, τῶν πρὸ μικροῦ ἐπαναστάντων ἐπὶ σὲ ἐν τῇ ἀορασίᾳ τῆς σκοτώσεως· πῶς τε ἐν τάχει ἔκλινας πρὸς τὰ πάθη, καὶ συνωμίλησας αὐτοῖς ἐν τῇ σκοτώσει τῆς διανοίας, καὶ οὐκ ᾐδέσθης, οὐδ' ἐθαμβήθης ἐκ τῆς θεϊκῆς ὁράσεως, καὶ ἐκ τῶν χαρισμάτων καὶ δωρημάτων, ὧν ἐδέξω. καὶ γνῶθι, ὅτι ταῦτα πάντα, διὰ τὸ ταπεινωθῆναι ἡμᾶς ἡ πρόνοια τοῦ Θεοῦ ἤγαγεν ἐφ' ἡμᾶς, ἥτις προνοεῖ, καὶ οἰκονομεῖ ἑκάστῳ ἡμῶν, ὡς ὀφείλει αὐτῷ. ἐὰν γὰρ ἐπαρθῇς ἐν τοῖς χαρίσμασιν αὐτῆς, ἐξαφίησί σε, καὶ τελείως πίπτεις ἐν πράγμασιν, ἐν οἷς διὰ τῶν λογισμῶν μόνων πειράζῃ.

Λοιπὸν γνῶθι, ὅτι τοῦτο τὸ ἵστασθαι, οὐχὶ σὸν, οὐδέγε τῆς ἀρετῆς σου ἐστὶν, ἀλλ' ἡ χάρις αὐτή ἐστιν ἡ βαστάζουσά σε ἐπὶ τὰς παλάμας τῆς χειρὸς αὐτῆς, ὅπως μὴ πτοηθῇς. ταῦτα, φησὶν, ἔμβαλε ἐν ἑαυτῷ ἐν τῷ καιρῷ τῆς χαρᾶς, ὅτε ἐπαρθῇ ὁ λογισμὸς, εἶπεν ὁ πατὴρ ἡμῶν ὁ ἅγιος, καὶ κλαῦσον, καὶ δάκρυσον, καὶ παράπιπτε ἐπὶ τῇ μνήμῃ τῶν παραπτωμάτων σου, τῶν ἐν τῷ καιρῷ τῆς παραχωρήσεώς σου· ὅπως ῥυσθῇς ἐν τούτῳ, καὶ κτήσῃ ἐξ αὐτοῦ τὴν ταπείνωσιν. ὅμως μὴ ἀπογνῷς, ἀλλ' ἐν τοῖς λογισμοῖς τῆς ταπεινώσεως ἱλασμῷ συγχώρησόν σου τὰ ἁμαρτήματα.

Ἡ ταπείνωσις καὶ χωρὶς ἔργων πολλὰ συγχωρεῖ πλημμελήματα. ταῦτα δὲ χωρὶς αὐτῆς ἐξ ἐναντίας ἀνωφελῆ εἰσίν· ἀλλὰ καὶ κακὰ πολλὰ κατασκευάζουσιν ἡμῖν. λοιπὸν ἐν ταπεινώσει, καθὼς εἶπον, τὰς ἀνομίας σου συγχώρησον. καθάπερ ἅλας πάσῃ τροφῇ, οὕτως ἡ ταπείνωσις πάσῃ ἀρετῇ, καὶ ἰσχὺν

πολλῶν ἁμαρτημάτων αὕτη δύναται συντρίψαι. ὑπὲρ ταύτης λοιπὸν χρεία τοῦ λυπεῖσθαι ἀδιαλείπτως κατὰ διάνοιαν, ἐν ταπεινότητι, καὶ ἐν τῇ λύπῃ τῆς διακρίσεως. καὶ ταύτην ἐὰν κτησώμεθα, υἱοὺς ἡμᾶς ποιεῖ τοῦ Θεοῦ, καὶ χωρὶς ἔργων ἀγαθῶν παριστᾷ ἡμᾶς τῷ Θεῷ. διότι χωρὶς ταύτης πάντα τὰ ἔργα ἡμῶν μάταιά εἰσι, καὶ πᾶσαι αἱ ἀρεταὶ, καὶ πᾶσαι αἱ ἐργασίαι.

Λοιπὸν τὴν ἀλλοίωσιν τῆς διανοίας θέλει ὁ Θεός. καὶ ἐν διανοίᾳ βελτιούμεθα, καὶ ἐν διανοίᾳ ἀχρειούμεθα. αὐταρκεῖ αὕτη μόνη ἀβοηθήτως ἵςασθαι ἐνώπιον τοῦ Θεοῦ, καὶ λαλεῖν ὑπὲρ ἡμῶν. εὐχαρίςησον, καὶ ἐξομολόγησον τῷ Θεῷ ἀσιγήτως, ὅπως οἵαν φύσιν ἀσθενῆ, καὶ εὐχερῆ εἰς τὸ ἐκκλῖναι κεκτημένος ὑπάρχῃς, διὰ τῆς συνεργείας τῆς χάριτος, ποῦ ὑψοῦσαι κατὰ καιρὸν καὶ καιρὸν, καὶ ποίων χαρισμάτων ἀξιοῦσαι, καὶ ἐν ποίῳ τινὶ γίνῃ σὺ ὑπεράνωθεν τῆς φύσεως. ὅταν δὲ παραχωρηθῇς ἕως ποῦ κατέρχῃ, καὶ κλαῦσαι νῦν κλαυθμῷ. καὶ μνήσθητι τῆς ταλαιπωρίας τῆς φύσεώς σου, καὶ τῆς ταχύτητος τῆς ἀλλοιώσεως τῆς ἐπακολουθούσης σοι, καθώς τις τῶν ἁγίων γερόντων εἶπεν· ὅταν φησὶν ἔλθῃ σοι ὁ λογισμὸς τῆς ὑπερηφανίας, λέγων σοι· μνημόνευσον τῶν ἀρετῶν σου, εἰπέ· γέρων, βλέπε τὴν πορνείαν σου. ταύτην τὴν πορνείαν εἶπεν, ἐν ᾗ ἐν τῷ καιρῷ τῆς παραχωρήσεως ἐν τοῖς λογισμοῖς ἐπειράσθης. ὅπερ εἰς ἕκαςον οἰκονομεῖ ἡ χάρις, ἢ ἐν πολέμῳ, ἢ ἐν ἀντιλήψει, κατὰ τὸ ἡμῖν ὀφειλόμενον.

Εἶδες τὸν γέροντα τοῦτον τὸν θαυμαςὸν, πῶς εὐκόλως εἶπε τοῦτο τὸ πρᾶγμα; ὅταν φησὶν ἔλθῃ σοι ὁ λογισμὸς τῆς ὑπερηφανίας ὑπὲρ τοῦ ὕψους τῆς πολιτείας σου, εἰπέ· γέρων, βλέπε

βλέπε τὴν πορνείαν σου. τοῦτο γὰρ φανερόν ἐστιν, ὅτι πρὸς μέγαν ἄνθρωπον εἶπε τοῦτο ὁ γέρων. ὅτι οὐδὲ δυνατὸν (1) ὑπὸ τοιούτου λογισμοῦ ὀχληθῆναι, εἰ μὴ οἵτινες ἐν τῇ ἀνωτέρᾳ τάξει, καὶ τῇ πολιτείᾳ τῇ ἐπαίνου ἀξίᾳ ἵστανται. καὶ ὅτι τοῦτο τὸ πάθος μετὰ τὴν ἀρετὴν τὴν πραχθεῖσαν ἐπανίσταται τῇ ψυχῇ, τοῦ γυμνῶσαι αὐτὴν τῆς ἐργασίας αὐτῆς, καὶ ἐκ μιᾶς ἐπιστολῆς τοῦ αὐτοῦ ἁγίου Μακαρίου, ἐὰν θέλῃς, δύνῃ μαθεῖν, ἐν ποίῳ βαθμῷ ἵστανται, καὶ τίνα εἰσὶ τὰ παραχωρούμενα κατ᾽ αὐτῶν, τοῦ πειρασθῆναι ἐν αὐτοῖς τοὺς ἁγίους. ἔστι δὲ ἡ ἐπιστολὴ ἐκείνη, αὕτη.

Ὁ ἀββᾶς Μακάριος γράφει πᾶσι τοῖς τέκνοις αὐτοῦ τοῖς ἀγαπητοῖς, ἔνθα ἐκδιδάσκει φανερῶς, πῶς οἰκονομοῦνται ἐκ τοῦ Θεοῦ ἐν πολέμοις, καὶ ἐν ἀντιλήψει τῆς χάριτος· ὅτι ἐν τούτοις ἤρεσε τῇ σοφίᾳ τοῦ Θεοῦ γυμνάζεσθαι τοὺς ἁγίους ἐν τῷ αἰῶνι κατάναντι τῆς ἁμαρτίας, ἐν ὅσῳ εἰσὶν ἐν τῇ ζωῇ ταύτῃ ὑπὲρ τῆς ἀρετῆς. ὅπως ἐν παντὶ καιρῷ ὑψωθῇ ἡ θεωρία αὐτῶν πρὸς αὐτὸν, καὶ ἐν τῇ πρὸς αὐτὸν διηνεκεῖ θεωρίᾳ ἐπαυξήσῃ ἐν αὐτοῖς ἡ ἀγάπη αὐτοῦ ἡ ἁγία· ὅταν ἀδιαλείπτως ἐκ τῆς ἐπείξεως τῶν παθῶν, καὶ τοῦ φόβου τοῦ ἐκκλῖναι, πρὸς αὐτὸν δράμωσι, καὶ βεβαιωθῶσιν ἐν τῇ πίστει, καὶ τῇ ἐλπίδι, καὶ τῇ ἀγάπῃ αὐτοῦ.

Ταῦτα ἀρτίως οὐ τοῖς διαμένουσι μετὰ τῶν ἀνθρώπων, καὶ μεταβαίνουσιν ἐν παντὶ τόπῳ, καὶ ἀεὶ ἐν πράγμασι καὶ λογισμοῖς τοῖς οὖσιν αἰσχροῖς τε καὶ ἀκαθάρτοις, ἀληθῶς ἐρ-

 ρέθησαν,

(1) Τὸ Ε. Χ. ὅτι οὐ δυνατὸν ὑπὸ τοῦ τοιούτου λογισμοῦ τῆς ὑπερηφανίας ὀχληθῆναι, εἰ μὴ τινὰς, οἵπερ ἐν τῇ ἀνωτέρᾳ τάξει κτ.

ρέθησαν, ȣ̓δὲ τοῖς ἔξωθεν τῆς ἡσυχίας τὴν δικαιοσύνην διερχομένοις ἐν ἔργοις, καὶ ἐν ταῖς αἰσθήσεσιν αὐτῶν θηρευομένοις καθ᾽ ὥραν, καὶ ἐν παντὶ καιρῷ ἐν τῷ κινδύνῳ τῆς πλώσεως, (συνιςᾷ (1) αὐτȣ̀ς ἡ ἀνάγκη ἡ ἀπαντῶσα αὐτοῖς πόῤῥω τȣ̃ θελήματος) ἐν [illegible]σίοις συμπλώμασι, τοῖς μὴ μόνον τȣ̀ς λογισμȣ̀ς αὐτῶν, ἀλλ᾽ ȣ̓δὲ τὰς αἰσθήσεις ἑαυτῶν δυναμένοις φυλάξαι τελείως· ἀλλὰ τοῖς ἰσχύȣσι τηρῆσαι τὰ σώματα, καὶ τὸν λογισμὸν ἑαυτῶν, καὶ ἀπέχȣσι παντελῶς τῆς ταραχῆς, καὶ τῆς συντυχίας τῶν ἀνθρώπων, καὶ ἐν τῇ ἀποταγῇ τῶν ἁπάντων, καὶ τῶν ψυχῶν αὐτῶν, εὐκαιρήσασι φυλάξαι τὸν νȣ̃ν αὐτῶν ἐν τῇ προσευχῇ, καὶ ἀλλοιώσεις τῶν οἰκονομιῶν τῶν ἐκ τῆς χάριτος ὑποδεχομένοις αὐτὸς τῆς πολιτείας τῆς ἡσυχίας, καὶ ὑποκάτωθεν τȣ̃ βραχίονος τῆς γνώσεως τȣ̃ Κυρίȣ διάγȣσι, καὶ σοφιζομένοις ὑπὸ τȣ̃ πνεύματος κρυπτῶς εἰς τὴν ἡσυχίαν ἐν τῇ ἀποχῇ τῶν πραγμάτων, καὶ τῆς θεωρίας τῆς ἀπὸ τινων, καὶ κλησαμένοις νέκρωσιν διανοίας ἀπὸ τȣ̃ κόσμȣ. ὅτι ἐκ τȣ́των τὰ πάθη ȣ̓κ ἀποθνήσκȣσιν· ἡ δὲ διάνοια ἀποθνήσκει αὐτοῖς ἐν τῇ ἀποχῇ τῶν πραγμάτων, καὶ τῇ συνεργείᾳ τῆς χάριτος. αὕτη ἡ χάρις φυλάξαι καὶ ἡμᾶς εἰς τȣ̃τον τὸν ὅρον. Ἀμήν.

(1) Ἴσ. συνιςᾷ γάρ.

ΛΟΓΟΣ

ΛΟΓΟΣ Ν.

ΠΕΡΙ
ΤΟΥ ΑΥΤΟΥ ΝΟΥ ΤΟΥ ΚΕΦΑΛΑΙΟΥ ΤΟΥΤΟΥ
ΚΑΙ ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ.

Διάνοια δὲ συνηγμένη τοῦ κεφαλαίου τούτου ἐστὶ, τὸ γινώσκειν ἡμᾶς ἐν πάσῃ ὥρᾳ, ὅτι ἐν ταύταις ταῖς εἰκοσιτέσσαρσιν ὥραις τῆς νυκτὸς καὶ τῆς ἡμέρας τῆς μετανοίας χρήζομεν. νόησις δὲ τοῦ ὀνόματος τῆς μετανοίας, καθὼς ἐκ τοῦ ἀληθινοῦ τρόπου τῶν πραγμάτων ἐγνώκαμεν, τοῦτό ἐστι· δέησις ἐκτενὴς ἐν πάσῃ ὥρᾳ ἐν εὐχῇ πεπληρωμένη κατανύξεως προσεγγίζουσα τῷ Θεῷ ὑπὲρ ἀφέσεως τῶν παρελθόντων, καὶ λύπη ὑπὲρ τῆς τῶν μελλόντων φυλακῆς. διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν ἐν τῇ προσευχῇ τὴν ἀσθένειαν ἡμῶν ἀνδραίωσε, λέγων·

» ἐξυπνίσθητέ φησι, καὶ γρηγορήσατε, καὶ εὔξασθε, ἵνα μὴ εἰ- (Ματθ. κϛ. μα.)
» σέλθητε εἰς πειρασμόν. καὶ εὔξασθε, καὶ μὴ ὀκνήσητε, καὶ
» ἔσεσθε γρηγοροῦντες ἐν παντὶ καιρῷ, καὶ εὐχόμενοι. αἰτεῖτέ- (Ματθ. ζ. ζ.)
» φησι, καὶ λήψεσθε. ζητήσατε, καὶ εὑρήσετε. κρούετε, καὶ
» ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν
» εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. μάλιστα δὲ τὸν ἑαυτοῦ λόγον ἐβεβαίωσε, καὶ ἐπὶ πλέον σπουδάσαι ἡμᾶς παρεσκεύασεν ἐν τῇ παραβολῇ τοῦ φίλου, τοῦ ἀπελθόντος πρὸς τὸν ἑαυτοῦ
» φίλον τὸ μεσονύκτιον, καὶ αἰτησαμένου αὐτῷ ἄρτον, λέγων· (Λουκ. ια. η.)
» ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν μὴ διὰ τὴν φιλίαν αὐτοῦ δῷ αὐτῷ,

„ἀλλάγε

„ ἀλλάγε διὰ τὴν ἀναίδειαν αὐτȣ̃, ἐγερθεὶς δώσει αὐτῷ πάντα „ ὅσα ἂν αἰτήσηται αὐτῷ. καὶ ὑμεῖς εὔξαθε, καὶ μὴ ἀμελήσητε. ὢ τȣ̃ θάρσȣς τȣ̃ ἀῤῥήτȣ. ὁ δοτὴρ διεγείρει ἡμᾶς, αἰτήσαθαι παρ᾽ αὐτȣ̃, ἵνα δῷ ἡμῖν τὰ θεῖα αὐτȣ̃ χαρίσματα. καὶ ἐὰν αὐτὸς πάντα ὅσα εὐεργετȣ̃σιν ἡμᾶς οἰκονομῇ ἡμῖν, ὡς οἶδεν αὐτὸς, ὅμως εἰς τὸ θαῤῥεῖν, καὶ πεποιθέναι, μεγάλως πεπληρωμέναι εἰσὶν (1) αἱ φωναὶ αὐτȣ̃ αὗται. καὶ διότι ἔγνω ὁ Κύριος, ὡς ἐκ ἀπῆρε τὴν ἔκκλισιν πρὸ τȣ̃ θανάτȣ· καὶ ὅτι ὅσον αὕτη ἡ ἀλλοίωσις πλησίον ἐστὶν, ἤγȣν ἀπὸ τῆς ἀρετῆς ἐπὶ τὴν κακίαν· καὶ ὅτι ὁ ἄνθρωπος, καὶ ἡ φύσις αὐτȣ̃ δεκτική ἐστι τῶν ἐναντίων, ἐπὶ τὴν διηνεκῆ δέησιν σπȣδάσαι καὶ ἀγωνίσαθαι ἡμᾶς προετρέψατο. ὅτι εἰ ἦν ἡ χώρα τῆς πεποιθήσεως ἐν τῷ κόσμῳ τȣ́τῳ, ἡνίκα ἔφθασεν αὐτὴν ὁ ἄνθρωπος, ἔκτοτε ὑψȣ̃το ἡ φύσις αὐτȣ̃ ἐκ τῆς χρείας, καὶ ἡ ἐργασία αὐτȣ̃ ἐκ τȣ̃ φόβȣ· καὶ ὑπὲρ τῆς εὐχῆς ἐ προετρέπετο ἡμᾶς ἀγωνίζεθαι, ἐν τῇ προνοίᾳ ἑαυτȣ̃ τȣ̃το ποιȣ́μενος. (2) διότι ἐδὲ ἐν τῷ μέλλοντι αἰῶνι προσευχὰς προσφέρȣσι τῷ Θεῷ ἐν αἰτήσεσί τινων. διότι ἐν ἐκείνῃ τῇ πατρίδι τῆς ἐλευθερίας, ἡ φύσις ἡμῶν ἐ δέχεται ἀλλοίωσιν, ἐδ᾽ ἐκκλινισμὸν κάτωθεν τȣ̃ φόβȣ τῆς ἐναντιώσεως· καὶ ὅτι τελεία ἐστὶν ἐν πᾶσι. διὰ τȣ̃το ἐ περὶ τῆς εὐχῆς μόνον καὶ φυλακῆς, (3) ἀλλὰ κ̀ διὰ τὴν λεπτότητα,

(1) Τὸ μεγάλως πεπληρωμέναι, ταυτοσήμαντον τυχὸν τῷ μεγάλως πληροφορȣ̃σιν, ἢ μεγάλης πληροφορίας ἔμπλεοί εἰσιν.

(2) Ἐν τῇ προνοίᾳ ἑαυτȣ̃ τȣ̃το ποιȣ́μενος, τȣτέστι τῇ ἑαυτȣ̃ προνοίᾳ ἐκτελῶν τὰ διὰ τῆς εὐχῆς ἀπαιτȣ́μενα.

(3) Διὰ τȣ̃το ἐ περὶ τῆς εὐχῆς μόνον, καὶ φυλακῆς. ὑπονοητέον ἐνταῦθα τὸ ἀγωνιστέον, ἢ σπȣδαστέον, ἢ ἄλλο παρεμφερές. ἄλλως μὲν γὰρ ἀκατανόητος ἡ ἔννοια.

τητα, καὶ ἀκαταληψίαν τῶν ἀεὶ ἀπαντώντων ἡμῖν, τῶν μὴ καταλαμβανομένων ὑπὸ τῆς γνώσεως τοῦ νοὸς ἡμῶν· ἐν τούτοις, ὧν πολλάκις καὶ ἀκουσίως ἐντὸς αὐτῶν εὑρισκόμεθα ἐν παντὶ καιρῷ. κἂν γὰρ καὶ τὸ φρόνημα ἡμῶν μεγάλως βέβαιον, καὶ εὐδοκοῦν ἐν τῷ ἀγαθῷ, ἀλλὰ ποσάκις πρὸς τὸν ὅρον τῶν πειρασμῶν ἀφῆκε, καὶ ἔρριψεν ἡμᾶς ἡ πρόνοια αὐτοῦ, καθὼς εἶπεν » ὁ μακάριος Παῦλος, ἵνα μὴ ὑπεραίρωμαι τῇ ὑπερβολῇ τῶν » ἀποκαλύψεων, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος Σατὰν, » ἵνα με κολαφίζῃ. καὶ ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, » ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. καὶ εἴρηκέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ » δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.

β. Κορινθ. ιβ. ζ.

Λοιπὸν Κύριε, εἰ τοῦτό ἐστι τὸ θέλημά σου, καὶ τούτων πάντων δέεται ἡ νηπιότης ἡμῶν παιδαγωγηθῆναι, καὶ ἐξυπνισθῆναι ὑπὸ σοῦ, καὶ οὐχ ὅταν ᾖ ὁ ἄνθρωπος μεμεθυσμένος ἐν τῷ πόθῳ σου, ὥσπερ ἐγὼ, καὶ ἕλκεται ὀπίσω τῶν ἀγαθῶν, ὡς μὴ καθορᾷν τὸν κόσμον παντελῶς διὰ τὸν μεθυσμὸν, ὃν ἔχει εἰς σὲ, καὶ ὑπὲρ τούτου, καὶ ἕως τούτου φθάσαιμι πεποίηκας εἰς ἀποκαλύψεις καὶ θεωρίας τὰς μὴ ἐξουσιαζομένας γλώσσῃ σαρκίνῃ ἑρμηνευθῆναι, καὶ ἰδεῖν καὶ ἀκοῦσαι φωνῆς τῆς λειτουργίας τῶν πνευματικῶν, καὶ τῆς θεωρίας σου τῆς πεπληρωμένης ἁγιότητος ἀξιωθῆναι· καὶ ἀκμὴν σὺν τούτοις πᾶσιν, οὐχ ἱκανός εἰμι φυλάξαι ἐμαυτὸν ἐγὼ, ὁ ὑπάρχων ἄνθρωπος τέλειος ἐν Χριστῷ, διὰ τὸ εἶναί τι ἔτι, καὶ διὰ τὴν λεπτότητα αὐτοῦ, μὴ δυνάμενον ὑπὸ τῆς δυνάμεώς μου καταληφθῆναι ἐμοὶ τῷ κεκτημένῳ τὸν νοῦν τοῦ Χριστοῦ· λοιπὸν Κύριε, διὰ τοῦτο χαίρω ἐν ἀσθενείαις, ἐν θλίψεσιν, ἐν φυλακαῖς, ἐν δεσμοῖς, ἐν ἀνάγκαις· εἴτ' ἐκ τῆς φύσεως, εἴτ' ἐκ τῶν υἱῶν τῆς φύσεως, εἴτ' ἐκ τῶν ἐχθρῶν αὐ-

τῆς, καὶ χαίρων ὑπομένω τὰς ἀσθενείας μυ, τῦτο δέ ἐςιν ἐν τοῖς πειρασμοῖς μυ, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τῦ Θεῦ. ἐὰν μετὰ τύτων ἁπάντων τῆς ῥάβδυ τῶν πειρασμῶν ἐγὼ δέωμαι, ἵνα ἐπαυξήσῃ ἐν αὐτῇ ἐπ' ἐμὲ ἡ ἐπισκήνωσίς συ, ϗ φυλαχθῶ ἐν τῷ πλησιασμῷ συ, ἐγὼ γινώσκω, ὅτι ἐκ ἔςισοι ἀγαπητὸς πλέον ἐμῦ. ϗ ἐκ τύτυ ὑπὲρ πολλὺς ἐμεγάλυνάς με. ϗ ὥσπερ ἐμοὶ ἔδωκας γνῶναι τὰς δυνάμεις συ τὰς θαυμαςὰς ϗ ἐνδόξυς, τινὶ τῶν Ἀποςόλων τῶν ἑταίρων μυ ἐκ ἔδωκας, ϗ ἐκάλεσάς με σκεῦος ἐκλογῆς, ὡς πιςὸν φυλάξαι τὴν τάξιν τῆς ἀγάπης συ. διὰ ταῦτα πάντα, ϗ μάλιςα ὡς προκόπτον, ϗ πορευόμενον εἰς τὸ ἔμπροσθεν τὸ ἔργον τῦ κηρύγματος, εἰ ὅτε λελυμένος γένωμαι ἐκ τῦ δεσμῦ τῶν πειρασμῶν, ἐγὼ γινώσκω, ὅτι παρέχές μοι ἐλευθερίαν, εἰ ὠφελοίμην, ἀλλ' ἐκ ηὐδόκησας εἶναί με χωρὶς θλίψεως, ἐδὲ μερίμνης ἐν τῷ κόσμῳ τύτῳ. ἡνίκα ἐκ ἔμελλέ σοι πλέον μάλιςα πληθύνεσθαι τὸ ἔργον τῦ κηρύγματος τῦ Εὐαγγελίυ συ ἐν τῷ κόσμῳ, ὅσον ἐγὼ ὠφεληθῶ ἐν τοῖς πειρασμοῖς μυ, καὶ ὅταν ἡ ψυχή μυ ὑγιὴς φυλαχθῇ παρὰ σοί.

β. Κορινθ. ιβ. θ.

Λοιπὸν, ὦ διακριτικὲ, ἐὰν τῦτο ὅλον, μεγάλη ἡ δωρεὰ τῶν πειρασμῶν. ὅτι ὅσον ἐπὶ πλέον ὑπεραρθῇ ὁ ἄνθρωπος, καὶ εἰσέλθῃ εἰς τὸ πνευματικὸν, κατὰ τὴν ὁμοίωσιν τῦ Παύλυ, ἀνάγκην χρήζει φόβυ, καὶ παραφυλακῆς, καὶ ὠφέλειαν τρυγᾷ ἐκ τῆς ἀπαντήσεως τῶν πειρασμῶν. τίς ἐςιν ὕτος ὁ φθάσας εἰς τὴν χώραν τῆς πεποιθήσεως τὴν πεπληρωμένην σκύλων, καὶ ἐδέξατο τὸ μὴ ἐκκλίνειν, (ὅπερ τοῖς ἁγίοις Ἀγγέλοις ἐκ ἐδόθη, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.) καὶ τῦτο ἐδέξατο, ὅπερ ἐςὶ πάντων τῶν πνευματικῶν ἐναντίον, καὶ τῶν σωματι-

ματικῶν, καὶ ἀναλλοίωτος εἶναι ἐθέλει ὅλως, καὶ μὴ προσεγγίσαι αὐτῷ πειρασμὸν τὸν ἐν τοῖς λογισμοῖς; ἡ τάξις δὲ τούτου τοῦ κόσμου, αὕτη ἐστὶν ἡ διάνοια, ἡ ὡς ἐν πάσαις ταῖς γραφαῖς λεγομένη. (1) ἐὰν καθ' ἡμέραν χιλίας καθόδους δεχώμεθα πληγῶν, ἵνα μὴ μικροψυχήσωμεν, καὶ ἀπολειφθῶμεν τοῦ δρόμου τοῦ ἐν τῷ σταδίῳ. δυνατὸν γάρ ἐστιν ἐν μιᾷ προφάσει μικρᾷ ἁρπάσαι τὴν νίκην, καὶ δέξασθαι τὸν στέφανον ἡμῶν.

Οὗτος ὁ κόσμος, δρόμος ἐστὶ τοῦ ἀγῶνος, καὶ στάδιον τῶν δρόμων. καὶ οὗτος ὁ καιρὸς, τῆς πάλης ἐστί. καὶ ἐν τῇ χώρᾳ τῆς πάλης, καὶ ἐν τῷ καιρῷ τοῦ ἀγῶνος, νόμος οὐ κεῖται. τοῦτο δέ ἐστιν, ὅτι ὅρον οὐ τίθησιν ὁ βασιλεὺς ἐπὶ τοὺς στρατιώτας αὐτοῦ, ἕως ἂν πληρωθῇ ὁ ἀγὼν, καὶ συναχθῇ ἕκαστος ἄνθρωπος πρὸς τὴν θύραν τοῦ βασιλέως τῶν βασιλευόντων, καὶ δοκιμασθῇ ἐκεῖσε ὁ ὑπομείνας ἐν τῷ ἀγῶνι, καὶ οὐ κατεδέξατο ἡττηθῆναι, καὶ ὅστις ἔστρεψε τὸν νῶτον ἑαυτοῦ. ποσάκις γὰρ γίνεται ἄνθρωπος μὴ χρησιμεύων τινὶ, καὶ ἀδιαλείπτως ἐκ τῆς ἀγυμνασίας αὐτοῦ ἔστηκε κεντημένος, (2) καὶ ἐῤῥιμμένος, καὶ ἐν παντὶ καιρῷ ἐν ἀδυναμίᾳ ὑπάρχων, ἔστιν ὅτε ἁρπάζει τὸ φλάμουλον ἐκ τῆς χειρὸς τοῦ στρατοῦ τῶν υἱῶν τῶν γιγάντων, καὶ

(1) Τί ἄρα βούλεται αὐτῷ τὸ, ἡ τάξις δὲ τούτου τοῦ κόσμου, αὕτη ἐστὶν ἡ διάνοια, ἡ ὡς ἐν πάσαις ταῖς γραφαῖς λεγομένη; ἢ ἔστι τὸ, ἡ ἁπασῶν τῶν γραφῶν ἔννοια, τῶν περὶ τῆς τοῦ κόσμου τάξεως διαλαμβανουσῶν, ἐστὶν αὕτη. ἐὰν καθ' ἡμέραν χιλίας καθόδους δε-
» χώμεθα πληγῶν, ἵνα μὴ μικροψυχήσωμεν. ελήφθη δὲ τοῦτο ἐκ
» τῶν, ἑπτάκις γὰρ πεσεῖται δίκαιος, καὶ ἀναστήσεται (παροιμ. κδ. ιϛ.)
» μὴ ὁ πίπτων, οὐκ ἀνίσταται; (Ἱερεμ. η. δ.) οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ'
» ἕως ἑβδομηκοντάκις ἑπτά. Ματθ. ιη. κβ.

(2) Κεκρατημένος τὸ Ε. Χ.

ἐξάγεται τὸ ὄνομα αὐτοῦ, καὶ ἐπαινεῖται πολὺ πλέον ὑπὲρ τοὺς ἀγωνιζομένους, καὶ γνωριζομένους ἐν νίκαις, καὶ ὑποδέχεται στέφανον, καὶ δωρήματα τίμια ὑπὲρ ἅπαντας τοὺς ἑταίρους αὐτοῦ. διὰ τοῦτο μὴ στήτω τὶς ἄνθρωπος ἐν ἀπογνώσει· μόνον εἰς τὴν εὐχὴν μὴ ἀμελήσωμεν, καὶ αἰτήσασθαι παρὰ Κυρίου ἀντίληψιν, μὴ ὀκνήσωμεν.

Καὶ τοῦτο θῶμεν ἐν τῷ φρονήματι ἡμῶν, ὅτι ὅσον ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἐν τῇ σαρκὶ καταλελειμμένοι, ἐὰν ἕως τῆς ἀψῖδος τῶν οὐρανῶν ὑψωθῶμεν, χωρὶς ἔργων καὶ μόχθου γενέσθαι ἡμᾶς, ἐν ἀμεριμνείᾳ τε εἶναι, οὐ δυνάμεθα. τοῦτό ἐστι τὸ τελείωμα. συγχώρησόν μοι. τὸ πλέον δὲ τούτου μελέτη ἐστὶ, τουτέστι χωρὶς διανοίας. (1) τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα, καὶ κράτος, καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ

(1) Τὸ Ε. Χ. μελέτη ἐστὶ διανοίας χωρὶς, εἴτουν μελέτη ἄνευ τινὸς σκέψεως καὶ ἐπικρίσεως νοός. εἰπὼν γὰρ, ὅτι κἂν ἕως τοῦ οὐρανοῦ ὑψωθῶμεν, ἀδύνατόν ἐστιν ἀμερίμνους ἡμᾶς εἶναι, καὶ ὅτι τοῦτό ἐστι τὸ τελείωμα, προσέθετο, ὅσα δ᾽ ἄντις ἐκτὸς τῶν εἰρημένων μελετήσειε, κενὰ καὶ ἀπερίσκεπτα.

ΛΟΓΟΣ ΝΑ.

ΠΕΡΙ
ΔΙΑΦΟΡΩΝ ΤΡΟΠΩΝ ΤΟΥ ΠΟΛΕΜΟΥ ΤΟΥ ΕΚ ΤΟΥ ΔΙΑΒΟΛΟΥ ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΤΗ ΣΤΕΝΗ ΟΔΩ ΤΗ ΥΠΕΡΕΧΟΥΣΗ ΤΟΝ ΚΟΣΜΟΝ ΠΟΡΕΥΟΜΕΝΟΥΣ.

Ἔχει ἔθος παλαιὸν ὁ διάβολος, ὁ ἀντίπαλος ἡμῶν τοῖς ἐν τῷ ἀγῶνι τέτῳ κατιἕσι μηχανικῶς διαιρεῖν τὰς πάλας αὐτἒ κατ' αὐτῶν ἐκ τἒ σχήματος τῶν ὅπλων αὐτἒ, καὶ πρὸς τὸν σκοπὸν τῶν προσώπων ἀλλάσει τὸν τρόπον τἒ ἀγῶνος αὐτἒ. καὶ πρὸς μὲν τὲς ὄντας ῥαθύμες τῇ προαιρέσει, καὶ ἐν τοῖς λογισμοῖς ἀσθενεῖς, θεωρεῖ αὐτὲς, καὶ ἐξ ἀρχῆς πολεμεῖ αὐτὲς σφοδρῶς. ὥσε ἐγείρειν κατ' αὐτῶν πειρασμὲς σερεὲς, καὶ ἰσχυρές. ὅπως γεύσασθαι αὐτὲς ποιήσῃ τῶν τρόπων τῆς πονηρίας αὐτἒ ἐκ τῆς ἀρχῆς τῆς ὁδἒ. (1) ἵνα ἐκ τἒ πρώτε ἀγῶνος κατάσχῃ αὐτὲς δειλία, καὶ φανῇ αὐτοῖς ἡ ὁδὸς αὐτῶν τραχεῖα, καὶ δύσβατος. καὶ εἴπωσιν ἕτως· ἐὰν ἡ ἀρχὴ αὐτῆς ἕτω δυσχερὴς καὶ σκληρὰ, ἕως τἒ τέλες αὐτῆς τὶς δύναται ἀπαντῆσαι τοῖς ἀγῶσι τοῖς πολλοῖς, τοῖς ἐν μέσῳ αὐτῆς τεταγμένοις; καὶ ἔκτοτε ἒ δύνανται πάλιν σῆναι, ἢ ἐλθεῖν εἰς τὸ ἔμπροσθεν. ἀλλ' ἐδὲ πρὸς ἄλλο τι

(1) Τὸ Ε. Χ. ὅπως γευσαμένες αὐτῶν, ἀποσήσῃ ἐκ τῆς ἀρχῆς τῆς ὁδἒ.

τι ἰδεῖν ἐκ τῆς ἐπείξεως τῆς φροντίδος τῆς περὶ τούτου. καὶ πρὸς
ὀλίγον σφίγγει τὸν πόλεμον αὐτοῦ ὁ διάβολος πρὸς αὐτούς,
ἵνα οὕτω φύγωσι. μᾶλλον δὲ ὁ Θεὸς αὐτός ἐστιν ὁ παραχωρῶν
αὐτῷ ἰσχύειν κατ' αὐτῶν, καὶ ἐν μηδενὶ αὐτοῖς βοηθῶν. διότι ἐν
διστάγμῳ, καὶ ψυχρότητι εἰς τὸν ἀγῶνα τοῦ Κυρίου εἰσῆλθον.
Ἱερεμ. μη. ι. λέγει γὰρ, ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς,
» καὶ κωλύει τὴν χεῖρα ἐκ τοῦ αἵματος. καὶ πάλιν. ἐγγὺς Κύριος
Ψαλ. πδ. ι. τοῖς φοβουμένοις αὐτόν. ἄνευ γὰρ φόβου, καὶ ψυχρότητος ἀ-
» παντῆσαι τῷ διαβόλῳ ἐπιτρέπει ὁ Θεὸς, λέγων· ἄρξαι τοί-
νυν τοῦ ἀπολέσαι αὐτὸν, καὶ ὅρμησον κατ' αὐτοῦ πρὸς πόλεμον,
Δευτ. ια. κε. καὶ συμπλάκηθι αὐτῷ ἀνδρείως. καὶ ἄρξομαι ἐπιθεῖναι τὸν
» φόβον σου ἐπὶ πάντας τοὺς ἐχθρούς σου τοὺς ὑποκάτω τοῦ οὐρανοῦ,
λέγει Κύριος. ἐὰν γὰρ μὴ ἀποθάνῃς θάνατον αἰσθητὸν ἑκουσίως
ὑπὲρ τῆς ἀγαθότητος τοῦ Θεοῦ, ἀκουσίως μέλλεις ἀποθανεῖν ἐκ
τοῦ Θεοῦ νοητῶς.

Ὅπερ οὖν ἐστὶ μέρος σου, μὴ δυσχεράνῃς δέξασθαι ὑπὲρ αὐ-
τοῦ ἑκουσίως πρόσκαιρα παθήματα, καὶ εἰσελθεῖν εἰς τὴν δό-
ξαν τοῦ Θεοῦ. ἐὰν γὰρ ἐν τῷ ἀγῶνι τοῦ Κυρίου ἀποθάνῃς σωμα-
τικῶς, αὐτός σε ὁ Κύριος στεφανοῖ, καὶ τοῖς λειψάνοις σου τοῖς
τιμίοις παρέχει ὁ Θεὸς τὴν τιμὴν τῶν μαρτύρων. διὰ τοῦτο,
ὡς προεῖπον, ὅτι οἱ ἐν προοιμίοις αὐτῶν ἀμελεῖς, καὶ χαῦνοι,
καὶ μὴ βιασθέντες πρὸς θάνατον δοῦναι ἑαυτοὺς, ἐντεῦθεν ἐν
πᾶσι τοῖς πολέμοις εὑρίσκονται ἐλάχιστοι, καὶ οὐκ ἀνδρεῖοι. μᾶλ-
λον δὲ ὁ Θεὸς παραχωρεῖ αὐτοὺς διωχθῆναι, καὶ πολεμηθῆναι.
διότι οὐκ ἐν ἀληθείᾳ ἐξεζήτησαν αὐτὸν, ἀλλ' ὡς πειράζοντες,
καὶ χλευάζοντες ἐδοκίμασαν τελειῶσαι τὸ ἔργον τοῦ Θεοῦ. διὰ
τοῦτο καὶ αὐτὸς ὁ διάβολος ἐξ ἀρχῆς ἐγνώρισεν αὐτοὺς, καὶ ἐδο-
κίμα-

κίμασε τὺς λογισμὺς αὐτῶν, ὁποῖοί εἰσι, τυτέςι δειλοὶ καὶ φίλαυτοι, ἢ μᾶλλον φειδόμενοι τῦ σώματος αὐτῶν. διὰ τῦτο ὡς ἐν καταιγίδι καταδιώκει αὐτύς. διότι δύναμιν νοητὴν, ἥνπερ ἔχει ἔθος θεωρεῖν ἐν τοῖς ἁγίοις, ὐ θεωρεῖ ἐν αὐτοῖς. πρὸς τὴν προαίρεσιν γὰρ τῦ ἀνθρώπυ τὴν πρὸς τὸν Θεὸν, ἢ τὴν πρόθεσιν τὴν πρὸς τὸν σκοπὸν τὸν δι' αὐτὸν, ὕτω συνεργεῖ αὐτῷ ὁ Θεὸς, καὶ βοηθεῖ, καὶ δεικνύει αὐτῷ τὴν πρόνοιαν αὐτῦ. ὐ δύναται γὰρ ὁ διάβολος προσεγγίσαι τῷ ἀνθρώπῳ, ἢ προσενέγκαι αὐτῷ πειρασμὺς, εἰ μὴ ἀμελήσῃ, ἢ καὶ παραχωρήσῃ αὐτὸν ὁ Θεός. ἢ ἐὰν χαυνώσῃ αὐτὸν εἰς αἰσχρὺς λογισμὺς ἀπὸ οἰήσεως, καὶ ἐπάρσεως, ἢ ἀπὸ λογισμῦ, καὶ διςαγμῦ, καὶ διψυχίας. τὺς τοιύτυς ὁ διάβολος ἐξαιτεῖται, τῦ πειράσαι.

Τὺς δὲ ἀρχαρίυς, καὶ ἁπλῦς, καὶ ἀπείρυς, ὐκ ἐξαιτεῖται παρὰ τῦ Θεῦ ὥσπερ τὺς ἁγίυς ἢ μεγάλυς, τῦ πειράσαι αὐτύς. διότι γινώσκει, ὅτι ὐ παραχωρεῖ αὐτὺς ὁ Θεὸς πεσεῖν εἰς τὰς χεῖρας αὐτῦ. οἶδε γὰρ ὁ Θεὸς, ὅτι ὐχ ἱκανῦσι πρὸς τὺς πειρασμὺς τῦ διαβόλυ, εἰ μὴ ἔχωσι μίαν αἰτίαν ἐκ τῶν αἰτιῶν, ὧν προεῖπον. ἢ τότε ἡ δύναμις τῆς προνοίας τῦ Θεῦ μακρύνεται ἐξ αὐτῶν. ὗτός ἐςιν ὁ εἷς τρόπος τῶν πολέμων τῦ διαβόλυ.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΝΒ.

ΠΕΡΙ
ΤΟΥ ΤΡΟΠΟΥ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΩΝ ΠΟΛΕΜΩΝ ΤΟΥ ΔΙΑΒΟΛΟΥ.

Οὓς δὲ ἀνδρείȣς, καὶ δυνατȣ̀ς θεωρεῖ ὁ διάβολος, κ̀ τὸν θάνατον εἰς ȣ̓δὲν λογιζομένȣς, καὶ ἐν μεγάλῳ ζήλῳ ἐξελθόντας, καὶ εἰς πάντα πειρασμὸν καὶ θάνατον ἐκδεδωκότας ἑαυτȣ̀ς, καὶ καταφρονȣ͂ντας τῆς ζωῆς τȣ͂ κόσμȣ, καὶ τȣ͂ σώματος, καὶ πάντων τῶν πειρασμῶν. τȣ́τοις ȣ̓κ ἀπαντᾷ παραυτίκα ὁ διάβολος, ȣ̓δὲ δεικνύει ἑαυτὸν τȣ́τοις ὡς ἐπὶ πολὺ, ἀλλὰ συςέλλει ἑαυτὸν, καὶ τόπον δίδωσιν αὐτοῖς, καὶ ȣ̓κ ἀπαντᾷ αὐτοῖς πρὸς τὴν πρώτην ὁρμὴν αὐτῶν, ȣ̓δὲ παρατάσσεται πρὸς αὐτȣ̀ς εἰς πόλεμον. γινώσκει γὰρ, ὅτι πᾶσα ἀρχὴ θερμοτέρα ὑπάρχει τȣ͂ πολέμȣ, καὶ οἶδεν ὅτι πολὺν ζῆλον ἔχει ὁ ἀγωνιςής. καὶ ȣ̓χ ὡς ἔτυχε νικῶνται οἱ ζηλωταὶ τῶν πολεμιςῶν. καὶ ȣ̓χ ὡς δειλιῶν ὁ διάβολος ποιεῖ τȣ͂το, ἀλλ' ἐκ τῆς περικειμένης αὐτοῖς θείας δυνάμεως τῆς φοβεριζȣ́σης αὐτὸν, ἐκφοβεῖται. ὅσον ȣ͂ν θεωρεῖ αὐτȣ̀ς ȣ̓́τως, ȣ̓ τολμᾷ προσψαῦσαι αὐτοῖς, ἕως ὅτε ἴδῃ αὐτȣ̀ς ψυχρανθέντας ἐκ τȣ͂ ζήλȣ αὐτῶν, κ̀ ἀποῤῥίψαντας τὰ ὅπλα, ἅπερ ἑαυτοῖς ἡτοίμασαν ἐν ταῖς ἑαυτῶν διανοίαις ἐν τῇ ἀλλοιώσει τῶν θείων λόγων, καὶ τῶν μνημῶν τῶν συνεργȣσῶν, καὶ βοηθȣσῶν αὐτοῖς. καὶ προσέχει εἰς τὸν καιρὸν τῆς ῥαθυμίας αὐτῶν. καὶ ὅτε ςραφῶσι μικρὸν ἐκ τῶν προτέρων λογισμῶν αὐτῶν,

τῶν, καὶ αὐτοὶ ἀφ' ἑαυτῶν ἄρχονται ἐφευρίσκειν ἐφευρέσεις τῆς ἥττης αὐτῶν ἐκ τῶν κολακευμάτων τοῦ φρονήματος αὐτῶν, τῶν βρυόντων ἐν αὐτοῖς, καὶ ἀφ' ἑαυτῶν αὐτοὶ ὀρύσσουσι βάθρον ἀπωλείας ταῖς ψυχαῖς αὐτῶν ἐκ τοῦ μετεωρισμοῦ τῶν λογισμῶν, τοῦ ἐκ τῆς ὀκνηρίας γινομένου, ἀφ' ὧν ἡ ψυχρότης ἐβασίλευσεν ἐν αὐτοῖς, ἤτοι ἐν ταῖς διανοίαις, καὶ ταῖς καρδίαις αὐτῶν. καὶ ταῦτα μὲν ὁ διάβολος οὐχ ἑκουσίως ποιεῖ, ἡνίκα ἐμποδίζεται τοῦ πολεμεῖν αὐτοὺς, ἢ ὡς φειδόμενος αὐτῶν, οὐδὲ αἰσχυνόμενος παρ' αὐτῶν. εἰς οὐδὲν γὰρ ἔχει αὐτούς. ἀλλὰ λογίζομαι, ὅτι δύναμίς τις περικυκλοῖ τοὺς ἐν θερμότητι ζήλου διακειμένους πρὸς τὸν Θεὸν, καὶ τοὺς νηπιωδῶς ἐξερχομένους, καὶ ἀλογίστως ἀποτασσομένους, ἐλπίζοντας δὲ εἰς τὸν Θεὸν, καὶ πιστεύοντας, καὶ ἀγνοοῦντας πρὸς τίνα τὴν πάλην ἔχουσι. διὰ τοῦτο διώκει ὁ Θεὸς τὴν δεινότητα τῆς πονηρίας αὐτοῦ ἐξ αὐτῶν, τοῦ μὴ ἐγγίσαι αὐτοῖς. χαλινοῦται γὰρ ὁ ἐχθρὸς θεωρῶν τὸν φύλακα, τὸν ἀεὶ αὐτοὺς φυλάττοντα. ἐὰν γὰρ τὰς αἰτίας τῆς βοηθείας ἐξ ἑαυτῶν μὴ ἀποῤῥίψωσιν, αἵτινές εἰσι δεήσεις, καὶ κόποι, καὶ ταπεινοφροσύνη, ὁ ἀντιλήπτωρ καὶ βοηθὸς οὐκ ἀναχωρεῖ ἐξ αὐτῶν ποτέ.

Βλέπε, καὶ γράψον ταῦτα εἰς τὴν καρδίαν σου. ὅτι ἡ φιληδονία, καὶ τὸ ἀγαπᾶν τὴν ἀνάπαυσιν, αἰτιά ἐστι τῆς παραχωρήσεως. ἐὰν δέ τις ἐκ τούτων ὑπομείνῃ ἰσχυρῶς ἐγκρατευόμενος, ἐκ τῆς συνεργείας τοῦ Θεοῦ οὐδέποτε ἀπολιμπάνεται· καὶ ὁ ἐχθρὸς οὐ συγχωρεῖται προσβαλεῖν αὐτῷ. καὶ ἐὰν ἅπαξ συγχωρηθῇ προσβαλεῖν αὐτῷ πρὸς παιδείαν, ἀλλ' ἀκολουθεῖ αὐτῷ, καὶ συνέχει αὐτὸν ἡ ἁγία δύναμις, καὶ οὐ φοβεῖται τοὺς πειρασμοὺς τῶν δαιμόνων. διότι ὁ λογισμὸς αὐτοῦ

θαῤῥεῖ, καὶ καταφρονεῖ αὐτῶν δι' αὐτὴν. αὕτη γὰρ ἡ θεία δύναμις ἐκδιδάσκει τοὺς ἀνθρώπους ὥσπερ τις ἐκδιδάσκει τινὰ νεώτερον μικρὸν τὸ πλεῦσαι· καὶ ὅταν ἄρξηται ποντίζεσθαι, ἀναφέρει αὐτόν. διότι ἐπάνωθεν τῶν χειρῶν τοῦ διδάσκοντος αὐτὸν πλέει ὁ νεώτερος. καὶ ὅταν ἄρξηται ὀλιγωρεῖν, ἵνα μὴ βυθισθῇ, αὐτὸς ὁ βαστάζων αὐτὸν ἐν ταῖς χερσὶν αὐτοῦ ἐπιφωνεῖ αὐτῷ παραθαῤῥύνων, μὴ φοβοῦ, ἐγὼ βαστάζω σε. καὶ ὥσπερ μήτηρ διδάσκει τὸν υἱὸν αὐτῆς τὸν μικρὸν τὸ περιπατεῖν, καὶ μακρύνει ἑαυτὴν ἐξ αὐτοῦ, καὶ προσκαλεῖται αὐτόν· ὅταν δὲ αὐτὸς ἐρχόμενος πρὸς τὴν μητέρα αὐτοῦ ἄρξηται τρέμειν, καὶ διὰ τὴν ἁπαλότητα καὶ τρυφερότητα τῶν ποδῶν καὶ μελῶν πίπτειν, τρέχει ἡ μήτηρ αὐτοῦ, καὶ βαστάζει αὐτὸν ἐν ταῖς ἀγκάλαις αὐτῆς· οὕτω καὶ ἡ χάρις τοῦ Θεοῦ βαστάζει, καὶ διδάσκει τοὺς ἀνθρώπους, τοὺς καθαρῶς καὶ μετὰ ἁπλότητος ἐκδεδωκότας ἑαυτοὺς εἰς χεῖρας τοῦ πλάστου αὐτῶν, καὶ τοὺς ἐξ ὅλης καρδίας τῷ κόσμῳ ἀποταξαμένους, καὶ ὀπίσω αὐτοῦ πορευομένους.

Σὺ δὲ, ὦ ἄνθρωπε, ἐξερχόμενος ὀπίσω τοῦ Θεοῦ, ἐν παντὶ καιρῷ τοῦ ἀγῶνός σου ἀεὶ τῆς ἀρχῆς μνημόνευε, καὶ τοῦ πρώτου ζήλου τῆς ἀρχῆς τῆς ὁδοῦ, καὶ τῶν θερμῶν λογισμῶν, μεθ' ὧν ἐξῆλθες ἐν προοιμίοις ἔχων ἐκ τοῦ οἴκου σου, (1) καὶ εἰσήνεγκας σεαυτὸν εἰς τὴν παράταξιν τοῦ πολέμου. οὕτω δοκίμασον σεαυτὸν καθ' ἑκάστην ἡμέραν· ὅπως μὴ ψυχρανθῇ ἡ θερμότης τῆς ψυχῆς σου ἔκ τινος τῶν ὅπλων, ὧν ἦς ἐνδεδυμένος, καὶ τοῦ ζήλου τοῦ ἐξαφθέντος ἐν σοὶ ἐξ ἀρχῆς, ἤτοι ἐν ἀρχῇ τοῦ ἀγῶνός σου. μήπως ζημιωθῇς τινὸς τῶν ὅπλων, ὧν ἦς ἐνδεδυμένος ἐν

(1) Τὸ Ε. Χ. ἔχων ἐν τῷ οἴκῳ σου. ἴσ. δὲ ὀρθότ. φεύγων ἐκ τοῦ οἴκου σου.

ἐν ἀρχῇ τοῦ ἀγῶνός σου. καὶ ὕψωσον ἀεὶ τὴν φωνήν σου ἐντὸς τῆς παρεμβολῆς, καὶ τὰ τέκνα τῶν δεξιῶν, ἤγουν τοὺς οἰκείους λογισμοὺς θάρσυνον, καὶ ἀνδρείωσον, καὶ δεῖξον τοῖς ἄλλοις, ἤτοι τῷ μέρει τοῦ ἐναντίου, ὅτι νηφάλιος εἶ. καὶ ἐὰν οὖν ἐν προοιμίοις ὁρᾷς ὁρμὴν φοβερίζουσάν σε τοῦ πειράζοντος, μὴ χαυνωθῇς. ἴσως αὕτη συμφέρει σοι. οὐ γὰρ παραχωρεῖ δωρεὰν ὁ σώζων σε τινὰ προσεγγίσαι σοι, εἰ μὴ οἰκονομίαν τινὰ προξενῶν, πρὸς τὸ συμφέρον σοι.

Ἀλλὰ μὴ δείξῃς ῥαθυμίαν ἐξ ἀρχῆς, ἵνα μὴ δείξας ὧδε ῥαθυμίαν, εἰς τοὔμπροσθεν βαίνων καταπέσῃς, καὶ μηκέτι εὑρήσῃς ἀντιστῆναι ταῖς ἐπερχομέναις σοι λύπαις· λέγω δὴ ἐκ τοῦ λιμοῦ, καὶ τῆς ἀσθενείας, καὶ ἐκ τῶν φοβερῶν φαντασιῶν, καὶ τῶν λοιπῶν. μὴ στρέψῃς τὸν τόπον (1) τοῦ ἀγωνοθέτου σου, ὅτι βοήθειαν κατὰ τοῦ ἐναντίου προξενεῖ σοι· ὅπως μὴ εὑρήσῃ ὁ ἐχθρός σε ὡς προσδοκᾷ. ἀλλὰ παρακάλεσον τὸν Θεὸν ἀδιαλείπτως, καὶ κλαῦσον ἐνώπιον τῆς χάριτος αὐτοῦ, καὶ πένθησον, καὶ μόχθησον, ἕως ἂν ἐξαποστείλῃ σοι βοηθόν. ἐὰν γὰρ πρὸς ἅπαξ ἴδῃς τὸν σώζοντά σε πλησίον σου, οὐκ ἔτι ἡττηθήσῃ ἐκ τοῦ ἐχθροῦ σου τοῦ ἐναντιουμένου σοι. οὗτοι οἱ δύο τρόποι τῆς πάλης τοῦ διαβόλου ἕως ὧδε.

(1) Τὸ Ε. Χ. τὸν σκοπὸν τοῦ ἀγωνοθέτου σου.

ΛΟΓΟΣ ΝΓ.

ΠΕΡΙ
ΤΟΥ ΤΡΙΤΟΥ ΤΡΟΠΟΥ ΤΟΥ ΕΧΘΡΟΥ ΠΡΟΣ ΤΟΥΣ ΔΥΝΑΤΟΥΣ ΚΑΙ ΑΝΔΡΕΙΟΥΣ.

Ὅταν ȣ͂ν μετὰ ταῦτα πάντα ἐπαναςῇ ὁ διάβολος τινὶ, καὶ ȣ̓ δύναται πρὸς αὐτὸν ἐν ἀγῶνι, μᾶλλον δὲ πρὸς τὸν ἐνισχύοντα αὐτὸν, καὶ βοηθȣ͂ντα αὐτῷ, δι᾽ ὃν ὁ ἄνθρωπος κατεπαίρεται αὐτȣ͂, καὶ λαμβάνει παρ᾽ αὐτȣ͂ δύναμιν καὶ ὑπομονὴν, ὥςε τὸ παχυμερὲς σῶμα καὶ ὑλικὸν νικῆσαι τὸν ἀσώματον καὶ νοερόν. τηνίκα ȣ͂ν ἴδῃ ὁ ἐχθρὸς πᾶσαν ταύτην τὴν δύναμιν, ἥνπερ ἐδέξατο ὁ ἄνθρωπος ἐκ τȣ͂ Θεȣ͂, καὶ τὰς ἔξω αἰσθήσεις αὐτȣ͂ ἐκ τῶν ὁρωμένων πραγμάτων, καὶ τῶν φωνῶν τῶν ἀκȣομένων μὴ ἡτ]ωμένας, καὶ τȣ̀ς λογισμȣ̀ς αὐτȣ͂ ὑπὸ τῶν κολακευμάτων, καὶ θωπευμάτων αὐτȣ͂ μὴ χαυνȣμένȣς, τότε λοιπὸν ἐπιθυμεῖ ὁ δόλιος ζητῆσαι τρόπον τινὰ τȣ͂ ἀποςῆσαι τὸν βοηθȣ͂ντα τὸν ἄνθρωπον, τὸν Ἄγγελον ἐκεῖνον ἀπ᾽ αὐτȣ͂. μᾶλλον δὲ ἐπιθυμεῖ ὁ δόλιος τυφλῶσαι τὸν νȣ͂ν τȣ͂ ἀνθρώπȣ τȣ͂ βοηθȣμένȣ, καὶ εὑρεθῆναι αὐτὸν ἀβοήθητον, καὶ κινῆσαι ἐν αὐτῷ λογισμȣ̀ς ὑπερηφανίας, ἵνα δοκῇ, ὅτι ὑπὸ τῆς ἑαυτȣ͂ δυνάμεως ὅλη ἡ ἰσχὺς αὕτη, ϗ αὐτὸς ἑαυτῷ τὸν πλȣ͂τον τȣ͂τον ἐκτήσατο, καὶ τῇ δυνάμει αὐτȣ͂ ἐφύλαξεν ἑαυτὸν ἐκ τȣ͂ ἐναντίȣ καὶ φονευτȣ͂. καὶ ποτὲ μὲν λογίζεται, ὅτι ἐκ συμβεβηκότος ἐνίκησε τὸν ἐχθρόν· ποτὲ δὲ, ὅτι διὰ τὴν ἀδυναμίαν

ναμίαν τῦ ἐχθρῦ· (καὶ σιωπῶ περὶ τῶν ἄλλων τρόπων, καὶ τῶν λογισμῶν τῆς βλασφημίας, ἐξ ὧν ἐμπίπτει εἰς φόβον ἡ ψυχὴ ἐκ τῆς μνήμης αὐτῶν καὶ μόνον.) ποτὲ δὲ, ἐν σχήματι τῶν ἀποκαλύψεων τῶν ἐκ τῦ Θεῦ, τὴν πλάνην αὐτῦ εἰς τὸ μέσον φέρει, καὶ ἐν τοῖς ἐνυπνίοις αὐτῦ δεικνύει αὐτῷ πράγματα. καὶ πάλιν ἐν ἐγρηγόρσει μορφῦται εἰς Ἄγγελον φωτὸς, καὶ πάντα ποιεῖ, ἵνα δυνηθῇ πεῖσαι τὸν ἄνθρωπον κατὰ μικρὸν, καὶ μικρὸν συμφρονῆσαι αὐτῷ, ἵνα παραδοθῇ εἰς τὰς χεῖρας αὐτῦ. ἐὰν δὲ κρατήσῃ τὺς λογισμὺς αὐτῦ ἐν ἀσφαλείᾳ ὁ φρόνιμος ἄνθρωπος, μᾶλλον δὲ κρατήσῃ τὴν μνήμην τῦ συνεργῦντος αὐτῷ, καὶ ἀτενίσῃ εἰς τὸν ὀρανὸν τὸ ὄμμα τῆς καρδίας αὐτῦ, ἵνα μὴ βλέπῃ τὺς ψιθυρίζοντας ταῦτα ἐν αὐτῷ, πάλιν ὁ ἐχθρὸς ἐπιτηδεύεται μηχανήσασθαι ἄλλυς τρόπυς.

ΛΟΓΟΣ ΝΔ.

ΠΕΡΙ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΟΥ ΑΝΤΙΡΡΗΤΙΚΟΥ ΤΟΥ ΠΟΛΕΜΟΥ ΤΟΥ ΕΧΘΡΟΥ.

Λοιπὸν τῦτο μόνον ὑπελείφθη αὐτῷ· διότι συγγένειαν ἔχει ἡ φύσις πρὸς αὐτό. καὶ διὰ τῦτο ἐξαιρέτως ἐνδέχεται ποιήσασθαι τὸν ἀφανισμὸν τῦ ἀνθρώπυ ἐν αὐτῷ. ποῖον δέ ἐστι τὸ μηχάνημα; τῦτό ἐστι· τὸ προσβάλλειν τῷ ἀνθρώπῳ ἐν ταῖς φυσικαῖς χρείαις αὐτῦ. πολλάκις γὰρ τυφλῦται ὁ νῦς

τȣ̃ ἀθλητȣ̃ ἐκ τῆς ὁράσεως, καὶ τȣ̃ πλησιασμȣ̃ τῶν αἰσθητῶν πραγμάτων, καὶ εὐχερῶς ἐν τῷ ἀγῶνι ἡτ]ᾶται, ὅταν πλησίον αὐτῶν γένηται· πολὺ δὲ μᾶλλον, ὅταν εὑρεθῶσι κατέναντι τῶν ὀφθαλμῶν αὐτȣ̃. ἐν γνώσει γὰρ καὶ πείρᾳ χρᾶται τῇ μεθόδῳ ταύτῃ ὁ διάβολος ὁ δεινός· ἤγȣν ἐκ τῆς πείρας τῆς μετὰ τῶν πολλῶν ἀγωνιςῶν, καὶ ἰσχυρῶν, καὶ δυνατῶν, τῶν ἐν τȣ́τοις ἐκπεσόντων, καὶ τȣ̃το σοφιστικῶς ποιῶν. κἂν γὰρ μὴ δυνηθῇ πρακ]ικῶς ποιῆσαι τὸν ἄνθρωπον ἐνεργῆσαι, διὰ τὴν ἀσφάλειαν τῆς ἡσυχίας αὐτȣ̃, καὶ διὰ τὴν ἀποχὴν τῆς κατοικήσεως αὐτȣ̃ ἐκ τῶν ἀφορμῶν ἢ αἰτιῶν, ὅμως ἀγωνίζεται φαντάσαι τὸν νȣ̃ν αὐτῶν, καὶ μορφῶσαι αὐτοῖς φαντασίας ψευδεῖς, ἐν σχήματι ἀληθείας· ὥςε κἂν ἐλθεῖν εἰς ἐπιθυμίαν αὐτῶν, γαργαλίζων αὐτȣ̀ς, καὶ κινήσεις κινῶν ἐν αὐτοῖς, τȣ̃ διαλογίζεσθαι αὐτȣ̀ς ἐν τοῖς αἰσχροῖς λογισμοῖς, καὶ συγκατατίθεσθαι, καὶ γενέσθαι ὑπεύθυνȣς, ὥςε ἀποςῆναι ἀπ᾽ αὐτῶν τὸν βοηθὸν αὐτῶν. ἐπίςαται γὰρ, ὅτι ἡ νίκη τȣ̃ ἀνθρώπȣ, καὶ ἡ ἧτ]α αὐτȣ̃, καὶ ὁ θησαυρὸς αὐτȣ̃, καὶ ἡ ἀντίληψις αὐτȣ̃, καὶ πάντα τὰ τȣ̃ ἀσκητȣ̃ ἐν τῷ λογισμῷ αὐτȣ̃ συνίςανται, καὶ ἐν μικρῷ νεύματι γίγεται· ἵνα μόνον ὁ λογισμὸς ἐκ τȣ̃ τόπȣ κινηθῇ, καὶ ἐξ ἐκείνȣ τȣ̃ ὕψȣς εἰς τὴν γῆν κατέλθῃ, καὶ προαιρέσει δείξει ῥοπῇ νεύματος τὴν συγκατάθεσιν. ὡς συνέβη πολλοῖς τῶν ἁγίων ἐν φαντασίαις κάλλȣς γυναικῶν. πολλάκις δὲ καὶ τȣ̀ς πλησιάζοντας κόσμῳ, ὡς ἀπὸ μιλίȣ, ἢ δύω, ἢ καὶ διαςήματος ἡμέρας, αὐτὰς τὰς γυναῖκας ἐν ἀληθείᾳ ἐτροπεύσατο ἀγαγεῖν πρὸς αὐτȣ́ς. τȣ̀ς δὲ ἀπέχοντας ἐκ τȣ̃ κόσμȣ ἐπεὶ ȣ̓ δύναται παγιδεῦσαι, ἐν φαντασίαις δεικνύει αὐτοῖς τὸ κάλλος τῶν γυναικῶν. ποτὲ μὲν,

ἐν

ἐν καλλωπισμῷ ἱματίων, καὶ θεωρία ἀσελγείας· ποτὲ δὲ, ἐν σχήματι γυμνῆς γυναικὸς δεικνύων αὐτοῖς ἀπρεπῶς. διὰ γὰρ τούτων, καὶ τῶν τοιούτων, τοὺς μὲν ἐνίκησαν εἰς αὐτὸ τὸ πρᾶγμα· τοὺς δὲ, ἐν φαντασίαις ἐνεπαίχθησαν διὰ τὴν ῥαθυμίαν τῶν λογισμῶν αὐτῶν· ὥστε εἰς ἀπογνώσεως βυθὸν ἐλθεῖν αὐτοὺς, καὶ πρὸς τὸν κόσμον ἐξέκλιναν, καὶ τῆς ἐπουρανίου ἐλπίδος ἐξέπεσον αἱ ψυχαὶ αὐτῶν.

Ἄλλοι δὲ ἰσχυρότεροι αὐτῶν, καὶ ὑπὸ τῆς χάριτος πεφωτισμένοι, ἐνίκησαν αὐτὸν, καὶ τὰς φαντασίας αὐτοῦ, καὶ ἐπάτησαν τὰς τοῦ σώματος ἡδονὰς, καὶ εὑρέθησαν δόκιμοι ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ. καὶ πολλάκις φαντασίας χρυσίου, καὶ τιμίων πραγμάτων, καὶ θησαυροὺς χρυσοὺς ἐφάντασεν αὐτούς. καὶ ἔστιν ὅτε ἐν ἀληθείᾳ ὑπέδειξεν αὐτοῖς ταῦτα· ἵνα διὰ τῶν τοιούτων διαφόρων φαντασιῶν, ἴσως δυνηθῇ ἐμποδίσαι τινὰ ἐξ αὐτῶν ἐκ τοῦ δρόμου αὐτοῦ, καὶ ὑποσκελίσαι αὐτὸν, διὰ μιᾶς τῶν παγίδων, καὶ τῶν δικτύων αὐτοῦ.

Εὐχή.

Ἀλλὰ Κύριε, Κύριε, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμοὺς τοιούτους, ὁ γινώσκων τὴν ἀσθένειαν ἡμῶν, ἐξ' ὧν μόλις δυνατοὶ, καὶ δόκιμοι ἐξέρχονται ἐκ τῆς τοιαύτης πάλης νικήσαντες.

Καὶ ταῦτα ὅλα παραχωρεῖται ὁ πειράζων διάβολος πολεμῆσαι πρὸς τοὺς ἁγίους ἐν πειρασμοῖς, ἵνα δοκιμασθῇ ἡ ἀγάπη τοῦ Θεοῦ ἡ ἐν αὐτοῖς ἐν τοῖς τοιούτοις πειρασμοῖς, ἐὰν διὰ τὴν ἀποχὴν τῶν τοιούτων πραγμάτων, καὶ ἀναχώρησιν, καὶ στέρησιν, καὶ ἀπορίαν αὐτῶν, φιλόθεοι ὑπάρχωσι, καὶ ἐμμένωσιν ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ, καὶ ἐξ ἀληθείας τὸν Θεὸν ἀγαπῶσι· καὶ κἂν πλησιάσωσι τοῖς πράγμασι τούτοις, ἀγωνίζονται καταφρονῆσαι, καὶ ἐξουθενῆσαι αὐτὰ, διὰ τὴν ἀγάπην τοῦ

Θεοῦ

Θεȣ̃. κολακευόμενοι ὑπ' αὐτῶν, ȣ̓χ ἡτ]ῶνται ὑπ' αὐτῶν. καὶ ȣ̓́τω πειράζονται, ȣ̓χὶ διὰ τȣ̃το μόνον ἵνα γνωσθῶσι τῷ Θεῷ, ἀλλὰ ϗ αὐτῷ τῷ διαβόλῳ. ὅτι ἐπιποθεῖ πολλὰ πειράσαι, ϗ δοκιμάσαι πάντας, εἰ ἐνεδέχετο, ϗ ἐξαιτήσασθαι αὐτȣ̀ς παρὰ τȣ̃ Θεȣ̃, τȣ̃ πειράσαι αὐτȣ̀ς, ὥσπερ τὸν δίκαιον Ἰὼβ ἐξῃτήσατο. καὶ ἡνίκα μικρὰ παραχώρησις τȣ̃ Θεȣ̃ γένηται, προσεγγίζει πειράζων ὁ διάβολος σφοδρῶς, κατὰ τὴν ἀναλογίαν τῆς ποσότητος τῆς δυνάμεως τῶν πειραζομένων ὑπ' αὐτȣ̃. καὶ ȣ̓ προσβάλλει ὁ ἄνομος διάβολος κατὰ τὴν ἐπιθυμίαν αὐτȣ̃. καὶ ἐκ τȣ́τȣ δοκιμάζονται οἱ ἀληθινοὶ, καὶ βέβαιοι ἐν τῇ τȣ̃ Θεȣ̃ ἀγάπῃ, εἰ ὅλων τȣ́των καταφρονȣ̃σι, καὶ ὡς ȣ̓δὲν λογίζονται ταῦτα κατέναντι τῶν ὀφθαλμῶν αὐτῶν πρὸς σύγκρισιν τῆς ἀγάπης τȣ̃ Θεȣ̃. καὶ ταπεινȣ̃ντες ἑαυτȣ̀ς ἀεὶ, καὶ τῷ εἰς πάντα συνεργȣ̃ντι αὐτοῖς, καὶ αἰτίῳ τῆς νίκης αὐτῶν ἀποδιδόντες τὴν δόξαν, καὶ εἰς τὰς χεῖρας αὐτȣ̃ παραδιδόντες ἑαυτȣ̀ς ἐν τῷ ἀγῶνι, λέγοντες τῷ Θεῷ, ὅτι σὺ εἶ ὁ δυνατὸς Κύριε, καὶ σός ἐστιν ὁ ἀγὼν, πολέμησον καὶ νίκησον ἐν αὐτῷ Κύριε, ὑπὲρ ἡμῶν. τότε δοκιμάζονται ὡς χρυσὸς ἐν χωνευτηρίῳ ȣ̓́τοι.

Οἵτινες δέ εἰσι κίβδηλοι, ἐν τοῖς τοιȣ́τοις πειρασμοῖς δοκιμάζονται, καὶ γνωρίζονται, καὶ πίπ]ȣσιν ἐκ τȣ̃ Θεȣ̃ ὡς σκύβαλα, δεδωκότες χώραν τῷ ἐχθρῷ αὐτῶν, καὶ ἐξέρχονται ὑποθυμοι, διὰ τὴν ῥαθυμίαν τῆς διανοίας αὐτῶν, ἢ διὰ τὴν ὑπερηφανίαν αὐτῶν· ὅτι ȣ̓κ ἠξιώθησαν δέξασθαι τὴν δύναμιν, ἥνπερ εἶχον οἱ ἅγιοι, ἐνεργȣ̃σαν ἐν αὐτοῖς. διότι ȣ̓χ ἡτ]ᾶται ἡ δύναμις ἡ συνεργȣ̃σα ἡμῶν. ἔστι γὰρ καὶ παντοδύναμος ὁ Κύριος, καὶ ἰσχυρότερος πάντων, καὶ ἐν παντὶ

καιρῷ

καιρῷ νικητὴς ἐν τῷ σώματι τῷ θνητῷ, ὅταν συγκατέλθῃ αὐτοῖς ἐν τῷ πολέμῳ. εἰ δὲ καὶ νικηθῶσι, δῆλον ὅτι ἐκτὸς αὐτοῦ νικῶνται. οὗτοί εἰσιν οἱ γυμνοῦντες ἑαυτοὺς τῇ προαιρέσει αὐτῶν ἐξ αὐτοῦ διὰ τὴν ἀγνωμοσύνην αὐτῶν, ὅτι οὐκ ἠξιώθησαν τῆς δυνάμεως τῆς ἀντιλαμβανομένης τῶν νικητῶν, ἀλλὰ καὶ αὐτῆς τῆς δυνάμεως αὐτῶν τῆς συνήθους καὶ ἰδίας, ἧς εἶχον ἐν τοῖς καιροῖς τῶν πολέμων αὐτῶν τῶν σφοδρῶν, αἰσθάνονται ἑαυτοὺς κενοὺς εἶναι ἐξ αὐτῆς. πῶς δὲ αἰσθάνονται; θεωροῦσι τὴν πλῶσιν αὐτῶν ἡδεῖαν καὶ γλυκεῖαν ἐν ὀφθαλμοῖς αὐτῶν. καὶ ὅτι δύσκολόν ἐστιν ὑπομεῖναι αὐτοὺς τὴν δυσχέρειαν τοῦ ἀγῶνος τοῦ ἐχθροῦ αὐτῶν. ἣν ἐνίκων ἔκπαλαι καθαρῶς μετὰ ζήλου ἐκ τῆς ὁρμῆς τῆς κινήσεως τῆς φύσεως, ἧς εἶχον ἐν τῷ καιρῷ ἐκείνῳ μετὰ θερμότητος καὶ ὀξύτητος. καὶ ταῦτα ἐν τῇ ψυχῇ αὐτῶν νῦν οὐχ εὑρίσκουσι.

Καὶ οἱ μὲν ἐν ταῖς ἀρχαῖς αὐτῶν ῥάθυμοι καὶ χαῦνοι ὑπάρχοντες, οὐ μόνον ἐκ τῶν ἀγώνων τούτων καὶ τῶν τοιούτων, ἀλλὰ καὶ ἀπὸ ἤχου φύλλου δένδρου δειλιῶσι καὶ ταράσσονται, καὶ ἀπὸ μικρᾶς ἀνάγκης τῆς ἀπὸ τῆς χρείας τοῦ λιμοῦ, καὶ ἀπὸ μικρᾶς ἀσθενείας νικῶνται, καὶ ἀπαρνοῦνται, καὶ εἰς τὰ ὀπίσω στρέφονται. οἱ δὲ ἀληθινοὶ, καὶ δόκιμοι, οὐδὲ ἐκ τοῦ χόρτου καὶ τοῦ λαχάνου χορτάζονται, οὐδὲ διαιτώμενοι ῥίζαις βοτανῶν ξηρῶν, πρὸ τῆς νενομισμένης ὥρας τῆς τροφῆς καταδέχονταί τινος γεύσασθαι· ἀλλὰ καὶ χαμευνοῦσιν ἐν ἀτονίᾳ ὄντες τοῦ σώματος, καὶ ἀμβλυωποῦσιν οἱ ὀφθαλμοὶ αὐτῶν ἐκ τῆς ἄγαν κενώσεως τοῦ σώματος· κἂν δὲ ἐκ τῆς ἀνάγκης ἐγγίσῃ ἐξελθεῖν ἐκ τοῦ σώματος, οὐδὲ οὕτω χεῖρα διδοῦσιν ἡττηθῆναι, καὶ πεσεῖν ἐκ τῆς ἐῤῥωμένης προαιρέσεως, ποθοῦσι γὰρ, καὶ

ἐφίενται τοῦ βιάσασθαι ἑαυτοὺς διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ κοπιᾷν ὑπὲρ τῆς ἀρετῆς αἱροῦνται, ἢ τὴν πρόσκαιρον ζωὴν ἔχειν, καὶ πᾶσαν ἀνάπαυσιν τὴν ἐν αὐτῇ. καὶ ὅταν ἐπέλθωσιν αὐτοῖς οἱ πειρασμοὶ, μᾶλλον εὐφραίνονται, καὶ ἔτι ἐν αὐτοῖς τέλειοι γίνονται. ἀλλ᾽ οὐδὲ ἐκ τῶν μοχθηρῶν κόπων τῶν γινομένων αὐτοῖς διστάζουσιν ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ, ἀλλ᾽ ἕως ἂν ἐκλείψωσιν ἐκ τῆς ζωῆς, προθυμοῦνται δέξασθαι γενναίως τὰς ἐπηρείας, καὶ οὐκ ἀναχωροῦσιν, ὅτι ἐν αὐτοῖς τέλειοι γίνονται. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΝΕ.

ΠΕΡΙ ΠΑΘΩΝ.

Ὅτι γλυκεῖαί εἰσιν αἱ ἀφορμαὶ τῶν παθῶν. τὰ μὲν γὰρ πάθη ἐνίοτε δύναταί τις κόψαι, καὶ ἐν τῷ μακρυσμῷ αὐτῶν γαληνιᾷ, καὶ εὐφραίνεται ἐν τῷ παύεσθαι αὐτά· τὰς μέντοι αἰτίας, λιπεῖν οὐ δύναται. διὰ τοῦτο μὴ θέλοντες πειραζόμεθα. καὶ ἐν μὲν τοῖς πάθεσι, λυπούμεθα· τὰς δὲ ἀφορμὰς, ἐμμένειν ἐν ἡμῖν ἀγαπῶμεν. τὰς ἁμαρτίας, οὐκ ἐφιέμεθα· τὰς δὲ ἐπιφερούσας ἡμῖν αὐτὰς αἰτίας, μεθ᾽ ἡδονῆς δεχόμεθα. τούτου ἕνεκεν παραίτιοι γίνονται τῇ ἐνεργείᾳ αἱ δεύτεραι τῶν πρώτων. ὁ τὰς ἀφορμὰς τῶν παθῶν ἀγαπῶν, ὑποχείριός ἐστιν ἄκων, καὶ μὴ βουλόμενος, καὶ δεδούλωται τοῖς πάθεσιν. ὁ μισῶν τὰς ἰδίας ἁμαρτίας, παύσεται ἀπ᾽ αὐτῶν·

καὶ

καὶ ὁ ὁμολογῶν αὐτὰς, τεύξεται τῆς ἀφέσεως. ἀδύνατον δέτινι τὴν ἕξιν τῆς ἁμαρτίας καταλιπεῖν, πρὶν ἔχθραν κτήσηται μετ᾽ αὐτῆς· καὶ ἀφέσεως τυχεῖν, πρὸ τῆς τῶν πλημμελημάτων ἐξομολογήσεως. ἡ μὲν γὰρ, ταπεινώσεως ἐστὶν ἀληθοῦς αἰτία· ἡ δὲ, κατανύξεως, ἀπὸ αἰσχύνης ἀκολουθούσης τῇ καρδίᾳ.

Ἐὰν μὴ μισήσωμεν τὰ μέμψεως ἄξια, οὐ δυνάμεθα αἰσθάνεσθαι τῆς δυσωδίας τῆς ἐνεργείας αὐτῶν, οὐδὲ τοῦ βρώμου αὐτῶν, ἐν ὅσῳ φέρομεν ταῦτα ἐν ταῖς ἰδίαις ψυχαῖς. ἕως ἂν ἀποῤῥίψῃς τὸ ἄτοπον ἐκ σοῦ, οὐ γνώσῃ ποίᾳ αἰσχύνῃ περιπεπλεγμένος εἶ, οὐδὲ τὴν ἐξ αὐτῆς ἐρυθρίασιν. ὅταν δὲ ἐν ἄλλοις κατίδῃς τὸ σὸν φορτίον, τότε μαθήσῃ τὴν ἐπικειμένην σοι αἰσχύνην. ἀπόστα τοῦ κόσμου, καὶ τηνικαῦτα γνώσῃ τὸ δυσῶδες αὐτοῦ. ἐὰν γὰρ μὴ ἀποστῇς, οὐ μὴ μάθῃς πῶς, ἀλλὰ μᾶλλον καὶ ὡς ὀσμὴν καλὴν περιβαλεῖς τὴν δυσωδίαν αὐτοῦ, καὶ τὴν γύμνωσιν τῆς σῆς αἰσχύνης, ὡς καταπέτασμα δόξης λογίσῃ.

Μακάριος ὁ μακρυνθεὶς ἀπὸ τοῦ κόσμου, καὶ τοῦ σκότους αὐτοῦ, καὶ μόνῳ προσεχηκὼς ἑαυτῷ. οὐ γὰρ δύναται ἡ διόρασις, οὔτε ἡ διάκρισις ἐνεργῆσαι, ἢ ὑπουργῆσαι τῷ ἐν μέσῳ τῶν ματαίων ἀναστρεφομένῳ. πῶς γὰρ ἡ θολουμένη τούτου διάκρισις διακρῖναι δυνηθείη τὸ δέον; μακάριος ὁ καταλείψας τὴν κάρωσιν τῆς μέθης αὐτοῦ, καὶ τὸ ἀκόρεστον τῆς κραιπάλης αὐτοῦ ἐν ἄλλοις κατιδὼν ὁποῖόν ἐστι. τότε γὰρ γνώσεται τὴν ἰδίαν αἰσχύνην. ἐν ὅσῳ δέ τις τὴν κραιπάλην τῆς μέθης τῶν ἁμαρτιῶν αὐτοῦ ἐν ἑαυτῷ φέρει, ὡς εὐπρεπῆ φαίνονται πάντα αὐτῷ τὰ ὑπ᾽ αὐτοῦ πραττόμενα. ὅταν γὰρ ἡ φύσις ἔξω

γένηται τῆς ἰδίας τάξεως, ἐξίσου ἐστὶν, εἴτε οἴνῳ, εἴτε ἐπιθυμίαις μεμεθυσμένη ᾖ. διότι ἀμφότερα τοῦ καθήκοντος ἐκβάλλουσι, καὶ μίαν ἔκκαυσιν ἀμφότερα κινοῦσιν ἐν τῷ σώματι, ἐν ᾧ φέρονται. οἱ μὲν γὰρ τρόποι, διάφοροι· τὸ δὲ συγκέρασμα, ἕν. καὶ ἡ μετάθεσις μὲν, μία· αἱ δὲ διαφοραὶ τῶν αἰτιῶν, ἄνισοι τυγχάνουσι. διακρίνονται δὲ καὶ κατὰ τὴν ὑποδοχὴν ἑκάστου.

Πάσῃ ἀνέσει ἕπεται ταλαιπωρία, καὶ πάσῃ διὰ Θεὸν ταλαιπωρίᾳ, ἄνεσις ἀκολουθεῖ. εἰ πάντα τὰ ἐν τῷ κόσμῳ τούτῳ φθορᾷ ὑπόκειται, καὶ ἡ φθορὰ διὰ τῶν ἐναντίων γίνεται, ἢ ἐνθάδε, ἢ ἐν τῷ μέλλοντι αἰῶνι, (1) ἢ ἐν τῷ καιρῷ τῆς ἐξόδου. καὶ μάλιστα τῇ ἐξ ἀκολασίας ἡδονῇ, ἢ τῇ κακοπαθείᾳ, τῇ ἐναντιουμένῃ τῇ ἡδονῇ ταύτῃ, τῇ γινομένῃ διὰ ἁγιασμοῦ, (2) καὶ τοῦτο ὑπὸ φιλανθρωπίας οἰκονομεῖ ὁ Θεὸς, ἢ ἐν αὐτῇ τῇ ὁδῷ, ἢ ἐν τῷ τέλει αὐτῆς, γεύσασθαι τῆς κολάσεως, καὶ τότε περᾶσαι διὰ τὸ πλούσιον αὐτοῦ ἔλεος ταύτην

ὥσ-

(1) Οὐκ ἔστι φθορὰ ἐν τῷ μέλλοντι αἰῶνι. ἐν γὰρ τῇ ἀναστάσει, φησὶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς Ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ εἰσί. (Ματθ. κβ.) Φθορὰν δὲ ἴσως λέγει τὴν τῆς καταστάσεως μεταβολήν. ἥνπερ, ἤτοι ἐν τῷδε τῷ βίῳ, ἢ ἐν τῷ καιρῷ τῆς ἐξόδου, ἢ ἐν τῷ μέλλοντι αἰῶνι ἅπαντες ὑποδέξονται. οἱ μὲν τῇ ἐξ ἀκολασίας ἡδονῇ συζήσαντες, τὴν ἐκ τῆς ἀνέσεως, εἰς τὴν κόλασιν μεταβολήν. οἱ δὲ τῇ κακοπαθείᾳ τῇ δι' ἁγιασμοῦ γινομένῃ, καὶ ἐναντίᾳ τῇ καταπτύστῳ ἡδονῇ, τὴν ἐκ τῆς ταλαιπωρίας, εἰς τὴν ἀνάπαυσιν. οἰκονομεῖ δέ φησιν ὁ Θεὸς διὰ τὴν ἄπειρον αὐτοῦ φιλανθρωπίαν καὶ τοῦτο. τὸ, ἐν τῇδε τῇ τοῦ βίου ὁδῷ, ἢ ἐν τῷ τέλει αὐτῆς, ὑποδέξασθαι τὴν τῆς μεταβολῆς ταύτης αἴσθησιν. τὴν μὲν τῆς κολάσεως, τοὺς ἡδυπαθοῦντας· τὴν δὲ τῆς ἀνέσεως, τοὺς δι' αὐτὸν κακουχουμένους. εἶναι δὲ τὴν μὲν, ἀνταμοιβὴν τῆς ἡδυπαθείας· τὴν δὲ, ἀῤῥαβῶνα τῆς αἰωνίου καταπαύσεως.

(2) Τὸ Ε. Χ. ἢ τῇ κακοπαθείᾳ, τῇ ἐναντιουμένῃ δι' ἁγιασμοῦ.

ὥς τινα ἀμοιβὴν· τὴν δὲ, ὡς ἀῤῥαβῶνα. διότι οὐ κωλύει τὸ κέρδος τοῦ ἀγαθοῦ, μέχρι τῆς ἐσχάτης ὥρας. τὸ μέντοι κακὸν, καὶ κωλύει, διὰ τὸ κακωθῆναι τὸν ἄξιον κολάσεως, ὡς γέγραπται. ὁ παιδευόμενος ἐνταῦθα διὰ τὴν ἰδίαν αἰσχύνην, ἐκ τῆς ἰδίας γεέννης (1) ἐσθίει.

Παραφυλάττου ἐκ τοῦ ἰδίου αὐτεξουσίου τοῦ προηγουμένου τῆς πονηρᾶς δουλείας. παραφυλάττου ἐκ τῆς παρακλήσεως τῆς προηγουμένης τοῦ πολέμου. παραφυλάττου ἐκ τῆς γνώσεως τῆς προηγουμένης τῆς τῶν πειρασμῶν ἀπαντήσεως, ὡς ἐπὶ τὸ πλεῖστον δὲ, ἐκ τῆς ἐφέσεως τῆς πρὸ τῆς τελειώσεως τῆς μετανοίας. εἰ γὰρ πάντες ἁμαρτωλοί ἐσμεν, καὶ οὐδεὶς ὑπέρτερος τῶν πειρασμῶν, οὐδεμία ἄρα τῶν ἀρετῶν ὑψηλοτέρα τῆς μετανοίας. ὅτι οὐδὲ τελειωθῆναι δύναται τὸ ἔργον αὐτῆς πώποτε. προσήκει γὰρ αὕτη πᾶσιν ἁμαρτωλοῖς, καὶ δικαίοις πάντοτε, τοῖς βουλομένοις σωτηρίας τυχεῖν. καὶ οὐδείς ἐστιν ὅρος τελειώσεως. ὅτι ἡ τελειότης καὶ αὐτῶν τῶν τελείων, ὄντως ἀτέλεστος. διά τοι τοῦτο ἡ μετάνοια, οὔτε καιροῖς, οὔτε πράξεσι περιορίζεται ἕως θανάτου. μνημόνευε ὅτι πάσῃ ἡδονῇ, ἑπομένη ἐστὶν ἡ ἀηδία, καὶ πικρότης, ὡς δευτερεύουσα.

Παραφυλάττου ἀπὸ τῆς χαρᾶς τῆς μὴ ἐχούσης συνεζευγμένην τὴν αἰτίαν τῆς ἀλλοιώσεως. πᾶν γὰρ ὃ κεκρυμμένην ἄνωθεν τὴν οἰκονομίαν ἔχει, οὐ δύνασαι καταλαβεῖν, οὔτε γνῶναι τὸν ὅρον καὶ τὴν αἰτίαν τῆς ἀλλοιώσεως αὐτοῦ. ἀπ' ἐκείνων φοβοῦ, ὧν ὑπολαμβάνεις ὀρθότητα ἔχειν. διότι ἔξωθεν τῆς ὁδοῦ, λέγεται, τούτων ὁδεύειν. ἐκεῖνος ὁ ἐν σοφίᾳ εἰδὼς

(1) Τῆς ἰδίας αἰσχύνης τὸ Ε. Χ.

δὼς διοικῆσαι τὴν ὁλκάδα τοῦ κόσμου, ἀλλοίωσιν συνέμιξε πᾶσι τοῖς αὐτοῦ· καὶ τὸ ἔξωθεν τοῦτο, σκίασμά ἐστιν.

Ἕπεται τῇ ἀνέσει τῶν μελῶν ἡ τῶν λογισμῶν ἔκστασις καὶ φύρσις· καὶ τῇ ἀμέτρῳ ἐργασίᾳ, ἀκηδία· καὶ τῇ ἀκηδίᾳ, ἔκστασις. διαφέρει δὲ ἔκστασις ἐκστάσεως. τῇ μὲν γὰρ πρώτῃ τῇ ἐκ τῆς ἀνέσως ἐκστάσει, ἕπεται ὁ πόλεμος τῆς πορνείας· τῇ δὲ δευτέρᾳ τῇ ἐκ τῆς ἀκηδίας, ἡ τοῦ ἰδίου ἡσυχαστηρίου κατάληψις, καὶ ἀπὸ τόπου εἰς τόπον μετακίνησις. τῇ δὲ ἐμμέτρῳ καὶ ἐπιπόνως διαμενούσῃ ἐργασίᾳ, τιμὴ οὐκ ἔστι. τούτων δὲ ἡ μείωσις μὲν, πληθύνει τὴν ἡδονήν· ἡ ἀμετρία δὲ, τὴν ἔκστασιν. ὑπόμεινον τὴν ἀφροσύνην τῆς φύσεώς σου, τὴν ἐν σοὶ νικῶσάν σε ἀδελφέ. διότι ηὐτρέπισαι γενέσθαι ἐν ἐκείνῃ τῇ σοφίᾳ τῇ ἀΐδιον ἐχούσῃ τῆς ἀρχῆς τὸν στέφανον. μὴ δειλιάσῃς ἐκ τῆς ταραχῆς τοῦ ἀδαμιαίου σώματος, τοῦ εὐτρεπισθέντος γενέσθαι ἐν τῇ τρυφῇ ἐκείνῃ, ἧς ἡ γνῶσις ἐνθάδε, ἔξωθεν τοῦ νοὸς τῶν σαρκικῶν τυγχάνει. ἡνίκα ἐπιστῇ ἡ οὐράνιος εἰκὼν, ἥτις ἐστὶν ὁ βασιλεὺς τῆς εἰρήνης, μὴ ταραχθῇς ἐξ ἐναντίας τῆς ἀλλοιώσεως τῆς ταραχῆς τῆς φύσεως. διότι πρόσκαιρός ἐστιν ἡ ἐν τούτῳ κακοπάθεια τῷ μεθ' ἡδονῆς ὑποδεχομένῳ αὐτήν. ἐοίκασι γὰρ κυναρίοις τὰ πάθη, τοῖς εἰωθόσι χολάζειν τοῖς μακελλαρίοις. ἅτινα μόνῃ φωνῇ ἀποδιδράσκουσιν. ἀμελούμενα δὲ, ὡς λέοντες παμμεγέθεις ἐπέρχονται. ἐξουδένωσον τὴν μικρὰν ἐπιθυμίαν, ἵνα μὴ ἐνθυμηθῇς τὴν σφοδρότητα τῆς πυρώσεως αὐτῆς. διότι ἡ ὑπὲρ τῶν μικρῶν πραγμάτων ὑπομονὴ πρὸς καιρὸν, τῶν μεγάλων πραγμάτων τὸν κίνδυνον ἀποσοβεῖ. ἀδύνατον γὰρ κατακρατῆσαι τῶν μεγάλων πραγμάτων, ἐὰν μὴ νικήσῃς τὰ εὐτελέστερα.

Μνη-

Μνημόνευε τῆς τάξεως, ἐν ᾗ μέλλεις γενέσθαι, ὦ ἀδελφὲ, ἧς οὐκ ἔστιν ἡ ζωὴ, ὡς ἡ διὰ τῶν χυμῶν ἕρπουσα καὶ κινουμένη, δι' ἧς συντρίβεται ἡ θνητότης. καὶ οὐκ ἔστιν ἐν αὐτῇ πύρωσις τῆς συγκράσεως. ἥτις σύγκρασις τῇ κολακείᾳ τῆς ἡδονῆς κόπον παρέχει τῇ νηπιώδει φύσει. ὑπόμεινον τὸν μόχθον τοῦ ἀγῶνος, εἰς ὃν πρὸς δοκιμασίαν εἰσήχθης, ἵνα λάβῃς παρὰ Θεοῦ στέφανον, καὶ ἀναπαύσῃ, διαπεράσας ἐκ τοῦδε τοῦ κόσμου. μνημόνευε καὶ τῆς ἀνέσεως ἐκείνης, ἥτις οὐκ ἔχει πέρας, καὶ τῆς ζωῆς τῆς ἀκολακεύτου, καὶ τῆς τάξεως τῆς τελείας, καὶ τῆς ἀμετακινήτου οἰκονομίας, καὶ τῆς αἰχμαλωσίας τῆς καταναγκαζούσης ἀγαπῆσαι τὸν Θεὸν, τῆς κυριευούσης τῆς φύσεως. ἧς ἀξιωθείημεν χάριτι Χριστοῦ· ᾧ ἡ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ, καὶ τῷ παναγίῳ πνεύματι νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΝϚ.

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΣΥΜΦΕΡΟΝΤΩΣ ΣΥΝΕΧΩΡΗΣΕΝ Ο ΘΕΟΣ ΤΗΝ ΨΥΧΗΝ ΔΕΚΤΙΚΗΝ ΕΙΝΑΙ ΤΩΝ ΠΑΘΩΝ· ΕΝ Ω ΚΑΙ ΠΕΡΙ ΑΣΚΗΤΙΚΩΝ ΕΡΓΑΣΙΩΝ.

Τὸ ἔν τινι συμπτώματι τῆς ἁμαρτίας ὀλισθαίνειν, δηλωτικόν ἐστι τῆς φυσικῆς ἀσθενείας. διότι συμφερόντως συνεχώρησεν ὁ Θεὸς τὴν ψυχὴν δεκτικὴν αὐτὴν εἶναι τῶν παθῶν. οὐ γὰρ συνεῖδεν ἀνωτέραν τούτων αὐτὴν καθιστᾶν πρὸ τῆς δευ-

δευτέρας παλιγγενεσίας. τὸ δεκτικὴν αὐτὴν εἶναι τῶν παθῶν, ὠφέλιμον πρὸς τὴν τῆς συνειδήσεως κατακαύτησιν. τὸ μέντοι διαμεῖναι ἐν τȣ́τοις, ἀναιδὲς καὶ ἀναίσχυντον. τρεῖς τρόποι εἰσὶ, δι᾽ ὧν πᾶσα ψυχὴ λογικὴ τῷ Θεῷ προσεγγίσαι δύναται. ἢ διὰ θερμότητος πίστεως, ἢ διὰ φόβȣ, ἢ διὰ παιδείας Κυρίȣ. ȣ̓δεὶς δὲ δύναται προσεγγίσαι τῇ τȣ̃ Θεȣ̃ ἀγάπῃ, εἰ μὴ προηγήσηται εἷς τῶν τριῶν τρόπων τȣ́των.

Ὥσπερ ἀπὸ τῆς γαστριμαργίας τίκτεται ἡ ταραχὴ τῶν λογισμῶν, ȣ̔́τω καὶ ἀπὸ πολυλογίας, καὶ ἀταξίας τῶν συντυχιῶν, ἡ ἄγνοια καὶ ἡ τȣ̃ νȣ̃ ἔκστασις. ἡ τῶν βιωτικῶν πραγμάτων μέριμνα ταράσσει τὴν ψυχὴν, καὶ τὸ ὑπὸ τȣ́των συμφύρεσθαι τὸν νȣ̃ν συμφύρει, καὶ τῆς γαλήνης ἐκβάλλει.

Πρέπει τῷ παραδεδωκότι ἑαυτὸν μοναχῷ τῇ ἐπȣρανίῳ γεωργίᾳ, ἀεὶ καὶ διὰ παντὸς πάσης βιωτικῆς φροντίδος ἐκτὸς εἶναι, ἵνα ἐν ἑαυτῷ γενόμενος, μηδὲν ὅλως ἐν ἑαυτῷ εὕρῃ τȣ̃ παρόντος αἰῶνος. ἐκ γὰρ τῶν τοιȣ́των ἀργὸς γενόμενος, ἀπερισπάστως δύναται μελετᾷν ἐν τῷ νόμῳ Κυρίȣ ἡμέρας καὶ νυκτός. οἱ σωματικοὶ κόποι ἄνευ τῆς τȣ̃ νȣ̃ καθαρότητος, ὡς ἄτεκνος μήτρα, καὶ μασθοὶ κατάξηροι. τῇ γὰρ τȣ̃ Θεȣ̃ γνώσει προσεγγίσαι ȣ̓ δύνανται. καὶ τὸ μὲν σῶμα κατάκοπον ποιȣ̃σιν, ἐκριζȣ̃ν δὲ τὰ πάθη ἐκ τȣ̃ νοὸς, ȣ̓ φροντίζȣσι. (1) διὰ τȣ̃το θεριȣ̃σιν ȣ̓δέν. ὥσπερ ὁ σπείρων ἐπ᾽ ἀκάνθαις ȣ̓δὲν δύναται θερίσαι, ȣ̔́τως ὁ τῇ μνησικακίᾳ ἑαυτὸν ἀφανίζων, καὶ τῇ φιλοκτημοσύνῃ, ȣ̓δὲν δύναται ἀνύσαι, ἀλλὰ στένει ἐπὶ τῆς κοίτης αὐτȣ̃ ἐκ τῆς πολλῆς ἀγρυπνίας, καὶ συνοχῆς τῶν πραγμάτων.

(1) Τὸ Ε. Χ. ȣ̓ φροντίζȣσιν, ȣ̓δὲ διανύȣσι.

» μάτων. καὶ μαρτυρεῖ ἡ γραφὴ ἡ λέγεσα· ὡς λαὸς ἐργαζό- Ἡσ. νη. β. γ.
» μενος δικαιοσύνην, καὶ ὡς μηδεμιᾶς τῶν ἐντολῶν Κυρίε ἀμε-
» λήσας, ζητεσι τὴν παρ' ἐμε δικαιοσύνην καὶ ἀλήθειαν, καὶ
» βέλονται προσεγγίσαι μοι τῷ Θεῷ, λέγοντες· ἵνα τὶ ἐνηςεύσα-
» μεν, καὶ εκ εἶδες; καὶ ἑαυτὲς ἐταπεινώσαμεν, καὶ εκ ἔγνως;
» ἐν γὰρ ταῖς ἡμέραις τῶν νηςειῶν ἡμῶν ποιεῖτε τὰ θελήματα
» ὑμῶν, λέγω δὴ, τὰς πονηρὰς ἐνθυμήσεις ὑμῶν. καὶ ὡς εἰδώ-
λοις ὁλοκαρπώσεις προσφέρετε αὐτὰς, καὶ τὲς χαλεπὲς δια-
λογισμὲς, ὃς ὡς Θεὲς ἐλογίσασθε ἐν αὐτοῖς, τὸ ὑμέτερον αὐ-
τοῖς θυσιάζοντες σῶμα, τὸ πάντων θυμιαμάτων τιμιώτερον·
ὅπερ ἐμοὶ ἀφιερῶσαι ἐχρῆν ὑμᾶς, διὰ τῆς ὑμῶν ἀγαθοεργίας,
καὶ καθαρᾶς συνειδήσεως.

Εὔθετος γῆ ἐςὶν ἡ εὐφραίνεσα τὸν ἑαυτῆς γεωργὸν τῇ μέχρις ἑκατὸν καρποφορίᾳ. ψυχὴ ἡ σιλβωθεῖσα τῇ τε Θεε μνήμῃ, καὶ τῇ ἀκοιμήτῳ ἀγρυπνίᾳ νυκτὸς καὶ ἡμέρας, ἐκεῖ οἰκοδομεῖ ὁ Κύριος ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς νεφέλην σκέπεσαν αὐτὴν ἐν ἡμέρᾳ, καὶ φωτὶ πυρὸς διαυγάσας τὴν νύκτα. (1) ἔσωθεν τε γνόφε αὐτῆς φῶς λάμψει.

Ὥσπερ νέφος καλύπτει τὸ φῶς τῆς Σελήνης, ἕτως οἱ ἀτμοὶ τῆς γαςρὸς διώκεσι τὴν σοφίαν τε Θεε ἐκ τῆς ψυχῆς. καὶ καθάπερ πυρὸς φλὸξ ἐν ξηροῖς ξύλοις, ἕτω καὶ τὸ σῶμα γαςρὸς ἐμπιπλαμένης. καὶ καθάπερ ὕλη παρὰ ὕλης αὔξει τὴν φλόγα τε πυρὸς, ἕτως ἡ ποικιλία τῶν βρωμάτων τὴν τε σώματος κίνησιν. ἐν σώματι φιληδόνῳ ἡ γνῶσις τε Θεε εκ

οἰκεῖ.

(1) Τὸ Ε. Χ. καὶ φωτὶ διαυγάσαι τὴν νύκτα. ἴσως καὶ φῶς διαυγάζον τὴν νύκτα.

οἰκεῖ. καὶ ὁ ἀγαπῶν τὸ ἴδιον σῶμα, τῆς τοῦ Θεοῦ χάριτος οὐκ ἐπιτεύξεται. ὥσπερ ἀπὸ ὠδίνων τίκτεται καρπὸς εὐφραίνων τὴν τετοκυῖαν, οὕτως ἐκ τοῦ κόπου τοῦ λαιμοῦ τίκτεται ἐν τῇ ψυχῇ καρπὸς, ἡ γνῶσις τῶν μυστηρίων τοῦ Θεοῦ. τοῖς δὲ ὀκνηροῖς καὶ φιληδόνοις, αἰσχύνης καρπός. ὥσπερ πατὴρ κήδεται τέκνου, οὕτω καὶ ὁ Χριστὸς κήδεται σώματος κακοπαθοῦντος δι' αὐτὸν, καὶ πλησίον ἐστὶ τοῦ στόματος αὐτοῦ διαπαντός. τῆς ἐν σοφίᾳ ἐργασίας, ἀτίμητον τὸ κτῆμα.

Ξένος ἐστὶν ὁ κατὰ διάνοιαν ἔξω γενόμενος πάντων τῶν βιωτικῶν. πενθικός ἐστιν ὁ ἐν πείνῃ καὶ δίψῃ διάγων πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, διὰ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν. μοναχός ἐστιν ὁ ἔξωθεν τοῦ κόσμου καθήμενος, καὶ ἀεὶ δεόμενος τοῦ Θεοῦ, τυχεῖν τῶν μελλόντων ἀγαθῶν. πλοῦτος μοναχοῦ ἐστὶν ἡ παράκλησις ἡ γενομένη ἐκ τοῦ πένθους, καὶ ἡ χαρὰ ἡ ἐκ πίστεως, ἡ ἐν τοῖς ταμείοις τῆς διανοίας λάμπουσα. ἐλεήμων ἐστὶν ὁ μὴ διακρίνων κατὰ διάνοιαν τινὰ ἀπό τινος, ἀλλὰ πάντας ἐλεῶν. παρθένος ἐστὶν, οὐχ ὁ τὸ σῶμα αὐτοῦ φυλάξας ἀπὸ τῆς συνουσίας ἀμόλυντον, ἀλλ' ὁ αἰδούμενος ἑαυτὸν, ὅταν κατ' ἰδίαν γένηται. εἰ ἀγαπᾷς τὴν σωφροσύνην, δίωξον τοὺς αἰσχροὺς λογισμοὺς ἐν τῇ μελέτῃ τῆς ἀναγνώσεως, καὶ τῇ ἐκτεταμένῃ προσευχῇ, καὶ τότε πρὸς τὰς αἰτίας τῆς φύσεως καθοπλισθήσῃ. χωρὶς δὲ τούτων ἁγνείαν ἰδεῖν ἐν τῇ ψυχῇ ἀδύνατον. εἰ θέλεις κτήσασθαι τὴν ἐλεημοσύνην, πρῶτον ἔθιζε σαυτὸν καταφρονεῖν πάντων, ἵνα μὴ τῷ βάρει τούτων ὁ νοῦς ἑλκυσθῇ, καὶ τῶν ἰδίων ὅρων ἐκτὸς γένηται. τῆς γὰρ ἐλεημοσύνης ἡ ἀκρίβεια ἐν τῇ τοῦ ἀδικεῖσθαι αἱρουμένου ὑπομονῇ δείκνυται. τῆς ταπεινώσεως ἡ τελειότης ἐστὶ τὸ φέρειν μετὰ

χαρᾶς

χαρᾶς τὰς ψευδεῖς κατηγορίας. εἰ ἐν ἀληθείᾳ ἐλεήμων εἶ, ὅταν ἀφαιρεθῇς τὰ σὰ ἀδίκως, μὴ θλιβῇς ἔσωθεν, μηδὲ τὴν ζημίαν τοῖς ἔξω διηγῦ. καταποθήτω δὲ μᾶλλον ἡ ζημία τῶν ἠδικηκότων σε τῇ σῇ ἐλεημοσύνῃ, ὥσπερ ἡ αὐςηρία τῦ οἴνυ τῇ τῦ ὕδατος πληθυνότητι. καὶ ἐπίδειξαι τὸ πλῆθος τῆς ἐλεημοσύνης σε ἐν τοῖς ἀγαθοῖς ἀμείβῃ τὺς ἀδικήσαντάς σε. καθὼς καὶ ὁ μακάριος Ἐλισσαῖος ἐποίησε τοῖς ἐχθροῖς αὐτῦ, αἰχμαλωτίσαι αὐτὸν βυλομένοις. ὅτε γὰρ προσηύξατο καὶ ἀπετύφλωσεν αὐτὺς τῇ ἀχλύϊ, ἐπεδείξατο τὴν ἐν αὐτῷ ὖσαν δύναμιν· ὅτε δὲ βρῶσιν καὶ πόσιν δεδωκὼς αὐτοῖς εἴασεν ἀπέρχεσθαι, τὴν ἐν αὐτῷ ἐλεημοσύνην ἐπεδείξατο.

Ὁ ταπεινόφρων ἐν ἀληθείᾳ, ἀδικύμενος ὐ ταράσσεται, ὐδὲ ἀπολογίαν ποιεῖ ὑπὲρ τῦ πράγματος, ὗ ἠδικήθη· ἀλλὰ δέχεται τὰς συκοφαντίας, ὡς ἀλήθειαν, καὶ ὐ μεριμνᾷ πεῖσαι τὺς ἀνθρώπυς, ὅτι ἐσυκοφαντήθη, ἀλλὰ συγχώρησιν αἰτεῖται. τινὲς γὰρ τὸ ὄνομα τῆς ἀκολασίας ἑαυτοῖς ἐπεσπάσαντο ἑκυσίως, μὴ ὄντες ὕτως· ἕτεροι δὲ τὸ τῆς μοιχείας, πόῤῥω τύτυ ὄντες, ὑπέμενον, καὶ ἐπικαρπίαν ἁμαρτίας, ἣν ὐκ εἰργάσαντο, διὰ τῶν δακρύων ἑαυτοῖς ἐθριάμβευον, (1) καὶ συγχώρησιν ἀνομίας, ἣν ὐκ εἰργάσαντο, μετὰ κλαυθμῦ παρὰ τῶν ἠδικηκότων ἐξητῦντο, πάσῃ καθαρότητι καὶ ἁγνείᾳ ὄντες ἐςεφανωμένοι τὴν ψυχήν. ἄλλοι δὲ, ἵνα μὴ δοξασθῶσιν ἐν τῇ ἐναρέτῳ αὐτῶν καταςάσει, τῇ ὔσῃ ἐν αὐτοῖς κεκρυμμένῃ, ἐν σχήματι παραπλήγων ἑαυτὺς ἐδείκνυον, τῷ θείῳ ἅλατι ἠρτυμένοι ὄντες, καὶ τῇ γαλήνῃ πάγιοι. ὥςε ἐκ τῆς ἄκρας αὐ-

(1) Τὸ Ε. Χ. ἑαυτοῖς ἀπεφόρτιζον.

τῶν τελειότητος, τȣς ἁγίȣς Ἀγγέλȣς ἔχειν κήρυκας τῶν ἰδίων ἀνδραγαθημάτων.

Σὺ μὰ ταπείνωσιν νομίζεις ἔχειν. ἄλλοι δὲ ἑαυτῶν κατηγορȣν, σὺ δὲ ȣδὲ ὑπὸ ἄλλων κατηγορȣμενος φέρεις, καὶ ταπεινόφρονα ἑαυτὸν ψηφίζεις. εἰ ταπεινόφρων εἶ, δοκίμασον σεαυτὸν ἐν τȣτοις, ἐὰν ȣ ταράσση ἀδικȣμενος. (1)

Πολλὰς μονὰς ὁ σωτὴρ τȣ πατρὸς καλεῖ τὰ μέτρα τῆς διανοίας τῶν ἐν τῇ χώρᾳ ἐκείνῃ αὐλιζομένων, λέγω δὴ τὰς διακρίσεις, καὶ διαφορὰς τῶν πνευματικῶν χαρισμάτων, ἐν οἷς κατὰ διάνοιαν ἐντρυφῶσιν. ȣ γὰρ διαφορᾷ τόπων, ἀλλὰ τάξει χαρισμάτων, πολλὰς μονὰς εἴρηκε. καθάπερ ἕκασος τȣ αἰσθητȣ Ἡλίȣ κατὰ τὴν καθαρότητα τῆς ὀπτικῆς δυνάμεώς τε καὶ ἀντιλήψεως κατατρυφᾷ. καὶ καθάπερ ἑνὸς λύχνȣ ἐν ἑνὶ οἴκῳ διαυγάζοντος, διάφορος ἡ αὐγὴ γίνεται, τȣ φωτὸς μὴ μεριζομένȣ εἰς πολλὰς λαμπηδόνας, ȣτως ἐν τῷ μέλλοντι αἰῶνι οἱ δίκαιοι πάντες αὐλίζονται ἐν μιᾷ χώρᾳ ἀδιαιρέτως. ἕκασος δὲ κατὰ τὸ ἑαυτȣ μέτρον ἐξ ἑνὸς νοητȣ Ἡλίȣ διαυγάζεται, καὶ κατ' ἀξίαν ἕλκει τὴν χαρὰν, καὶ τὴν εὐφροσύνην, ὡς ἐξ ἑνὸς ἀέρος, καὶ τόπȣ, καὶ καθέδρας, καὶ θεωρίας, καὶ σχήματος. καὶ ȣ θεωρεῖ τὶς τὰ μέτρα τȣ ἑταίρȣ αὐτȣ, ȣτε τȣ ὑπερέχοντος, ȣτε τȣ ὑποδεεςέρȣ· ἵνα μὴ ὁρῶν τὴν ὑπερβάλλȣσαν χάριν τȣ ἑταίρȣ αὐτȣ, καὶ τὸ ἑαυτȣ ὑςέρημα, γένηται αὐτῷ ταῦτα λύπης, καὶ ἀδημονίας αἴτια. μὴ γένοιτο τȣτο εἶναι, ὅπȣ ȣκ ἔςι λύπη, ȣδὲ ςεναγμός· ἀλλ' ἕκασος κατὰ

(1) Τὸ Ε. Χ. εἰ ȣν βȣλῃ γνῶναι εἰ ταπεινόφρων ἦς, δοκίμασον σεαυτὸν ἐν τοῖς εἰρημένοις, ἕως ἂν ȣ ταράσσῃ ἀδικȣμενος.

κατὰ τὴν δοθεῖσαν αὐτῷ χάριν, κατὰ τὸ μέτρον αὐτοῦ, ἔσωθεν αὐτοῦ εὐφραίνεται. μία δὲ ἡ θεωρία ἡ ἔξωθεν τῶν πάντων ἐστὶ, καὶ μία ἡ χαρά. καὶ χωρὶς τῶν δύω τούτων τάξεων, οὐκ ἔστιν ἄλλη μεσιτεύουσα τάξις. (1) λέγω δὴ μίαν μὲν, τὴν ἄνω· ἑτέραν δὲ, τὴν κάτω· μέση δὲ τούτων, ἡ ποικιλία τῆς διαφορᾶς τῶν ἀμοιβῶν.

Εἰ δὲ ἀληθὲς τοῦτο, καθὼς καὶ ἀληθές ἐστι, τί ἀφρονέστερον, ἢ ἀνοητότερον τῶν λεγόντων, ὅτι ἀρκετόν μοι τῆς γεέννης διαφυγεῖν, τοῦ δὲ εἰς τὴν βασιλείαν εἰσελθεῖν, οὐ μέλλει μοι; τὸ γὰρ διαφυγεῖν τῆς γεέννης, αὐτὸ τοῦτό ἐστι τὸ εἰσελθεῖν εἰς τὴν βασιλείαν. ὥσπερ καὶ τὸ ταύτης ἐκπίπτειν, εἰς τὴν γέενναν εἰσελθεῖν ἐστίν. οὐ γὰρ ἐδίδαξεν ἡμᾶς ἡ γραφὴ τρεῖς χώρας, ἀλλὰ τί; ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ; „ καὶ στήσῃ τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ „ εὐωνύμων. οὐδὲ γὰρ τρία τάγματα εἶπεν, ἀλλὰ δύω, ἐν ἐκ δεξιῶν, καὶ ἐν ἐξ εὐωνύμων· καὶ διεχώρισε τὰ ὅρια τῶν διαφορῶν τῶν κατασκηνωμάτων αὐτῶν, εἰπών· ὅτι ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, δηλονότι οἱ ἁμαρτωλοί· οἱ δὲ δίκαιοι, εἰς ζωὴν αἰώνιον ἐκλάμψουσιν ὡς ὁ Ἥλιος. καὶ πάλιν· „ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακληθήσονται ἐν „ τοῖς κόλποις Ἀβραὰμ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, οἱ δὲ υἱοὶ „ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· „ ὅπου ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ὅπερ ἐστὶ παντὸς πυρὸς φοβερώτερον.

Ματθ. κε. λα.

Ματθ. κε. μϛ.

Ματθ. η. ια.

(1) Τὸ Ε. Χ. χάρις τε καὶ τάξις.

Ἆρα ἐν ἐ συνῆκας ἐκ τέτων, ὅτι ἡ ἐναντία τῆς ἄνω τάξεως ςάσις, αὕτη ἐστὶν ἡ γέεννα ἡ βασανίζεσα; καλὸν ἐν ἐςὶ τὸ διδάξαι τὲς ἀνθρώπες τὸ ἀγαθὸν τȣ͂ Θεȣ͂, καὶ ἐπισπάσασθαι αὐτὲς ἐν τῇ διαμονῇ τῆς προνοίας τȣ͂ Θεȣ͂, καὶ ἐκ τῆς πλάνης εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας μετενεγκεῖν. ἔτος γὰρ ἦν ὁ τȣ͂ Χριςȣ͂, καὶ τῶν Ἀποςόλων τρόπος, καὶ ἔςιν ὑψηλὸς πάνυ. ἐὰν δὲ ὁ ἄνθρωπος αἰσθάνηται ἑαυτȣ͂ ἐκ τῆς διαγωγῆς ταύτης, καὶ τῆς συνεχȣ͂ς κοινωνίας, ὅτι ἀσθενεῖ ἡ συνείδησις αὐτȣ͂ ἐν τῇ θεωρίᾳ τῶν ὄντων, καὶ ταράσσεται ἡ γαλήνη αὐτȣ͂, καὶ ἡ γνῶσις σκοτίζεται, διότι ἀκμὴν ἡ διάνοια αὐτȣ͂ δέεται φυλακῆς, καὶ τῆς τῶν αἰσθήσεων ὑποταγῆς, καὶ ἐν τῷ θέλειν ἄλλες θεραπεύειν, τὴν ἰδίαν ὑγείαν αὐτȣ͂ ἀπόλλυσι, καὶ ἐξέρχεται ἐκ τῆς ἰδίας ἐλευθερίας τȣ͂ ἰδίȣ βȣλήματος εἰς τὴν ταραχὴν τȣ͂ νοὸς, ὁ τοιȣ͂τος μνημονευέτω τȣ͂ ἀποςολικȣ͂ ῥητȣ͂ παραινȣ͂ντος καὶ λέγοντος, τῶν τελειοτέρων (Ἑβρ. ε. ιδ.) » εἶναι τὴν ςερεὰν τροφήν· καὶ εἰς τȣ͂πίσω ςραφήτω, ἵνα μὴ ἀκέσῃ παρ' αὐτȣ͂, ὡς ἐν ὑποδείγματι, ἰατρὲ θεράπευσον σε- (Λȣκ. δ. κγ.) » αυτόν· καὶ ἑαυτὸν κατακρινέτω, καὶ τὴν ἰδίαν εὐεξίαν φυλαξάτω, καὶ ἀντὶ τῶν αἰσθητῶν αὐτȣ͂ λόγων, ἡ ἀγαθὴ αὐτȣ͂ πολιτεία διακονείτω, καὶ ἀντὶ τῶν φωνῶν τȣ͂ ςόματος αὐτȣ͂, ἡ πρᾶξις αὐτȣ͂ διδασκέτω. καὶ ἡνίκα ἂν ἐν ὑγείᾳ τὴν ψυχὴν αὐτȣ͂ γνῷ, τότε καὶ ἄλλες ὠφελείτω, καὶ ἐν τῇ ὑγείᾳ αὐτȣ͂ θεραπευέτω. ὅταν γὰρ εὑρεθῇ μακρὰν τῶν ἀνθρώπων, μᾶλλον δύναται αὐτὲς εὐεργετῆσαι ἐν τῷ ζήλῳ τῶν ἀγαθῶν ἔργων, ἤπερ ἐν λόγοις, ἄῤῥωςος ὑπάρχων καὶ αὐτὸς, καὶ χρήζων τῆς ἰατρείας πλέον αὐτῶν. τυφλὸς γὰρ τυφλὸν ἐὰν (Ματθ. ιε. ιδ.) » ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσȣ͂νται. τῶν ὑγιαινόντων

γὰρ

γάρ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων, καὶ δυναμένων δέξασθαι πᾶσαν τροφήν· λέγω δὴ, τὰς προσβολὰς πασῶν τῶν αἰσθήσεων, καὶ μὴ βλαβῆναι τὴν καρδίαν ἐκ πάντων τῶν συναντημάτων, διὰ τὴν γυμνασίαν τῆς τελειώσεως.

Ὅταν θελήσῃ ὁ διάβολος τῶν τοιούτων μολῦναι τὸν νοῦν ἐν τῇ τῆς πορνείας μνήμῃ, πρῶτον τῇ φιλίᾳ τῆς κενοδοξίας δοκιμάζει τὴν ὑπομονὴν αὐτῶν. καὶ ἡ προκάταρξις τοῦ λογισμοῦ τούτου οὐ δοκεῖ πάθος εἶναι. οὕτω ποιεῖν εἴωθε τοῖς τὸν νοῦν παραφυλαττομένοις, οἷς οὐ δυνατὸν τάχιστα ἐγκαταβαλεῖν ἄτοπον ἐνθύμησιν. ἡνίκα δ' ἂν ἐκβάλλῃ αὐτὸν ἐκ τοῦ ὀχυρώματος αὐτοῦ, καὶ ἄρξηται τῷ προτέρῳ συνδιαλέγεσθαι λογισμῷ, καὶ μακρύνειν αὐτὸν ἐκεῖθεν, τηνικαῦτα προσυπαντᾷ αὐτῷ ἐν τῇ ὕλῃ τῆς πορνείας, καὶ διαστρέφει τὸν νοῦν εἰς τὰ τῆς ἀκολασίας πράγματα. καὶ πρῶτον ταράσσεται ἐν τῇ αἰφνιδίῳ αὐτῶν προσβολῇ, διὰ τὴν προϋπάρξασαν σωφροσύνην τῶν λογισμῶν, τὴν προϋπαντήσασαν τοῖς πράγμασιν· ὧν τινων τῆς θεωρίας ὁ κυβερνήτης νοῦς ἦν ἀπεχοινισμένος. καὶ γὰρ κἂν παντελῶς μὴ μολυνθῇ, ἀλλ' ἐν τῆς προτέρας ἀξίας αὐτὸν κατέβαλεν. ἐὰν δὲ στραφῇ εἰς τὰ ὀπίσω, καὶ προκαταλάβῃ τὴν προτέραν τῶν λογισμῶν προσβολὴν, ἥτις ἐστὶν αἰτία τῆς τῶν δευτέρων ἐπαγωγῆς, τότε δύναται εὐκόλως σὺν Θεῷ κατακρατῆσαι τοῦ πάθους.

Κρεῖσσον ἐν τῇ μνήμῃ τῶν ἀρετῶν ὑποκλέπτειν τὰ πάθη, ἢ τῇ ἀντιστάσει. διότι τὰ πάθη ὅταν ἐκ τῆς οἰκείας χώρας ἐξέλθῃ, καὶ κινηθῇ πρὸς πόλεμον, τότε σχήματα καὶ εἴδωλα ἐντυποῖ ἐν τῷ νοΐ. ἐπικράτειαν γὰρ πολλὴν κέκτηται ὁ πόλεμος

λεμος

λεμος οὗτος κατὰ τοῦ νοὸς σφόδρα, τὰς ἀθυμήσεις ἐκταράσσων καὶ θορυβῶν. κατὰ μέντοι τὸν πρότερον ὅρον, ὃν ἔφαμεν, οὐδὲ ἴχνος παθῶν ἐμφαίνεται ἐν τῷ νοῒ μετὰ τὴν τούτων ἀποδίωξιν.

Ὁ σωματικὸς κόπος, καὶ ἡ μελέτη τῶν θείων γραφῶν φυλάσσει τὴν καθαρότητα· τὸν δὲ κόπον βεβαιοῖ ἡ ἐλπὶς καὶ ὁ φόβος· τὴν δὲ ἐλπίδα καὶ τὸν φόβον συνιστᾷ ἐν τῇ διανοίᾳ ὁ μακρυσμὸς τῶν ἀνθρώπων, καὶ ἡ ἀδιάλειπτος προσευχή. ἕως οὗ δέξηται ἄνθρωπος τὸν παράκλητον, δέεται τῶν θείων γραφῶν, ἵνα ἡ μνήμη τῶν ἀγαθῶν ἐντυπωθῇ ἐν τῇ διανοίᾳ αὐτοῦ, καὶ ἐκ τῆς ἀδιαλείπτου ἀναγνώσεως ἀνακαινισθῇ ἐν αὐτῷ ἡ πρὸς τὸ ἀγαθὸν κίνησις, καὶ φυλάξῃ τὴν ψυχὴν αὐτοῦ ἐκ τῆς λεπτότητος τῶν ὁδῶν τῆς ἁμαρτίας. διότι οὔπω ἐκτήσατο τὴν δύναμιν τοῦ πνεύματος, τὴν μακρύνουσαν τὴν πλάνην, τὴν αἰχμαλωτίζουσαν τὰς ψυχωφελεῖς μνήμας, καὶ προσεγγίζουσαν τῇ ἐν τῷ σκορπισμῷ τοῦ νοῦ ψυχρότητι. ὅτε γὰρ ἡ δύναμις τοῦ πνεύματος ἐπιβῇ ἐπὶ τὴν ψυχικὴν δύναμιν τὴν ἐνεργοῦσαν ἐν αὐτῷ, (1) τότε ἀντὶ τοῦ νόμου τῶν γραφῶν, ῥιζοῦνται αἱ ἐντολαὶ τοῦ πνεύματος ἐν τῇ καρδίᾳ. καὶ τότε κρυπτῶς ἐκ τοῦ πνεύματος μανθάνει, καὶ οὐ δέεται τῆς βοηθείας τῆς ἐκ τῆς αἰσθητῆς ὕλης. ἐν ὅσῳ γὰρ ἡ καρδία ἐκ τῆς ὕλης μανθάνει, ἀκολούθως ἕπεται τῇ μαθήσει ἡ πλάνη καὶ ἡ λήθη. ὅταν δὲ ἡ διδασκαλία ὑπὸ τοῦ πνεύματος ᾖ, τότε ἡ μνήμη ἀβλαβὴς φυλάττεται.

Εἰσὶ

(1) Τὸ Ε. Χ. ἐν αὐτοῦ.

Εἰσὶ λογισμοὶ ἀγαθοὶ, καὶ ἔστι θελήματα ἀγαθά· εἰσὶ δὲ λογισμοὶ πονηροὶ, καὶ καρδία πονηρά. ἡ πρώτη τάξις, κίνησίς ἐστι διαβαίνουσα ἐν τῷ νοῒ, ὡς ὁ ἐν τῇ θαλάσσῃ διεγειρόμενος ἄνεμος, καὶ μετεωρίζων τὰ κύματα· ἡ δὲ δευτέρα τάξις, ἐστὶν ἡ κρηπὶς, καὶ τὸ θεμέλιον. καὶ κατὰ τὸν τῆς κρηπῖδος ὅρον, γίνεται ἡ ἀμοιβὴ τῶν ἀγαθῶν καὶ τῶν φαύλων, καὶ οὐ κατὰ τὴν τῶν λογισμῶν κίνησιν. ἡ ψυχὴ ἐκ τῆς κινήσεως τῶν τρεπτῶν λογισμῶν οὐ γαλουχεῖται. ἐὰν δὲ ἑκάστῃ τούτων ἀμοιβὴν δῷς, κρηπῖδα κάτω ἐν τῇ καρδίᾳ μὴ ἔχουσαν, πλησίον εἶ λοιπὸν σὺ τοῦ μυριάκις καθ' ἡμέραν ἀλλοιῶσαι τά τε ἀγαθά σου τά τε ἐναντία.

Ὅρκως ἄπτερός ἐστι νοῦς νεωστὶ ἐξεληλυθὼς ἐκ τῆς συμπλοκῆς τῶν παθῶν διὰ τῆς μετανοίας, καὶ ἐν τῷ καιρῷ τῆς προσευχῆς ἀγωνιζόμενος ὑψωθῆναι ἐκ τῶν γηΐνων πραγμάτων, καὶ μὴ δυνάμενος, ἀλλ' ἀκμὴν ἐπὶ πρόσωπον τῆς γῆς ἕρπων, πετασθῆναι ἔτι μὴ ἐξισχύων· πλὴν συνάγων τὰς ἐνθυμήσεις αὐτοῦ ἐν τῇ ἀναγνώσει, καὶ ἐν τῇ ἐργασίᾳ, καὶ τῷ φόβῳ, καὶ τῇ φροντίδι τῆς ποικιλίας τῶν ἀρετῶν. παρεκτὸς γὰρ τούτων γνῶναί τι οὐ δύναται. καὶ ταῦτα μὲν, πρὸς βραχὺν καιρὸν φυλάττουσιν ἀμόλυντον τὸν νοῦν· ὕστερον δὲ, ἐπέρχονται αἱ μνῆμαι, καὶ ἐκταράττουσι, καὶ μολύνουσι τὴν καρδίαν. οὔπω γὰρ ᾔσθετο τοῦ ἡσύχου ἀέρος τῆς ἐλευθερίας, πρὸς ὃν διὰ τῆς ἀμνησίας τῶν πραγμάτων μετὰ μικρὸν χρόνον συνάγει τὸν νοῦν. διότι ἀκμὴν σωματικὰς τὰς πτέρυγας κέκτηται, λέγω δὴ τὰς ἀρετὰς, αἵτινες φανερῶς ἐκτελοῦνται. τὰς μέντοι ἀρετὰς τῆς θεωρίας οὔπω ἐθεάσατο, οὐδὲ τῆς τούτων αἰσθήσεως ἠξιώθη· αἵτινές εἰσι πτέρυγες τοῦ νοὸς, δι' ὧν προσεγγίζει τὶς τοῖς ἐπουρανίοις, καὶ ἀπέχεται τῶν γηΐνων.

Ἐν ὅσῳ τοῖς αἰσθητοῖς πράγμασιν ὑπηρετεῖ τις τῷ Κυρίῳ, οἱ τύποι τούτων τῶν πραγμάτων ἐγχαράττονται ἐν τοῖς διαλογισμοῖς αὐτοῦ, καὶ ἐν σωματικοῖς σχήμασι διαλογίζεται τὰ θεῖα. ἡνίκα δ᾽ ἂν αἴσθησιν λάβῃ τῶν ὄντων ἔσωθεν τῶν πραγμάτων, τηνικαῦτα κατὰ τὸ μέτρον τῆς αἰσθήσεως αὐτοῦ, ἔσται ὁ νοῦς ὑψηλότερος τῶν σχημάτων τῶν πραγμάτων κατὰ καιρὸν, καὶ καιρόν.

Ψαλμ. λγ. ις. Ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ταπεινοὺς τῇ καρδίᾳ, καὶ ὦτα » αὐτοῦ εἰς δέησιν αὐτῶν. προσευχὴ ταπεινόφρονος, ὡς ἐκ στόματος πρὸς ὦτα. ἐν τῷ καιρῷ τῆς ἡσυχίας σου βόησον ἐν ἔργοις ἀγαθοῖς τῆς ταπεινώσεως· Εὐχή. Κύριε ὁ Θεός μου σὺ φωτιεῖς τὸ σκότος μου.

Ὅταν ἡ ψυχή σου ἐγγίσῃ ἐξελθεῖν ἐκ τοῦ σκότους, τοῦτο τὸ σημεῖον ἔστω σοι· καίεται ἡ καρδία σου, καὶ διαθερμαίνεται ὡς τὸ πῦρ νυκτὸς καὶ ἡμέρας. ὥστε ὅλον τὸν κόσμον ἡγεῖσθαί σε σκύβαλα καὶ σποδὸν, καὶ οὐδὲ τῆς τροφῆς ὀρέγεσθαι ἐκ τῆς γλυκύτητος τῶν λογισμῶν τῶν καινῶν καὶ διαπύρων, τῶν κινουμένων ἀεὶ ἐν τῇ ψυχῇ σου. καὶ ἐξαίφνης δίδοταί σοι πηγὴ δακρύων, ὡς χείμαῤῥος ῥέων χωρὶς βίας, μεμιγμένος ἐν πᾶσι τοῖς ἔργοις σου, εἴτε τῇ ἀναγνώσει σου φημὶ καὶ εὐχῇ σου, εἴτε τῇ μελέτῃ σου καὶ βρώσει σου καὶ πόσει σου, καὶ ἐν παντὶ ἔργῳ σου τὰ δάκρυά σου κεκερασμένα ἐν αὐτῷ εὑρίσκεται. καὶ ὅταν ἴδῃς ταῦτα ἐν τῇ ψυχῇ σου, εὐθαρσὴς γενοῦ, ὅτι τὴν θάλασσαν διεπέρασας, καὶ οὕτω πρόσθες ἐν τοῖς ἔργοις σου, καὶ καλῶς κράτησον τὴν φυλακήν· ὅπως ἂν ἡ χάρις ἡμέραν καθ᾽ ἡμέραν πληθυνθῇ ἐν σοί. ἕως δὲ τούτοις οὐκ ἀπαντήσῃς, ἀκμὴν οὐκ ἐτελείωσας τὴν ὁδόν σου, τοῦ φθάσαι εἰς τὸ ὄρος τοῦ Θεοῦ. εἰ

δὲ

δὲ καὶ μετὰ τὸ εὑρεῖν σε, καὶ λαβεῖν τὴν χάριν τῶν δακρύων, παύσονται, καὶ ἡ θέρμη σου ψυχρανθῇ ἄνευ ἀλλοιώσεως ἑτέρου πράγματος, ἤγουν σωματικῆς ἀσθενείας, οὐαί σοι· τί ἀπώλεσας. ἢ γὰρ εἰς οἴησιν ἦλθες, ἢ εἰς ἀμέλειαν, ἢ καὶ εἰς χαυνότητα. τί δὲ ἐπακολουθεῖ τοῖς δάκρυσι μετὰ τὸ λαβεῖν αὐτά, καὶ τί μετὰ ταῦτα ἀπαντήσει αὐτῷ, ὕστερον ἐν ἄλλῳ τόπῳ μέλλομεν γράψαι, ἐν τοῖς περὶ προνοίας κεφαλαίοις, ὡς ὑπὸ τῶν πατέρων, καὶ τῶν γραφῶν ἐφωτίσθημεν, τῶν πιστευθέντων τὰ τοιαῦτα μυστήρια.

Ἐὰν ἔργα μὴ ἔχῃς, μὴ λαλήσῃς περὶ ἀρετῶν. τίμιαι ἐναντίον Κυρίου αἱ θλίψεις· αἱ ὑπὲρ αὐτοῦ καὶ δι' αὐτόν, ὑπὲρ πᾶσαν εὐχὴν καὶ θυσίαν. καὶ ὀσμὴ ἱδρῶτος αὐτῶν, ὑπὲρ πάντα τὰ ἀρώματα. ἑκάστην ἀρετὴν χωρὶς κόπου σωματικοῦ γινομένην, ὡς ἔκτρωμα ἄψυχον ἡγοῦ. προσφορὰ δικαίων, δάκρυα ὀφθαλμῶν αὐτῶν. καὶ θυσία αὐτῶν δεκτή, οἱ ἐν ἀγρυπνίαις στεναγμοὶ αὐτῶν. κεκράξονται πρὸς Κύριον οἱ δίκαιοι τῷ βάρει τοῦ σώματος στενόμενοι, καὶ ἐν ὀδύνῃ τὰς ἱκεσίας ἐκπέμψουσι πρὸς Θεόν, καὶ ἐπὶ τῇ κραυγῇ τῆς φωνῆς αὐτῶν, τὰ ἅγια τάγματα πρὸς βοήθειαν αὐτῶν παραγίνεται, τοῦ θαρσοποιῆσαι αὐτοὺς τῇ ἐλπίδι, καὶ παραμυθήσασθαι. κοινωνοὶ γάρ εἰσιν οἱ ἅγιοι Ἄγγελοι τῶν παθῶν, καὶ τῶν θλίψεων τῶν Ἁγίων, τῇ πρὸς αὐτοὺς ἐγγύτητι.

Ἡ καλὴ ἐργασία καὶ ἡ ταπεινοφροσύνη, Θεὸν ποιεῖ τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς. ἡ δὲ πίστις καὶ ἡ ἐλεημοσύνη, πρὸς τὴν καθαρότητα ταχέως προσπελάσαι ποιεῖ. τὴν θέρμην καὶ τὴν συντριβὴν τῆς καρδίας ἐν μιᾷ ψυχῇ γενέσθαι ἀδύνατον, ὡς οὐδὲ τοῖς ἐν μέθῃ, τῶν λογισμῶν ἡ ἐπικράτεια. ὅταν γὰρ δοθῇ

τῇ ψυχῇ αὕτη ἡ θέρμη, ἐπαίρεται ἡ συντριβὴ τοῦ πάθους. ὁ μὲν οἶνος, εἰς ἱλαρότητα· ἡ δὲ θέρμη, πρὸς εὐφροσύνην τῆς ψυχῆς δεδώρηται. ἐκεῖνος, τὸ σῶμα θερμαίνει· ὁ δὲ τοῦ Θεοῦ λόγος, τὴν διάνοιαν. οἱ τῇ θέρμῃ πυρπολούμενοι, τῇ μελέτῃ τῆς ἐλπίδος ἁρπάζονται, καὶ ἀπαρτίζουσι τὴν διάνοιαν πρὸς τὸν αἰῶνα τὸν μέλλοντα. καθάπερ γὰρ οἱ μεθυσκόμενοι οἴνῳ, εἴδωλά τινα φαντάζονται ἐνηλλαγμένα, οὕτω καὶ οἱ ἐν τῇ ἐλπίδι μεθυσκόμενοι καὶ θερμαινόμενοι, οὔτε θλίψιν ἐπίστανται, οὔτε τὶ κοσμικόν. ταῦτα συμβαίνει τοῖς ἁπλουστέροις τῇ καρδίᾳ, καὶ θερμοτέροις τῇ ἐλπίδι, καὶ ἄλλα τοιαῦτα, μετὰ τὴν ἐπίμονον ἐργασίαν, καὶ καθαρότητα· ἅτινα ἡτοίμασαι τοῖς ἐν τῇ τρίβῳ τῶν ἀρετῶν πορευομένοις. ταῦτα γίνονται ἐν τῇ ἀρχῇ τῆς ὁδοῦ, διὰ τῆς πίστεως τῆς ψυχῆς. πάντα γὰρ ὅσα θέλει ὁ Κύριος ποιεῖ.

Μακάριοι οἱ περιζωσάμενοι τὰς ὀσφύας αὐτῶν πρὸς τὴν τῶν θλίψεων θάλασσαν ἐν ἁπλότητι, καὶ ἀνεξετάστῳ τρόπῳ, χάριν τῆς πρὸς Θεὸν ἀγάπης, καὶ μὴ δόντες νῶτα. οὗτοι ταχέως πρὸς λιμένα τῆς βασιλείας διασώζονται, καὶ ἀναπαύονται ἐν σκηνώμασι τῶν καλῶς κοπιασάντων, καὶ ψυχαγωγοῦνται ἐκ τῆς ταλαιπωρίας αὐτῶν, καὶ ἀγάλλονται ἐν τῇ εὐφροσύνῃ τῆς ἐλπίδος αὐτῶν. οἱ ἐπ' ἐλπίδι τρέχοντες πρὸς τὸ σκολιὸν τῆς ὁδοῦ, οὐκ ἐπιστρέφουσιν, οὐδὲ ἐπιμένουσι διερευνᾷν περὶ τούτου· ἀλλ' ὅταν διαπερῶσι τὴν θάλασσαν, τότε τὸ σκολιὸν καθορῶντες, τῷ Θεῷ τὴν εὐχαριστίαν προσφέρουσι· πῶς ἐρρύσατο αὐτοὺς ἐκ τῶν στενωπῶν καὶ κρημνῶν, καὶ τῆς τοιαύτης τραχύτητος, αὐτῶν μὴ εἰδότων. οἱ δὲ πολλοὺς διαλογισμοὺς διανοούμενοι, καὶ θέλοντες σφόδρα εἶναι σοφοὶ, καὶ παραδιδόν-

ῥαδιδόντες ἑαυτὲς ταῖς ἀναςροφαῖς, καὶ τῶν λογισμῶν τῇ δειλίᾳ, καὶ προσυτρεπιζόμενοι, καὶ προβλέπειν βουλόμενοι τὰς βλαπτικὰς αἰτίας, οἱ πλεῖςοι τέτων ἐπὶ θύραις τῶν ἑαυτῶν οἴκων διαπαντὸς καθήμενοι ευρίσκονται.

» Ὀκνηρὸς εἰς ὁδὸν ἀποςαλεὶς, ἐρεῖ· Λέων κατὰ τὴν ὁδὸν, » καὶ φονίσκαι κατὰ τῆς πλατείας. καὶ ὡς οἱ εἰπόντες· υἱὲς Γι- » γάντων ἑωράκαμεν ἐκεῖ, καὶ ἦμεν ἐνώπιον αὐτῶν, ὡσεὶ ἀκρί- » δες. ὗτοί εἰσιν οἱ ἐν τῷ καιρῷ τῆς τελευτῆς αὐτῶν ευρισκόμενοι ἐν τῇ ὁδῷ, οἱ ἀεὶ θέλοντες εἶναι σοφοὶ, βαλεῖν δὲ ἀρχὴν παντελῶς μὴ βελόμενοι. ὁ δὲ ἰδιώτης νηχόμενος, διαπερᾷ ἐν τῇ πρώτῃ θέρμῃ, φροντίδα τῦ σώματος παντελῶς μὴ ποιέμενος, μηδὲ διαλογιζόμενος ἐν ἑαυτῷ, εἰ ἄρα ἀνύει τὶ ἐκ τῆς αὐτῦ πραγματείας, ἢ ὔ. μήσοι γένηται τὸ πολὺ τῆς σοφίας, ὀλίσθημα τῇ ψυχῇ, καὶ παγὶς πρὸ προσώπου σου· ἀλλ' ἐπὶ τῷ Θεῷ πεποιθὼς, ἐν ἀνδρείᾳ βάλε ἀρχὴν τῆς αἵματος πεπληρωμένης ὁδῦ· ἵνα μὴ ευρεθῇς ἀεὶ ἐπιδεὴς καὶ γυμνὸς » τῆς τῦ Θεῦ γνώσεως. ὁ γὰρ δεδιὼς, ἢ περιμένων τὲς ἀνέ- » μες, ὁ σπερεῖ. κρεῖσσον θάνατος ὑπὲρ τῦ Θεῦ, ἢ ζωὴ μετ' αἰσχύνης, καὶ ὀκνηρίας. ὅταν θέλῃς βαλεῖν ἀρχὴν εἰς ἔργον τῦ Θεῦ, πρῶτον διαθήκην ποίησον, ὡς μὴ ἔχων ἔτι ζωὴν ἐν τῷδε τῷ βίῳ, καὶ ὥσπερ τις προσυτρεπισθεὶς εἰς θάνατον, καὶ ἀπελπίσας τῆς παρέσης ζωῆς, ὡς φθάσας τῆς σῆς προθεσμίας τὸν καιρόν. καὶ τῦτο ἔχε ἐν ἀληθείᾳ ἐν τῇ σῇ διανοίᾳ, εἰς τὸ μὴ ἐμποδισθῶσί σε τῇ ἐλπίδι τῆς παρέσης ζωῆς, εἰς τὸ ἀγωνίσασθαι, καὶ νικῆσαι. ἡ γὰρ ἐλπὶς τῆς ζωῆς ταύτης χαυνοῖ τὴν διάνοιαν. διὰ τῦτο μὴ σοφίζε περισσὰ παντελῶς, ἀλλὰ δὸς τόπον τῇ πίςει ἐν τῇ διανοίᾳ σε, καὶ μνη-

Παροιμ. κβ. ιγ.
Ἀριθ. ιγ. λγ.
Ἐκκλ. ια. δ.

μόνευε τῶν ἡμερῶν τῶν πολλῶν, τῶν ὀπίσω καὶ ἀνεκδιηγήτων αἰώνων τῶν μετὰ θάνατον καὶ κρίσιν, καὶ οὐ μὴ εἰσέλθῃ ποτὲ χαυνότης ἐπὶ σὲ, κατὰ τὸν λέγοντα σοφόν· ὅτι χίλια ἔτη τοῦ νῦν αἰῶνος, οὐκ εἰσὶν ὡς ἡμέρα μία ἐν τῷ αἰῶνι τῶν δικαίων. ἐν ἀνδρείᾳ ἄρξαι παντὸς ἔργου ἀγαθοῦ, καὶ μὴ ἐν διψυχίᾳ προσέλθῃς αὐτοῖς, καὶ μὴ διστάσῃς ἐν τῇ καρδίᾳ σου εἰς τὴν ἐλπίδα τοῦ Θεοῦ, ἵνα μὴ ὁ κόπος σου γένηται ἀνόνητος, καὶ ἐπιβαρὴς ἡ ἐργασία τῆς γεωργίας σου· ἀλλὰ πίστευε ἐν τῇ καρδίᾳ σου, ὅτι ἐλεήμων ὁ Κύριος, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν δίδωσι τὴν χάριν ὡς μισθαποδότης, οὐ κατὰ τὴν ἡμετέραν ἐργασίαν, ἀλλὰ κατὰ τὴν προθυμίαν τῶν ἡμετέρων ψυχῶν, καὶ τὴν πίστιν. Φησὶ γὰρ, ὡς ἐπίστευσας, γενηθήτω σοι. αἱ δὲ ἐργασίαι τῶν κατὰ Θεὸν πολιτευομένων εἰσὶν αὗται. (1)

Ψαλ. πθ. δ.

Ματθ. η. ιγ.

Ὁ μὲν ῥαπίζει τὴν κορυφὴν αὐτοῦ ὅλην τὴν ἡμέραν, καὶ ἀντὶ τῶν συνάξεων τῶν ὡρῶν, οὕτω διατελεῖ. καὶ ἄλλος τῇ γονυκλισίᾳ προσκαρτερῶν καὶ διαμένων, συνάπτει τὸν ἀριθμὸν τῶν εὐχῶν αὐτοῦ. ἄλλος τῷ πλήθει τῶν δακρύων αὐτοῦ ἀναπληροῖ τὸν τόπον τῶν συνάξεων αὐτοῦ, καὶ ἀρκεῖται ἐν αὐτοῖς. ἄλλος σπουδάζει ἐν τῇ μελέτῃ τῆς ἐννοίας, καὶ συνάπτει τὸν κανόνα τὸν ὁρισθέντα αὐτῷ. ἄλλος βασανίζει τὴν ψυχὴν αὐτοῦ ἐν τῇ πείνῃ, (2) ὥστε μὴ δύνασθαι αὐτὸν τελειῶσαι τὰς συνάξεις αὐτοῦ. καὶ ἄλλος τῇ διαπύρῳ μελέτῃ τῶν ψαλμῶν διαμένων, αὐτὴν ποιεῖται τὴν σύναξιν ἀδιάλειπτον.

(1) Τὸ Ε. Χ. Αἱ διαφοραὶ τῶν ἐργασιῶν εἰσὶν αὗται.

(2) Τὸ Ε. Χ. ἐν τῇ ταπεινώσει, καὶ ἐν τῇ πείνῃ.

πτον. ἄλλος χολάζει εἰς ἀνάγνωσιν, καὶ θερμαίνεται ἡ καρδία αὐτȣ̃. ἄλλος αἰχμαλωτίζεται κατανοῶν τὰ θεῖα νοήματα τῶν θείων γραφῶν. ἄλλος ἐκπληττόμενος ἐκ τῶν θαυμάτων τῶν σίχων, κωλύεται ὑπὸ τῆς σιωήθȣς μελέτης καὶ σιωπῆς κρατȣ́μενος. καὶ ἄλλος γȣσάμενος τȣ́των ἁπάντων καὶ κορεσθεὶς, ἐςράφη εἰς τὰ ὀπίσω, καὶ ἔμεινεν ἄπρακτος. καὶ ἄλλος μικρόντι ἐξ αὐτῶν ἐγȣ́σατο μόνον, καὶ τυφλωθεὶς, (1) ἐπλανήθη. καὶ ἄλλος ὑπὸ τῆς πολλῆς νόσȣ καὶ ἀδιωαμίας αὐτȣ̃ ἐκωλύθη φυλάξαι τὸν κανόνα αὐτȣ̃. καὶ ἄλλος ὑπὸ ἐθισμȣ̃ τινὸς, ἢ ἐπιθυμίας κρατȣ́μενος, ἢ φιλαρχίας, ἢ κενοδοξίας, ἢ πλεονεξίας, ἢ τȣ̃ σιωάξαι ὄλβια. καὶ ἄλλος προσέκοψε καὶ ἀνέςη, καὶ ȣ̓κ ἔςρεψε τὸν νῶτον αὐτȣ̃, ἕως ȣ̃ ἔλαβε τὸν μαργαρίτlω τὸν πολύτιμον. σὺ ȣ̓̃ν μετὰ χαρᾶς καὶ προθυμίας ἀεὶ βάλε ἀρχlὼ εἰς τὸ ἔργον τȣ̃ Θεȣ̃. καὶ ἐὰν καθαρὸς ᾖ ἐκ τῶν παθῶν, καὶ τȣ̃ διςαγμȣ̃ τῆς καρδίας, ὁ Θεὸς αὐτὸς ἀναβιβάσει σε εἰς τlὼ κορυφlὼ, καὶ βοηθεῖ σοι, καὶ σοφίζει σε κατὰ τὸ θέλημα αὐτȣ̃. καὶ ἐν θαύματι λαμβάνεις τlὼ τελειότητα. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος νῦν, καὶ ἀεὶ, καὶ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμlώ.

(1) Τὸ Ε. Χ. τυφωθεὶς.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΝΖ.

ΠΕΡΙ ΑΛΛΟΙΩΣΕΩΣ ΤΗΣ ΕΝ ΤΗ ΨΥΧΗ ΓΙΝΟΜΕΝΗΣ

ἐν παντὶ καιρῷ, Φωτὸς, καὶ σκότους, καὶ ἐκβιβασμοῦ ἐν τοῖς δεξιοῖς καὶ ἀριστεροῖς γινομένου.

Ἴδωμεν, ὦ ἀγαπητοὶ, ἐν τῇ ψυχῇ ἡμῶν ἐν τῇ ὥρᾳ τῆς εὐχῆς, ἐὰν ἔχωμεν θεωρίαν ἐν τοῖς στίχοις τῆς μελέτης καὶ τῆς εὐχῆς. αὕτη γὰρ γίνεται ἀπὸ τῆς ἀληθινῆς ἡσυχίας. καὶ ἐν τῷ καιρῷ, ἐν ᾧ γινόμεθα ἐν τῇ σκοτώσει, μὴ ταραχθῶμεν, καὶ μάλιστα ἐὰν μὴ ἐξ ἡμῶν ἡ αἰτία ταύτης ᾖ. τῇ προνοίᾳ δὲ τοῦ Θεοῦ λογίζου ταύτην, διὰ τὰς αἰτίας, ἃς οἶδεν αὐτὸς μόνος ὁ Θεός. καὶ γὰρ ἐν καιρῷ τινὶ πνίγεται ἡ ψυχὴ ἡμῶν, καὶ γίνεται ὡς ἐν κύμασι. καὶ ἐὰν ἀναγνῷ τὶς εἰς γραφὴν, καὶ ἐὰν λειτουργήσῃ, καὶ ἐν παντὶ πράγματι, ᾧ προσεγγίσῃ, σκότωσιν ἐπὶ σκοτώσει λαμβάνει. καὶ ἐξέρχεται ὁ τοιοῦτος, καὶ πολλάκις οὐδὲ προσεγγίσαι ἀφίεται. καὶ οὐ πιστεύει παντελῶς οὗτος, ὅτι δέχεται ἀλλοίωσιν, καὶ γίνεται ἐν εἰρήνῃ. αὕτη ἡ ὥρα πεπλήρωται ἀπογνώσεως καὶ φόβου, καὶ ἡ ἐλπὶς τοῦ Θεοῦ, καὶ ἡ παράκλησις τῆς πίστεως αὐτοῦ, τελείως ἐκβάλλεται ἐκ τῆς ψυχῆς· καὶ ὅλη ἐξ ὅλου πληροῦται δισταγμοῦ καὶ φόβου.

Οἱ πειραθέντες ἐν τῷ κύματι τούτῳ τῆς ὥρας ταύτης, ἐκ τῆς πείρας γινώσκουσι τὴν ἀλλοίωσιν τὴν ἀκολουθοῦσαν ἐν τῷ

τέλει

τέλει αὐτῆς. οὐκ ἐᾷ δὲ ὁ Θεὸς τὴν ψυχὴν ἐν τούτοις ἡμέραν τελείαν, ἐπεὶ εἶχεν ἀπολέσθαι τῆς ἐλπίδος τῶν χριστιανῶν. ἀλλὰ ταχέως ἔκβασιν ποιεῖ αὐτῇ. ἐὰν δὲ ἐπὶ πλεῖον ἐπιμείνῃ ἡ ὄχλησις τῆς σκοτώσεως ταύτης, ἀλλοίωσιν ζωῆς ἐκ τοῦ μέσου αὐτῆς ἐκδέχου ἐν τάχει.

Σοὶ δὲ ἐγὼ, ὦ ἄνθρωπε, ὑποτίθεμαι καὶ συμβουλεύω σοι, ἐὰν οὐκ ἔχῃς ἰσχὺν κρατῆσαι ἑαυτὸν, καὶ πεσεῖν ἐπὶ πρόσωπόν σου ἐν τῇ εὐχῇ, ἕλιξον τὴν κεφαλήν σου ἐν τῷ παλλίῳ σου, καὶ κοιμῶ, ἕως ἂν παρέλθῃ ἡ ὥρα αὕτη τῆς σκοτώσεως ἀπὸ σοῦ, ἐκ δὲ τοῦ σκηνώματός σου μὴ ἐξέλθῃς. τοῦτον τὸν πειρασμὸν πειράζονται μάλιστα οἱ ἐν τῇ πολιτείᾳ τῆς διανοίας ἐπιθυμοῦντες διάγειν, καὶ τὴν παράκλησιν τῆς πίστεως ἐπιζητοῦντες ἐν τῇ πορείᾳ αὐτῶν. διὰ τοῦτο καὶ πλέον τῶν ἁπάντων ὀδύνην, καὶ κόπον αὐτοῖς ποιεῖ ἡ ὥρα αὕτη ἐν τῷ δισταγμῷ τῆς διανοίας. ἀκολουθεῖ δὲ αὐτῇ ἰσχυρῶς ἡ βλασφημία. καὶ ποτὲ μὲν, δισταγμὸς περὶ τῆς ἀναστάσεως συμβαίνει αὐτῷ, καὶ ἄλλα, ἅπερ οὐ δεῖ ἡμᾶς ἐξειπεῖν. τούτων πάντων πολλάκις ἐν πείρᾳ γεγόναμεν, καὶ πρὸς παράκλησιν τῶν πολλῶν ἐγράψαμεν τὸν ἀγῶνα τοῦτον.

Οἱ ἐν τοῖς σωματικοῖς ἔργοις διάγοντες, ἔξωθεν τούτων εἰσὶ παντελῶς. ἄλλη ἀκηδία ἔρχεται αὐτοῖς, ἡ πᾶσιν ἔκδηλος ὑπάρχουσα, καὶ κεχωρισμένη ἐστὶ τοῖς τρόποις ἐκ τούτων, καὶ τῶν τοιούτων. ἡ ὑγεία τούτου καὶ ἡ ἰατρεία ἐκ τῆς ἡσυχίας βρύει. τοῦτο δέ ἐστιν ἡ παράκλησις αὐτοῦ. ἐν τῇ συντυχίᾳ δὲ, οὐδέποτε δέχεται τὸ φῶς τῆς παρακλήσεως, καὶ ἐν ὁμιλίαις ἀνθρώπων οὐ θεραπεύεται, ἀλλὰ πρὸς καιρὸν ἀναπαύεται, καὶ μετὰ ταῦτα ἐπανίσταται αὐτῷ ἰσχυρότερον. καὶ δέεται ἀναγ-

καίως ἀνθρώπε πεφωτισμένε, τῶ ἔχοντος πεῖραν ἐν τέτοις, φωτισθῆναι παρ' αὐτῶ, καὶ ἐνδυναμωθῆναι ἐν παντὶ καιρῷ τῆς χρείας, ἐχὶ πάντοτε. μακάριος ὁ ὑπομένων ἐν τέτοις ἔσωθεν τῆς θύρας. εἰς μονὴν γὰρ μεγάλην, καὶ δύναμιν φθάσει μετὰ ταῦτα, καθὼς λέγεσιν οἱ πατέρες. ὅμως ἐκ ἐν ὥρᾳ, ἐδὲ εὐθέως παρέρχεται ὁ ἀγὼν ἔτος. ἐδὲ ἡ χάρις προσάπαξ ἔρχεται τελείως, καὶ οἰκεῖ ἐν τῇ ψυχῇ, ἀλλὰ κατὰ μικρὸν, καὶ μικρόν. καὶ ἐκ ταύτης, ἐκείνη. ἐν καιρῷ, πειρασμός· καὶ ἐν καιρῷ, παράκλησις. καὶ ἐν τέτοις ἐπιμένει ἕως τῆς ἐξόδε. ἀλλοτριωθῆναι γὰρ τελείως ἐκ τέτε μὴ προσδοκήσωμεν ὧδε, ἐδὲ παρακληθῆναι τελείως. ἔτω γὰρ εὐδόκησεν ὁ Θεὸς τὴν ζωὴν ἡμῶν διοικεῖσθαι ἐνταῦθα, καὶ ἐν τέτοις εἶναι τὲς πορευομένες ἐν τῇ ὁδῷ. αὐτῷ ἡ δόξα εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΝΗ.

ΠΕΡΙ ΤΗΣ ΒΛΑΒΗΣ ΤΟΥ ΖΗΛΟΥ ΤΟΥ ΜΩΡΟΥ ΤΟΥ ΩΣ ΕΝ ΠΡΟΣΩΠΩ ΤΟΥ ΘΕΙΟΥ. ΠΕΡΙ ΤΕ ΤΗΣ ΒΟΗΘΕΙΑΣ ΤΗΣ ΕΚ ΤΗΣ ΠΡΑΟΤΗΤΟΣ ΚΑΙ ΑΛΛΩΝ ΤΡΟΠΩΝ.

Ἄνθρωπος ζηλωτὴς ἐδέποτε φθάνει τὴν εἰρήνην τῆς διανοίας. ὁ δὲ ἀλλότριος τῆς εἰρήνης, ἀλλότριός ἐστι τῆς χαρᾶς. ἐὰν γὰρ λέγηται ἡ εἰρήνη τῆς διανοίας ὑγεία τελεία, ὁ δὲ

ὁ δὲ ζῆλος ἐναντίος τῆς εἰρήνης, λοιπὸν νόσον μεγάλην νοσεῖ ὁ ἔχων ζῆλον πονηρόν. ὦ ἄνθρωπε, ὁ ἐξ ἐναντίας τῶν ἀλλοτρίων νοσημάτων δοκῶν ἐκφέρειν τὸν ζῆλόν σȣ, σὺ τὴν ὑγείαν τῆς ψυχῆς σȣ ἐδίωξας. πρὸς ὑγείαν ȣ̃ν τῆς ψυχῆς σȣ φιλοπόνησον. ἐὰν δὲ τȣ̀ς ἀσθενεῖς ἐπιθυμῇς θεραπεῦσαι, γνῶθι ὅτι οἱ ἄῤῥωστοι ἐπιμελείας χρῄζȣσι μᾶλλον, ἢ τȣ̃ ἐπιτιμίȣ. πάλιν ἐπειδὰν ἄλλοις σὺ ȣ̓ βοηθῇς, σεαυτὸν εἰς μεγάλην νόσον ἐμβάλλεις ὀδυνηρῶς. ȣ̓κ ἐκ τῶν εἰδῶν τῆς σοφίας ψηφίζεται ὁ ζῆλος ἐν ἀνθρώποις, ἀλλ' ἐκ τῶν νοσημάτων τῆς ψυχῆς, ὅπερ ἐςὶ ςένωσις φρονήματος, καὶ πολλὴ ἄγνοια. ἀρχὴ σοφίας Θεȣ̃, ἐπιείκεια καὶ πρᾳότης. ἥτις ἐκ μεγάλης ψυχῆς
„ γίνεται, καὶ βαςάζει τὰς ἀσθενείας τῶν ἀνθρώπων. ἡμεῖς
„ γάρ φησιν οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαςάζετε,
„ καὶ τὸν πταίοντα διορθώσασθε ἐν πνεύματι πρᾳότητος. ἐκ τῶν καρπῶν τȣ̃ πνεύματος τȣ̃ ἁγίȣ ἀριθμεῖ ὁ Ἀπόςολος τὴν εἰρήνην ϗ τὴν ὑπομονήν. καρδία πεπληρωμένη λύπης ὑπὲρ τῆς ἀσθενείας ϗ ἀδυναμίας, τῆς ὑπὲρ τῶν σωματικῶν πράξεων τῶν φανερῶν, ἀναπληροῖ τὸν τόπον πάντων τῶν σωματικῶν ἔργων. αἱ πράξεις τȣ̃ σώματος ἐκτὸς τῆς λύπης τῆς διανοίας, ὥσπερ σῶμα ἄψυχόν ἐςιν. ὁ τῇ καρδίᾳ περίλυπος, ϗ ταῖς αἰσθήσεσιν αὐτȣ̃ ἀπολελυμένος, ὥσπερ ἄῤῥωςός ἐςιν, ὁ πονῶν σωματικῶς, καὶ τὸ ςόμα αὐτȣ̃ λελυμένον ἔχων εἰς πᾶν βρῶμα βλάπτον αὐτόν. ὁ τῇ καρδίᾳ περίλυπος, καὶ ταῖς αἰσθήσεσιν αὐτȣ̃ λελυμένος, ὡς ἄνθρωπός ἐςιν ἔχων μονογενῆ υἱὸν, καὶ θύων αὐτὸν ταῖς χερσὶν αὐτȣ̃ κατὰ μικρὸν, ϗ μικρόν. ἡ λύπη τῆς διανοίας, δόσις τιμία παρὰ τῷ Θεῷ· καὶ ὁ βαςάζων αὐτὴν καθὼς πρέπει, ὥσπερ ἄνθρωπός ἐςι βαςάζων

Ῥωμ. ιε. α.
Γαλ. ϛ. α.

ἐν τοῖς μέλεσιν αὐτȣ̃ ἁγιότητα. ἄνθρωπος, ὁ ἀπολύσας τὴν γλῶσσαν αὐτȣ̃ κατὰ τῶν ἀνθρώπων ἐν ἀγαθοῖς, ἢ κακοῖς πράγμασιν, ȣ̓κ ἔςιν ἄξιος τῆς χάριτος ταύτης. μετάνοια μετὰ συντυχιῶν, πίθος τετριμμένος. Φιλοτιμία μετὰ κολαφισμῶν, μάχαιρα βεβαμμένη ἐν μέλιτι.

Σωφροσύνη, καὶ ὁμιλία μετὰ γυναικὸς, ὡς Λέαινα μετὰ Προβάτȣ ἐν οἴκῳ ἑνί. ἔργα μετὰ ἀνελεημοσύνης ἐνώπιον τȣ̃ Θεȣ̃, ὡς ἄνθρωπος θύων υἱὸν ἐνώπιον τȣ̃ πατρὸς αὐτȣ̃. ὁ τῇ ψυχῇ ἀσθενῶν, καὶ διορθȣ́μενος τȣ̀ς ἑταίρȣς αὐτȣ̃, ὥσπερ ἄνθρωπός ἐςι τυφλὸς τοῖς ὀφθαλμοῖς, καὶ δεικνύων ἄλλοις τὴν ὁδόν.

Ἡ ἐλεημοσύνη, καὶ ἡ δικαιοκρισία ἐν μιᾷ ψυχῇ, ὡς ἄνθρωπος προσκυνῶν τῷ Θεῷ, καὶ τοῖς εἰδώλοις ἐν ἑνὶ οἴκῳ. ἡ ἐλεημοσύνη ἐναντία ἐςὶ τῇ δικαιοκρισίᾳ. ἡ δικαιοκρισία ἐςὶν ἰσότης τȣ̃ μέτρȣ τȣ̃ ἴσȣ. ἑκάςῳ γὰρ, ὡς ἔςιν ἄξιος δίδωσι, καὶ ȣ̓κ ἐκκλίνει εἰς ἓν μέρος, ἢ προσωποληπτεῖ ἐν ἀνταποδώσει. ἡ ἐλεημοσύνη δὲ, λύπη ἐςὶ κινȣμένη ἐκ τῆς χάριτος, καὶ τοῖς πᾶσιν ἐκκλίνει σημπαθῶς, καὶ τὸν ἄξιον τῆς κακώσεως ȣ̓κ ἀνταποδιδοῖ, καὶ τὸν ἄξιον τȣ̃ ἀγαθȣ̃ ὑπερεμπιπλᾷ αὐτόν. καὶ ἐὰν αὕτη ἐκ τȣ̃ μέρȣς τῆς δικαιοσύνης ἐςὶ, λοιπὸν ἐκείνη ἐκ τȣ̃ μέρȣς τῆς κακίας. (2) ὥσπερ χόρτος, καὶ πῦρ ȣ̓χ ὑπο-

---

(2) Λοιπὸν ἐκείνη ἐκ τȣ̃ μέρȣς τῆς κακίας. ἡ δικαιοκρισία ἐκ τȣ̃ μέρȣς τῆς κακίας; παρεξεσμμένον μὲν ἔοικεν ὅπερ φησὶ καὶ ἀπαράδεκτον. ἀλλ᾿ ἐὰν τὸν νȣ̃ν τῇ τȣ̃ Κυρίȣ ἐντολῇ ἐπιςήσωμεν, τῇ παντὶ τῷ αἰτȣ̃ντί σε δίδȣ (Λȣκ. ϛ. λ.) ἐπικελευȣ́σῃ, πάνυ ὀρθὸν ἐναποδειχθήσεται, καὶ τῇ ὑγιαινȣ́σῃ διδασκαλίᾳ εὐαπόδεκτόν τε καὶ λίαν κατάλληλον.

ὑπομένουσιν ἐν ἑνὶ οἴκῳ, οὕτως οὐδὲ ἡ δικαιοκρισία καὶ ἡ ἐλεημοσύνη ἐν μιᾷ ψυχῇ. ὥσπερ οὐ συςαθμίζεται κόκκος ψάμμου πρὸς βάρος πολὺ χρυσίου, οὕτως ἡ χρεία τῆς δικαιοκρισίας τοῦ Θεοῦ, οὐ συςαθμίζεται πρὸς ὁμοίωσιν τῆς ἐλεημοσύνης αὐτοῦ.

Ὥσπερ δρὰξ ψάμμου πίπτουσα εἰς μεγάλην θάλασσαν, οὕτω τὰ πταίσματα πάσης σαρκὸς πρὸς ὁμοίωσιν τῆς προνοίας, καὶ τοῦ ἐλέους τοῦ Θεοῦ. καὶ ὥσπερ οὐ φράττεται πηγὴ πηγάζουσα πλουσίως εἰς δράκα χοὸς, οὕτως οὐ νικᾶται ἡ ἐλεημοσύνη τοῦ δημιουργοῦ ὑπὸ τῆς κακίας τῶν κτισμάτων. ὥσπερ τὶς σπείρων ἐν τῇ θαλάσσῃ, καὶ προσδοκῶν θερίσαι, οὕτως ὁ μνησικακῶν, καὶ προσευχόμενος. ὥσπερ οὐ δυνατὸν τὴν λαμπηδόνα τοῦ πυρὸς ἀποκλεῖσαι τοῦ μὴ ἀνελθεῖν ἄνω, οὕτως οὐκ ἐμποδίζονται αἱ εὐχαὶ τῶν ἐλεημόνων, τοῦ ἀνελθεῖν εἰς οὐρανόν. ὥσπερ ἡ ῥύσις τοῦ ὕδατος εἰς τὸν κατωφερῆ τόπον, οὕτως ἡ δύναμις

λον. τινὲς μὲν τὸν βίον αὐτῶν κώμοις, καὶ μέθαις, καὶ ἀσωτείαις καταφαγόντες παντοίαις, εἰς ἐσχάτην ἔνδειαν καταντῶσι καὶ ἀπορίαν. ἀλλὰ καὶ οὕτως ἔχοντες, ἣν ἐκτήσαντο φαύλην ἕξιν, καταγε τὸ ἐνὸν αὐτοῖς, ἀποτιθέναι οὐδαμῶς αἱροῦνται. εἰ οὖν τούτους τοῖς δικαίοις σταθμοῖς ταλαντεύσωμεν, εὑρεθήσονται ἄρα τοῦ ἐλέους τυχεῖν ἐπάξιοι; τινὲς δὲ ἀνδροκτασίαις, καὶ κλοπαῖς, καὶ λῃστείαις, καὶ παντοδαπαῖς ἄλλαις μοχθηραῖς πράξεσιν ἔτεσι πολλοῖς συζήσαντες, εἶτα ποικίλαις περιπεσόντες συμφοραῖς, ἀποροῦσι μὲν, καὶ ἐλέους δέονται, οὐκ ἀπέχουσι δὲ τῶν κακῶν, εἰ μὴ ἄκοντι διὰ τὴν ἀμηχανίαν. τί οὖν δικαιοκρισία ἐστὶ τὸ καὶ τούτους ἐλεῆσαι; ἀλλὰ ὁ καὶ τούτους μὴ ἐλεήσας, ταῖς ἀνηκούσαις δὲ αὐτοῖς καθυποβαλὼν ποιναῖς, δίκαιος μὲν ἔσεται, ἐλεήμων δὲ οὐδαμῶς. ὥστε ἐνίοτε ὁ θέλων εἶναι δίκαιος, οὐκ ἔστιν ἐλεήμων. διὰ τοῦτο οὖν ἔφη ὁ ὅσιος, τὴν δικαιοσύνην ἐναντίαν τῇ ἐλεημοσύνῃ. ἔνθεν τοι καὶ ὡς τῇ ἐλεημοσύνῃ ἐστινότε ἀνθισταμένην, ἐκ τοῦ μέρους τῆς κακίας αὐτὴν εἶπεν. οὐχ ὅτι κακία ἐστίν. ἄπαγε. ἀρετὴ γάρ ἐστι πολλῶν ἄλλων αἱρετωτέρα, καὶ ἓν τῶν τῷ Θεῷ προσεῖναι καὶ ὄντων καὶ λεγομένων, οὐ μέντοι καὶ τῆς ἐλεημοσύνης ὑπερτέρα. κατακαυχᾶται γὰρ ἔλεος κρίσεως. Ἰακώβ. β. ιγ.

τȣ̃ θυμȣ̃, ὅταν εὕρῃ τόπον ἐν τῇ διανοίᾳ ἡμῶν. ὁ κτησάμενος τὴν ταπείνωσιν ἐν τῇ ἑαυτȣ̃ καρδίᾳ, ȣ̃τος νεκρὸς τῷ κόσμῳ γέγονε. καὶ ὁ νεκρωθεὶς τῷ κόσμῳ, ἐνεκρώθη τοῖς πάθεσιν. ὁ δὲ νεκρωθεὶς τῇ καρδίᾳ ἐκ τῶν ἰδίων αὐτȣ̃, ἀνεκρώθη ἐξ αὐτȣ̃ ὁ διάβολος. ὁ εὑρὼν τὸν φθόνον, εὗρε μετ' αὐτȣ̃ τὸν διάβολον.

Ἔςι ταπείνωσις ἐκ τȣ̃ φόβȣ τȣ̃ Θεȣ̃, καὶ ἔςι ταπείνωσις ἐκ τȣ̃ πόθȣ τȣ̃ Θεȣ̃. καὶ ἔςιν ὁ διὰ τὸν φόβον τȣ̃ Θεȣ̃ ταπεινȣ́μενος, καὶ ἔςιν ὁ διὰ τὴν χαρὰν ταπεινȣ́μενος. καὶ ἐκείνῳ μὲν τῷ διὰ τὸν φόβον τȣ̃ Θεȣ̃ ταπεινȣμένῳ, ἀκολȣθεῖ ἐπιείκεια τῶν μελῶν μετὰ εὐτάκτων αἰσθήσεων, καὶ καρδία συντετριμμένη ἐν παντὶ καιρῷ· τȣ́τῳ δὲ τῷ διὰ τὴν χαρὰν ταπεινȣμένῳ, ἀκολȣθεῖ ἁπλότης πολλὴ, καὶ καρδία αὐξάνȣσα καὶ ἀκράτητος.

Ἡ ἀγάπη ȣ̓ γινώσκει τὴν αἰδῶ. διὰ τȣ̃το ȣ̓ γινώσκει δȣ̃ναι σχῆμα εἰς εὐταξίαν τῶν μελῶν αὐτῆς. ἡ ἀγάπη φυσικῶς ἔχει τὸ μὴ αἰδεῖσθαι, καὶ λαθεῖν τὸ μέτρον αὐτῆς. μακάριος ὁ εὑρών σε τὸν λιμένα πάσης χαρᾶς. ἀγαπητόν ἐςιν ὑπὸ τȣ̃ Θεȣ̃ τὸ ἄθροισμα τῶν ταπεινῶν, ὡς τὸ ἄθροισμα τῶν Σεραφίμ. τίμιόν ἐςι παρὰ τῷ Θεῷ σῶμα σῶφρον, πλεῖον θυσίας καθαρᾶς. τὰ δύω γὰρ, ἤγȣν ἡ ταπείνωσις, καὶ ἡ σωφροσύνη ἐνέχυρον ἐκ τῆς Τριάδος ἑτοιμάζȣσιν ἐν τῇ ψυχῇ.

Πρὸς τȣ̀ς φίλȣς σȣ ἐν εὐλαβείᾳ πορεύθητι. καὶ ὅταν ποιήσῃς τȣ̃το, καὶ σαυτὸν, καὶ αὐτȣ̀ς ὠφελήσεις. ὅτι πολλάκις προφάσει τῆς ἀγάπης ἀποβάλλει ἡ ψυχὴ τὸν χαλινὸν τῆς παραφυλακῆς. ἐκ τῶν συντυχιῶν παραφύλαξαι, ὅτι ȣ̓κ ἐν παντὶ καιρῷ ὠφελȣ̃σιν. ἐν συναθροίσματι, τίμα τὴν σιωπήν.

τιώ. ζημίαν γὰρ πολλὼ κωλύει αὕτη. τὼ κοιλίαν τήρει, ὡς τὼ ὅρασιν. πόλεμος γὰρ οἰκεῖος, ἀδιςάκτως κρυφότερος τῦ ἐξωτέρυ. μὴ πιςεύσῃς, ὦ ἀδελφὲ, ὅτι κωλύονται οἱ ἐσωτικοὶ λογισμοὶ, ἐκτὸς τῦ καλῶς καὶ εὐτάκτως τὸ σῶμα καταςῆσαι. Φοβήθητι τὰς συνηθείας, πλείω τῶν ἐχθρῶν. ὁ τρέφων παρ᾽ ἑαυτῷ συνήθειαν, ὡς ἄνθρωπός ἐςι τρέφων πῦρ. τὸ γὰρ μέτρον τῆς δυνάμεως τῶν δύω ἐν ὕλη συνίςαται. ἡ συνήθεια ἐὰν ζητήσῃ ἅπαξ, καὶ κωλυθῇ τὸ αἴτημα αὐτῆς, ἄλλοτε εὑρίσκεις αὐτὼ ἀσθενῆ. καὶ ἐὰν ποιήσῃς τὸ θέλημα αὐτῆς προσάπαξ, τὸ δεύτερον πλεῖον εὑρήσεις αὐτὴν ἰσχυροτέραν κατὰ σῦ.

Περὶ παντὸς πράγματος αὕτη ἡ μνήμη ἐμμενάτω ἐν σοί. κρείττων γάρ ἐςιν ἡ βοήθεια ἡ ἐκ τῆς παραφυλακῆς, ὑπὲρ τὼ βοήθειαν τὼ ἐξ ἔργων. τῦ ἀγαπῶντος τὸν γέλωτα, καὶ ἀγαπῶντος θεατρίσαι τὰς ἀνθρώπυς, φίλος μὴ γίνυ. ὁδηγεῖ γάρ σε εἰς συνήθειαν χαυνώσεως. μετὰ τῦ λελαμπρυσμένυ ἐν τῇ πολιτείᾳ αὐτῦ, μὴ ἱλαρύνῃς τὸ πρόσωπόν σε. φυλάττυ δὲ τῦ μὴ μισῆσαι αὐτόν. καὶ ἐὰν βυληθῇ ἀνας῀ῆναι, δὸς αὐτῷ χεῖρα, καὶ ἕως θανάτυ μερίμνησον εὑρεῖν αὐτόν. ἐὰν δὲ ἀσθενῆς ἀκμὼ, (1) μίσει καὶ τὴν ἰατρείαν. τὼ γὰρ ἀρχὼ τῆς ῥάβδυσυ δὸς αὐτῷ φησὶ, καὶ τὰ ἑξῆς. ἐνώπιον ὑψη-

(1) Ἐὰν δὲ ἀσθενῆς, τὴν ψυχὴν δηλαδὴ, καὶ ἐν τῷ τὴν χεῖρα ὀρέγειν τῷ λελυμένῳ ἐν τῇ πολιτείᾳ, οἷς ἐκεῖνος ἐγκατάκειται περικίπτης πάθεσι, μισεῖν σε καὶ ἀπαναίνεσθαι δεῖ καὶ τὸ τῆς θεραπείας αὐτῦ ἐγχείρημα, ἵνα μὴ αὐτὸν θεραπεῦσαι βυλόμενος, χεῖρον ἐκείνυ νοσήσῃς ὕςερον. τί δὲ βύλεται αὐτῷ τὸ, τὼ γὰρ ἀρχὼ τῆς ῥάβδυσυ δὸς αὐτῷ, καὶ τίς ὁ τῦτο εἰπὼν, ἄδηλα.

ὑψηλόφρονος, καὶ νοσοῦντος φθόνον, μετὰ παρατηρήσεως λάλει. ὡς γὰρ σὺ λαλεῖς, αὐτὸς ποιεῖ ἐν καρδίᾳ αὐτοῦ ἐξήγησιν τῶν λόγων σου καθὼς ἀγαπᾷ, καὶ ἐκ τῶν ἀγαθῶν τῶν ἐν σοὶ λαμβάνει ὕλην, εἰς τὸ ποιῆσαι ἄλλους προσκόψαι. καὶ ἀλλάσσονται οἱ λόγοι σου ἐν τῇ διανοίᾳ αὐτοῦ πρὸς τὴν ὕλην τῆς ἀῤῥωστίας αὐτοῦ. ἐπὶ τοῦ προηγουμένου καταλαλῆσαι τὸν ἀδελφὸν αὐτοῦ ἔμπροσθέν σου, στύγνασον τὸ πρόσωπόν σου. καὶ ὅτε τοῦτο ποιήσεις, εὑρίσκῃ τῷ Θεῷ, καὶ αὐτῷ παραφυλαττόμενος.

Ἐὰν δῷς τὶ τῷ χρήζοντι, προλαβέτω τὴν δόσιν σου ἡ ἱλαρότης τοῦ προσώπου σου, καὶ λόγοις ἀγαθοῖς παρακάλει τὴν θλίψιν αὐτοῦ. καὶ ὅταν ποιήσῃς τοῦτο, νικᾷ τὴν δόσιν σου ἡ ἱλαρότης ἐν τῇ διανοίᾳ αὐτοῦ πλέον τῆς χρείας τοῦ σώματος. ἐν ἡμέρᾳ, ὅταν ἀνοίξῃς τὸ στόμα σου, καὶ λαλήσῃς τὶ κατά τινος, λογίζου σαυτὸν τῷ Θεῷ νεκρὸν, καὶ μάταιον ἐν πᾶσι τοῖς ἔργοις σου, κἂν δοκῇ, ὅτι ἐν εὐθύτητι, καὶ πρὸς οἰκοδομὴν ἠρέθισέ σε ὁ λογισμός σου λαλῆσαι. τίς γὰρ ἀνάγκη καταλύσαι τινὰ τὴν ἰδίαν οἰκοδομὴν, καὶ διορθώσασθαι τὴν τοῦ ἑταίρου αὐτοῦ;

Ἐν ἡμέρᾳ, ἐν ᾗ λύπην ἔχεις περί τινος εἴς τινα τρόπον ἀσθενοῦντος ὑπὲρ τῶν ἀγαθῶν, ἢ πονηρῶν, σωματικῶς, ἢ ἐννοίᾳ, μάρτυρα λογίζου σεαυτὸν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ὡς παθὼν ὑπὲρ τοῦ Χριστοῦ διάκεισο, καὶ ἀξιωθεὶς ὁμολογίας. μνήσθητι γὰρ, ὅτι ὁ Χριστὸς ὑπὲρ τῶν ἁμαρτωλῶν ἀπέθανεν, οὐχὶ ὑπὲρ τῶν δικαίων. βλέπε πόσον ἐστὶ τὸ πρᾶγμα τοῦτο. μέγα τὸ λυπεῖσθαι ὑπὲρ τῶν πονηρῶν, καὶ εὐεργετεῖν τοὺς ἁμαρτωλοὺς ὑπὲρ τοὺς δικαίους. ὁ Ἀπόστολος, ὡς θαύματος ἄξιον,

μνη-

μνημονεύει τύτυ. (1) ἐὰν δυνηθῇς δικαιωθῆναι ἐν σεαυτῷ κατὰ ψυχὴν σου, μὴ μεριμνήσῃς καταδιῶξαι ἄλλην δικαιοσύνην. ἐν πᾶσι τοῖς ἔργοις σου προηγησάσθω ἐν σοὶ ἡ σωφροσύνη τοῦ σώματος, καὶ ἡ καθαρότης τῆς συνειδήσεως. ἐκτὸς γὰρ τούτων, μάταιόν ἐστι παρὰ τῷ Θεῷ πᾶν πρᾶγμα. ἕκαστον ἔργον, ὃ ἐὰν ποιῇς χωρὶς διαλογισμοῦ καὶ ἐξετάσεως, γνῶθι ὅτι μάταιόν ἐστι, κἂν πρεπῶδες ᾖ. διότι ὁ Θεὸς πρὸς τὴν διάκρισιν λογίζεται τὴν δικαιοσύνην, καὶ οὐχὶ πρὸς τὴν ἐνέργειαν τὴν ἀδιάκριτον.

Λύχνος ἐν Ἡλίῳ δίκαιος, ὁ σοφός. σπόρος ἐπὶ πέτρας, εὐχὴ μνησικάκου. δένδρον ἄκαρπον, ἀσκητὴς ἀνελεήμων. βέλος ἰῶδες, ἔλεγχος ἀπὸ φθόνου. παγὶς κεκρυμμένη, ἔπαινος δολίου. σύμβουλος μωρὸς, σκοπὸς τυφλός. καρδίας κλάσις, κάθισμα μετὰ ἀσυνέτων. πηγὴ γλυκεῖα, ὁμιλία συνετῶν. σύμβουλος σοφὸς, τεῖχος ἐλπίδος. φίλος μωρὸς καὶ ἀσύνετος, ταμιεῖόν ἐστι ζημίας. κρεῖσσόν ἐστι πενθοῦσαις οἰκοῦντα ἰδεῖν, ἢ σοφὸν ἀκολουθοῦντα μωρῷ. κρεῖσσόν ἐστιν οἰκῆσαι μετὰ θηρίων, ἢ οἰκῆσαι μετὰ τῶν κακῶς ἀναστρεφομένων. κάθου μετὰ Γυπῶν, ἢ μετὰ πλεονέκτου, καὶ ἀπλήστου. γίνου ἑταῖρος τῷ φονευτῇ, ἢ τῷ φιλονείκῳ. μετὰ χοίρου, ἢ μετὰ γαστριμάργου συλλάλει. κρεῖσσον γὰρ δεξαμενὴ χοίρων, ἢ στόμα φάγων. κάθου μεταξὺ τῶν λωβῶν, ἢ μεταξὺ τῶν ὑπερηφάνων. καταδιώχ-

» (1) Ἐν τῷ, ἔτι γὰρ Χριστὸς, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν
» ὑπὲρ ἀσεβῶν ἀπέθανε. μόλις γὰρ ὑπὲρ δικαίου τὶς ἀποθανεῖται. ὑπὲρ
» γὰρ τοῦ ἀγαθοῦ τάχα τὶς καὶ τολμᾷ ἀποθανεῖν. συνίστησι δὲ τὴν ἑαυτοῦ
» ἀγάπην εἰς ἡμᾶς ὁ Θεὸς, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ
» ἡμῶν ἀπέθανε. Ῥωμ. ε. ζ.

διώχθητι σὺ, καὶ μὴ καταδιώξῃς. σαυρώθητι, καὶ μὴ σαυρώσῃς. ἀδικήθητι, καὶ μὴ ἀδικήσῃς. συκοφαντήθητι, καὶ μὴ συκοφαντήσῃς. γίνου ἐπιεικὴς, καὶ μὴ ζηλωτὴς ἐν κακῷ.

Ἡ δικαιολογία οὐκ ἔσι τῆς πολιτείας τῶν χρισιανῶν, καὶ οὐκ ἔσι σεσημειωμένη ἐν τῇ διδαχῇ τοῦ Χρισοῦ. εὐφραίνου μετὰ τῶν εὐφραινομένων, καὶ κλαῖε μετὰ τῶν κλαιόντων. τοῦτο γάρ ἐσι τὸ σημεῖον τῆς καθαρότητος. μετὰ τῶν ἀῤῥώσων, ἀῤῥώσησον. μετὰ τῶν ἁμαρτωλῶν, πένθησον. μετὰ τῶν μετανοούντων, χάρηθι. φίλος γενοῦ πᾶσιν ἀνθρώποις, καὶ μόνος γενοῦ ἐν τῇ διανοίᾳ σου. κοινωνὸς γενοῦ τοῖς παθήμασι τῶν πάντων, καὶ τῷ σώματί σου μακρὰν γενοῦ ἐκ πάντων. μὴ ἔλεγχέ τινα, μηδὲ ὀνείδιζε, μηδὲ τοὺς λίαν κακοὺς ἐν τῇ πολιτείᾳ αὐτῶν. ἅπλωσον τὸν χιτῶνά σου ἐπὶ τὸν πταίοντα, καὶ σκέπασον αὐτόν. καὶ ἐὰν μὴ δύνῃ ἐπιθεῖναι ἐφ' ἑαυτὸν τὰ πταίσματα, καὶ δέξασθαι τὴν παιδείαν, καὶ τὴν αἰσχύνην ἀντ' αὐτοῦ, κἂν ὑπόμεινον, καὶ αὐτὸν μὴ καταισχύνῃς. γίνωσκε, ὦ ἀδελφὲ, ὅτι διὰ τοῦτο χρὴ ἡμᾶς εἶναι ἔσωθεν τῆς θύρας τοῦ κελλίου, ἵνα μὴ γινώσκωμεν τὰ πράγματα τῶν ἀνθρώπων τὰ κακά. καὶ τότε θεωροῦμεν πάντας ἁγίους καὶ καλοὺς ἐν τῇ ἁγνείᾳ τῆς διανοίας ἡμῶν. ἐὰν δὲ γενώμεθα ἐλέγχοντες, καὶ παιδεύοντες, καὶ κρίνοντες, καὶ ἐξετάζοντες, καὶ ἐκδικοῦντες, καὶ μεμψίμοιροι, τί λοιπὸν διαφέρει τὸ κάθισμα ἡμῶν τοῦ καθίσματος τῶν πόλεων; καὶ τί ἐσι χεῖρον τοῦ καθίσματος τῆς ἐρήμου, ἐὰν μὴ ταῦτα ἐάσωμεν; ἐὰν οὐχ ἡσυχάζῃς τῇ καρδίᾳ, ἡσύχασον κἂν τῇ γλώσσῃ. καὶ ἐὰν οὐ δύνῃ εὐτάκτους τοὺς λογισμούς σου διαθεῖναι, κἂν τὰς αἰσθήσεις σου εὐτάκτους ποίησον. καὶ ἐὰν οὐκ ᾖ μόνος ἐν τῇ διανοίᾳ σου, κἂν μόνος γενοῦ τῷ σώματί σου. καὶ ἐὰν οὐ δύνῃ

ἐργά-

ἐργάσασθαι τῷ σώματίσȣ, λυπήθητι κἂν κατὰ διάνοιαν. ϰ̀ ἐὰν ȣ̓ δύνῃ ἱςάμενος ἀγρυπνῆσαι, ἀγρύπνησον καθεζόμενος ἐπὶ τῆς κλίνηςσȣ, ἢ καὶ κείμενος. καὶ ἐὰν ȣ̓ δύνῃ διπλᾶς νηςεῦσαι, κἂν νήςευσον ἕως ἑσπέρας. ϰ̀ ἐὰν ȣ̓ δυύῃ ἕως ἑσπέρας, κἂν φύλαξον τȣ μὴ χορτασθῆναι. ȣ̓κ εἶ ἅγιος ἐν τῇ καρδίᾳσȣ, κἂν γενȣ ἁγνὸς τῷ σώματίσȣ. ἐὰν ȣ̓ πενθῇς ἐν τῇ καρδίᾳσȣ, κἂν ἔνδυσαι πένθος ἐν τῷ προσώπῳσȣ. ἐὰν ȣ̓ δύνῃ ἐλεῆσαι, λάλει ὡς ἁμαρτωλός. ȣ̓κ εἶ εἰρηνοποιὸς, μὴ γίνȣ φιλοτάραχος. ȣ̓ δύνῃ σπȣδαῖος γενέσθαι, γίνȣ κἂν ἐν τῷ φρονήματίσȣ ὡς ἄοκνος. ȣ̓κ εἶ νικητὴς, μὴ ὑψηλοφρονήσῃς κατὰ τῶν ὑποδυθιώων. ȣ̓κ ἰσχύεις φράξαι τὸ ςόμα τȣ καταλαλȣ̃ντος κατὰ τȣ ἑταίρȣ αὐτȣ, φύλαξαι κἂν σαυτὸν μὴ κοινωνῆσαι αὐτῷ.

Γνῶθι, ὅτι ἐὰν ἐξέλθῃ ἐκ σȣ πῦρ, καὶ κατακαύσῃ ἄλλȣς, τὰς ψυχὰς τὰς καιομένας ἐν τῷ πυρίσȣ ὁ Θεὸς ἐκ τῶν χειρῶνσȣ ἐκζητήσει. ϰ̀ ἐὰν σὺ ȣ̓ βάλῃς τὸ πῦρ, ἀλλὰ συνευδοκεῖς τῷ ῥίπτοντι, καὶ ἐν τȣ́τῳ ἀρέσκῃ, κοινωνὸς εἶ αὐτȣ ἐν τῇ κρίσει. ἐὰν ἀγαπᾷς τὴν πραότητα, γενȣ ἐν εἰρήνῃ. ϰ̀ ἐὰν ἀξιωθῇς τῆς εἰρήνης, χαρήσῃ ἐν παντὶ καιρῷ. ζήτησον τὴν σύνεσιν, καὶ μὴ χρυσόν. ἔνδυσαι τὴν ταπείνωσιν, ϰ̀ μὴ τὴν βύσσον. κτῆσαι τὴν εἰρήνην, καὶ μὴ τὴν βασιλείαν.

Οὐκ ἔςιν ὁ συνιὼν, μὴ ἔχων ταπείνωσιν. καὶ ὁ μὴ ἔχων ταπείνωσιν, ȣ̓ μὴ συνῇ. ȣ̓κ ἔςι ταπεινόφρων ὁ μὴ εἰρηνικός· ϰ̀ ὁ μὴ ὢν εἰρηνικὸς, ȣ̓δὲ ταπεινόφρων. ϰ̀ ȣ̓κ ἔςιν εἰ μὴ χαίρων εἰρηνικός. ἐν πάσαις ταῖς ὁδοῖς, ἐν αἷς πορεύονται οἱ ἄνθρωποι ἐν τῷ κόσμῳ, ȣ̓χ εὑρίσκȣσιν ἐν αὐταῖς τὴν εἰρήνην, ἕως ἂν πλησιάσωσι τῇ ἐλπίδι τȣ Θεȣ. ȣ̓κ εἰρηνεύει ἡ καρδία ἐκ τȣ κόπȣ, καὶ τῶν προσκομμάτων, ἕως ἂν φθάσῃ ταύτην

ἡ ἐλπὶς, καὶ εἰρηνεύσει τὴν καρδίαν, καὶ ἐκχεεῖ τὴν χαρὰν ἐν αὐτῇ. καὶ αὕτη ἐστὶν, ἣν εἶπε τὸ προσκυνητὸν στόμα καὶ πεπληρωμένον ἁγιότητος. δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ „ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἔγγισον, φησὶν, εἰς τὸ „ ἐλπίσαι εἰς ἐμὲ, καὶ ἀναπαύῃ ἐκ τοῦ ἔργου καὶ τοῦ φόβου.

Ματθ. ια. κη.

Ἡ ἐλπὶς τοῦ Θεοῦ ὑψοῖ τὴν καρδίαν, ὁ δὲ φόβος τῆς γεέννης συντρίβει αὐτήν. τὸ φῶς τῆς διανοίας γεννᾷ τὴν πίστιν· καὶ ἡ πίστις γεννᾷ τὴν παράκλησιν τῆς ἐλπίδος· ἡ δὲ ἐλπὶς κρατύνει τὴν καρδίαν. ἡ πίστις ἐστὶν ἡ ἀποκάλυψις τῆς συνέσεως. καὶ ὅταν σκοτισθῇ ἡ διάνοια, κρύπτεται ἡ πίστις, καὶ κατακυριεύει ἡμῶν ὁ φόβος, καὶ κόπτει τὴν ἐλπίδα ἡμῶν. ἡ πίστις ἡ ἐκ τῆς μαθήσεως οὐκ ἐλευθεροῖ τὸν ἄνθρωπον ἐκ τῆς ὑπερηφανίας καὶ τοῦ διστασμοῦ, ἀλλ' ἡ ἐν τῇ συνέσει ὁρωμένη καὶ ἀνατέλλουσα, καὶ καλεῖται ἐπίγνωσις, καὶ φανέρωσις τῆς ἀληθείας. ἕως ἂν συνῇ ὁ νοῦς τὸν Θεὸν, ὡς Θεὸν ἐν φανερώσει τῆς συνέσεως, οὐκ ἐγγίζει ὁ φόβος τῇ καρδίᾳ. ὅταν παραχωρηθῶμεν ἐν τῇ σκοτώσει, καὶ ἀπολέσωμεν ταύτην τὴν σύνεσιν, ἕως ἂν ταπεινωθῶμεν, συμβαίνει ἡμῖν ὁ φόβος, ἕως προσαπελάσῃ ἡμᾶς τῇ ταπεινώσει καὶ τῇ μετανοίᾳ.

Ὁ υἱὸς τοῦ Θεοῦ σταυρὸν ὑπέμεινεν. οἱ οὖν ἁμαρτωλοὶ θαρσῶμεν ἐν τῇ μετανοίᾳ. εἰ γὰρ τὸ σχῆμα τῆς μετανοίας μετέβαλε τὴν ὀργὴν ἐκ τοῦ βασιλέως Ἀχαὰβ, οὐκ ἀχρειοῖ καὶ ἡμᾶς ἡ ἀλήθεια τῆς μετανοίας ἡμῶν. καὶ εἰ ἐξ ἐκείνου τοῦ μὴ ἀληθεύοντος, τὸ σχῆμα τῆς ταπεινώσεως ἀπέστρεψε τὴν ὀργὴν ἐξ ἑαυτοῦ, πόσῳ μᾶλλον ἐξ ἡμῶν τῶν ἐν ἀληθείᾳ λυπουμένων ὑπὲρ τῶν πταισμάτων ἡμῶν; ἱκανὴ ἡ λύπη τῆς διανοίας, ἀντὶ πάσης ἐργασίας σωματικῆς.

Ὁ ἁγι-

Ὁ ἅγιος Γρηγόριος λέγει· ναὸς τῆς χάριτός ἐστιν ὁ συγκεκραμμένος ἐν τῷ Θεῷ, καὶ διαμένων ἐν φροντίδι τῆς κρίσεως αὐτῦ. τί δέ ἐστιν ἡ μέριμνα τῆς κρίσεως αὐτῦ, εἰ μὴ τὸ ἐκζητῆσαι ἀεὶ τὴν ἀνάπαυσιν αὐτῦ, καὶ λυπεῖσθαι διηνεκῶς, καὶ φροντίζειν ὑπὲρ τῦ μὴ δύνασθαι φθάσαι τὴν τελείωσιν διὰ τὴν ἀσθένειαν τῆς φύσεως ἡμῶν; καὶ ἡ διηνεκὴς ὑπὲρ τύτυ λύπη ἐστὶ τὸ βαστάζειν ἐν τῇ ψυχῇ αὐτῦ τὴν διηνεκῆ μνήμην τῦ Θεῦ, καθὼς εἶπεν ὁ μακάριος Βασίλειος. εὐχὴ ἀμετεώριστός ἐστιν ἡ ἐμποιῦσα ἐν τῇ ψυχῇ ἔννοιαν Θεῦ ἐναργῆ. καὶ τῦτό ἐστι τῦ Θεῦ ἐνοίκησις, τὸ διὰ τῆς μνήμης ἐνιδρυμένον ἔχειν ἐν ἑαυτῷ τὸν Θεόν. ὕτω γινόμεθα ναὸς Θεῦ. τῦτο δέ ἐστι φροντὶς, καὶ συντετριμμένη καρδία ἐν τῇ ἑτοιμασίᾳ τῆς ἀναπαύσεως αὐτῦ. αὐτῷ ἡ δόξα εἰς τὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΝΘ.

ΠΕΡΙ ΤΩΝ ΑΛΛΟΙΩΣΕΩΝ ΤΩΝ ΠΟΛΛΩΝ ΤΩΝ ΑΚΟΛΟΥΘΟΥΣΩΝ ΤΗ ΔΙΑΝΟΙΑ ΚΑΙ ΤΗ ΕΥΧΗ ΔΟΚΙΜΑΖΟΜΕΝΩΝ.

Τὸ μὲν προκρίνειν τὸ ἀγαθὸν θέλημα, τῦ ἐπιθυμῦντός ἐστιν αὐτό· τὸ δὲ τελειῶσαι τὴν τῦ ἀγαθῦ θελήματος ἐκλογὴν, τῦ Θεῦ. καὶ δέεταί τις τῆς παρ' αὐτῦ ἀντιλήψεως. διὰ τῦτο ἐν τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ τῇ γενομένῃ ἐν ἡμῖν, εὐχὰς συνεχεῖς ἐπακολυθεῖν ποιήσωμεν. ὐ μόνον δεόμενοι τῆς ἀντιλήψε-

λήψεως, ἀλλὰ καὶ ἵνα ποιήσῃ ἐν αὐτῇ διαφοράν· εἰ ἔστι πρὸς ἀρέσκειαν τοῦ θελήματος αὐτοῦ, ἢ οὔ. οὐ γὰρ πᾶσα ἐπιθυμία καλὴ, ἐκ τοῦ Θεοῦ ἐμπίπτει εἰς τὴν καρδίαν, ἀλλ' ἐκείνη, ἡ ὠφελοῦσα. ἔστι γὰρ ὅτε ἐπιθυμεῖ ὁ ἄνθρωπος ἀγαθὸν, καὶ οὐ βοηθεῖ αὐτῷ ὁ Θεός. πίπτει γὰρ καὶ ἐκ τοῦ διαβόλου ὁμοιάτις ἐπιθυμία ταύτης. καὶ αὐτὴ νομίζεται εἰς βοήθειαν, καὶ πολλάκις οὐκ ἔστι τοῦ μέτρου αὐτοῦ. αὐτὸς δὲ ὁ διάβολος τὴν βλάβην αὐτοῦ μηχανᾶται, καὶ ἀναγκάζει τὸν ἄνθρωπον ζητῆσαι αὐτὴν, μήπω ἀκμὴν φθάσαντα τὴν πολιτείαν αὐτῆς· ἢ ἀλλοτρία τοῦ σχήματος αὐτοῦ ἐστίν· ἢ πάλιν οὐκ ἔστι καιρὸς, ἐν ᾧ δυνατὸν ταύτην πληρῶσαι, ἢ κινῆσαι· ἢ οὐκ ἔστιν ἱκανὸς τῷ πράγματι, ἢ τῇ γνώσει, ἢ τῷ σώματι· ἢ ὁ καιρὸς οὐ παρέχει ἡμῖν χεῖρα· καὶ παντὶ τρόπῳ, ὡς ἐν προσώπῳ ἐκείνου τοῦ ἀγαθοῦ, ἢ ταράσσει αὐτὸν, ἢ βλάπτει ἐν τῷ σώματι αὐτοῦ, ἢ κρύπτει παγίδα ἐν τῇ διανοίᾳ αὐτοῦ. ὅμως καθὼς εἶπον συνεχεῖς προσευχὰς ποιήσωμεν σπουδῇ ἐν τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ τῇ γινομένῃ ἐν ἡμῖν, καὶ εἴπωμεν ἕκαστος ἡμῶν· γενηθήτω τὸ θέλημά σου, ἕως οὗ τελειώσω τὸ ἔργον τὸ ἀγαθὸν, ὅπερ ποιῆσαι ἐπεθύμησα, ἐάνπερ ἀρέσκῃ τῷ θελήματί σου. τὸ θελῆσαι γὰρ ἐν αὐτῷ, εὐχερέςμοι ἐςί· τὸ ποιῆσαι δὲ αὐτὸ, ἐκτὸς χαρίσματος ἐκ σοῦ γινομένου, οὐ δύναμαι· καὶ ἐὰν τὰ δύο ἐκ σοῦ ὦσι τό, τε θέλειν, καὶ τὸ ἐνεργεῖν. οὐ γὰρ χωρὶς τῆς χάριτός σου ταύτην τὴν ἐπιθυμίαν τὴν κινηθεῖσαν ἐν ἐμοὶ δέξασθαι ἐπείσθην, ἢ ἐπτοήθην ἐξ αὐτῆς. τοῦτο γὰρ τὸ ἔθος τῷ ἐπιθυμοῦντι τὸ ἀγαθόν· ἐν τῇ διακρίσει τοῦ νοῦ ἐργάζεσθαι διὰ προσευχῆς πρὸς βοήθειαν τῆς ἐργασίας αὐτῆς, καὶ σοφίαν τὴν διαιροῦσαν τὴν ἀλήθειαν ἐκ τοῦ νόθου. ἐν προσευχαῖς γὰρ πολλαῖς,

καὶ

καὶ ἐργασίᾳ, καὶ φυλακῇ, καὶ πόθῳ ἀπαύστῳ τὸ ἀγαθὸν διακρίνεται, ἐν συνεχέσι τε δάκρυσι καὶ ἐν ταπεινώσει, καὶ οὐρανίῳ ἀντιλήψει, μάλιστα ὅτε ἔχει ἐναντίους τοὺς λογισμοὺς τῆς ὑπερηφανίας. οὗτοι γὰρ κωλύουσι τὴν βοήθειαν τοῦ Θεοῦ ἐξ ἡμῶν, καταργοῦμεν δὲ τούτους διὰ προσευχῆς.

ΛΟΓΟΣ Ξ.

ΠΕΡΙ ΛΟΓΙΣΜΩΝ ΠΟΝΗΡΩΝ ΑΚΟΥΣΙΩΝ ΤΩΝ ΕΚ ΤΗΣ ΛΥΣΕΩΣ ΤΗΣ ΑΜΕΛΕΙΑΣ ΤΗΣ ΠΡΟ ΑΥΤΩΝ ΓΕΝΟΜΕΝΩΝ.

Εἰσί τινες, οἱ ἐρείδοντες τὸ σῶμα, καὶ ἐπιθυμοῦντες ἀναπαῦσαι αὐτὸ διὰ τὸ ἔργον τοῦ Θεοῦ μικρὸν, ἕως ἂν ἐνδυναμωθῶσι, καὶ πάλιν στρέφονται εἰς τὸ ἔργον αὐτῶν. ἐν ταῖς ὀλίγαις οὖν ἡμέραις τῆς ἀναπαύσεως ἡμῶν, μὴ λύσωμεν τελείως τὴν φυλακὴν ἡμῶν, καὶ δῶμεν ὅλην τὴν ψυχὴν ἡμῶν εἰς λύσιν, ὡς ἄνθρωποι μὴ βουλόμενοι στραφῆναι πάλιν εἰς τὸ ἔργον αὐτῶν. οἵτινες ἐν καιρῷ εἰρήνης τοῖς βέλεσι τοῦ ἐχθροῦ τύπτονται, οὗτοί εἰσιν οἱ ἐκ τῆς παῤῥησίας τοῦ θελήματος ὕλην θησαυρίζοντες ταῖς ψυχαῖς αὐτῶν. καὶ ἔνδυμα ῥυπαρὸν ἐν τῇ χώρᾳ τῇ ἁγίᾳ, ἤγουν ἐν τῇ εὐχῇ, θεωροῦσιν ὅτι ἐνδεδυμένοι εἰσί. τοῦτο δέ ἐστιν, ὅπερ ἐν τῇ ὥρᾳ τῆς ἐννοίας τοῦ Θεοῦ, καὶ τῆς εὐχῆς ἐν τῇ ψυχῇ αὐτῶν κινεῖται. ταῦτά εἰσιν, ἅπερ

ἐκτη-

ἐκτησάμεθα ἐν τῷ καιρῷ τῆς ἀμελείας ἡμῶν, καὶ αὐτὰ καταισχύνουσιν ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἡμῶν.

Βοηθεῖ τῷ ἀνθρώπῳ ἡ νῆψις πλεῖον τοῦ ἔργου, καὶ βλάπτει αὐτὸν ἡ λύσις πλέον τῆς ἀναπαύσεως. ἐκ τῆς ἀναπαύσεως γὰρ πόλεμοι οἰκεῖοι γίνονται, καὶ ἐνοχλοῦσι τῷ ἀνθρώπῳ, ἀλλ᾽ ἐξουσίαν ἔχει λύσαι αὐτούς. ὅταν γὰρ ἀφῇ ἄνθρωπος τὴν ἀνάπαυσιν, καὶ στραφῇ εἰς τὸν τόπον τοῦ ἔργου, αἴρονται ἐξ αὐτοῦ, καὶ φεύγουσιν. οὐχ οὕτω τὸ ἐκ τῆς λύσεως τικτόμενον, ὡς τὸ ἐκ τῆς χαυνώσεως καὶ τῆς ἀναπαύσεως. ὅσον γὰρ ἀκμὴν ἐστιν ἐν τῇ χώρᾳ τῆς ἐλευθερίας αὐτοῦ ἐν τῇ ἀναπαύσει, δύναται πάλιν στραφῆναι, καὶ κυβερνῆσαι ἑαυτὸν ἐν τῇ καταστάσει τοῦ κανόνος αὐτοῦ. διότι ἀκμὴν ὑπάρχει ἐν τῇ χώρᾳ τῆς ἐλευθερίας αὐτοῦ. ἐν δὲ τῇ λύσει, ἐξέρχεται ἐκ τῆς χώρας τῆς ἐλευθερίας αὐτοῦ. εἰ γὰρ μὴ ὁ ἄνθρωπος τελείως ἀπέῤῥιψεν ἐξ ἑαυτοῦ τὴν φυλακὴν, οὐκ ἂν ἐν τῷ μέσῳ τῆς βίας ἀκουσίως ἠναγκάσθη πεισθῆναι τοῖς μὴ ἀναπαύουσιν αὐτόν. εἰ τὸν ὅρον τῆς ἐλευθερίας παντελῶς ἐξ ἑαυτοῦ μὴ ἀφῆκεν, οὐκ ἂν συνέβη αὐτῷ συναντήματα, τὰ δεσμοῦντα αὐτὸν ἐξ ἀνάγκης, οἷσπερ ἀντιστῆναι οὐκ ἠδυνήθη.

Μὴ ἀφῇς τὴν ἐλευθερίαν τινὸς τῶν αἰσθήσεών σου, ὦ ἄνθρωπε, μήπως πάλιν ἐπανελθεῖν ἐπ᾽ αὐτὴν οὐ δυνήσῃ. ἡ μὲν ἀνάπαυσις, τοὺς νέους μόνον βλάπτει· ἡ λύσις δὲ, καὶ τοὺς τελείους, καὶ τοὺς γέροντας. οἱ μὲν ἐκ τῆς ἀναπαύσεως εἰς τοὺς πονηροὺς λογισμοὺς ἐρχόμενοι, δύνανται πάλιν στραφῆναι ἐν τῇ φυλακῇ, καὶ στῆναι ἐν τῇ ὑψηλῇ αὐτῶν πολιτείᾳ· οἱ δὲ ἐν τῇ ἐλπίδι τοῦ ἔργου ἀμελήσαντες εἰς τὴν φυλακὴν, ἐκ τῆς ὑψηλῆς πολιτείας πρὸς λύσιν τῆς ζωῆς, ᾐχμαλωτίσθησαν.

Ἔςιν ὁ ἐν τῇ χώρᾳ τῶν ἐχθρῶν τυφθεὶς, καὶ ἐν καιρῷ τῆς εἰρήνης ἀποθνήσκων· καὶ ἔςιν ὁ ἐν προφάσει ἐμπορίας τῆς ζωῆς ἐξερχόμενος, καὶ σκόλοπα τῇ ψυχῇ αὐτοῦ λαμβάνων. μὴ ὅταν ὀλισθήσωμεν ἔντινι, τότε λυπηθῶμεν, ἀλλ᾽ ὅταν ἐμμείνωμεν ἐν αὐτῷ. τὸ γὰρ ὀλίσθημα συμβαίνει πολλάκις καὶ τοῖς τελείοις. (1) τὸ δὲ ἐμμεῖναι ἐν αὐτῷ, νέκρωσίς ἐςι τελεία. ἡ λύπη δὲ, ἣν λυπέμεθα ὑπὲρ τῶν ἰδίων ὀλισθημάτων, εἰς τόπον ἐργασίας καθαρᾶς λογίζεται ἡμῖν ἐκ τῆς χάριτος. ὁ ἐν ἐλπίδι μετανοίας ὀλισθαίνων ἐκ δευτέρου, οὗτος μετὰ πανουργίας πορεύεται μετὰ τοῦ Θεοῦ. τούτῳ ἀγνώςως ἐπιπίπτει ὁ θάνατος, καὶ οὐ φθάνει τὸν καιρὸν τῆς ἐλπίδος αὐτοῦ τὰ ἔργα τῆς ἀρετῆς πληρῶσαι. ἕκαςος λελυμένος τὰς αἰσθήσεις, ἐςὶ καὶ τῇ καρδίᾳ λελυμένος.

Ἡ ἐργασία τῆς καρδίας δεσμός ἐςι τῶν ἐξωτέρων μελῶν. καὶ ἐὰν ἐν διακρίσει ποιῇ τις ταύτην, κατὰ τοὺς πρὸ ἡμῶν πατέρας, ἔκδηλός ἐςιν ἐκ τῶν ἀλλοτρίων τῶν φαινομένων ἐν αὐτῷ, ὅτι οὐκ ἔςι δεδεμένος ἐν τῷ κέρδει τῷ σωματικῷ, οὐδὲ ἀγαπᾷ τὴν γαςριμαργίαν, καὶ ὁ θυμὸς ἀπέχει ἐξ αὐτοῦ παντελῶς. ὅπου γὰρ τὰ τρία ταῦτα, τὸ κέρδος τὸ σωματικὸν, (κἂν σμικρὸν ᾖ, ἢ μέγα) καὶ ἡ ὀξυχολία, καὶ ἡ ἧττα τῆς γαςριμαργίας, κἂν φαίνηταί τις ὅμοιος τῶν παλαιῶν ἁγίων, γνῶθι ὅτι ἐκ τῆς ἀνυπομονησίας (2) τῶν ἔσω, ἐςὶν ἡ λύσις τῶν ἔξω αὐτοῦ, καὶ οὐχὶ ἀπὸ διαφορᾶς καταφρονήσεως τῆς ψυχῆς αὐτοῦ. εἰ δὲ μὴ, πῶς κατεφρόνησε τῶν σωματικῶν, καὶ τὴν πραότητα

Ὧδε τοὺς διὰ Θεὸν ὑποκρινομένους τὴν μωρίαν λέγει. καὶ τίνα τὰ σημεῖα αὐτῶν.

(1) Τὸ Ε. Χ. συμβαίνει καὶ τοῖς τελείοις.

(2) Τὸ Ε. Χ. ἀνυπομνησίας.

τητα ἐκ ἐκτήσατο; τῇ μετὰ διακρίσεως καταφρονήσει ἀκολεθεῖ τὸ μὴ δεσμεῖθαι ἐν τινι, καὶ ἡ καταφρόνησις τῆς ἀναπαύσεως, καὶ τῶ πόθε τῶν ἀνθρώπων. καὶ ἐὰν ἐν ἑτοιμασίᾳ δέχηταί τις ζημίας διὰ τὸν Θεὸν χαίρων, καθαρός ἐστιν ἔσωθεν. καὶ ἐὰν μὴ καταφρονήσῃ τινὸς, διὰ τὰς πηρώσεις τὰς ἐν αὐτῷ, ἐν ἀληθείᾳ ἐλεύθερός ἐστι· καὶ εἰ μὴ προσίεται πρὸς τὸν τιμῶντα αὐτὸν, ἢ καὶ ἀηδίζεται πρὸς τὸν ἀτιμάζοντα, ἕτος νενέκρωται τῷ κόσμῳ ἐν τῇ ζωῇ ταύτῃ. ἡ φυλακὴ τῆς διακρίσεως κρειττοτέρα ἐστὶν ὑπὲρ πᾶσαν πολιτείαν, τὴν ἐνεργεμένην ἐν παντὶ τρόπῳ, καὶ παντὶ μέτρῳ τῶν ἀνθρώπων.

Περὶ τῶ μὴ μισῆσαι τὸν ἁμαρτωλὸν, ἀλλὰ κλαῦσαι, καὶ εὔχεσθαι ὑπὲρ αὐτῶ.

Μὴ μισήσῃς τὸν ἁμαρτωλόν. πάντες γάρ ἐσμεν ὑπεύθυνοι. καὶ ἐὰν διὰ τὸν Θεὸν κινῆσαι κατ' αὐτῶ, κλαῦσον ὑπὲρ αὐτῶ. καὶ διατί μισεῖς αὐτόν; τὰς ἁμαρτίας αὐτῶ μίσησον, καὶ εὖξαι ὑπὲρ αὐτῶ, ἵνα ὁμοιωθῇς τῷ Χριςῷ, ὅςις ἐκ ἠγανάκτει κατὰ τῶν ἁμαρτωλῶν, ἀλλ' ὑπερηύχετο. ἐχ ὁρᾷς πῶς ἔκλαυσεν ὑπὲρ τῆς Ἱερεσαλήμ; ἐν πολλοῖς γὰρ καταγελώμεθα καὶ ἡμεῖς ὑπὸ τῶ διαβόλε. καὶ διατὶ, τὸν καταγελασθέντα καθ' ἡμᾶς ἐκ τῶ καταγελῶντος ἡμῶν διαβόλε, μισεμεν; καὶ διατὶ μισεῖς τὸν ἁμαρτωλὸν, ὦ ἄνθρωπε; ἆρα, ὅτι ἐκ ἔςι δίκαιος κατὰ σέ; καὶ πῶ ἐςὶν ἡ δικαιοσύνη σε, ὅτι ἐκ ἔχεις ἀγάπην; διατὶ ἐκ ἔκλαυσας ἐπ' αὐτῷ; ἀλλὰ σὺ καταδιώκεις αὐτόν. ἐν ἀγνοίᾳ γὰρ κινδυνεύεταί τινες ὀργιζόμενοι, οἱ δοκεντες εἶναι διακριτικοὶ εἰς τὰ ἔργα τῶν ἁμαρτωλῶν.

Γίνε κῆρυξ τῆς ἀγαθότητος τῶ Θεῶ, ὅτι ἀνάξιόν σε ὄντα κυβερνᾷ, καὶ ὅτι χρεωςεῖς χρέος πολὺ, καὶ ἡ ἐκδίκησις αὐτῶ ἐ φανερεῖται ἐν σοί. καὶ ἀντὶ τῶν μικρῶν ἔργων, ὧν ποιεῖς, ἀντιπαρέχει σοι τὰ μεγάλα. μὴ καλέσῃς τὸν Θεὸν δίκαιον,

ὅτι

ὅτι ἡ δικαιοσύνη αὐτοῦ οὐ γνωρίζεται ἐν τοῖς πράγμασί σου. καὶ ἐὰν ὁ Δαβὶδ καλῇ αὐτὸν δίκαιον καὶ εὐθῆ, ἀλλὰ ὁ υἱὸς αὐτοῦ
» ἐφανέρωσεν ἡμῖν, ὅτι μᾶλλον ἀγαθός ἐστι καὶ χρηστός. ἀγα- Λουκ. ϛ. λε.
» θός ἐστι φησὶ, τοῖς πονηροῖς καὶ ἀσεβέσι. καὶ πῶς ὀνομάζεις τὸν Θεὸν δίκαιον, ὅταν ἀπαντήσῃς τῷ κεφαλαίῳ, τῷ περὶ τοῦ
» μισθοῦ τῶν ἐργατῶν; ἑταῖρε οὐκ ἀδικῶ σε, θέλω δοῦναι τούτῳ τῷ Ματθ. κ. ιγ.
» ἐσχάτῳ, ὡς καὶ σοί. εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ
» ἀγαθός εἰμι. πῶς πάλιν καλεῖ ἄνθρωπος τὸν Θεὸν δίκαιον, ὅταν ἀπαντήσῃ τῷ κεφαλαίῳ τοῦ ἀσώτου υἱοῦ, ὃς ἐσκόρπισε τὸν πλοῦτον ἐν ἀσωτείᾳ, ὅτε ἐν τῇ κατανύξει μόνῃ, ἐν ᾗ ἔδειξε, πῶς ἔδραμε, καὶ ἔπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ ἐπὶ πάντα τὸν πλοῦτον αὐτοῦ; οὐδεὶς γὰρ ἄλλος εἶπε περὶ αὐτοῦ ταῦτα, ἵνα διστάσωμεν εἰς αὐτὸν, ἀλλ᾽ αὐτὸς ὁ υἱὸς αὐτοῦ, αὐτὸς ἐμαρτύρησε περὶ αὐτοῦ ταῦτα. ποῦ ἐστὶν ἡ δικαιοσύνη τοῦ Θεοῦ; ὅτι ἦμεν ἁμαρτωλοὶ, καὶ ὁ Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν; εἰ δὲ ὧδε ἐστὶν ἐλεήμων, πιστεύσωμεν, ὅτι ἀλλοίωσιν οὐ δέχεται.

Μὴ γένοιτο ἡμᾶς λογίσασθαί ποτε τοῦτο τὸ ἀνόμημα, ἵνα ποτὲ εἴπωμεν τὸν Θεὸν ἀνελεήμονα· ὅτι οὐκ ἀλλοιοῦται τὸ ἴδιον τοῦ Θεοῦ, ὥσπερ οἱ νεκροὶ, καὶ οὐ κλᾶταί τι, ὅπερ οὐκ ἔχει, ἢ ὅπερ ἔχει ὑστερεῖ, ἢ προσθήκην λαμβάνει, καθάπερ τὰ κτίσματα. ἀλλ᾽ ὅπερ ἔχει ὁ Θεὸς ἐξ ἀρχῆς, ἕξει ἀεὶ ἕως ἀτελευτήτου τέλους, καὶ ἔχει, καθάπερ ὁ μακάριος Κύριλλος εἶπεν ἐν τῇ ἑρμηνείᾳ τῆς γενέσεως. φοβοῦ φησὶν ἐκ τῆς ἀγάπης αὐτοῦ, καὶ μὴ ἐκ τοῦ ὀνόματος τοῦ σκληροῦ τοῦ τεθέντος ἐπ᾽ αὐτόν. ἀγάπησον αὐτὸν, ὡς χρεωστεῖς ἀγαπῆσαι αὐτὸν, καὶ μὴ διὰ τὰ μέλλοντα δίδοσθαι ὑπ᾽ αὐτοῦ, ἀλλ᾽ ὑπὲρ ὧν ἐλάβομεν, καὶ

διὰ τὸν κόσμον τῦτον μόνον, ὃν ἐποίησε δι' ἡμᾶς. τίς γάρ ἐστιν ὁ δυνάμενος ἀνταμείψασθαι αὐτόν; πῦ ἐστὶν ἡ ἀνταπόδοσις αὐτῦ ἐν τοῖς ἔργοις ἡμῶν; τίς ἔπεισεν αὐτὸν ἐξ ἀρχῆς παραγαγεῖν ἡμᾶς εἰς τὴν κτίσιν; καὶ τίς ἐστιν ὁ παρακαλῶν αὐτὸν ὑπὲρ ἡμῶν, ὅταν γινώμεθα ἀμνήμονες; ὅτε δὲ οὐκ ἦμεν ποτε, τίς ἐστιν ὁ ἐξυπνίσας τὸ σῶμα ἡμῶν ἐκεῖνο πρὸς τὴν ζωήν; ἢ πάλιν, πόθεν πίπτει ἡ ἔννοια τῆς γνώσεως εἰς τὸν χῦν; ὢ τῆς θαυμαστῆς ἐλεημοσύνης τῦ Θεῦ, ὢ ἔκπληξις τῆς χάριτος τῦ Θεῦ καὶ κτίστυ ἡμῶν. ὢ δύναμις ἡ ἱκανῦσα εἰς πάντα. ὢ τῆς χρηστότητος τῆς ἀμέτρυ, ἧς τὴν φύσιν ἡμῶν τῶν ἁμαρτωλῶν πάλιν εἰσάγει πρὸς ἀνάπλασιν αὐτῦ. τίς ἱκανοῖ πρὸς τὴν δόξαν αὐτῦ; τὸν παραβάντα αὐτὸν καὶ βλασφημήσαντα ἐγείρει, τὸν χῦν τὸν ἀλόγιστον καινίζει, καὶ συνετὸν καὶ λογικὸν ποιεῖ, καὶ τὸν διεσκορπισμένον νῦν καὶ ἀναίσθητον, καὶ τὰς διεσκορπισμένας αἰσθήσεις, φύσιν λογικὴν καὶ ἀξίαν ἐννοίας ἐμποιεῖ. ὐχ ἱκανοῖ γὰρ ὁ ἁμαρτωλὸς ἐννοῆσαι τὴν χάριν τῆς ἀναστάσεως αὐτῦ. πῦ ἐστὶν ἡ γέεννα, ἡ δυναμένη λυπῆσαι ἡμᾶς; καὶ πῦ ἐστὶν ἡ κόλασις, ἡ ἐκφοβῦσα ἡμᾶς πολυμερῶς, καὶ νικῶσα τὴν εὐφροσύνην τῆς ἀγάπης αὐτῦ; ἢ τί ἐστιν ἡ γέεννα πρὸς τὴν χάριν τῆς ἀναστάσεως αὐτῦ, ὅταν ἐγείρῃ ἡμᾶς ἐκ τῦ ᾅδυ, καὶ ποιήσῃ τὸ φθαρτὸν τῦτο ἐνδύσασθαι τὴν ἀφθαρσίαν, καὶ τὸν εἰς ᾅδην πεσόντα ἐγείρῃ ἐν δόξῃ;

Ὦ διακριτικοί, δεῦτε καὶ θαυμάσατε. τίς ἔχων σοφὴν διάνοιαν καὶ θαυμαστὴν θαυμάσει κατ' ἀξίαν τὴν χάριν τῦ δημιυργῦ ἡμῶν; ἡ ἀνταπόδοσις τῶν ἁμαρτωλῶν ἐστί, (1) καὶ ἀντὶ

(1) Περὶ τῶν μετανοησάντων ἁμαρτωλῶν ὁ λόγος. εἰπὼν γὰρ ὁ Κύριος

ἀντὶ τῆς ἀνταποδόσεως τῆς δικαίας, αὐτὸς ἀνάστασιν ἀνταποδίδωσιν αὐτοῖς· καὶ ἀντὶ τῶν σωμάτων τῶν καταπατησάντων τὸν νόμον αὐτοῦ, ἀφθαρσίας δόξαν τελείαν ἐνδύει αὐτούς. αὕτη ἡ χάρις ἐστὶν ἡ μειζοτέρα, ἡ μετὰ τὸ ἁμαρτῆσαι ἡμᾶς ἀναστῆσαι, ὑπὲρ ἐκείνην, ὅτε οὐκ ἦμεν, καὶ παρήγαγεν ἡμᾶς εἰς κτίσιν. δόξα Κύριε τῇ χάριτί σου τῇ ἀμέτρῳ. Ἰδοὺ Κύριε τὰ κύματα τῆς χάριτός σου σιωπῆσαί με ἐποίησαν· καὶ οὐκ ἀπελείφθη ἐν ἐμοὶ ἔννοια ἐξ ἐναντίας τῶν εὐχαριστιῶν σου. ποίοις στόμασιν ἐξομολογησόμεθά σοι βασιλεῦ ἀγαθὲ, ὁ ἀγαπῶν τὴν ζωὴν ἡμῶν; δόξα σοι ἐπὶ τοῖς δυσὶ κόσμοις, οἷς ἐδημιούργησας πρὸς αὔξησιν καὶ τρυφὴν ἡμῶν, ἄγων ἡμᾶς ἐκ πάντων, ὧν ἐδημιούργησας πρὸς γνῶσιν τῆς δόξης σου, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Ἀμήν.

» Κύριος περὶ τοῦ Ἰούδα τὸ, καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος
» ἐκεῖνος, (Ματθ. κ. κδ.) ἐσήμανεν, ὅτι συνέφερε πᾶσι τοῖς ἀμετανοήτως τὸν βίον καταλύσασι, μὴ γεννηθῆναι. εἰ δὲ τὸ μὴ γεννηθῆναι καλὸν αὐτοῖς, πάντως οὐδὲ τὸ ἀναστῆναι. ἀνίστανται γὰρ, ἵνα κατακριθέντες ἀπέλθωσιν εἰς τὸν τῆς αἰωνίου βασάνου τόπον. καὶ ὁ Κύριος δὲ διὰ τὴν μέλλουσαν αὐτοὺς ὑποδέξασθαι κόλασιν, τοῦτο, τὸ, καλὸν ἦν εἰ οὐκ ἐγεννήθη, εἴρηκεν.

ΛΟΓΟΣ ΞΑ.

ΠΕΡΙ

ΤΟΥ ΠΟΘΕΝ ΦΥΛΑΤΤΕΤΑΙ Η ΝΗΨΙΣ Η ΚΡΥΠΤΗ Η ΕΣΩ ΕΝ ΤΗ ΨΥΧΗ ΓΙΝΟΜΕΝΗ·

καὶ πόθεν εἰσέρχεται ὁ ὕπνος, καὶ ἡ ψυχρότης ἐν τῇ διανοίᾳ, καὶ σβαννύει τὴν θέρμην τὴν ἁγίαν ἀπὸ τῆς ψυχῆς, καὶ ἀπονεκροῖ τὴν εἰς Θεὸν ἐπιθυμίαν ἀπὸ τῆς θέρμης τῶν πνευματικῶν καὶ οὐρανίων.

Οὐκ ἔστι δυνατὸν τοῖς ἔχουσι τὰς καλὰς ἐπιθυμίας ὑπὸ τῆς ἐναντιώσεως κωλυθῆναι δρᾶσαι ταύτας, εἰ μὴ εὕρῃ ὁ πονηρὸς χώραν καλῆς προφάσεως ἐν τοῖς ποθοῦσι τὸ καλόν. ἔστι δὲ τὸ πρᾶγμα παρὰ τοῦτο. πάσῃ ἐννοίᾳ ἐπιθυμίας ἀγαθῆς ἐν τῇ ἀρχῇ τῆς κινήσεως αὐτῆς ἀκολουθεῖ ζῆλός τις, ὅμοιος τοῖς τοῦ πυρὸς ἄνθραξιν ἐν τῇ ἑαυτοῦ θερμότητι, καὶ οὗτος εἴωθε περιτειχίζειν ταύτην τὴν ἔννοιαν, καὶ ἀποδιώκειν ἀπὸ τῶν ἔγγιστα αὐτῆς πᾶσαν ἐναντίωσιν, καὶ ἐμποδισμὸν, καὶ κώλυμα γινόμενον αὐτῇ. ἰσχὺν γὰρ πολλὴν, καὶ δύναμιν ἄῤῥητον κέκτηται οὗτος ὁ ζῆλος τοῦ περιτειχίζειν τὴν ψυχὴν πᾶσαν ὥραν ἐκ τῆς χαυνώσεως, ἢ τοῦ μὴ πτοεῖσθαι τὰς ὁρμὰς τῶν περιστάσεων ἁπασῶν. καὶ αὕτη μὲν ἡ ἔννοια ἡ πρώτη, ἡ δύναμίς ἐστι τῆς ἁγίας ἐπιθυμίας, ἡ ἐν τῇ φύσει τῆς ψυχῆς φυσικῶς πεφυτευμένη. οὗτος δὲ ὁ ζῆλος, ἐστὶν ἡ ἔννοια ἡ κινουμένη ἐκ τῆς θυμικῆς δυνάμεως, τῆς οὔσης ἐν αὐτῇ, ἡ ἐκ Θεοῦ τεθεῖσα ἡμῖν συμφε-

συμφερόντως, τοῦ τηρῆσαι τὸν ὅρον τῆς φύσεως, τοῦ ἐκπέμψαι τὴν ἔννοιαν τῆς ἐλευθερίας αὐτῆς, εἰς πλήρωσιν τῆς φυσικῆς ἐπιθυμίας, τῆς ἐν τῇ ψυχῇ οὔσης· ἥτις ἐςὶν ἡ ἀρετὴ, ἧς χωρὶς ἀγαθὸν οὐκ ἐργάζεται, καὶ καλεῖται ζῆλος· ὅτι αὐτός ἐςιν ὁ κινῶν, καὶ ζηλῶν, καὶ ἐξάπτων, καὶ ἀνιχύων τὸν ἄνθρωπον κατὰ καιρὸν, καὶ καιρὸν, καταφρονεῖν τῆς σαρκὸς ἐν ταῖς θλίψεσι, καὶ τοῖς πειρασμοῖς τοῖς φοβεροῖς τοῖς ἀπαντῶσιν αὐτῷ, καὶ τοῦ παραδιδόναι εἰς θάνατον ἀεὶ τὴν ἑαυτοῦ ψυχὴν, ἢ ἀπαντᾶν τῇ ἀποςατικῇ δυνάμει ὑπὲρ τῆς τελειώσεως ἐκείνου τοῦ πράγματος, οὗ ἡ ψυχὴ πόθον ἔχε σφοδρόν.

Ἄνθρωπος γάρ τις ἐνδεδυμένος τὸν Χριςὸν, κύνα τὸν ζῆλον τοῦτον ἐκάλεσεν ἐν τοῖς λόγοις ἑαυτοῦ, καὶ φύλακα τοῦ νόμου τοῦ Θεοῦ. ὅπερ ἐςὶν ἡ ἀρετή. ἡ γὰρ ἀρετὴ νόμος Θεοῦ καλεῖται. ςερεῖται δὲ ἡ δύναμις αὕτη τοῦ ζήλου, καὶ ἐξυπνίζεται, καὶ ἐξάπτεται εἰς φυλακὴν τοῦ οἴκου κατὰ δύω τρόπους· καὶ ἀθανεῖ πάλιν, καὶ νυςάζει, καὶ ῥαθυμεῖ, κατὰ δύω τρόπους. ἤγουν, ὁ ἐξυπνισμὸς καὶ ἡ ἔξαψις γίνεται, ὅταν τῷ ἀνθρώπῳ ἐννοηθῇ φόβος τὶς, καταπτοῶν αὐτὸν ὑπὲρ τοῦ ἀγαθοῦ, οὗ ἐκτήσατο, ἢ ὃ μέλλει κτήσασθαι· μήπως κλαπείη, ἤτοι ἀφανισθείη ἔκτινος τῶν συμβαινόντων, καὶ ἀκολουθέντων αὐτῷ. καὶ τοῦτο ἐκ τῆς θείας προνοίας κινεῖται· λέγω δὴ ὁ φόβος ἐν πᾶσι τοῖς ἐργαζομένοις τὴν ἀρετὴν ἐξ ἀληθείας, εἰς ἐξυπνισμὸν, καὶ ζῆλον διαμένοντα ἐν τῇ ψυχῇ, ἵνα μὴ νυςάξῃ.

Ὅταν δὲ ὁ φόβος οὗτος κινηθῇ ἐν τῇ φύσει, ὁ ζῆλος ὁ ῥηθεὶς ὑφ' ἡμῶν κύων, νυκτὸς καὶ ἡμέρας ὥσπερ κλίβανος καιόμενος θερμαίνεται, καὶ ἐξυπνίζει τὴν φύσιν. καὶ καθ' ὁμοιότητα τῶν Χερουβὶμ ἐξυπνίζεται, καὶ προσέχει τοῖς περικύ-

κλω

κλω αὐτῦ κατὰ πᾶσαν ὥραν. καὶ ὡς λέγει ὁ ἄνθρωπος, (1) ἐὰν ὄρνεον διέρχηται, κύκλω αὐτῦ κινεῖται, καὶ ὑλακ]εῖ ἐν ὁρμῇ ὀξυτάτῃ καὶ ἀῤῥήτῳ. καὶ αὐτὸς ὁ φόβος ὅταν γίνηται· (2) διότι ἐδίςασεν εἰς τὴν πρόνοιαν τῦ Θεῦ ἐν τῇ πίςει αὐτῦ, καὶ ἐπελάθετο πῶς ἐπιμελεῖται ὁ Θεὸς, καὶ προνοεῖται τῶν ἀγωνιζομένων ὑπὲρ τῆς ἀρετῆς, τῦ ἐπισκέπ]εσθαι αὐτὸς καθ' ὥραν, ὡς καὶ τὸ πνεῦμα τὸ ἅγιον, διὰ ςόματος τῦ Προφήτε λέγει· ὀφθαλμοὶ Κυρίε ἐπὶ δικαίες, καὶ τὰ ἑξῆς. καὶ πάλιν, κραταίωμα Κύριος τῶν φοβεμένων αὐτόν. καὶ αὐτὸς ὡς ἐκ προσώπε αὐτῦ εἶπε τοῖς φοβεμένοις αὐτόν· ἐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάςιξ ἐκ ἐγγιεῖ τῷ σκηνώματί σε.

Ψαλμ. λγ. ιε. » Ψαλμ. κδ. ιε. » Ψαλ. ϟ. ι. »

Ὅταν δὲ ὑπὲρ τῆς ψυχῆς γένηται ὁ φόβος, διὰ τὰ συμβαίνοντα τῇ ἀρετῇ καὶ ἀκολεθῦντα, ἵνα μὴ κλαπῇ, ἢ βλαβῇ ἔκ τινος τῶν αἰτιῶν, ὗτος ὁ λογισμὸς θεϊκός ἐςι, καὶ μέριμνα ἀγαθὴ, καὶ ἐκ τῆς προνοίας τῦ Θεῦ ἐςὶν ἡ λύπη αὕτη καὶ ἡ βάσανος. καὶ πάλιν ὁ δεύτερος τρόπος, ἤγεν ἡ ἰχὺς καὶ ἡ ἔξαψις τῦ κυνός ἐςιν, ὅταν ἐπὶ πλεῖον αὐξηθῇ ἡ ἐπιθυμία τῆς ἀρετῆς ἐν τῇ ψυχῇ. καθ' ὅσον γὰρ ἡ ἐπιθυμία ἐν τῇ ψυχῇ αὐξάνεται, κατὰ τοσῦτον καὶ ὗτος ὁ κύων ἐξάπ]εται· ὅς ἐςιν ὁ φυσικὸς ζῆλος ὑπὲρ τῆς ἀρετῆς. ἡ δὲ πρώτη πρόφασις τῆς ψυχρότητος αὐτῦ ἐςὶν, ὅταν αὕτη ἡ ἐπιθυμία λήξῃ, καὶ ἐλατ]ωθῇ ἐν τῇ ψυχῇ· ἡ δευτέρα δέ ἐςιν, ὅταν πεποιθήσεως καὶ θάρσες λογισμός τις εἰσέλθῃ ἐν τῇ ψυχῇ, καὶ

(1) Ὁ ἀνωτέρω εἰρημένος, ὁ τὸν Χριςὸν ἐνδεδυμένος.
(2) Ἴσ. καὶ αὐτὸς ὁ φόβος γίνεται, διότι κτ.

καὶ καταμείνῃ ἐν αὐτῇ, καὶ ἐλπίσῃ ὁ ἄνθρωπος, καὶ ἐνθυμηθῇ, καὶ δοκήσῃ, ὅτι οὐκ ἔστιν αὐτῷ φόβος ἔκτινος δυνάμεως βλάψαι αὐτόν. καὶ ἐκ τούτου λύει ἐξ αὐτοῦ τὰ ὅπλα τοῦ ζήλου, καὶ γίνεται ὥσπερ οἶκος ἀφύλακτος. καὶ ὑπνοῖ ὁ κύων, καὶ ἀφίησι τὴν φυλακὴν ἐπὶ πολύ.

Ἐκ τούτου τοῦ λογισμοῦ κλέπτονται οἱ πλεῖστοι τῶν νοητῶν οἴκων. καὶ τοῦτο γίνεται, ὅταν ἀμαυρωθῇ τὸ καθαρὸν τῆς ἐλλάμψεως ἐκείνης τῆς γνώσεως τῆς ἁγίας, τῆς ἐν τῇ ψυχῇ. καὶ πόθεν ἀμαυροῦται τόδε; εἰ μὴ λογισμός τις λεπτότατος τῆς ὑπερηφανίας ὑπεισῆλθε τῇ ψυχῇ, καὶ ἐνεφώλευσεν ἐκεῖ, ἢ ἐξηκολούθησεν ὁ ἄνθρωπος ἐπὶ πλέον τῇ μερίμνῃ τῶν παρερχομένων, ἢ τῇ ἀπαντήσει τῇ συνεχεῖ τοῦ κόσμου, τῇ ἀπατώσῃ αὐτὸν, ἢ ἐκ τῆς γαστρὸς τῆς κυρίας πάντων τῶν κακῶν. πάντοτε γὰρ, ὅταν ἔλθῃ ὁ ἀγωνιστὴς πρὸς τὴν ἀπάντησιν τοῦ κόσμου, εὐθὺς ἡ ψυχὴ αὐτοῦ ἀτονεῖ. ὡσαύτως δὲ, καὶ ὅταν εἰς τὴν ἀπάντησιν τῶν πολλῶν, τῶν μόνων ἐξ ἀνάγκης ἐκ τῆς κενοδοξίας συντριβόντων τὴν ψυχὴν αὐτοῦ. καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ὅμοιός ἐστιν ὁ νοῦς τοῦ δραπετεύοντος (ἡνίκα ἀπαντήσει τῷ κόσμῳ) τῷ κυβερνήτῃ, τῷ ἐν γαλήνῃ διαπορευομένῳ ἐν τῇ θαλάσσῃ, καὶ ἐξαίφνης ἐμπεσόντι ἐν μέσῳ τῶν πετρῶν, καὶ ναυαγοῦντι. τῷ δὲ Θεῷ ἡμῶν δόξα, κράτος, τιμὴ, καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΞΒ.

ΠΕΡΙ ΤΩΝ ΤΡΙΩΝ ΤΡΟΠΩΝ ΤΗΣ ΓΝΩΣΕΩΣ,

καὶ τῆς διαφορᾶς τῆς ἐργασίας αὐτῶν, καὶ τῶν νοημάτων αὐτῶν· καὶ περὶ τῆς πίστεως τῆς ψυχῆς, καὶ τοῦ πλούτου τοῦ μυστικοῦ, τοῦ ἐγκεκρυμμένου αὐτῇ· καὶ πόσον διαφέρει ἡ γνῶσις τοῦ κόσμου τούτου ἐν τοῖς τρόποις αὐτῆς τῆς ἁπλότητος τῆς πίστεως.

Ἡ ψυχὴ ἡ ἐν ταῖς τρίβοις τῆς πολιτείας, καὶ ἐν τῇ ὁδῷ τῆς πίστεως διαπορευομένη, καὶ ταύτην πολλάκις κατορθώσασα, ἐὰν στραφῇ πάλιν εἰς τοὺς τρόπους τῆς γνώσεως, εὐθέως χωλαίνει ἐκ τῆς πίστεως, καὶ στερεῖται ἐξ αὐτῆς ἡ νοερὰ δύναμις αὐτῆς, ἡ ἐκ τῶν ἐναλλαγμάτων τῶν ἀντιλήψεων φανερουμένη ἐν τῇ καθαρᾷ ψυχῇ, καὶ ἀνεξετάστως ἐν αὐτῇ ἀναστρεφομένη ἐν ἁπλότητι ἐν πᾶσι τοῖς ἑαυτῆς. ψυχὴ γὰρ ἡ ἅπαξ παραθεμένη ἑαυτὴν τῷ Θεῷ ἐν πίστει, καὶ ἐν πολλῇ πείρᾳ δεξαμένη τὴν γεῦσιν τὴν συνεργείας αὐτοῦ, πάλιν ἑαυτῆς οὐ φροντίζει· ἀλλὰ τῇ ἐκπλήξει καὶ τῇ σιωπῇ φιμοῦται, καὶ ἀναστραφῆναι πάλιν εἰς τοὺς τρόπους τῆς γνώσεως αὐτῆς, καὶ ἀναστρέφεσθαι ἐν αὐτοῖς οὐκ ἔχει ἐξουσίαν· μήπως ἐν τῇ ἐναντιώσει αὐτῶν στερηθῇ τῆς προνοίας τοῦ Θεοῦ, τῆς κρυπτῶς ἐπισκεπτομένης αὐτὴν ἀπαύστως, καὶ ἐπιμελουμένης αὐτῆς, καὶ ἀδια-

λείπτως

λείπ]ως ἐξακολεθέσης αὐτῇ ἐν παντὶ τρόπῳ. διότι ἐμωράνθη, ὑπονοήσασα ἑαυτὴν ἱκανὴν ἔσαν προνοήσασθαι ἑαυτῆς ἐν τῇ δυνάμει τῆς γνώσεως αὐτῆς. ἐν οἷς γὰρ τὸ Φῶς τῆς πίστεως ἀνατέλλει, ἐκ ἔστι πάλιν ἀναισχυντἔσιν ὑπὲρ ἑαυτῶν εὔξασθαι, ἐδὲ ἐξαιτήσασθαι παρὰ τἔ Θεἔ, δὸς ἡμῖν τόδε, ἢ λάβε ἐξ ἡμῶν τόδε, ἐδὲ φροντίζεσιν ἑαυτῶν κατὰ πάντα τρόπον. διότι ἐν τοῖς νοεροῖς ὀφθαλμοῖς τῆς πίστεως ἐν πάσῃ ὥρᾳ θεωρἔσι τὴν πρόνοιαν τὴν πατρικὴν, ἐπισκιάζεσαν αὐτοῖς ἐξ ἐκείνε τἔ πατρὸς τἔ ἀληθινἔ, τἔ ὑπερέχοντος ἐν τῇ ἑαυτἔ πολλῇ ἀγάπῃ τῇ ἀμέτρῳ πᾶσαν πατρικὴν ἀγάπησιν, τἔ δυναμένε καὶ ἰσχύοντος παρὰ πάντας συνεργῆσαι ἡμῖν ὑπερεκπερισσἔ, ὑπὲρ ὃ αἰτέμεθα, καὶ ἐνθυμέμεθα, καὶ νοἔμεν.

Ἡ γνῶσις γὰρ ἐναντία τῇ πίστει ἐστίν· ἡ δὲ πίστις, λύσις ἐν πᾶσι τοῖς ἑαυτοῖς τῶν νόμων τῆς γνώσεως, ἐχὶ τῆς πνευματικῆς δὲ λέγομεν. ἔτος γάρ ἐστιν ὁ ὁρισμὸς τῆς γνώσεως, ὅτι ἐκτὸς ἐξετάσεως, καὶ ἐρεύνης ποιῆσαι τι πρᾶγμα ἐκ ἐξεσιάζει, ἀλλ' ἐξετάζει, εἰ δυνατὸν γενέσθαι ὅπερ ἐνθυμεῖται καὶ θέλει. ἡ δὲ πίστις (1) τὶ, ὅτε τὶς προσεγγίσει ἐν αὐτῇ ἐκ ὀρθῶς, ἐν αὐτῷ παραμεῖναι ἐ πείθεται.

Ἡ γνῶσις χωρὶς ἐξετάσεως, καὶ τρόπων ἀναστροφῆς, ἐδὲ γνωσθῆναι δύναται. καὶ τἔτό ἐστι τὸ σημεῖον τἔ διστάγμἔ περὶ τῆς ἀληθείας. ἡ πίστις δὲ, φρόνημα ἐν καθαρὸν καὶ ἁπλἔν

 ἐπιζη-

(1) Σαφέστερον εἴποι ἄντις τὸ αὐτὸ ἕτως· ἡ δὲ πίστις ἔστι τὶ, ὅπερ τῷ προσεγγίζοντι αὐτῇ ἐκ ὀρθῶς, παραμεῖναι ἐ πείθεται. καὶ γὰρ ἀληθῶς, ἐπειδάν τις ἐκ ὀρθῶς, τετέστιν ἀνεπιλαβῶς τε καὶ περιέργως πλησιάσῃ τῇ πίστει, ἐ τῷ φωτὶ αὐτῆς καταλάμπεται, ἀλλὰ πάλιν τῷ τῆς ἀπιστίας σκότει ἐγκαταδύεται.

ἐπιζητεῖ, τὸ ἀπέχον ἀπὸ πάσης πανεργίας, καὶ τȣ̃ ζητῆσαι τρόπȣς. βλέπε πῶς ἐναντιȣ̃νται ἀλλήλαις· ὁ οἶκος τῆς πίστεως ἔννοια νηπιώδης ἐςὶ, καὶ καρδία ἁπλῆ. ἐν ἁπλότητι γάρ φησι καρδίας αὐτῶν ἐδόξαζον τὸν Θεόν. καὶ ἐὰν μὴ ςραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, ȣ̉ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν ȣ̉ρανῶν. ἡ γνῶσις δὲ τοῖς δυσὶ τȣ́τοις ἐπίβȣλός ἐςι καὶ ἐναντία.

Κολασ. γ. κβ. — Ματθ. ιη. γ.

Ἡ γνῶσις ὅρος τῆς Φύσεώς ἐςι, φυλάττȣσα αὐτὴν ἐν πάσαις ταῖς τρίβοις αὐτῆς. ἡ δὲ πίςις ὑπὲρ τὴν Φύσιν ἐνεργεῖ τὴν ἑαυτῆς ὁδοιπορίαν. ἡ γνῶσις πᾶν πρᾶγμα καταλύον τὴν Φύσιν ȣ̉ πειρᾶται πρὸς ἑαυτὴν ἐᾶσαι, ἀλλὰ μακρύνεται ἐξ αὐτȣ̃. ἡ δὲ πίςις εὐχερῶς ἐπιτρέπει, καὶ λέγει· ἐπὶ Ἀσπίδα, φησὶ, καὶ Βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις Λέοντα καὶ Δράκοντα. τῇ γνώσει, φόβος ἐξακολȣθεῖ· τῇ δὲ πίςει, ἐλπίς. ὅσον γάρ τις ἐν τοῖς τῆς γνώσεως τρόποις διαπορεύεται, τοσȣ̃τον ὑπὸ τȣ̃ φόβȣ δεσμεύεται, καὶ τῆς ἐλευθερίας τȣ́τȣ ἀξιωθῆναι ȣ̉ δύναται. ὁ δὲ τῇ πίςει ἐξακολȣθῶν, εὐθέως ἐλεύθερος καὶ αὐτεξȣ́σιος, καὶ ὡς υἱὸς τȣ̃ Θεȣ̃ ἐν πᾶσι τοῖς πράγμασιν ἐν ἐλευθερίᾳ κρᾶται ἐξȣσιαςικῶς. ἄνθρωπος ἐρῶν ταύτης τῆς πίςεως, ὡς ὁ Θεὸς κρᾶται ταῖς Φύσεσι πάσαις τῆς κτίσεως. τῇ πίςει γάρ ἐςιν ἡ ἐξȣσία, κτίσιν δημιȣργῆσαι καινὴν κατὰ τὴν τȣ̃ Θεȣ̃ ὁμοιότητα. ἠθέλησάς φησι, καὶ τὰ πάντα παρέςη ἐνώπιόν σȣ. καὶ πολλάκις ἐξ ȣ̉κ ὄντων τὰ πάντα δύναται ποιῆσαι. ἡ δὲ γνῶσις, χωρὶς ὕλης ποιῆσαί τι ȣ̉ δύναται. ἡ γνῶσις τὸ μὴ δοθὲν τῇ Φύσει, ȣ̉κ ἀναιχυντεῖ διαπράξασθαι. καὶ πῶς; διότι ἡ ῥυτὴ Φύσις τȣ̃ ὕδατος ȣ̉ δέχεται ἐπὶ νώτων αὐτῆς τὰ ἴχνη τȣ̃ σώματος, καὶ ὁ προσεγγίζων τῷ πυρὶ, ἑαυτὸν

Ψαλ. ϙ. ιγ. — Ἰώβ. ιγ. κγ.

τὸν κατακαίει, καὶ ἐὰν ἀπαναισθδύνηται κατὰ τέτων, κίνδυνος αὐτῷ ἐπακολεθεῖ.

Ἐκ τέτων ἡ γνῶσις ἐν φυλακῇ παραφυλάττεται, ἢ διαβαῖναι τὸν ὅρον τέτων παντελῶς ἐ πείθεται· ἡ δὲ πίςις, ἐν „ ἐξεσίᾳ διαβαίνει ταῦτα, καὶ λέγει· ὅτι ἐὰν διαβαίνης διὰ πυ- „ ρὸς ἐ κατακαύσεισε, καὶ ποταμοὶ ἐ κατακλύσεσί σε. καὶ ταῦτα πολλάκις ἡ πίςις ἐνώπιον ἐνήργησε πάσης τῆς κτίσεως. καὶ εἰ ἐδόθη τῇ γνώσει τόπος ἐκεῖσε πειραθῆναι ἐν τέτοις, παντελῶς ἐκ εἶχε πεισθῆναι. διὰ πίςεως γὰρ πολλοὶ εἰς τὴν φλόγα εἰσῆλθον, καὶ τὴν δύναμιν τὴν καυςικὴν τε πυρὸς ἐχαλίνωσαν, καὶ ἀβλαβῶς ἐν μέσῳ αὐτῆς διέβαινον, καὶ ἐπὶ νώτων τῆς θαλάσσης, ὡς ἐπὶ ξηρᾶς ἐβάδισαν. καὶ ταῦτα πάντα ὑπὲρ τὴν φύσιν εἰσὶ, ἢ ἐναντία τοῖς τρόποις τῆς γνώσεως; καὶ ἀπέδειξαν αὐτὴν ματαίαν ἐν πᾶσι τοῖς τρόποις αὐτῆς, καὶ τοῖς νόμοις αὐτῆς. εἶδες τὴν γνῶσιν, πῶς φυλάττει τὲς ὅρες τῆς φύσεως; εἶδες τὴν πίςιν, πῶς ὑπεράνω τῆς φύσεως διαβαίνει, καὶ ποιεῖ τὴν τρίβον τῆς ἑαυτῆς ὁδοιπορίας; πεντακισχιλίες χρόνες, ἢ μικρὸν ἔλαττον, ἢ ὑπὲρ τῦτο, οἱ τρόποι τῆς γνώσεως τὸν κόσμον ἐκυβέρνων, καὶ παντελῶς ἆραι τὴν κεφαλὴν αὐτε ὁ ἄνθρωπος ἐκ τῆς γῆς, καὶ αἰσθέσθαι τῆς ἰσχύος τε κτίσε αὐτε ἐκ ἠδυνήθη· ἕως ἐ ἡ πίςις ἡμῶν ἐπανέτειλε, καὶ ἠλευθέρωσεν ἡμᾶς ἐκ τε σκότες τῆς γηΐνης ἐργασίας, ἢ ἐκ τῆς ὑποταγῆς τῆς ματαίας, τῆς μετὰ τὸν μετεωρισμὸν τὸν δωρεὰν γινόμενον. καὶ νῦν δὲ πάλιν ὅτε εὕρομεν τὴν θάλασσαν τὴν ἀτάραχον, καὶ τὸν θησαυρὸν τὸν ἀνέκλεπτον, πρὸς πηγὰς ταπεινὰς ἐπιποθεμεν ἐκκλῖναι. ἐκ ἔςι γνῶσις μὴ ἐν ἐνδείᾳ ἔσα, κἂν μεγάλως πλετήσῃ. τὲς δὲ τῆς

Ἡσ. μγ. β.

πίστεως θησαυροὺς, ὁ οὐρανὸς καὶ ἡ γῆ οὐ χωροῦσιν. οὐχ ὑστερεῖται ποτέ τινος ὁ τῇ ἐλπίδι τῆς πίστεως τῇ καρδίᾳ ἐρηρεισμένος. καὶ ὅτι οὐδὲν ἔχει, τῇ πίστει πάντα κατέχει, ὡς γέγραπται· ὅτι ὅσα αἰτεῖσθε ἐν προσευχῇ καὶ πίστει λήψεσθε. καὶ πάλιν· ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε.

Ματθ. κα. κβ.
Φιλιπ. δ. ε.

Ἡ γνῶσις ἀεὶ τρόπους ζητεῖ πρὸς φυλακὴν τῶν κτωμένων αὐτήν. ἡ δὲ πίστις φησὶν, ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, καὶ φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων, καὶ διακενῆς ἐκοπίασεν ὁ οἰκοδομῶν. οὐδέποτε ὁ ἐν πίστει προσευχόμενος, ἐν τρόποις χρᾶται καὶ ἀναστρέφεται. ἡ γνῶσις γὰρ ἐν παντὶ τόπῳ τὸν φόβον ἐπαινεῖ, καθὼς εἶπεν ὁ σοφός· ὁ φοβούμενος, φάσκων, τῇ καρδίᾳ, μακάριος. τί δὲ ἡ πίστις; ἐφοβήθη φησὶ, καὶ ἤρξατο καταποντίζεσθαι. καὶ πάλιν· οὐκ ἐλάβετέ φησι, πνεῦμα δουλείας εἰς φόβον, ἀλλὰ πνεῦμα υἱοθεσίας, εἰς ἐλευθερίαν πίστεως, καὶ ἐλπίδος τοῦ Θεοῦ. καὶ πάλιν· μὴ φείσῃ ἐξ αὐτῶν, μὴ δὲ φύγῃς ἀπὸ προσώπου αὐτῶν. πάντοτε ἀκολουθεῖ τῷ φόβῳ ὁ δισταγμός· καὶ ὁ δισταγμὸς, τῇ ἐξετάσει· καὶ ἡ ἐξέτασις, τοῖς τρόποις· καὶ οἱ τρόποι, τῇ γνώσει. καὶ ἐν αὐτῇ τῇ ἐξερευνήσει καὶ ἐξετάσει, ἀεὶ ὁ φόβος καὶ ὁ δισταγμὸς γνωρίζεται. διότι οὐκ ἐν παντὶ καιρῷ εἰς πάντα κατορθοῖ ἡ γνῶσις, καθὼς ἐν πρώτοις ἀπεδείξαμεν. πολλάκις γὰρ συναντῶσι τῇ ψυχῇ συμβάσεις, καὶ ἐπιφοραὶ δυσχερεῖς, καὶ προφάσεις πολλαὶ, πλήρεις κινδύνων· ἅπερ παντελῶς ἡ γνῶσις, καὶ οἱ τρόποι τῆς σοφίας βοηθῆσαί τι ἐκεῖσε οὐ δύνανται. πάλιν δὲ τοῖς δυσχερέσι, τοῖς μὴ καταλαμβανομένοις πάσῃ δυνάμει, καὶ τῷ ὅρῳ τῆς ἀνθρωπίνης γνώσεως, ἡ πίστις οὐδέποτε νικᾶται ὑπό τινος αὐτῶν. τί γὰρ ἐξαρκεῖ

Ψαλ. ρκς. α.
Σειρ. λδ. ιε.
Ματθ. ιδ. λ.
Ρωμ. η. ιε.

κεῖ ἡ γνῶσις ἡ ἀνθρωπίνη (1) βοηθῆσαι ἐν τοῖς Φανεροῖς πολέμοις, ἢ πρὸς τὰς Φύσεις τὰς ἀοράτες, καὶ πρὸς τὰς ἀσωμάτες δυνάμεις σὺν ἄλλοις πολλοῖς; εἶδες τὴν ἀσθένειαν τῆς δυνάμεως τῆς γνώσεως, καὶ τὴν ἰσχὺν τῆς δυνάμεως τῆς πίστεως; ἡ γνῶσις πᾶσι τοῖς ξένοις τῆς Φύσεως κωλύει τὲς μαθητὰς αὐτῆς προσπελάσαι. ὅρα δὲ τὴν δύναμιν ἐνταῦθα τῆς πίστεως, καὶ τί ἐπιτρέπει τοῖς αὐτῇ μαθητευομένοις.

» Ἐν τῷ ὀνόματί με, Φησὶ, δαιμόνια ἐκβαλεῖτε, ὄφεις » ἀρεῖτε, καὶ ἐὰν τὸν ἰὸν πίητε, ἐ βλαβήσεσθε. ἡ γνῶσις πᾶσι τοῖς ἐν τῇ ὁδῷ ἑαυτῆς πορευομένοις ἐπιτρέπει κατὰ τὲς νόμες αὐτῆς, πρὸ τῆς ἀρχῆς ἐν πᾶσι τὸ τέλος ἐξετάσαι, καὶ ὕτως ἄρξασθαι· μήπως δυσευρέτε τε τέλες τε πράγματος τῷ ὅρῳ τῆς ἀνθρωπίνης δυνάμεως εὑρεθέντος, τὸν κόπον μάτην κοπιάσωσι. καὶ ἀδύνατον ἢ δυσχερὲς τε γενέσθαι εὑρεθῇ τὸ πρᾶγμα. ἡ δὲ πίστις τί λέγει; πάντα δυνατὰ τῷ πι» στεύοντι. ἀδυνατεῖ γὰρ ἐδὲν τῷ Θεῷ. ὢ πλὲτος ἄῤῥητος, καὶ θάλασσα πλέτε ἐν κύμασιν αὐτῆς, καὶ ἐν τοῖς ἑαυτῆς θησαυροῖς τοῖς θαυμαστοῖς, τοῖς ὑπερεκχυνομένοις ἐκ τῆς δυνάμεως τῆς πίστεως. πόσε θάρσες ἔμπλεως, καὶ πόσης ἡδονῆς καὶ ἐλπίδος πλήρης ἡ ὁδοιπορία ἡ μετ᾽ αὐτῆς; καὶ τὰ Φορτία αὐτῆς, πόσον ἐλαφρά εἰσι; καὶ ἡ ἐργασία αὐτῆς πόσην ἡδύτητα ἔχει;

Μαρκ. ις. ιζ.

Ματθ. θ. κγ.

Ἐρώτ. Ὁ ἀξιωθεὶς γεύσασθαι τῆς ἡδύτητος τῆς πίστεως, καὶ πάλιν στραφεὶς πρὸς τὴν γνῶσιν τῆς ψυχῆς, ἐν τίνι διαφέρει τὸ πρᾶγμα αὐτε;

Τῷ

(1) Τὸ Ε. Χ. ἡ Φύσις ἡ ἀνθρωπίνη.

Ἀπόκρ. Τῷ εὑρόντι μαργαρίτην πολύτιμον, καὶ ἀλλάξαντι αὐτὸν εἰς ὀβολὸν χαλκοῦ· τῷ ἐάσαντι ἐλευθερίαν αὐτεξούσιον, καὶ στραφέντι εἰς τοὺς τρόπους τῆς πτωχείας, τοὺς πεπληρωμένους φόβου καὶ δουλείας.

Οὐχὶ ψεκτή ἐστιν ἡ γνῶσις, ἀλλ' ἡ πίστις ὑψηλοτέρα αὐτῆς ἐστί. καὶ ἐὰν ψέξωμεν, οὐχὶ τὴν γνῶσιν ψέγομεν. μὴ γένοιτο. ἀλλ' ἢ τὸ διακρῖναι τοὺς τρόπους τοὺς παρηλλαγμένους, ἐν οἷς προσέρχεται ἐξ ἐναντίας τῆς φύσεως, καὶ πῶς τοῖς τάγμασι τῶν δαιμόνων συγγενειάζει. ἅπερ μετὰ ταῦτα μέλλομεν διακρῖναι φανερῶς. καὶ πόσοι βαθμοί εἰσιν, ἐν οἷς προσέρχεται ἐν αὐτοῖς ἡ γνῶσις· καὶ τίς ἡ διαφορὰ ἡ γινομένη ἐν ἑκάστῳ αὐτῶν· καὶ ἐν ποίοις νοήμασιν ἐξυπνίζεται ἐν ἑκάστῳ τρόπῳ, ὅτε μένει ἐν αὐτοῖς· καὶ ἐν τίνι τούτων τῶν τρόπων, (ὅταν προσέλθῃ ἐν αὐτοῖς) ἐναντιοῦται τῇ πίστει, καὶ ἐξέρχεται ἔξωθεν τῆς φύσεως· καὶ ποία ἐστὶν ἡ διαφορὰ ἡ ἐν αὐτῇ, καὶ ἐν ποίᾳ τάξει, (ὅταν στρέψῃ τὸν σκοπὸν αὐτῆς τὸν πρῶτον) ἔρχεται εἰς τὴν φύσιν αὐτῆς, καὶ καθιστᾷ τὸν βαθμὸν ἔμπροσθεν τῆς πίστεως ἐν ἀγαθῇ πολιτείᾳ· καὶ ἕως πότε ποιεῖ φθάσαι τὴν διαφορὰν τῆς τάξεως αὐτῆς· καὶ πῶς διαπερᾷ ἀπὸ τούτων εἰς τὰ ὑψηλότερα αὐτῶν: καὶ ποῖοί εἰσιν οἱ τρόποι τῆς τάξεως ἐκείνης τῆς ἄλλης, ἤγουν τῆς πρώτης: καὶ πότε συνάπτεται ἡ γνῶσις τῇ πίστει, καὶ γίνεται μετ' αὐτῆς μία, καὶ ἐνδύεται ἐξ αὐτῆς νοήματα πύρινα, καὶ ἐξάπτεται ἐν τῷ πνεύματι, καὶ κτᾶται πτέρυγας ἀπαθείας, καὶ ὑψοῦται ἐκ τῆς διακονίας τῶν γηΐνων ἐν τῇ χώρᾳ τοῦ δημιουργοῦ ἑαυτῆς, σὺν ἄλλοις τρόποις. ὅμως τέως ἁρμόζει ἡμᾶς εἰδέναι, ὅτι ἡ πίστις, καὶ οἱ βαθμοὶ αὐτῆς, καὶ ἡ ἐργασία αὐτῶν, ὑψηλοτέρα ἐστὶ τῆς γνώσεως.

Καὶ

Καὶ αὕτη ἡ γνῶσις ἐν τῇ πίστει τελειοῦται, καὶ κτᾶται δύναμιν ἀνελθεῖν ἄνω, καὶ αἰσθέσθαι ἐκείνου τοῦ ὑψηλοτέρου πάσης αἰσθήσεως, καὶ ἰδεῖν τὴν αὐγὴν ἐκείνην τὴν ἀκατάληπτον τῷ νῷ καὶ τῇ γνώσει τῶν κτισμάτων. ἡ γνῶσις δὲ βαθμίς ἐστι, δι' ἧς ἀνέρχεταί τις εἰς τὸ ὕψος τῆς πίστεως. καὶ ὅταν φθάσῃ » ἐγγὺς αὐτῆς, οὐκ ἔτι πάλιν χρήζει αὐτῆς. νῦν, γάρ φησιν, ἐκ » μέρους γινώσκομεν, καὶ ἐκ μέρους νοοῦμεν. ὅταν δὲ ἔλθῃ τὸ τέ- » λειον, τὸ ἐκ μέρους καταργεῖται. ἡ πίστις λοιπὸν ἄρτι, ὡς ἐν ὀφθαλμοῖς δεικνύει ἡμῖν τὴν ἀλήθειαν τῆς τελειότητος· καὶ ἐν τῇ πίστει ἡμῶν μανθάνομεν ἐκεῖνα τὰ ἀκατάληπτα, καὶ οὐκ ἐν τῇ ἐξετάσει καὶ τῇ δυνάμει τῆς γνώσεως.

α. Κορινθ. ιγ. θ.

Ταῦτα τὰ ἔργα τῆς δικαιοσύνης· νηστεία, ἐλεημοσύνη, ἀγρυπνία, ἁγιασμὸς, καὶ τὰ λοιπὰ τὰ διὰ τοῦ σώματος ἐνεργούμενα· ἀγάπη πρὸς τὸν πλησίον, ταπεινοφροσύνη καρδίας, συγχώρησις τῶν ἐπταισμένων, ἐνθύμησις τῶν ἀγαθῶν, ἐξέτασις τῶν μυστηρίων τῶν ὄντων ἐν ταῖς ἁγίαις γραφαῖς κεκαλυμμένων, ἀδολεσχία τῆς διανοίας ἐν τοῖς ἔργοις τοῖς κρείττοσι, τοῦ φυλάξαι τοὺς ὅρους τῶν παθῶν τῆς ψυχῆς, καὶ αἱ λοιπαὶ ἀρεταὶ, αἱ ἐν τῇ ψυχῇ ἐκτελούμεναι. ταῦτα πάντα χρήζουσι τῆς γνώσεως. αὕτη γὰρ φυλάττει αὐτὰ, καὶ διδάσκει τὴν τάξιν αὐτῶν. καὶ ταῦτα πάντα ἀκμὴν βαθμοί εἰσιν, ἐν οἷς ἡ ψυχὴ ἀνέρχεται εἰς τὸ ὕψος τὸ ἀνώτερον τῆς πίστεως, καὶ ἀρεταὶ καλοῦνται. ἡ δὲ πολιτεία τῆς πίστεως ὑπὲρ τὴν ἀρετήν ἐστι, καὶ ἡ ἐργασία αὐτῆς οὐκ ἔργα ἐστὶν, ἀλλὰ ἀνάπαυσις τελεία, καὶ παράκλησις, καὶ λόγοι ἐν καρδίᾳ, καὶ ἐν ταῖς ἐννοίαις τῆς ψυχῆς τελειοῦται. καὶ πάντες οἱ τρόποι οἱ θαυμαστοὶ τῆς πνευματικῆς πολιτείας, ὧν ἡ ἐργασία αἴσθησις ἐν τῇ ζωῇ τῇ πνευματικῇ, καὶ

τρυφὴ, καὶ ἀπόλαυσις ψυχῆς, καὶ πόθος, καὶ χαρὰ ἐν Θεῷ, καὶ τὰ λοιπὰ, ὅσα δίδονται ἐν ἐκείνῃ τῇ πολιτείᾳ τῇ ψυχῇ τῇ ἀξίᾳ τῆς χάριτος τῆς ἐκεῖθεν μακαριότητος, καὶ ὅσα ὡς ἐν νοήματι ἐν ταῖς θείαις γραφαῖς ἐν τῇ πίστει τελειοῦνται ἐντεῦθεν ἐκ τοῦ Θεοῦ τοῦ πλουσίου ἐν τοῖς ἑαυτοῦ χαρίσμασιν.

Ἀπορία.

Εἰ δὲ λέγει τὶς, ὅτι εἰ πάντα τὰ ἀγαθὰ ταῦτα, καὶ τὰ ἔργα τῆς ἀρετῆς τὰ προλεχθέντα, καὶ ἡ ἀποχὴ τῶν κακῶν, καὶ ἡ διάκρισις τῶν λεπτῶν λογισμῶν τῶν ἐν τῇ ψυχῇ ἀναφυομένων, καὶ ἡ μετὰ τῶν λογισμῶν πάλη, καὶ ὁ ἀγὼν ὁ πρὸς τὰ πάθη τὰ ἐρεθίζοντα, καὶ τὰ λοιπὰ, ὧν ἐκτὸς οὐδὲ αὐτὴ ἡ πίστις δύναται δεῖξαί σοι τὴν δύναμιν αὐτῆς ἐν τῇ ἐργασίᾳ τῆς ψυχῆς, εἰ ταῦτα πάντα ἡ γνῶσις τελειοῖ, πῶς νομίζεται ἡ γνῶσις τῇ πίστει ἐναντία;

Λύσις τοῦ δισταγμοῦ.

Καὶ λέγομεν, ὡς τρεῖς τρόποι εἰσὶ νοητοὶ, ἐν οἷς ἡ γνῶσις ἀνέρχεται, καὶ κατέρχεται, καὶ ὡς ἀλλοίωσις τοῖς τρόποις, ἐν οἷς πορεύεται, οὕτω καὶ ταύτῃ ἀλλοίωσις ἐγγίνεται, καὶ παρὰ τοῦτο βλάπτει, καὶ βοηθεῖ. τρεῖς δὲ τρόποι εἰσί· σῶμα, ψυχὴ, καὶ πνεῦμα. καὶ εἰ μία ἐστὶν ἡ γνῶσις ἐν τῇ φύσει αὐτῆς, ἀλλὰ πρὸς τὰς χώρας ταύτας τῶν νοητῶν καὶ τῶν αἰσθητῶν, καὶ λεπτύνεται, καὶ ἐπαλλάττει τοὺς τρόπους αὐτῆς, καὶ τὰς ἐργασίας τῶν νοημάτων αὐτῆς. ἄκουσον δὲ λοιπὸν καὶ τὴν τάξιν τῆς ἐργασίας αὐτῆς, καὶ τὰς αἰτίας, δι' ἃς βλάπτει, καὶ βοηθεῖ. ἡ γνῶσις, δόσις παρὰ Θεοῦ ἐστὶ τῇ φύσει τῶν λογικῶν, ἥτις ἐκ τῆς ἀρχῆς ἐδόθη τῆς αὐτῶν διαπλάσεως, καὶ ἐστὶν ἁπλῆ, καὶ οὐ μερίζεται τῇ ἑαυτῆς φύσει, ὥσπερ οὐδὲ τοῦ Ἡλίου τὸ φῶς, καὶ κατὰ τὴν ἐργασίαν αὐτῆς κτᾶται ἀλλοιώσεις καὶ μερισμούς.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΞΓ.

ΠΕΡΙ
ΤΑΞΕΩΣ ΠΡΩΤΗΣ ΤΗΣ ΓΝΩΣΕΩΣ.

Ὅτε τῇ ἐπιθυμίᾳ τῇ σαρκικῇ ἡ γνῶσις ἀκολεθεῖ, τέτες τὲς τρόπες σωάγει· τὸν πλἕτον, τλὼ κενοδοξίαν, τλὼ κόσμησιν, τλὼ ἀνάπαυσιν τλὼ τἕ σώματος, σπεδλὼ τῆς σοφίας τῆς λογικῆς, τῆς ἁρμοζέσης εἰς τλὼ διοίκησιν τἕ κόσμε τέτε, καὶ βρυέσης τὰς ἀνανεώσεις τῶν εὑρέσεων, καὶ τῶν τεχνῶν, καὶ τῶν μαθήσεων, καὶ τὰ λοιπὰ τὰ στεφανἕντα τὸ σῶμα ἐν τῷ κόσμῳ τέτῳ τῷ ὁρατῷ. ἐκ τῶν εἰδῶν τέτων γίνεται ἐναντία τῇ πίστει, ἥπερ εἰρήκαμέν τε καὶ διετάξαμεν, ἥτις γνῶσις ψιλὴ ὀνομάζεται· καθότι γυμνή ἐστι πάσης θείας μερίμνης, καὶ ἀδιωαμίαν ἄλογον εἰσφέρει κατὰ τῆς διανοίας, διὰ τὸ κεκρατῆσθαι ὑπὸ τἕ σώματος. καὶ τελείως ἡ μέριμνα αὐτῆς ἐν τῷ κόσμῳ τέτῳ ἐστί. τἕτο τὸ μέτρον τῆς γνώσεως, ὅτι ἐστὶ παντελῶς διώαμις νοητὴ, καὶ κυβερνήτης κρυπτὸς τἕ ἀνθρώπε, καὶ ἐπιμέλεια θεία ἡ ἐπισκεπτομένη αὐτὸν, καὶ ἐπιμελεμένη τελείως· καὶ τῇ προνοίᾳ τἕ Θεἕ τὰς διοικήσεις ἐ λογίζεται, ἀλλ᾽ ἕκαστον ἀγαθὸν τὸ ὂν ἐν τῷ ἀνθρώπῳ, καὶ ἡ ἐκ τῶν βλαπτόντων αὐτὸν αὐτἕ σωτηρία, καὶ ἡ ἐκ τῶν δυσχερῶν φυσικὴ αὐτἕ προσοχὴ, καὶ ἡ ἐκ τῶν πολλῶν ἐναντιωμάτων τῶν ἀκολεθέντων τῇ φύσει ἡμῶν κρυπτῶς καὶ φανερῶς, φυσικὴ ἐν τῇ ἑαυτἕ σπεδῇ, καὶ ἐν τοῖς ἑαυτἕ τρόποις εἶναι δοκεῖ. τἕτο τὸ

μέτρον τῆς γνώσεως τῆς ἀδολεχέσης· τῇ ἑαυτῆς προνοίᾳ τὰ πάντα εἶναι οἴεται, κατὰ τὲς λέγοντας, ὡς ἐκ ἔςι κυβέρνησις τέτων τῶν ὁρωμένων. ὅμως ἐκτὸς τῆς διωεκἕς μερίμνης, καὶ τἕ φοβεῖϑαι ὑπὲρ τἕ σώματος, τυγχάνειν ἐ δύναται. διὰ τἕτο κατέχει αὐτὸν ἡ μικροψυχία, καὶ ἡ λύπη, καὶ ἡ ἀπόγνωσις, καὶ ὁ τῶν δαιμόνων φόβος, καὶ ἡ ἐκ τῶν ἀνθρώπων δειλία, καὶ ἡ τῶν λῃςῶν φήμη, καὶ αἱ ἀκοαὶ τῶν θανάτων, καὶ ἡ τῶν νοσημάτων φροντὶς, καὶ ἡ μέριμνα τῆς ἐνδείας καὶ τῆς λείψεως τῆς χρείας, καὶ ὁ φόβος τἕ θανάτε, καὶ ὁ φόβος τῶν παθῶν, καὶ τῶν πονηρῶν θηρίων, καὶ τὰ λοιπὰ τὰ τέτοις ὅμοια, τὰ κατὰ τὴν θάλασσαν τὴν ὑπὸ τῶν κυμάτων ταραττομένην ἐν πάσῃ ὥρᾳ τῆς νυκτὸς καὶ τῆς ἡμέρας, καὶ βρύεσαν κατ᾽ αὐτῶν. διότι ἐκ οἶδε ῥίψαι τὴν μέριμναν αὐτῆς ἐπὶ τὸν Θεὸν ἐν τῇ πεποιθήσει τῆς εἰς αὐτὸν πίςεως. διὰ τἕτο ἐν μηχανήμασι, καὶ ἐν πανεργίαις ἐν ἅπασι τοῖς ἑαυτῆς ἀναςρέφεται. ὅταν δὲ ἀργήσωσιν οἱ τρόποι τῶν μηχανημάτων αὐτῆς ἐν μιᾷ προφάσει τινὶ, καὶ μὴ θεωρήσῃ τὴν μυςικὴν πρόνοιαν, μάχεται μετὰ τῶν ἀνθρώπων τῶν ἐμποδιζόντων αὐτὴν, καὶ ἐναντιεμένων αὐτῇ.

Ἐν αὐτῇ τῇ γνώσει πεφυτευμένον ἐςὶ τὸ ξύλον τῆς γνώσεως τῶν καλῶν, καὶ πονηρῶν, τὸ ἐκριζἕν τὴν ἀγάπην. καὶ αὕτη ἐξετάζει τὰ βραχέα ἐγκλήματα τῶν ἄλλων ἀνθρώπων, καὶ τὰς αἰτίας, καὶ τὰς ἀσθενείας αὐτῶν, καὶ παρασκευάζει τὸν ἄνθρωπον, εἰς τὸ δογματίζειν, καὶ ἀντιλέγειν τοῖς λόγοις, καὶ δολιεύεσθαι ἐν μηχανήμασι καὶ πανεργίαις πονηραῖς, καὶ ἐν τοῖς λοιποῖς τρόποις τοῖς καθυβρίζεσι τὸν ἄνθρωπον. αὕτη ἐγγίνεται, καὶ ταύτῃ ἐςὶ φυσίωσις, καὶ ὑπερη-

ὑπερηφανία· ὅτι ἑαυτῇ ἀνατίθησι πᾶν πρᾶγμα καλὸν, καὶ οὐκ ἐπὶ τὸν Θεὸν ἀναφέρει.

Ἡ πίστις δὲ τῇ χάριτι λογίζεται τὰ ἔργα αὐτῆς. διὰ
» τοῦτο καὶ ἐπαρθῆναι οὐ δύναται, καθὼς γέγραπται. πάντα Φιλιπ. δ. ιγ.
» ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. καὶ πάλιν, οὐκ ἐγὼ δὲ,
» ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. καὶ ὅπερ εἶπεν ὁ μακά- α. Κορινθ. ιε. ι.
» ριος Ἀπόστολος, ὅτι ἡ γνῶσις φυσιοῖ, περὶ τῆς γνώσεως ταύ- α. Κορινθ. η. α.
της εἴρηκε, τῆς μὴ συγκεκραμμένης τῇ πίστει καὶ τῇ ἐλπίδι τῇ εἰς Θεὸν, καὶ οὐχὶ περὶ τῆς γνώσεως τῆς ἀληθείας εἶπε. μὴ γένοιτο.

Ἡ γνῶσις τῆς ἀληθείας ἐν ταπεινώσει τελειοῖ τὴν ψυχὴν τῶν κτωμένων αὐτήν. ὡς τὸν Μωϋσέα, καὶ τὸν Δαβὶδ, καὶ τὸν Ἡσαΐαν, καὶ τὸν Πέτρον, καὶ τὸν Παῦλον, καὶ τοὺς λοιποὺς ἁγίους τοὺς ἀξιωθέντας αὐτῆς τῆς γνώσεως τῆς τελείας, κατὰ τὸ μέτρον τῆς ἀνθρωπίνης φύσεως. καὶ ἐκ τῶν παρηλλαγμένων θεωριῶν, καὶ τῶν ἀποκαλύψεων τῶν θείων, καὶ ἐκ τῆς θεωρίας τῆς ὑψηλῆς τῶν πνευματικῶν, καὶ ἐκ τῶν ἀῤῥήτων μυστηρίων καταπίνεται ἡ γνῶσις αὐτῶν πάντοτε ἐκ τῶν ὁμοίων τούτων, καὶ σποδὸν καὶ χοῦν ἀριθμεῖται ἡ ψυχὴ αὐτῶν ἐν τοῖς ἑαυτῶν ὀφθαλμοῖς. ἡ δὲ ἑτέρα γνῶσις πρεπόντως φυσιοῦται· ὅτι ἐν τῇ σκοτίᾳ πορεύεται, καὶ ἐκ τῆς ὁμοιότητος τῶν ἐπὶ γῆς δοκιμάζεται τὰ ὄντα αὐτῇ, καὶ οὐ γινώσκει ὅτι ἔστι τὶ κρεῖττον αὐτῆς. καὶ πάντες δὲ ὑπὸ τῆς ἐπάρσεως ἁρπάζονται, διὰ τὸ εἶναι αὐτοὺς ἐν τῇ γῇ, καὶ ἐν τῇ σαρκὶ τὴν αὐτῶν πολιτείαν ζυγοστατεῖν, καὶ εἰς τὰ ἔργα αὐτῶν ἐπερείδεσθαι, ἀλλὰ μὴ εἰς τὰ ἀκατάληπτα διαλογίζεσθαι ἐν τῷ νοῒ αὐτῶν. ἕως ἂν ἐν τούτοις τοῖς κύμασιν ὦσιν ἐμπλέοντες, τοῦτο

πάσχουσιν. οἱ δὲ ἅγιοι τὴν ἀρετὴν τὴν ἔνδοξον τῆς Θεότητος ἐκτελοῦσι. καὶ ἡ ἐργασία αὐτῶν ἄνω ἐστὶ, καὶ οὐκ ἐκκλίνει τὸ φρόνημα αὐτῶν μεριμνῆσαι περὶ τῶν αἱρέσεων καὶ τῶν ματαίων. οἱ γὰρ ἐν τῷ φωτὶ πορευόμενοι, οὐ δύνανται πλανηθῆναι. διὰ τοῦτο πάντες οἱ πλανηθέντες ἐκ τοῦ φωτὸς τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ ἐκκλίναντες ἀπὸ τῆς ἀληθείας, ἐν ταύταις ταῖς τρίβοις διαπορεύονται. αὕτη ἡ τάξις τῆς γνώσεως ἡ πρώτη, ἐν ᾗ τὶς τῇ ἐπιθυμίᾳ τῆς σαρκὸς κατακολουθεῖ. ταύτην ψέγομεν, καὶ ἐναντίαν οὐ μόνον τῇ πίστει, ἀλλὰ καὶ πάσῃ ἀρετῆς ἐργασίᾳ ἀποφαινόμεθα.

ΛΟΓΟΣ ΞΔ.

ΠΕΡΙ ΤΑΞΕΩΣ ΔΕΥΤΕΡΑΣ ΤΗΣ ΓΝΩΣΕΩΣ.

Ὅτε δὲ καταλείψας τὶς τὴν τάξιν τὴν πρώτην, καὶ ἐν τοῖς διαλογισμοῖς, καὶ ταῖς ἐπιθυμίαις στραφῇ τῆς ψυχῆς, ταῦτα τὰ προγεγραμμένα καλὰ ἐργάζεται ἐν τοῖς νοήμασι τῆς ψυχῆς μετὰ τῶν αἰσθήσεων τῶν ἐν τῷ σώματι ἐν τῷ φωτὶ τῆς φύσεως αὐτῆς. ταῦτα δὲ εἰσὶ νηστεία, εὐχὴ, ἐλεημοσύνη, ἀνάγνωσις τῶν θείων γραφῶν, οἱ τρόποι τῆς ἀρετῆς, πάλη πρὸς τὰ πάθη, καὶ τὰ λοιπά. πάντα γὰρ τὰ πράγματα τὰ ἀγαθὰ, καὶ τὰς διαφορὰς τὰς καλὰς τὰς ἐν τῇ ψυχῇ θεωρουμένας, καὶ τοὺς τρόπους τοὺς θαυμαστοὺς

τοὺς

τοὺς ἐν τῇ αὐλῇ τοῦ Χριστοῦ διακονουμένους ἐν τῇ δευτέρᾳ ταύτῃ τάξει τῆς γνώσεως τελειοῖ τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ ἐργασίᾳ τῆς δυνάμεως αὐτῆς. καὶ αὕτη εὐθύνει τῇ καρδίᾳ τρίβους, πρὸς τὴν πίστιν ἡμᾶς ὁδηγούσας, καὶ ἐν αὐτῇ συνάγομεν ἐφόδια τῷ αἰῶνι τῷ ἀληθινῷ. ἀκμὴν δὲ καὶ ἕως τούτων, σωματική ἐστιν ἡ γνῶσις καὶ σύνθετος. καὶ ἐν αὐτῇ ὁδός ἐστιν ἡ ὁδηγοῦσα ἡμᾶς, καὶ παραπέμπουσα τῇ πίστει. ἀλλ᾽ ἔστι καὶ τάξις ὑψηλοτέρα αὐτῆς. καὶ ἐάν τις προκόψῃ, εὑρίσκει ἀναβιβασθῆναι ἐν αὐτῇ ἐν τῇ βοηθείᾳ τοῦ Χριστοῦ· ὅτε θήσει τὸ θεμέλιον τῆς ἐργασίας αὐτῆς ἐν τῇ ἡσυχίᾳ τῇ ἐκ τῶν ἀνθρώπων, καὶ ἐν τῇ ἀναγνώσει τῶν γραφῶν, καὶ τῇ εὐχῇ, καὶ τοῖς λοιποῖς ἀγαθοῖς, ἐν οἷς τελειοῦται τὰ τῆς δευτέρας γνώσεως, καὶ ἐν αὐτῇ ἐνεργεῖται πάντα τὰ καλά· ἥτις καὶ καλεῖται γνῶσις τῶν πραγμάτων. διότι ἐν τοῖς αἰσθητοῖς πράγμασι διὰ τῶν σωματικῶν αἰσθήσεων τελειοῖ τὸ ἑαυτῆς ἔργον ἐν τῇ τάξει τῇ ἐξωτέρᾳ. Ἀμήν.

ΛΟΓΟΣ ΞΕ.

ΠΕΡΙ
ΤΑΞΕΩΣ ΤΡΙΤΗΣ ΤΗΣ ΓΝΩΣΕΩΣ·
ΗΤΙΣ ΕΣΤΙ ΤΑΞΙΣ ΤΗΣ ΤΕΛΕΙΟΤΗΤΟΣ.

Πῶς οὖν λεπτύνεταί τις, καὶ κτᾶται τὸ πνευματικόν, καὶ ὁμοιοῦται τῇ πολιτείᾳ τῶν ἀοράτων δυνάμεων, τῶν λειτουργουσῶν μὴ τῇ αἰσθητῇ ἐνεργείᾳ τῶν ἔργων, ἀλλὰ τῇ τελειουμέ-

λειουμένη ἐν τῇ τῆς διανοίας φροντίδι, ἄκουσον· ὅταν ἡ γνῶσις ὑψωθῇ ἐκ τῶν γηΐνων, καὶ ἐκ τῆς μερίμνης τῆς ἐργασίας αὐτῶν, καὶ ἄρξηται ἀπόπειραν ποιεῖσθαι τῶν διαλογισμῶν ἑαυτῆς ἐν τοῖς κεκαλυμμένοις ἔσωθεν τῶν ὀφθαλμῶν, καὶ τρόπῳ τινὶ καταφρονήσῃ τῶν πραγμάτων, ἐξ ὧν ἡ σκολιότης τῶν παθῶν γίνεται, καὶ ἁπλώσῃ ἑαυτὴν ἄνω, καὶ ἀκολουθήσῃ τῇ πίστει ἐν τῇ μερίμνῃ τοῦ μέλλοντος αἰῶνος, καὶ ἐν ταῖς ἐπιθυμίαις ταῖς ἐπαγγελθείσαις ἡμῖν, καὶ ἐν τῇ ἐξετάσει τῶν κρυπτῶν μυστηρίων, τότε αὕτη ἡ πίστις καταπίνει ταύτην τὴν γνῶσιν, καὶ στρέφεται, καὶ τίκτει αὐτὴν ἐξ ἀρχῆς, ὡς γενέσθαι αὐτὴν ὅλην ἐξ ὅλου πνεῦμα.

Τότε δύναται πετασθῆναι ἐν ταῖς χώραις τῶν ἀσωμάτων πτέρυξι, καὶ ἅψασθαι τοῦ βάθους τῆς θαλάσσης τῆς ἀναφοῦς, διανοοῦσα τὰς θείας καὶ θαυμαστὰς κυβερνήσεις, τὰς ἐν ταῖς φύσεσι τῶν νοητῶν καὶ τῶν αἰσθητῶν· καὶ ἐξετάζει τὰ μυστήρια τὰ πνευματικὰ, τὰ ἐν διανοίᾳ ἁπλῇ καὶ λεπτῇ καταλαμβανόμενα. τότε αἱ αἰσθήσεις αἱ ἔσω ἐξυπνίζονται εἰς ἐργασίαν τοῦ πνεύματος, κατὰ τὴν τάξιν τὴν γινομένην ἐν ἐκείνῃ τῇ διαγωγῇ τῆς ἀθανασίας καὶ τῆς ἀφθαρσίας. διότι τὴν ἀνάστασιν τὴν νοητὴν, ὡς ἐν μυστηρίῳ, ἐκ τῶν ὧδε ἐδέξατο, πρὸς μαρτυρίαν ἀληθινὴν τῆς ἀνακαινίσεως τῶν πάντων.

Οὗτοί εἰσιν οἱ τρεῖς τρόποι τῆς γνώσεως, ἐν οἷς συνάπτεται πᾶς ὁ δρόμος τοῦ ἀνθρώπου ἐν τῷ σώματι, καὶ ἐν τῇ ψυχῇ, καὶ τῷ πνεύματι. ὅθεν καί τις ἄρχεται διακρίνειν μέσον τοῦ κακοῦ, καὶ τοῦ ἀγαθοῦ. καὶ ἕως τοῦ ἐξελθεῖν αὐτὸν ἐκ τοῦ κόσμου τούτου, ἐν τοῖς τρισὶ μέτροις τούτοις ἡ γνῶσις τῆς ψυχῆς αὐτοῦ εἰσέρχεται. καὶ τὸ πλήρωμα πάσης ἀδικίας, καὶ ἀσε-

βείας

βείας, καὶ τὸ τῆς δικαιοσύνης, καὶ τε ἄψαθαί τε τȣ̃ βάθȣς πάντων τῶν μυςηρίων τȣ̃ πνεύματος, μία γνῶσις ἐργάζεται ἐν τοῖς ῥηθεῖσι τρισὶ μέτροις, καὶ ἐν αὐτῇ ἐςὶ πᾶσα κίνησις νοός· ἅτε ἀνέρχεται, ἢ κατέρχεται ἐν τοῖς ἀγαθοῖς, ἢ κακοῖς, ἢ μέσοις. ταῦτα δὲ τὰ μέτρα καλȣ̃σιν οἱ πατέρες Φύσιν, παρὰ Φύσιν, ἢ ὑπὲρ Φύσιν. καὶ ταῦτά εἰσι τὰ τρία πλάγια, ἐν οἷς ἀνάγεται, καὶ κατάγεται ἡ μνήμη τῆς ψυχῆς τῆς λογικῆς, καθὼς ἐῤῥέθη. ὅτι ὅταν ἐν τῇ Φύσει ἐργάζηταί τις τὴν δικαιοσύνην, ἢ ὑπεράνωθεν τῆς Φύσεως ἁρπάζεται ἐν τῇ μνήμῃ αὐτῆς, ἐν τῇ θεωρίᾳ τȣ̃ Θεȣ̃ ἔξωθεν τῆς Φύσεως, ἢ ἐξέρχεται βοσκῆσαι χοίρȣς, ὡς ὁ ἀπολέσας τὸν πλȣ̃τον τῆς διακρίσεως αὐτȣ̃· ὃς εἰργάζετο μετὰ τȣ̃ πλήθȣς τῶν Δαιμόνων.

Ἀνακεφαλαίωσις τῶν τριῶν γνώσεων.

Ἡ τάξις ἡ πρώτη τῆς γνώσεως ψυχραίνει τὴν ψυχὴν ἐκ τῶν ἔργων τȣ̃ δρόμȣ ὀπίσω τȣ̃ Θεȣ̃. ἡ δευτέρα θερμαίνει αὐτὴν εἰς τὸν δρόμον τὸν ταχὺν τοῖς ἐν τῷ βαθμῷ τῆς πίςεως. ἡ τρίτη δὲ ἡ τῆς ἐργασίας, ἀνάπαυσις. ὅπερ ἐςὶ τύπος τȣ̃ μέλλοντος, ἐν τῇ ἀδολεσχίᾳ μόνῃ τῆς διανοίας τρυφῶσα ἐν τοῖς μυςηρίοις τῶν μελλόντων. ἀλλὰ τῷ μηδέπω ὑψωθῆναι τὴν Φύσιν τελείως ἐκ τῆς τάξεως τῆς νεκρώσεως καὶ τȣ̃ βάρȣς τῆς σαρκὸς, ἢ τελειωθῆναι ἐν ἐκείνῃ τῇ πνευματικῇ τῇ ὑψηλοτέρᾳ τῆς ἄλλης τῆς ἐκκλινȣ́σης, ἀδυνατεῖ καὶ πρὸς τὴν τελείωσιν, τὴν μὴ ἔχȣσαν λεῖψιν λειτȣργῆσαι, καὶ ἐν τῷ κόσμῳ τῆς νεκρώσεως εἶναι, καὶ ἀφεῖναι τὴν τῆς σαρκὸς Φύσιν τελείως. ἕως ἂν (1) ἀκμὴν ἐν αὐτῇ ἀναςρέφηται, ἐν μεταβολῇ γίνεται ἐν τȣ́τῳ, καὶ ἐν ἐκείνῳ. καὶ ἅπαξ ὡς πτωχὸς καὶ

(1) Ἴσ. καὶ ἕως ἂν

καὶ πένης ἡ ψυχὴ αὐτῦ λειτυργεῖ ἐν τῇ δευτέρᾳ τάξει τῇ μέσῃ ἐν τῇ ἀρετῇ τῇ ἐν τῇ φύσει τεθείσῃ ἐνεργηθῆναι διὰ τῆς τῦ σώματος φύσεως.

Καὶ ἐν καιρῷ, κατὰ τὺς λαβόντας τὸ πνεῦμα τῆς ὑοθεσίας ἐν μυςηρίῳ τῆς ἐλευθερίας, ἀπολαύει τῆς χάρτος τῦ πνεύματος, κατὰ τὴν ἀξίαν τῦ δόντος αὐτὴν, καὶ πάλιν ὑποςρέφει εἰς τὴν ταπείνωσιν τῶν ἔργων αὐτῆς. ταῦτα δέ εἰσι τὰ διὰ τῦ σώματος. καὶ αὕτη διαφυλάττει αὐτὰ, μήπως αἰχμαλωτίσῃ αὐτὴν ὁ ἐχθρὸς ἐν τοῖς δελεάσμασι τοῖς εὑρισκομένοις ἐν τῷ αἰῶνι τέτῳ τῷ πονηρῷ, καὶ ἐν τοῖς διαλογισμοῖς τοῖς τεταραγμένοις, καὶ ἐκκλινομένοις. διότι ὅσον ἐςὶν ὁ ἄνθρωπος κάτωθεν τῦ καλύμματος τῆς θύρας τῆς σαρκὸς ἐγκεκλεισμένος, ὐκ ἔχει πεποίθησιν. διότι ὐκ ἔςι τελεία ἐλευθερία ἐν τῷ αἰῶνι τῷ ἀτελεῖ. πᾶσα γὰρ ἐργασία τῆς γνώσεως, εἰς ἐργασίαν καὶ διατριβὴν ἐςιν. ἡ δὲ ἐργασία τῆς πίςεως, ὐκ ἐν τοῖς ἔργοις ἐνεργεῖται, ἀλλ' ἐν ταῖς ἐννοίαις ταῖς πνευματικαῖς ἐν ἐργασίᾳ γυμνῇ τῆς ψυχῆς πληρῦται, καὶ ὑπεράνωθεν ἐςὶ τῶν αἰσθήσεων. ἡ γὰρ πίςις λεπτοτέρα τῆς γνώσεως, καθὼς ἡ γνῶσις τῶν πραγμάτων τῶν αἰσθητῶν. πάντες γὰρ οἱ ἅγιοι τὴν πολιτείαν ταύτην καταξιωθέντες εὑρεῖν, (ὅπερ ἐςὶν ἔκπληξις εἰς Θεὸν) ἐν τῇ δυνάμει τῆς πίςεως διάγυσιν ἐν τῇ τρυφῇ τῆς πολιτείας ἐκείνης τῆς ὑπὲρ φύσιν.

Πίςιν δὲ λέγομεν, ὐκ ἐν ᾗ πιςεύει τὶς ἐν τῇ διαφορᾷ τῶν προσκυνητῶν ὑποςάσεών τε καὶ θείων, καὶ ἐν τῇ ἐξαιρέτῳ καὶ ἰδίᾳ φύσει αὐτῆς τῆς Θεότητος, καὶ ἐν τῇ οἰκονομίᾳ τῇ θαυμαςῇ τῇ ἐν τῇ ἀνθρωπότητι ἐν τῇ προσλήψει τῆς φύσεως ἡμῶν, εἰ καὶ αὐτὴ ὑψηλή ἐςι λίαν, ἀλλὰ τὴν πίςιν τὴν

ἐκ

ἐκ τῦ Φωτὸς τῆς χάριτος ἀνατέλλουσαν ἐν τῇ ψυχῇ, ἐν τῇ μαρτυρίᾳ τῆς διανοίας στηρίζουσαν τὴν καρδίαν ἀδίστακτον εἶναι ἐν τῇ πληροφορίᾳ τῆς ἐλπίδος τῇ ἀπεχούσῃ ἀπὸ πάσης οἰήσεως· καὶ οὐκ ἐν τῇ ἐπιδόσει τῆς ἀκοῆς τῶν ὤτων ἑαυτὴν δεικνύει, ἀλλ᾽ ἐν τοῖς πνευματικοῖς ὀφθαλμοῖς τὰ μυστήρια τὰ κεκρυμμένα ἐν τῇ ψυχῇ, καὶ τὸν κρυπτὸν καὶ θεῖον πλοῦτον, τὸν κεκρυμμένον ἐκ τῶν ὀφθαλμῶν τῶν υἱῶν τῆς σαρκὸς, καὶ ἀποκαλυπτόμενον ἐν τῷ πνεύματι τοῖς ἐν τῇ τραπέζῃ τοῦ Χριστοῦ διαιτωμένοις ἐν τῇ ἀδολεσχίᾳ τῶν νόμων αὐτοῦ, καθὼς εἶπεν·
» ἐὰν τηρήσητε τὰς ἐντολάς μου, ἀποστελῶ ὑμῖν τὸν παράκλη-
» τον, τὸ πνεῦμα τῆς ἀληθείας, ὅπερ ὁ κόσμος οὐ δύναται δέ-
» ξασθαι, κἀκεῖνος διδάξει ὑμᾶς πᾶσαν τὴν ἀλήθειαν. οὗτος δεικνύει τῷ ἀνθρώπῳ τὴν δύναμιν τὴν ἁγίαν, τὴν ἐνοικοῦσαν ἐν αὐτῷ ἐν παντὶ καιρῷ, τὴν σκέπην, τὴν ἰσχὺν τὴν νοητὴν τὴν σκεπάζουσαν τὸν ἄνθρωπον πάντοτε, καὶ ἀποδιώκουσαν ἀπ᾽ αὐτοῦ πᾶσαν βλάβην, τοῦ μὴ προσεγγίσαι τῇ ψυχῇ αὐτοῦ, ἢ τῷ σώματι. ἧς τινος ὁ νοῦς ὁ φωτεινὸς καὶ νοητὸς ἀοράτως τοῖς ὀφθαλμοῖς αἰσθάνεται τῆς πίστεως. ἥτις τοῖς ἁγίοις τῇ πείρᾳ αὐτῆς πλέον γινώσκεται.

Ἰωάν. ιδ. ιε. ιϛ.

Ἐκείνη δὲ ἡ δύναμις αὐτός ἐστιν ὁ παράκλητος, ἐν τῇ ἰσχύϊ τῆς πίστεως κατακαίων τὰ μέρη τῆς ψυχῆς, ὡς ἐν πυρί. καὶ (1) ὁρμᾷ, καὶ καταφρονεῖ παντὸς κινδύνου τῇ ἐλπίδι τοῦ Θεοῦ, καὶ ἐν τοῖς πτεροῖς τῆς πίστεως ὑψοῦται ἐκ τῆς ὁρατῆς κτίσεως, καὶ ὡς μεθύουσα γίνεται ἀεὶ ἐν τῇ ἐκπλήξει τῆς μερίμνης τῆς κατὰ Θεὸν, καὶ ἐν τῇ θεωρίᾳ τῇ ἀσυνθέτῳ, καὶ ἐν τῇ κατανοήσει τῇ ἀοράτῳ τῆς θείας φύσεως ἐθίζουσα τὴν διάνοιαν

 προ-

(1) Ὑπονοητέον τὸ, ἥτις.

προσέχειν τῇ ἀδολεσχίᾳ τῶν κρυφίων αὐτῆς. ἕως γὰρ ἂν ἔλθῃ ἐκεῖνο, ὅπερ ἐστὶν ἡ τελείωσις τῶν μυστηρίων, καὶ ἀξιωθῶμεν φανερῶς τῆς ἀποκαλύψεως αὐτῶν, ἡ πίστις λειτουργεῖ μεταξὺ τοῦ Θεοῦ καὶ τῶν ἁγίων μυστήρια ἄῤῥητα. ὧν ἀξιωθείημεν, διὰ τῆς χάριτος αὐτοῦ τοῦ Χριστοῦ· ἐνταῦθα μὲν, ὡς ἀῤῥαβῶνι· ἐκεῖ δὲ, ἐν ὑποστάσει τῆς ἀληθείας, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μετὰ τῶν ἀγαπώντων αὐτόν. Ἀμήν.

ΛΟΓΟΣ ΞϚ.

ΠΕΡΙ ΑΛΛΩΝ ΤΡΟΠΩΝ, ΚΑΙ ΕΝΝΟΙΩΝ ΤΗΣ ΔΙΑΦΟΡΑΣ ΤΗΣ ΓΝΩΣΕΩΣ.

Ἡ γνῶσις ἀναστρεφομένη ἐν τοῖς ὁρατοῖς, ἡ ἐν ταῖς αἰσθήσεσι δεχομένη τὴν διαδοχὴν αὐτῶν, φυσικὴ ὀνομάζεται· ἡ δὲ ἐν τῇ δυνάμει τῶν νοητῶν, καὶ ἔσωθεν ἑαυτῆς ἐν ταῖς φύσεσι τῶν ἀσωμάτων, πνευματικὴ ὀνομάζεται. διότι τὴν αἴσθησιν ἐν τῷ πνεύματι δέχεται, καὶ οὐκ ἐν ταῖς αἰσθήσεσι. καὶ ταύταις ταῖς δυσὶ γεννήσεσιν ἔξωθεν γίνονται τῇ ψυχῇ, εἰς κατανόησιν αὐτῶν. ἡ δὲ ἐν τῇ θείᾳ γενομένη, ὑπὲρ τὴν φύσιν ὀνομάζεται, ἢ ἄγνωστος μᾶλλον καὶ ἀνωτέρα τῆς γνώσεως. ταύτης δὲ θεωρίαν, οὐκ ἐν ὕλῃ τῇ ἔξωθεν αὐτῆς κατὰ τὰς πρώτας δέχεται ἡ ψυχὴ, ἀλλ' ἀΰλως ἑαυτῆς ἔσωθεν ἐν δωρεᾷ εὐθέως καὶ ἀνελπίστως φανεροῦται, καὶ ἀποκαλύπτεται

» τεται ἐκ τῶν ἔνδον. διότι ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστί. καὶ οὐκ ἔστιν ἐν τύπῳ ἐλπιζομένη, οὐδὲ ἐν παρατηρήσει ἔρχεται, κατὰ τὸν λόγον τοῦ Χριστοῦ. ἀλλ' ἔσωθεν τῆς εἰκόνος τῆς διανοίας τῆς κρυπτῆς ἀποκαλύπτεται ἀναιτίως, χωρὶς τῆς ὑπὲρ αὐτῆς μελέτης. διότι οὐχ εὑρίσκει ἐν αὐτῇ ὕλην ἡ διάνοια.

Λουκ. ιζ. κα.

Ἡ πρώτη γνῶσις ἐκ τῆς διηνεκοῦς μελέτης, καὶ ἐκ τῆς σπουδῆς τῆς μαθήσεως ἐγγίνεται· ἡ δευτέρα δὲ, ἐκ τῆς ἀγαθῆς πολιτείας, καὶ τῆς πίστεως τῆς διανοίας· ἡ τρίτη δὲ, τῇ πίστει καὶ μόνῃ κεκλήρωται. διότι ἐν αὐτῇ καταργεῖται ἡ γνῶσις, καὶ τὰ ἔργα περαίωσιν λαμβάνει, καὶ αἱ αἰσθήσεις γίνονται περισσαὶ εἰς χρείαν. ὅσον οὖν ἐκ τούτου τοῦ ὅρου ἡ γνῶσις κατέρχεται, (1) τιμᾶται. καὶ καθ' ὅσον κατέρχεται πλέον, τιμᾶται μᾶλλον. καὶ ὅτε φθάσῃ τὴν γῆν καὶ τὰ γήϊνα, ἡ γνῶ-

Ἑρμηνεία αὐτῶν.

(1) Τρεῖς αἱ γνώσεις. ἡ ἐκ τῆς παιδείας καὶ μαθήσεως· ἡ ἐκ τῆς διὰ τῆς ἀκοῆς πίστεως· καὶ ἡ ἐκ τῆς ἀποκαλύψεως, καὶ τῆς μετοχῆς τῆς τοῦ παναγίου πνεύματος χάριτος. ἥτις δὴ καὶ τῶν ἄλλων ὑπερτέρα τε καὶ τελειοτέρα, καὶ μόνοις τοῖς εἰς ἀκρότητα ἀρετῆς ἐληλακόσιν ἐπιχορηγουμένη. πίστιν δὲ καὶ ταύτην καλέσας, (σελ. τπς.) καὶ οὐκ ἐν ἔργοις αὐτὴν ἐνεργεῖν εἰπὼν, ἀλλ' ἐν ταῖς ἐννοίαις ταῖς πνευματικαῖς, καὶ ἐν γυμνῇ τῇ τῆς ψυχῆς ἐργασίᾳ, ὑπεράνωθεν τῶν αἰσθήσεων, προστίθησιν ἐνταῦθα τὸ, ὅσον κατέρχεται, τιμᾶται, τοῦτο τυχὸν σημαίνων· ὅτι ὁ τῆς τοιαύτης καταξιωθεὶς γνώσεως, εἴγε ἀπὸ τῆς ὑψηλῆς καὶ ὑπὲρ αἴσθησιν θεωρίας εἰς τὴν τῶν γηΐνων κατέλθῃ, μεγίστην ἂν ἔχῃ τὴν παρὰ πάντων τιμήν. οὗτος μὲν γὰρ τὴν ὡς κόκκον σινάπεως ἔνθερμον, καὶ πληροφορίας πεπληρωμένην πίστιν ἐν ἑαυτῷ ἔχων, οὐ μόνον τὰ ἐν τῇ κτίσει ἀκριβῶς γινώσκει, ἀλλ' οἷά τις δεσπότης πάντα δυνάμενος, τὰ δοκοῦντα ἐπιτάττει.
» ἐὰν γάρ φησιν ἔχητε πίστιν ὡσεὶ κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ
» μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται, καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.
» (Ματθ. ιζ. κ.) καὶ ἀλλαχοῦ. σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολου-
» θήσει. ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς·
» ὄφεις ἀροῦσι κτ. Μαρκ. ις. ιζ.

γνῶσίς ἐστιν ἡ δεσπόζουσα τῶν πάντων, καὶ ἐκτὸς αὐτῆς ἕκαστον πρᾶγμα χωλόν ἐστι καὶ ἀργόν. ὅτε δὲ ὑψώσει ἡ ψυχὴ τὴν θεωρίαν αὐτῆς ἄνω, καὶ ἁπλώσει τὰς ἐννοίας αὐτῆς ἐν τοῖς ἐπουρανίοις, καὶ ἐπιθυμήσει τὰ μὴ τοῖς τοῦ σώματος ὀφθαλμοῖς ὁρώμενα, καὶ ὧν οὐκ ἐν ἐξουσίᾳ ἡ σάρξ, τότε ἐν τῇ πίστει συνίστανται πάντα. ἣν καὶ δωρήσαιτο ἡμῖν ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΞΖ.

ΠΕΡΙ΄ ΥΠΟΘΕΣΕΩΣ ΤΗΣ ΨΥΧΗΣ ΤΗΣ ΖΗΤΟΥΣΗΣ ΤΗΝ ΒΑΘΕΙΑΝ ΘΕΩΡΙΑΝ,

τοῦ βυθισθῆναι ἐν αὐτῇ ἀπὸ τῶν σαρκικῶν λογισμῶν, τῶν ἀπὸ τῆς μνήμης τῶν πραγμάτων.

Πᾶν πρᾶγμα ὑψηλότερον ἄλλου, ἐγκέκρυπται ἐξ ἐκείνου, ὃ ἐστὶν ἀνώτερον. καὶ τοῦτο, οὐχὶ παραπετάσματί τι ἄλλου σώματος κέκτηται ἐν τῇ φύσει, τουτέστιν εἰς τὸ δύνασθαι ἀποκαλύψαι τὴν κρυφιότητα αὐτοῦ. πᾶσα οὐσία νοητὴ τὰς διαφορὰς τῶν ἰδίων πραγμάτων οὐκ ἔξωθεν αὐτῆς κέκτηται, ἀλλ' ἔνδοθεν τῶν κινήσεων αὐτῆς περιωρισμένας ἔχει. τουτέστιν εἰς τὸ τηλαυγέστερον δύνασθαι ἀμέσως ὑπεισδῦναι πρὸς ὑποδοχὴν τοῦ πρώτου φωτὸς, ἡ κατὰ ἑτέραν τάξιν, ἥτις οὐ κέκτηται δηλονότι διαφορὰν ἐν τόπῳ. ἀλλὰ κατὰ τὴν τῆς ὑποδοχῆς τε

καὶ

ἢ ὑπεροχῆς καθαρότητα, ἢ κατὰ τὸ μέτρον τῶν νόων, πρὸς δύναμιν τῆς ὑποδοχῆς τῶν ἄνω διανεύσεων καὶ δυνάμεων. νοητὴ πᾶσα ἐσία ἐξ ἐκείνων κέκρυπται τῶν ὑποκάτω αὐτῆς, ἐχὶ δὲ τῇ Φύσει ἀπ' ἀλλήλων, ἀλλὰ ταῖς τῶν ἀρετῶν κινήσεσι. καὶ τἔτο λέγω, ἐκ τῶν περὶ τῶν ἁγίων Δυνάμεων, ἢ τῶν ψυχικῶν Ταγμάτων, ἢ τῶν Δαιμόνων. τὰ πρῶτα ἀπὸ τῶν μέσων· καὶ ταῦτα ἀπὸ τῶν τρίτων τῇτε Φύσει καὶ τῷ τόπῳ, καὶ ταῖς κινήσεσιν. ἕκασον τῶν Ταγμάτων ἀφ' ἑαυτἔ, ἢ πρὸς αὐτὸ τῇ γνώσει ἀπ' ἀλλήλων κεκρυμμένα εἰσὶν, εἴτε ὁρῶνται, εἴτε μή· ἀπὸ δὲ τῶν κάτω, τῇ Φύσει. διότι ἡ ὅρασις τῶν ἀσωμάτων ἐκ ἔσιν ἔξωθεν αὐτῶν, ὡς τῶν σωματικῶν, ἀλλὰ τὸ ὁρᾷν αὐτἔς ἀλλήλες, ἔσωθεν τῶν κινήσεων αὐτῶν λέγεται εἶναι ταῖςτε ἀρεταῖς καὶ τῷ μέτρῳ τῶν κινήσεων. τέτε ἕνεκεν ἐὰν ἰσομοιρίᾳ τετιμημένοι ὦσι, κἂν ἀπῶσιν ἀπ' ἀλλήλων, ὁρῶσιν ἀλλήλες, ἐχὶ Φαντασίᾳ, ἀλλὰ ἀψευδεῖ ὁράσει, καὶ Φύσει ἀληθινῇ. πλὴν τῆς αἰτίας τῶν πάντων. ἥτις ὑπέρκειται ταύτης τῆς διαφορᾶς αὕτη μόνη ἡ προσκυνητή. οἱ μέντοι Δαίμονες, εἰ καὶ λίαν εἰσὶν ἐναγεῖς, ἐκ εἰσὶν ἀπ' ἀλλήλων κεκρυμμένοι ἐν ταῖς ἑαυτῶν τάξεσι. τὰς δὲ δύω τάξεις τὰς ἔσας ὑπεράνω αὐτῶν, ἐχ ὁρῶσι. διότι ἡ πνευματικὴ ὅρασις, τὸ Φῶς ἐσὶ τῆς κινήσεως. ἢ αὐτὸ τἔτό ἐσιν αὐτοῖς ἐσοπτρόντε καὶ ὄμμα. ὅταν δὲ σκοτισθῶσιν αἱ κινήσεις, ἐχ ὁρῶσι τὰς ὑπερκειμένας τάξεις. ἀλλήλες μὲν γὰρ, καθότι παχύτεροί εἰσι τῶν πνευματικῶν ταγμάτων, κατὰ τὴν ἰδίαν τάξιν ὁρῶσι. καὶ τῶν μὲν Δαιμόνων, ἕτως ἔχει.

Αἱ ψυχαὶ δὲ ἐν ὅσῳ μεμολυσμέναι καὶ σκοτειναί εἰσιν, ὁρᾷν ἐ δύνανται, ἕτε ἀλλήλας, ἕτε ἑαυτάς. ἐὰν γὰρ καθαρθῶσι,

θῶσι, καὶ πρὸς τὴν ἀρχαίαν πλάσιν ἐπανέλθωσι, τηλαυγῶς ὁρῶσι τὰς τρεῖς τάξεις ταύτας· Φημὶ τὴν τε ὑποκάτω αὐτῶν, καὶ τὴν ἐπάνω, καὶ αὗται ἀλλήλας. ȣ̓χ ὅτι ἀλλοιȣ̃νται σχήματι σωματικῷ, καὶ τότε καθορῶσιν, εἴτε Ἀγγέλȣς, εἴτε Δαίμονας, εἴτε ἀλλήλας. ἀλλ' αὐτῇ τῇ φύσει εἰσορῶσι, ἢ πνευματικῇ τάξει. ἐὰν δὲ εἴπῃς ἀδύνατόν ἐςι τȣ̃το, τὸ ὁραθῆναι Δαίμονα, ἢ Ἄγγελον, ἐὰν μὴ ἀλλοιωθῶσι, ἢ σχηματισθῶσι, λοιπὸν ȣ̓χὶ ἡ ψυχὴ ὁρᾷ, ἀλλὰ τὸ σῶμα. καὶ ȣ̃τως ἐὰν ᾖ, τίς χρεία τῆς καθάρσεως; ἰδȣ̀ γὰρ καὶ τοῖς μὴ καθαροῖς ἐν καιρῷ φαίνονται οἱ Δαίμονες, ὡσαύτως καὶ οἱ Ἄγγελοι, ἀλλ' ὅμως τοῖς σωματικοῖς ὀφθαλμοῖς βλέπȣσιν, ὅταν βλέπωσιν, ἔνθα ȣ̓κ ἔςι χρεία τῆς καθάρσεως. ὅμως ȣ̓χ ȣ̃τως ἐςὶν ἡ ψυχὴ ἡ καθαρθεῖσα, ἀλλὰ πνευματικῶς βλέπει ἐν τῷ ὀφθαλμῷ τῆς φύσεως, τȣτέςιν ἐν τῷ διορατικῷ, ἤτοι διανοητικῷ. καὶ ὅτι αἱ ψυχαὶ ἀλλήλας ὁρῶσι καὶ ἐν σώματι ȣ̃σαι, μὴ θαυμάσῃς. ἐγὼ γὰρ ἀπόδειξίν σοι ἐναργῆ ἀποδείκνυμι, διὰ τὴν τȣ̃ μαρτυρȣ̃ντος ἀλήθειαν, λέγω δὴ τȣ̃ μακαρίȣ Ἀθανασίȣ τȣ̃ μεγάλȣ, εἰπόντος ἐν τῷ περὶ τȣ̃ μεγάλȣ Ἀντωνίȣ συγγράμματι· ὅτι φησὶ ποτὲ ἱςάμενος ὁ μέγας Ἀντώνιος ἐν προσευχῇ, εἶδε ψυχήν τινος ὑψȣμένην μετὰ πολλῆς τιμῆς, καὶ τὸν καταξιωθέντα τυχεῖν τῆς τοιαύτης δόξης ἐμακάρισεν. ἦν δὲ ȣ̃τος ὁ μακάριος Ἀμμȣ̃ν ἀπὸ τῆς Νιτρίας. ἀπεῖχε δὲ τὸ ὄρος ἐκεῖνο, ἐν ᾧ διέτριβεν ὁ ἅγιος Ἀντώνιος, ἀπὸ Νιτρίας διάςημα δεκατριῶν ἡμερῶν. δέδεικται λοιπὸν ἐκ τȣ́τȣ τȣ̃ ὑποδείγματος ἐπὶ τῶν τριῶν τάξεων τῶν προειρημένων, ὅτι κἂν ἀφιςῶνται ἀπ' ἀλλήλων, ὁρῶσιν ἀλλήλας αἱ πνευματικαὶ φύσεις. καὶ ὅτι ȣ̓ κωλύȣσι τὰ διαςήματα, καὶ αἱ τῶν

σωμα-

σωμάτων αἰσθήσεις τοῦ καθορᾶν ἀλλήλας. ὁμοίως καὶ αἱ ψυχαὶ ὅταν καθαρθῶσιν, οὐ σωματικῶς βλέπουσιν, ἀλλὰ πνευματικῶς. διότι ἡ σωματικὴ θέα φανερά ἐστι, καὶ τὰ ἔμπροσθεν ὁρᾷ. τὰ μέντοι μακρὰν ὄντα, ἄλλης δεῖται ὁράσεως.

Αἱ ἀνωτάτω τάξεις πολλαί εἰσι κατὰ τὴν ὕπαρξιν ἀναριθμήτως, καὶ κατὰ διαφορὰν καὶ τάξιν ὀνομάζονται. διατί γὰρ ἐκλήθησαν Ἀρχαὶ, καὶ Ἐξουσίαι, καὶ Δυνάμεις; Κυριότητες γὰρ ἴσως, ὡς τετιμημέναι. (1) καὶ μὴν ὀλιγώτεραί εἰσι

(1) Τῶν μὲν οὖν ἁγίων Κυριοτήτων τὴν ἐκφαντορικὴν ὀνομασίαν οἴμαι δηλοῦν ἀδούλωτόν τινα, καὶ πάσης ὑποπεζίας ὑφέσεως ἐλευθέραν ἀναγωγὴν, οὐδεμιᾷ τῶν τυραννικῶν ἀνομοιοτήτων, οὐδενὶ τρόπῳ καθόλου κατακλινομένην αὐτὴν ἐλευθεροπρεπῶς, ὡς ἀμείλικτον κυριότητα, πάσης μειωτικῆς δουλοποιΐας ὑπερκειμένην, ἀνένδοτον ὑφέσει πάσῃ, καὶ ἐξῃρημένην ἁπάσης ἀνομοιότητος, τῆς ὄντως Κυριότητος καὶ Κυριαρχίας ἀκαταλήκτως ἐφιεμένην, καὶ πρὸς τὴν αὐτῆς κυρίαν ἐμφέρειαν, ὡς ἐφικτὸν, ἑαυτήν τε καὶ τὰ μετ᾽ αὐτὴν ἀγαθοειδῶς διαπλάττουσαν πρὸς οὐδὲν τῶν εἰκῆ δοκούντων, ἀλλὰ πρὸς τὸ κυρίως ὂν ὁλικῶς ἐπιτετραμμένην, καὶ κυριαρχικῆς ἀεὶ θεοειδίας ἐν μετουσίᾳ, κατὰ τὸ δυνατὸν αὐτῇ, γινομένην. τὴν δὲ τῶν ἁγίων Δυνάμεων ἀρρενωπόν τινα καὶ ἀκατάσειστον ἀνδρείαν, εἰς πάσας τὰς κατ᾽ αὐτῶν θεοειδεῖς ἐνεργείας, πρὸς μηδεμίαν ὑποδοχὴν τῶν ἐνδιδομένων αὐτῇ θεαρχικῶν ἐλλάμψεων ἀδρανῶς ἐξασθενοῦσαν, δυνατῶς ἐπὶ τὸ θεομίμητον ἀναγομένην, οὐκ ἀπολείπουσαν ἑαυτῆς ἀνανδρίᾳ τὴν θεοειδῆ κίνησιν, ἀλλ᾽ ἀρρενωπῶς ἀφορῶσαν εἰς τὴν ὑπερούσιον καὶ δυναμοποιὸν δύναμιν, καὶ ταύτης εἰκόνα δυναμοειδῆ κατὰ τὸ ἐφικτὸν γινομένην, καὶ πρὸς μὲν αὐτὴν ὡς ἀρχιδύναμον δυνατῶς ἐπεστραμμένην· πρὸς δὲ τὰ δεύτερα δυναμοδότως καὶ θεοειδῶς προϊοῦσαν. τὴν δὲ τῶν ἁγίων Ἐξουσιῶν, τὴν ὁμοταγῆ τῶν θείων Κυριοτήτων καὶ Δυνάμεων, τὴν εὔκοσμον καὶ ἀσύμφυρτον περὶ τὰς θείας ὑποδοχὰς εὐταξίαν, καὶ τὸ τεταγμένον τῆς ὑπερκοσμίου καὶ νοερᾶς ἐξουσιότητος, οὐ τυραννικῶς ἐπὶ τὰ χείρω ταῖς ἐξουσιαστικαῖς δυνάμεσιν ἀποκεχρημένης, ἀλλ᾽ ἀκρατήτως ἐπὶ τὰ θεῖα μετ᾽ εὐταξίας ἀναγομένης τε καὶ τὰ μετ᾽ αὐτὴν ἀγαθοειδῶς ἀναγούσης, καὶ πρὸς τὴν ἐξουσιοποιὸν ἐξουσιαρχίαν ὡς θεμιτὸν ἀφομοιουμέ-

εἰσὶ τῶν ὑποτεταγμένων αὐταῖς, ὡς ἔφησαν ὁ ἅγιος Διονύσιος, ὁ Ἀθηνῶν ἐπίσκοπος. (1) τῇ ἐξουσίᾳ, καὶ τῇ γνώσει μέγιστοί εἰσι, καὶ μερικώτατοι πρὸς τὸ μέγεθος τῶν οἰκείων ταγμάτων. ἐπεὶ ἐπεκτείνονται ἀπὸ τάξεως εἰς τάξιν, ἕως ἂν καταντήσωσιν εἰς τὴν ἑνότητα τοῦ μεγάλου καὶ δυνατοῦ παρὰ πάντας, τοῦ κεφαλῆς ὑπάρχοντος, καὶ θεμελίου πάσης τῆς κτίσεως. κεφαλὴν δὲ λέγω, οὐχὶ τὸν κτίστην, ἀλλὰ τὸν προηγούμενον τῶν

θαυ-

» μένης, καὶ ταύτην ὡς δυνατὸν, Ἀγγέλοις ἀναλαμπούσης, ἐν ταῖς κατ᾽
» αὐτὴν εὐκόσμοις τάξεσι τῆς ἐξουσιαστικῆς δυνάμεως. Διονύσ. ἐν κεφ. η. πε-
» ρὶ οὐραν. ἱεραρχ. καὶ ἐν κεφ. θ. ἐκφαίνει γὰρ ἡ μὲν τῶν οὐρανίων Ἀρχῶν, τὸ
» θεοειδῶς ἀρχικὸν καὶ ἡγεμονικὸν μετὰ τάξεως ἱερᾶς, καὶ ταῖς ἀρχικαῖς
» πρεπωδεστάτης Δυνάμεσι· καὶ τὸ πρὸς τὴν ὑπεράρχιον ἀρχὴν αὐτάς τε
» ὁλικῶς ἐπεστράφθαι, καὶ ἑτέρων ἀρχικῶς ἡγεῖσθαι· καὶ τὸ πρὸς αὐτὴν
» ἐκείνην, ὡς δυνατὸν, ἀποτυποῦσθαι τὴν ἀρχοποιὸν ἀρχὴν, ἀναφαίνειν τε
» τὴν ὑπερούσιον αὐτῆς ταξιαρχίαν, τῇ τῶν ἀρχικῶν εὐκοσμίᾳ Δυνάμεων.

(1) Ὁ θεηγόρος Διονύσιος ἐν μὲν τῷ ιδ. κεφ. περὶ οὐρανίου Ἱεραρχ.
» φησί. πολλαὶ γάρ εἰσιν αἱ μακάριαι στρατιαὶ τῶν ὑπερκοσμίων Νοῶν, τὴν
» ἀσθενῆ καὶ συνεσταλμένην ὑπερβεβηκυῖαι τῶν καθ᾽ ἡμᾶς ὑλαίων ἀριθμῶν
» συμμετρίαν, καὶ πρὸς μόνης γνωστικῶς ὁριζόμεναι τῆς καθ᾽ αὐτὰς ὑπερ-
» κοσμίου καὶ οὐρανίας νοήσεως καὶ ἐπιστήμης τῆς πανολβίως αὐταῖς δωρουμέ-
» νης· ὑπὸ τῆς θεαρχικῆς καὶ ἀπειρογνώστου σοφοποιίας κτ. ἐν δὲ κεφ. θ.
» τὴν δὲ δευτέραν, (τάξιν) ἡ συμπληροῦται πρὸς τῶν ἁγίων Κυριοτήτων, καὶ
» Δυνάμεων, καὶ Ἐξουσιῶν, τῆς τῶν Ἀρχῶν καὶ Ἀρχαγγέλων καὶ Ἀγγέ-
» λων Ἱεραρχίας, ἡγεῖσθαι τῆς πρώτης μὲν Ἱεραρχίας, ἐμφανέστερον· τῆς
» δὲ μετ᾽ αὐτὴν, κρυφιωδέστερον. τὴν δὲ τῶν Ἀρχῶν, καὶ Ἀρχαγγέλων, καὶ
» Ἀγγέλων ἐκφαντορικὴν διακόσμησιν ταῖς ἀνθρωπείαις ἱεραρχίαις δι᾽ ἀλ-
» λήλων ἐπιστατεῖν, κτ. ἴσως οὖν τὸ, ὀλιγώτεραι, οὐ λόγῳ ποσότητος ἐξέ-
λαβεν ὁ ὅσιος, ἀλλ᾽ ἐνεργείας καὶ ἐκφάνσεως. ἡ μὲν γὰρ δευτέρα τάξις, κρυφιωδεστέρα· ἡ δὲ τρίτη, ἐκφαντικωτέρα.

Σημείωσαι, ὅτι τῶν πρώτως μνημονευσάντων τοῦ Ἀρεοπαγίτου Διονυσίου, εἷς ἐστὶν ὁ πατὴρ ἡμῶν Ἰσαάκ. πρῶτον γὰρ μνείαν ποιεῖν τῶν τούτου συγγραμμάτων ἤρξατο ἡ ἐν Κωνσταντινουπόλει κατὰ τῶν Μονοφυσιτῶν ἐπὶ Ἰουστινιανοῦ ἐν ἔτει φλβ. συγκροτηθεῖσα σύνοδος. (ὅρα τὸν Μορῖν. ἐν τῷ περὶ Ἱερ. τάξ. μέρει β. κεφ. α.) ἐν ᾧ καὶ ὁ ὅσιος οὗτος ἤκμαζεν.

θαυμάτων τῶν ἔργων τοῦ Θεοῦ. (1) πολλοὶ γὰρ ὑποδεέστεροί εἰσι τῆς προνοίας τῆς σοφίας τοῦ Θεοῦ, τοῦ πλάστου αὐτῶν τε καὶ ἡμῶν. καὶ τοσοῦτόν εἰσιν ὑποδεέστεροι, ὅσον οἱ τούτοις ὑποκείμενοι, τούτων ὑποδεέστεροι. ὑποδεεστέρους δὲ λέγω, τῇ τε ὑψηλότητι καὶ ταπεινότητι, οὐκ ἐν τῷ τόπῳ, ἀλλὰ τῇ δυνάμει καὶ τῇ γνώσει, κατὰ τὸ μέτρον ὃ κέκτηνται, ἀκολουθούσης τῆς μείζω καὶ τῆς ἐλάττω γνώσεως. πάσας γὰρ ταύτας τὰς νοερὰς οὐσίας ἡ θεία γραφὴ ἐννέα προσηγορίαις πνευματικαῖς ὠνόμασε, καὶ ταύτας μὲν εἰς τρεῖς ἀφώρισε. πρώτην μὲν, εἰς τοὺς Θρόνους τοὺς μεγάλους καὶ ὑψηλοὺς καὶ ἁγιωτάτους, καὶ τὰ πολυόμματα Χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ· δευτέραν δὲ τῇ τάξει, εἰς τὰς Κυριότητας, καὶ τὰς Δυνάμεις, καὶ τὰς Ἐξουσίας· καὶ τρίτην, εἰς τὰς Ἀρχὰς, καὶ Ἀρχαγγέλους, καὶ Ἀγγέλους. διερμηνεύονται δὲ ταῦτα τὰ τάγματα ἐκ τῆς ἑβραΐδος, τὰ μὲν Σεραφὶμ, θερμαντικὰ καὶ καυστικά· τὰ δὲ Χερουβὶμ, τὰ πολλὰ τῇ γνώσει καὶ τῇ σοφίᾳ· Θρόνοι, ὑποδοχὴ Θεοῦ καὶ ἀνάπαυσις. ὠνομάσθησαν δὲ τούτοις τοῖς ὀνόμασι ταῦτα τὰ τάγματα ἐκ τῶν ἐνεργειῶν αὐτῶν. οἱ

(1) Κεφαλὴν, καὶ θεμέλιον, καὶ προηγούμενον τῶν θαυμάτων τῶν ἔργων τοῦ Θεοῦ λέγει τὸν Ἰησοῦν Χριστόν. αὐτὸς γάρ ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, (Κολασ. β. ι.) καὶ ὁ λίθος ὁ ἀκρογωνιαῖος, ὁ ἐκλεκτὸς ὁ ἔντιμος, (α. Πέτρ. β. ζ.) καὶ ὁ κείμενος θεμέλιος, παρ' ὃν οὐδεὶς ἄλλον δύναται θεῖναι. (α. Κορινθ. γ. ια.) δι' αὐτοῦ οἱ οὐρανοὶ ἐστερεώθησαν, (Ψαλ. λβ. β.) καὶ οἱ αἰῶνες πεποίηνται, (Ἑβρ. α. β.) καὶ τὰ μεγάλα
» καὶ θαυμαστὰ κατήργασται. ἀλλὰ καὶ ὁ θεῖος Διονύσιός φησι (ἐν κεφ. ζ.
» περὶ οὐραν. Ἱεραρχ.) τῆς δὲ Ἰησοῦ κοινωνίας ὡσαύτως ἠξιωμένας, οὐκ ἐν
» εἰκόσιν ἱεροπλάστοις μορφωτικῶς ἀποτυποῦσι τὴν θεουργικὴν ὁμοίωσιν, ἀλλ'
» ὡς ἀληθῶς αὐτῷ πλησιαζούσας ἐν πρώτῃ μετουσίᾳ τῆς γνώσεως τῶν θεουργικῶν αὐτοῦ φώτων.

Θρόνοι, οἱ τίμιοι λέγονται· αἱ Κυριότητες, οἱ ἔχοντες ἐξουσίαν κατὰ πάσης βασιλείας· Ἀρχαὶ, οἱ τὸν αἰθέρα διοικοῦντες· Ἐξουσίαι, οἱ ἐξουσιάζοντες τῶν ἐθνῶν, καὶ ἑκάστου ἀνθρώπου· Δυνάμεις, οἱ ἰσχυροὶ ἐν δυνάμει, καὶ φοβεροὶ ἐν τῇ θεωρίᾳ αὐτῶν· Σεραφὶμ, οἱ ἁγιάζοντες· Χερουβὶμ, οἱ βαστάζοντες· Ἀρχάγγελοι, οἱ γρήγοροι φύλακες· Ἄγγελοι, οἱ ἀποστελλόμενοι.

Ἐν τῇ πρώτῃ ἡμέρᾳ ἐκτίσθησαν αἱ ἑπτὰ (1) νοεραὶ φύσεις ἐν σιωπῇ, καὶ μιᾷ ἐν φωνῇ, ὅπερ ἐστὶ τὸ φῶς· ἐν δὲ τῇ δευτέρᾳ ἡμέρᾳ, τὸ στερέωμα· καὶ ἐν τῇ τρίτῃ ἡμέρᾳ τὴν συναγωγὴν τῶν ὑδάτων ἐποίησεν ὁ Θεὸς, καὶ τὴν βλάστησιν τῶν βοτανῶν· καὶ τῇ τετάρτῃ, τὸν μερισμὸν τοῦ φωτός· καὶ τῇ πέμπτῃ, τὰ πετεινὰ, καὶ ἑρπετὰ, καὶ τοὺς ἰχθύας· καὶ τῇ ἕκτῃ, τὰ ζῶα, καὶ τὸν ἄνθρωπον. ἡ θέσις τοῦ κόσμου ὅλου, τὸ μῆκος, καὶ τὸ πλάτος. ἡ ἀρχὴ, ἡ ἀνατολή· τὸ τέλος, ἡ δύσις· τὰ δεξιὰ, ὁ βοῤῥᾶς· τὰ ἀριστερὰ, ὁ νότος. καὶ ὡς κλίνην τὴν γῆν ὅλην ἔθηκε, καὶ τὸν ἀνώτερον οὐρανὸν, ὡς δέῤῥιν, καὶ καμάραν, καὶ κύβον. τὸν δὲ δεύτερον οὐρανὸν, ὡς τροχὸν κεκολλημένον τῷ πρώτῳ, καὶ τὰ παρὰ τοῦ οὐρανοῦ καὶ τῆς γῆς κεκολλημένα· τὸν δὲ ὠκεανὸν, ὡς ζώνην περικυκλοῦντα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἔσωθεν αὐτοῦ ὑψηλὰ ὄρη φθάνοντα ἕως τοῦ οὐρανοῦ· καὶ τὸν Ἥλιον ὀπίσω τῶν ὀρέων, (2) διελθεῖν ὅλην τὴν νύκτα· καὶ τὴν θάλασσαν τὴν μεγάλην ἔσωθεν τῶν ὀρέων τούτων, ἥτις κρατεῖ, ὡς τὸ ἥμισυ καὶ τέταρτον τῆς ξηρᾶς γῆς. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα.

ΛΟΓΟΣ

(1) Ἴσ αἱ ἐννέα.

(2) Τῶν Ἀντιπόδων ἔτι ἀγνοουμένων, ὀπίσω τῶν ὀρέων ὑπέλαβόν τινες τὴν νύκτα κρύπτεσθαι τὸν Ἥλιον. οἷς καὶ τὸν Ἀββᾶ Ἰσαὰκ συντακτέον.

ΛΟΓΟΣ ΞΗ.

ΠΕΡΙ ΦΥΛΑΚΗΣ ΚΑΡΔΙΑΣ ΚΑΙ ΘΕΩΡΙΑΣ ΛΕΠΤΟΤΕΡΑΣ.

Εἰ κατὰ μόνας ὑπάρχεις ἐν τῷ κελλίῳ σου, καὶ οὐκ ἐκτήσω ἀκμὴν δύναμιν ἀληθινῆς θεωρίας, μελέτησον ἀεὶ ἐν τῇ μελέτῃ τῶν τροπαρίων, καὶ τῶν καθισμάτων, καὶ ἐν τῇ μνήμῃ τοῦ θανάτου, καὶ ἐν τῇ ἐλπίδι τῶν μελλόντων. ταῦτα γὰρ συνάγουσι τὸν νοῦν, καὶ οὐκ ἀφιᾶσιν αὐτὸν ῥέμβεσθαι, ἕως ἂν ἔλθῃ ἡ ἀληθινὴ θεωρία. ὅτι ἡ δύναμις τοῦ πνεύματος δυνατωτέρα ἐστὶ τῶν παθῶν. μελέτησον δὲ καὶ εἰς τὴν ἐλπίδα τῶν μελλόντων μετὰ τῆς μνήμης τοῦ Θεοῦ, καὶ κατανόησον καλῶς τὸν νοῦν τῶν τροπαρίων, καὶ παραφυλάττου ἐκ τῶν πραγμάτων τῶν ἔξωθεν τῶν κινούντων σε εἰς ἐπιθυμίας. καὶ τὰ μικρὰ τὰ γινόμενα ὑπὸ σοῦ ἐν τῷ κελλίῳ σου φύλαξον καὶ αὐτὰ μετὰ τούτων, καὶ ἐρεύνησον ἀεὶ τοὺς λογισμούς σου, καὶ εὖξαι ἵνα κτήσῃ ἐν πάσῃ ἀναστροφῇ σου ὀφθαλμούς. ἐντεῦθεν ἄρχεται βρύειν σοι ἡ χαρά. καὶ τότε εὑρίσκεις τὰς θλίψεις γλυκυτέρας τοῦ μέλιτος.

Οὐδεὶς δύναται τὰ πάθη νικῆσαι, εἰ μὴ δι' ἀρετῶν αἰσθητῶν θεωρουμένων. τὸν δὲ μετεωρισμὸν τοῦ νοὸς οὐδεὶς δύναται νικῆσαι, εἰ μὴ ἐν τῇ ἀδολεσχίᾳ τῆς γνώσεως τῆς πνευματικῆς. ὁ νοῦς ἡμῶν κοῦφός ἐστι, καὶ ἐὰν μὴ δεσμευθῇ ἔν τινι διαλογισμῷ, οὐ παύσεται ἐκ τοῦ μετεωρισμοῦ. καὶ χωρὶς τελειώσεως

τῶν προειρημένων ἀρετῶν, ἐ δυνατὸν κτήσασθαι τὴν φυλακὴν ταύτην. ἐὰν γὰρ μὴ νικήσῃ τὶς τὲς ἐχθρὲς, ἐ δύναται ἐν εἰρήνη εἶναι. καὶ ἐὰν ἡ εἰρήνη ἐ βασιλεύῃ, πῶς δύναται εὑρεῖν τὰ ἐντὸς τῆς εἰρήνης ἀποκείμενα; τὰ πάθη γὰρ διάφραγμά εἰσι τῶν κρυπτῶν ἀρετῶν τῆς ψυχῆς. καὶ εἰ μὴ ταῦτα πρῶτον διὰ τῶν φανερῶν ἀρετῶν καταπέσωσιν, ἐχ ὁρῶνται τὰ ἔσωθεν τέτων. ἐδὲ γὰρ δύναταί τις ἔξω τῆ τείχες ὢν, μετὰ τῆ ἔνδον συναναςρέφεσθαι. καὶ ἐδεὶς θεωρεῖ τὸν Ἥλιον ἐν τῷ γνόφῳ, ἐδὲ τὴν ἀρετὴν τῆς φύσεως τῆς ψυχῆς μετὰ τῆς διαμενέσης ἔτι ταραχῆς τῶν παθῶν.

Εὖξαι τῷ Θεῷ δῶναί σοι αἰσθηθῆναι τῆς ἐφέσεως τῆ πνεύματος, καὶ τῆς ἐπιποθήσεως αὐτῆ. ὅταν γὰρ ἔλθῃ σοι αὕτη ἡ αἴσθησις καὶ ἡ ἐπιπόθησις τῆ πνεύματος, τότε μέλλεις ἀποςῆναι τῆ κόσμε. καὶ ὁ κόσμος ἀφίσαται ἀπὸ σῆ. τέτε δὲ, χωρὶς ἡσυχίας, καὶ ἀσκήσεως, καὶ ὁμιλίας τῆς ἀφωρισμένης ἀναγνώσεως εἰς ταῦτα, ἀδύνατόν τινα αἰσθανθῆναι. καὶ χωρὶς τέτων, μὴ ζήτει ἐκεῖνα. ἐὰν γὰρ ζητήσῃς, ςρέφονται μετὰ μικρὸν, καὶ γίνονται σωματικά. ὁ νοῶν νοείτω. ἐν ἱδρῶτι εὐδόκησεν ὁ σοφὸς Κύριος φαγεῖν τὸν ἄρτον τῆτον. ἐχὶ ἀπὸ κακίας δὲ τῆτο ἐποίησεν, ἀλλ᾽ ἵνα μὴ γένηται ἡμῖν ἀπεψία, καὶ ἀποθάνωμεν. ἑκάςη γὰρ ἀρετὴ μήτηρ ἐςὶ τῆς δευτέρας. ἐὰν ἒν ἀφῇς τὴν μητέρα τὴν γεννῶσαν τὰς ἀρετὰς, καὶ ἀπέλθῃς ζητῆσαι τὰς θυγατέρας, πρὸ τῆ κτήσασθαι τὴν μητέρα αὐτῶν, ἔχιδναι εὑρίσκονται αἱ ἀρεταὶ ἐκεῖναι τῇ ψυχῇ. ἐὰν μὴ ῥίψῃς αὐτὰς ἀπὸ σαυτῆ, ταχέως μέλλεις ἀποθανεῖν.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΞΘ.

ΠΕΡΙ
ΔΙΑΦΟΡΩΝ ΥΠΟΘΕΣΕΩΝ, ΚΑΙ ΠΟΙΑ ΕΣΤΙ ΧΡΕΙΑ ΕΚΑΣΤΟΥ ΤΟΥΤΩΝ.

Αἴσθησις πνευματικὴ ἐστιν ἡ ποιωθεῖσα (1) δέξασθαι τὴν δύναμιν τὴν θεωρητικὴν, ὡς ἡ κόρη τῶν σωματικῶν ὀφθαλμῶν, τῶν ἐχόντων ἐν αὐτοῖς τὸ φῶς τὸ αἰσθητόν. Θεωρία νοητὴ ἐστὶ γνῶσις φυσικὴ, ἡ ἑνωθεῖσα τῇ καταστάσει τῆς φύσεως, ἥτις καλεῖται φυσικὸν φῶς. δύναμις ἁγία ἐστὶ χάρισμα Ἡλίου τοῦ διακριτικοῦ, (2) τοῦ τεθέντος μεταξὺ τοῦ φωτὸς καὶ τῆς θεωρίας. Φύσεις εἰσί τινα ὄντα (3) μέσα τῶν διακριτικῶν τῶν ἐκ

(1) Ἡ ποιωθεῖσα, τουτέστιν ἡ ταῖς τῆς παιδείας ἕξεσι προκατασκευασθεῖσα. ἐπειδὴ γὰρ ἔφη, τὴν νοητὴν θεωρίαν γνῶσιν εἶναι φυσικὴν, καὶ φῶς καλεῖσθαι φυσικὸν, δῆλον ἄρα, ὅτι αἴσθησιν πνευματικὴν τὴν τοῦ νοὸς λέγει τοῦ διὰ τῆς μαθήσεως παιδευθέντος πρότερον καὶ προετοιμασθέντος, εἶθ' οὕτω τὴν τοῦ θεωρεῖν τὰ ὄντα δύναμιν προσεπικτησαμένου.

(2) Τὸ τῆς διακρίσεως χάρισμα (αὕτη γάρ ἐστιν ὁ διακριτικὸς ἥλιος) τῆς καὶ τὸ ἐν ἡμῖν φυσικὸν φῶς, καὶ τὰς παρὰ τοῦ νοὸς γινομένας θεωρίας ἀνακρινούσης, δύναμιν ἁγίαν ἐκάλεσεν. αὕτη μὲν γὰρ πάσας τὰς ἀρετὰς συναπαρτίζουσά τε καὶ τελειοῦσα, τὸν ἁγιασμὸν ἡμῖν παρέχει. ἐνθέντοι καὶ μείζων πασῶν τῶν ἄλλων ἀκούει, καὶ βασιλίς.

(3) Οὐκ ἀμέσως τὸ καλὸν καὶ κακὸν, τὸ ἀτελὲς καὶ τέλειον, τὸ θεοφιλὲς καὶ θεοστυγὲς διακρίνομεν, ἀλλὰ διὰ τῶν ἐν ἡμῖν προϋπαρχουσῶν εἰδήσεων, καὶ γνώσεων, καὶ μαθηματικῶν ἕξεων. ταύτας οὖν φύσεις, καὶ ὄντα προσηγόρευσε, καὶ μέσα, δι' ὧν ὁ τῷ φυσικῷ φωτὶ πεφωτισμένος νοῦς τῶν διακριτικῶν ἀνθρώπων ταῖς τῶν ὄντων ἐνασχολεῖται θεωρίαις.

ἐκ τοῦ φωτὸς εἰς θεωρίαν. πάθη εἰσὶ καθάπερ ὀσία τὶς σκληρά. ἅπερ μεσιτεύουσι μεταξὺ τοῦ φωτὸς, καὶ τῆς θεωρίας, καὶ κωλύουσιν ἐξ αὐτῆς τὴν διάκρισιν τῆς διαφορᾶς τῶν πραγμάτων. καθαρότης ἐστὶ τὸ τηλαυγὲς τοῦ νοητοῦ ἀέρος, (1) οὗτινος τῷ κόλπῳ πτεροῦται ἡ φύσις ἡ ἐν ἡμῖν. ἐὰν μὴ ὁ νοῦς ὑγιὴς ᾖ ἐν τῇ ἑαυτοῦ φύσει, οὐκ ἐνεργεῖ ἐν αὐτῷ ἡ γνῶσις· ὥσπερ ἡ σωματικὴ αἴσθησις ὅταν ἐξ αἰτιῶν βλαβῇ, ἀποστερεῖται τῆς ὁράσεως. ἐὰν δὲ ὁ νοῦς ᾖ ὑγιὴς, ἡ γνῶσις δὲ οὐχ ὑπάρχῃ, οὐκ ἐνεργεῖ ὁ νοῦς ἐκτὸς αὐτῆς τὴν διαφορὰν τῶν πνευματικῶν· ὥσπερ ὁ ὀφθαλμὸς ὁ ὑγιὴς μὲν ἐν ἅπασι τοῖς ἑαυτοῦ, ἀμβλυωπῶν δὲ πρὸς τὴν ὅρασιν πολλάκις τῆς αἰσθήσεως. καὶ ἐὰν ταῦτα πεφυλαγμένα ἐν τοῖς ἰδίοις αὐτῶν, ἡ χάρις δὲ μὴ ᾖ πλησίον αὐτῶν, ἀνενέργητα μένουσι πάντα ἐκ τῆς διακονίας τῶν διακρίσεων, καθὼς ἐν ταῖς ὥραις τῆς νυκτός. διὰ γὰρ τὸ μὴ εἶναι Ἥλιον μένουσιν ἀνεπίσκεπτοι. καὶ ὅτε πάντα ἐῤῥωμένα εἰσὶ, καὶ τετελειωμένα ἐν τοῖς ἑαυτῶν, λέγομεν ὁ ὀφθαλμὸς, καὶ ἡ ὅρασις, καὶ ἅτινα πράγματα οὐ διεκρίθησαν, ἢ διακρίνονται. καὶ τοῦτό ἐστι τὸ εἰρημένον, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. (Ψαλ. λε. 10.) ἐὰν δὲ ἡ χάρις τοῦ νοητοῦ Ἡλίου πλησίον γένηται, καὶ εἰς ὄρεξιν κινῇ, καὶ ἐρεθίζῃ, καὶ ἐμποιῇ νήφειν, καθαρότης δὲ μὴ ᾖ ἐν αὐτῇ, ὥσπερ ἀὴρ κενός. ὅστις διαυγὴς (2) ἐκ τῆς παχύτητος

(1) Τῷ νοητῷ ἀέρι, τὴν θείαν τοῦ πνεύματος αὔραν σημαίνει. λέγει γὰρ κατωτέρω. καὶ ἐὰν ταῦτα (τουτέστι τὸ φυσικὸν φῶς, καὶ ἡ διάκρισις) πεφυλαγμένα ἐν τοῖς ἰδίοις αὐτῶν, ἡ χάρις δὲ μὴ ᾖ πλησίον αὐτῶν, ἀνενέργητα μένουσι πάντα κτ.

(2) Τὸ ἕτερον χειρ. ὅστις οὐ διαυγής. αὕτη δὲ δοκεῖ τοῦ ὅλου ἡ ἔννοια. κἄν τις λίαν πεπαιδευμένος ᾖ, καὶ σοφὸς, καὶ διακριτικὸς, τῆς τοῦ Θεοῦ χάριτος, διὰ τὴν τῶν παθῶν ἀκαθαρσίαν οὐκ ἐπιλαμπούσης αὐτῷ, ἀδιακρίτως

τὸς τῶν νεφῶν, καὶ τῶν ὑλῶν τῶν σκοτεινῶν τῶν εὐχερῶς ἐκλειπομένων πρὸς τὸ φῶς τοῦ Ἡλίου, ἐν ᾧ εὐφραινόμεθα ἐν ἡδονῇ ταύτης τῆς θεωρίας.

Τῆς θεωρίας χωλαινούσης ἐκ τῆς διακρίσεως, ἡ φύσις ἤργησεν ἐκ τῆς πράξεως. ἡ ψυχὴ ἐκωλύθη αἰσθέσθαι τῆς ἡδονῆς τοῦ Ἡλίου τοῦ δευτέρου (1) τοῦ ἀνατέλλοντος ἐπὶ τὰ πάντα, διὰ τὰ ἐπιτεθέντα σωματικὰ, ἐν οἷς σκέπονται αἱ ἐλλάμψεις τῆς ἀληθείας, ἵνα μὴ ἔλθωσιν ἐφ' ἡμᾶς. λοιπὸν ἐξ ἀνάγκης ζητοῦνται ταῦτα πάντα τὰ ῥηθέντα, καὶ διὰ τὸ δυσκόλως εὑρεῖν ταῦτα ὅλα ἐν ἑνὶ ἀνθρώπῳ χωρὶς λείψεως καὶ αἰτίας, καὶ διὰ τὸ μὴ δύνασθαι τοὺς πολλοὺς πρὸς τελειότητά τινος τῆς πνευματικῆς γνώσεως φθάσαι. ἡ στέρησις μέν ἐστιν οὕτως ἐκ τῆς ἀνικανότητος τῆς διανοίας, καὶ ἐκ τῆς συγχύσεως τοῦ θελήματος, καὶ ἐκ τῆς θέσεως τῆς μὴ καθηκούσης τῷ σκοπῷ, καὶ ἐκ τῆς ἐλλείψεως τῆς καθαρότητος, καὶ ἐκ τοῦ μὴ εὑρεῖν διδάσκαλον καὶ ὁδηγὸν, ἐκ τῆς ἐποχῆς τῆς χάριτος, (» ἀνδρὶ μικρολόγῳ φησὶν, οὐ καλὸς ὁ πλοῦτος, οὐδὲ ἐξουσιάσαι τῶν μεγάλων) ἐκ τοῦ κωλύματος τῶν καιρῶν καὶ τῶν τόπων καὶ τῶν τρόπων. [Σειρ. ιδ. γ.]

Ἀλήθειά ἐστιν αἴσθησις κατὰ Θεὸν, ἡ ἐν τῇ αἰσθήσει τῶν αἰσθήσεων τοῦ νοῦ τοῦ πνευματικοῦ· ἧς περ τίς τινος ἐν ἑαυτῷ γεύεται. [Ἐκλογὴ συντόμων κεφαλαίων.]

κρίτως πορεύεται, καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ. ἡ γὰρ ἐν ἡμῖν διάκρισις, καὶ τὸ φυσικὸν φῶς ἀτελεσφόρητα ἐν ταῖς ἐργασίαις αὐτῶν, εἴγε μὴ ὑπὸ τοῦ νοητοῦ καὶ θείου φωτὸς καταυγάζοιντο.

(1) Πρῶτον μὲν Ἥλιον, τὴν φυσικὴν εἴρηκε διάκρισιν· δεύτερον δὲ, τὴν τοῦ Θεοῦ χάριν· καθότι προϋπάρχουσα ἐν ἡμῖν ἐκείνη, ὑπὸ ταύτης διορθοῦται.

ται. ἀγάπη ἐςὶ καρπὸς τῆς εὐχῆς, ἡ ἐκ τῆς θεωρίας αὐτῆς ὁδηγῦσα τὸν νῦν ἀκορέςως εἰς τὸν ἑαυτῆς πόθον, ὅταν ὑπομείνῃ ἐν αὐτῇ χωρὶς ἀκηδίας· καὶ ἐν τῷ νῷ ἐν σιγηροῖς ἐνθυμήμασι τῆς διανοίας εὔχεται μόνον ἐμπύρως καὶ μετὰ θερμότητος. εὐχή ἐςι νέκρωσις τῶν ἐννοιῶν τῦ θελήματος τῆς ζωῆς τῆς σαρκός. ἴσος γάρ ἐςιν ὁ ἀκριβῶς εὐχόμενος τῷ νενεκρωμένῳ ἐκ τῦ κόσμυ. καὶ τῦτό ἐςι τὸ ἀρνήσασθαί τινα ἑαυτὸν, τὸ καρτερῆσαι διαμένειν ἐν προσευχῇ. λοιπὸν ἡ ἀγάπη τῦ Θεῦ ἐν τῇ ἀρνήσει τῆς ψυχῆς εὑρίσκεται.

Καθάπερ ἐκ τῦ σπέρματος τῦ ἱδρῶτος τῆς νηςείας ὁ ςάχυς τῆς σωφροσύνης βλαςάνει, ὕτως ἐκ τῦ κόρυ ἡ ἀκολασία, καὶ ἐκ τῆς πληρώσεως ἡ ἀκαθαρσία. ἐπὶ γαςρὶ δὲ πεινώσῃ καὶ τεταπεινωμένῃ, ὐδέποτε παρακύψυσιν αἰσχρότητος λογισμοί. πᾶσα βρῶσις βιβρωσκομένη πρόσθεσις τῶν ἐν ἡμῖν χυμῶν γίνεται, καὶ ἰσχὺς φυσικὴ γίνεται ἐν ἡμῖν. καὶ ὅταν πληθῶσι τὰ μέλη τὰ ὀργανικὰ ἐκ τῆς τάσεως ὅλυ τῦ σώματος τῆς γινομένης ἐν αὐτοῖς, ἡνίκα συμβῇ ἰδεῖν τὶ σωματικὸν, ἢ ἐὰν κινηθῇ ἐν τῇ καρδίᾳ ἀκέσιόν τι μετὰ τῦ λογισμῦ, ἐξαίφνης ὕλη ἡδονῆς κινεῖται ἐξ ἐκείνυ, καὶ διαπέμπεται ἐν ὅλῳ τῷ σώματι. καὶ εἰ ἔςιν ἰσχυρὰ ἡ διάνοια τῦ σώφρονος καὶ ἁγνῦ ἐν τοῖς ἑαυτῦ λογισμοῖς, ἐκ τῆς αἰσθήσεως ἐκείνης τῆς ἐν τοῖς μέλεσιν, εὐθέως ταράσσεται ἡ διάκρισις αὐτῦ, καὶ ὡς ἀπὸ ὑψηλῦ τινὸς τόπυ κατέρχεται ἐκ τῦ ἑαυτῦ τόπυ, ἐν ᾧ ἵςαται. καὶ ἡ ὁσιότης τῶν λογισμῶν αὐτῦ κυλίεται, καὶ ἡ σωφροσύνη ἡ λαμπρὰ ῥυπῦται ἐν τῇ ἐκταράξει τῶν παθῶν τῶν εἰσελθόντων εἰς τὴν καρδίαν ἐν τῇ ἐκπυρώσει τῶν μελῶν. καὶ τότε τὸ ἥμισυ τῆς δυνάμεως αὐτῦ ἐξαφανεῖ· ὥςε εἰπεῖν καὶ τῦ πρώτυ σκο-

πȣ̃ τῆς ἐλπίδος ἑαυτȣ̃ ἐπιλαθέσθαι, καὶ πρὸ τȣ̃ εἰσελθεῖν εἰς τὸν ἀγῶνα, εὑρίσκεται χωρὶς ἀγῶνος ὑπεύθυνος, καὶ χωρὶς καμάτȣ τῶν ἑαυτȣ̃ ἐχθρῶν ὑπεύθυνος γίνεται ὑποκάτωθεν τȣ̃ θελήματος τȣ̃ ἀτόνȣ τῆς σαρκός. ταῦτα πάντα ἀναγκάζει ἡ προαίρεσις ἡ μεγάλη τȣ̃ κόρȣ τȣ̃ ἀδιαλείπτȣ τὸ θέλημα τȣ̃ ἀγαθȣ̃ ἀνθρώπȣ. ϗ ἐὰν διάγῃ καλῶς ἐν τῷ λιμένι τῆς σωφροσύνης, ἀλλὰ ἐκκλίνει παραδοθῆναι εἰς ὅπερ ȣ̓δέποτε ἐβȣλήθη ἀνελθεῖν ἐν τῇ καρδίᾳ ἑαυτȣ̃. καὶ ὅταν κοιμηθῇ μόνος, ἡ συναγωγὴ τῶν λογισμῶν τῶν περιεχόντων τὰς ματαίας φαντασίας τε καὶ αἰσχρὰς περικυκλȣ̃σιν αὐτὸν, καὶ ποιȣ̃σι τὴν ϛρωμνὴν αὐτȣ̃ ἐκείνην τὴν καθαρὰν πανδοχεῖον πορνείας, καὶ θέατρον τῶν θεωριῶν. ὅταν κοινωνῇ τῇ μετ᾽ αὐτῶν ὁμιλίᾳ ἐν τῷ μεθυσμῷ τῶν λογισμῶν, καὶ μολύνῃ τὰ ἑαυτȣ̃ μέλη τὰ ὅσια ἐκτὸς πλησιασμȣ̃ γυναικὸς, ποία θάλασσα ταράσσεται ȣ̓́τω, καὶ βράζει ἐκ τȣ̃ χειμῶνος, ὥσπερ ταράσσεται ὁ νȣ̃ς ὁ καταϛὰς ἐν τῇ ἰσχύϊ τῶν κυμάτων τῶν ἐξυπνιζομένων ἐπ᾽ αὐτῷ ἐν τῇ θαλάσσῃ τῆς σαρκὸς αὐτȣ̃ ἐκ τῆς πλησμονῆς τῆς γαϛρός;

Ὦ σωφροσύνη, πόσον λαμπρύνεται τὸ κάλλος σȣ ἐν τῇ χαμευνίᾳ, καὶ ἐν τῷ πόνῳ τῆς πείνης τῆς ἀφαιρέσης ἐκ σȣ̃ τὸν ὕπνον, ἐκ τῆς κακοπαθείας τῆς σαρκὸς, τῆς γενομένης ὥσπερ λάκκος βαθὺς μεταξὺ τῶν πλευρῶν καὶ τῶν ἐντέρων, διὰ τὴν ἀποχὴν τῶν βρωμάτων. πᾶν βρῶμα, ϗ πᾶσα ἀνάπαυσις λαμβανόμενα ἔσωθεν ἡμῶν, ὁμοιώματα αἰσχρὰ, καὶ εἴδωλα ἀειδῆ πλάττȣσι, καὶ γεννῶνται ἐξ αὐτῶν, καὶ ἐξέρχονται, καὶ καθορῶνται ἐν τῷ τόπῳ τῷ κρυπτῷ τῆς διανοίας ἡμῶν, καὶ γαργαλίζȣσιν ἡμᾶς συγκοινωνῆσαι κρυπτῶς ἐν

πράγμασιν αἰσχροῖς. κένωμα δὲ γαστρὸς, χώραν ἔρημον ποιεῖ τὸ φρόνημα ἡμῶν, τὸ ἐκ τῶν λογισμῶν ἠρεμοῦν, καὶ ἡσυχάζον ἐκ πάντων τῶν ταραχωδῶν λογισμῶν. ἐκείνη ἡ ἐκ τοῦ κόρου ἐμπεπλησμένη, χώρα ἐστὶ τῶν θεωριῶν, καὶ τετράπυλον τῶν φαντασμάτων τῶν ἀτόπων ποιεῖ αὐτὴν, κἂν καὶ ἐν ἐρήμῳ ὦμεν μόνοι. κόρος γάρ φησι τῶν πολλῶν ἐπιθυμεῖ.

Ὅταν ἀξιωθῇς τῆς χάριτος τῆς θεϊκῆς, καὶ τῆς ἀπαθείας τῆς ψυχῆς, σύνες ὅτι οὐκ ἐξ ἐκείνου τοῦ μὴ διελθεῖν διὰ σοῦ τοὺς ἀηδεῖς λογισμοὺς, ἢ τὴν κίνησιν τῶν λογισμῶν τῶν ἐν τῷ σώματι γινομένων, (ἐκτὸς γὰρ αὐτῶν ἀδύνατόν τινα εἶναι) οὐδὲ ἐξ ἐκείνων τῶν δυσχερῶς ὑπὸ σοῦ νικωμένων, (ὅτι παντελῶς ἡ διάνοια οὐ μολύνεται, οὐδὲ ταράσσεται, κἂν καὶ λίαν ὑψηλὴ ᾖ αὐτη.) ἀλλ᾽ ἐξ ἐκείνων τῶν τῆς ἐνεργείας τῆς κρείττονος τῆς διανοίας οὐκ ἀφίεται ὁ νοῦς πολεμῆσαι μετ᾽ αὐτῶν, καὶ ἀπολέσαι αὐτούς· ἀλλ᾽ ὅταν παρακύψῃ λογισμὸς, ἁρπαγῇ ἁρπάζεται ἐκ τῶν ἔγγιστα αὐτῶν ἐν βίᾳ τινὶ τῇ ἔξωθεν τοῦ θελήματος οὔσῃ, τῇ ἀπὸ συνηθείας καὶ τῆς χάριτος καταχεούσῃ ζύμην ἐντὸς τῆς καρδίας. ἥπερ ἐστὶν οἶκος τῆς διανοίας. (1)

Ἄλλος ἐστὶν ὁ νοῦς τοῦ ἀγωνιστοῦ, καὶ ἄλλη ἡ τάξις τῆς ἱερωσύνης. διάνοια ἥτις ἐν ἐλέει τῷ οὐρανίῳ ἐνεκρώθη τῷ κόσμῳ, ψιλοὺς λογισμοὺς μόνον περί τινων ἔχει, χωρὶς πάλης καὶ ἀγῶνος. ἡ τελειότης ἡ μετὰ σαρκὸς καὶ αἵματος συνεζευγμένη, βασιλείαν βασιλεύει τῶν ἐκ τῆς σαρκὸς καὶ αἵματος βρυόντων, καὶ οὐχὶ καταργήσει καταργεῖ αὐτοὺς, καὶ τοὺς ἰδίους

τῆς

(1) Τὸ Ε. Χ. τῆς διανοίας. ἀγωνιστὴν, τὸν πρακτικόν φησιν. ἱερέα δὲ, τὸν θεωρητικόν. ἄλλος ἐστὶν κτ.

τῆς φύσεως, ἕως ἂν ἀκμὴν ἐν τῇ ζωῇ τῇ ἐκ τῶν στοιχείων σφύζῃ τὸ νόημα τῆς ζωώσεως τοῦ ἀνθρώπου, ἐκ τῶν τεττάρων χυμῶν ὁ θεμέλιος τοῦ νοῦ αὐτοῦ λαμβάνει ἀλλοίωσιν ἐν πάσῃ κινήσει καὶ ῥοπῇ. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ο.

ΠΕΡΙ ΤΩΝ ΛΟΓΩΝ ΤΗΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ ΤΩΝ ΠΡΟΣ ΜΕΤΑΝΟΙΑΝ ΕΡΕΘΙΖΟΝΤΩΝ·

ὅτι πρὸς τὴν ἀσθένειαν τῶν ἀνθρώπων ἐῤῥέθησαν, ἵνα μὴ ἀπόλωνται ἀπὸ Θεοῦ ζῶντος. καὶ ὅτι οὐ δεῖ πρὸς ἀφορμὴν τοῦ ἁμαρτάνειν ἐκλαμβάνειν αὐτούς.

Τὴν ἀνδρείαν, ἣν οἱ πατέρες ἐν ταῖς θείαις γραφαῖς αὐτῶν τεθείκασι, καὶ τὴν δύναμιν τὴν ἐν ταῖς τῶν Ἀποστόλων καὶ Προφητῶν γραφαῖς περὶ τῆς μετανοίας, οὐ χρὴ ἡμᾶς ἐκλαμβάνειν πρὸς βοήθειαν τοῦ ἁμαρτάνειν, καὶ καταλύειν τὰ ὅρια Κυρίου τὰ ἀδιάβατα. ἅτινα ἀπὸ ἀρχαίων ἡμερῶν διὰ στόματος πάντων τῶν ἁγίων ἐν πάσαις ταῖς γραφαῖς καὶ νομοθεσίαις πρὸς ἀναίρεσιν τῆς ἁμαρτίας ὡρίσθησαν ἐν δυνάμει Θεοῦ. ἵνα γὰρ ἐλπίδα μετανοίας σχῶμεν, ἐμηχανήσαντο ὑποκλέπτειν ἐκ τῆς αἰσθήσεως τὸν φόβον τῆς ἀπογνώσεως· ὅπως πρὸς μετάνοιαν τρέχῃ φθάσαι πᾶς ἄνθρωπος, καὶ μὴ

ἀδεῶς ἁμαρτάνῃ. ἰδὲ γὰρ παντὶ τρόπῳ ἀπεφήνατο ὁ Θεὸς
τὸν φόβον ἐν πάσαις ταῖς γραφαῖς, καὶ ἔδειξε παρ' αὐτῷ μι-
σητὴν τὴν ἁμαρτίαν. ποίῳ γὰρ τρόπῳ ἀπεπνίγη ἡ κατὰ τὰς
ἡμέρας τοῦ Νῶε γενεὰ ἐν τῷ κατακλυσμῷ; οὐχὶ χάριν τῆς
λαγνείας, ἡνίκα ἐξεμάνησαν κατὰ τοῦ κάλλους τῶν θυγατέρων
τοῦ Κάϊν; οὐκ ἦν κατὰ τὸν καιρὸν ἐκεῖνον φιλαργυρία, οὐδὲ πό-
λεμοι. διατὶ δὲ αἱ πόλεις Σοδόμων πυρίκαυστοι γεγόνασιν; οὐχ
ὅτι δεδώκασιν ἑαυτῶν τὰ μέλη τῇ ἐπιθυμίᾳ καὶ τῇ ἀκαθαρ-
σίᾳ, ὥστε ἐπικρατῆσαι πάντων αὐτῶν κατὰ τὸ ἑαυτοῖς θέλημα
εἰς πάσας τὰς ἐναγεῖς καὶ ἀτόπους πράξεις; οὐχὶ διὰ πορνείαν
ἑνὸς ἀνθρώπου πεπτώκασιν εἰς θάνατον ἐν μιᾷ ῥοπῇ εἴκοσι καὶ
πέντε χιλιάδες τῶν υἱῶν Ἰσραὴλ τοῦ πρωτοτόκου τοῦ Θεοῦ; τί-
νος δὲ χάριν ἐκβέβληται τοῦ Θεοῦ Σαμψὼν ὁ γίγας, ὁ ἐκ μή-
τρας ἀφορισθεὶς τῷ Θεῷ καὶ ἁγιασθεὶς, καὶ πρὸ γενέσεως
δι' Ἀγγέλου εὐαγγελισθεὶς κατὰ Ἰωάννην τὸν τοῦ Ζαχαρίου, ὁ
μεγάλης δυνάμεως καταξιωθεὶς, καὶ μεγάλων τερασίων; οὐχ
ὅτι ἐμίανε τὰ μέλη αὐτοῦ τὰ ἅγια τῇ συνουσίᾳ τῆς πόρνης; τού-
του χάριν ἐμακρύνθη ἀπ' αὐτοῦ ὁ Θεὸς, καὶ παρέδωκεν αὐτὸν
τοῖς ἐχθροῖς αὐτοῦ; Δαβὶδ δὲ ὁ κατὰ τὴν καρδίαν τοῦ Θεοῦ, ὁ
διὰ τὰς ἀρετὰς αὐτοῦ ἐκ τοῦ σπέρματος αὐτοῦ ἀξιωθεὶς προσα-
γαγεῖν τὴν ἐπαγγελίαν τῶν πατέρων, καὶ ἐξ αὐτοῦ ἐκλάμψαι
τὸν Χριστὸν εἰς σωτηρίαν πάσης τῆς οἰκουμένης, οὐχὶ διὰ μοιχείαν
μιᾶς γυναικὸς ἐτιμωρήθη, ἡνίκα τοῖς ὀφθαλμοῖς ἐθεάσατο τὸ
κάλλος αὐτῆς, καὶ τὸ βέλος εἰς τὴν ψυχὴν αὐτοῦ ἐδέξατο;
τούτου γὰρ ἕνεκεν ἐπήγειρεν αὐτῷ ὁ Θεὸς ἐκ τοῦ οἴκου αὐτοῦ πό-
λεμον, καὶ ὁ ἐκ τῆς ὀσφύος αὐτοῦ ἐδίωξεν αὐτόν· καὶ ταῦτα
μετὰ πολλῶν δακρύων αὐτοῦ μετανοήσαντος, ὥστε τὴν στρωμ-

νὴν

» νιὼ αὐτῦ βρέχειν τοῖς δάκρυσι, καὶ τῦ Θεῦ εἰρηκότος αὐτῷ | β. Βασιλ. ιβ. ιγ.
» διὰ τῦ Προφήτυ, ὁ Κύριος ἀφεῖλέ σου τὸ ἁμάρτημα.

Βύλομαι μνημονεῦσαι καί τινων πρὸ τύτυ. τίνος χάριν ἐπῆλθεν ἡ ὀργὴ καὶ ὁ θάνατος τῷ οἴκῳ τῦ ἱερέως Ἠλὶ τῦ δικαίυ γέροντος, τῦ τεσσαράκοντα ἔτη ἐν τῇ ἱερωσιώῃ διαπρέψαντος; ὐχὶ διὰ τιὼ ἀνομίαν τῶν τέκνων αὐτῦ Ὀφνὶ καὶ Φινεές; ὐδὲ γὰρ αὐτὸς ἐπλημμέλησεν, ὐδὲ ἐκεῖνοι τῇ τύτυ γνώμῃ· ἀλλ᾽ ὅτι ὐκ εἶχε ζῆλον ἀπαιτῆσαι τιὼ ἐκδίκησιν Κυρίυ ἀπ᾽ αὐτῶν, καὶ μᾶλλον τύτυς ἠγάπα, ἢ τὰ προστάγματα τῦ Κυρίυ· ἵνα ὖν μὴ ὑπολάβῃ τὶς, ὅτι εἰς μόνυς τὺς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν ἐν ἀνομίαις ζήσαντας ἐνδείκνυσι τιὼ ὀργιὼ αὐτῦ χάριν τῦ ἀτόπυ τύτυ ἁμαρτήματος, ἰδὺ ἐν τοῖς γνησίοις αὐτῦ ἐνδείκνυσι τὸν ζῆλον αὐτῦ, ἔντε ἱερεῦσι, καὶ κριταῖς, καὶ ἄρχυσι, καὶ ἀνθρώποις ἡγιασμένοις αὐτῷ, οἷς τὰς θαυματυργίας ἐνεπίστευσεν. ἀποδέδεικται, ὅτι ὐδαμῶς, ὅταν φανῶσι τὰς θεσμοθεσίας αὐτῦ παραβάντες, παρορᾷ, ὡς γέγραπται ἐν τῷ Ἰεζεκιήλ· | Ἰεζ. θ. ϛ.
» εἶπον τῷ ἀνθρώπῳ, ᾧ ἐντέταλμαι
» πορθῆσαι τιὼ Ἱερυσαλὴμ τῇ ἀοράτῳ ῥομφαίᾳ, ἀπ᾽ ἔμπροσθεν
» τῦ θυσιαστηρίυ μυ ἄρξαι, καὶ μὴ ἐλεήσῃς γέροντα, μήτε νεώ-
» τερον· ἵνα ἐνδείξηται, ὅτι γνήσιοι καὶ προσφιλεῖς αὐτῷ εἰσὶν, οἱ ἐν φόβῳ καὶ εὐλαβείᾳ πορευόμενοι ἔμπροσθεν αὐτῦ, καὶ ποιῦντες τὸ θέλημα αὐτῦ· καὶ ἅγιοι τῦ Θεῦ εἰσὶν ἡ ἐνάρετος πρᾶξις, καὶ ἡ καθαρὰ σιωείδησις. τὺς μέντοι ἐκφαυλίζοντας τὰς ὁδὺς Κυρίυ, καὶ αὐτὸς ἐκφαυλίζει αὐτὺς, καὶ ἀποῤῥίπτει ἀπὸ προσώπυ αὐτῦ, καὶ τιὼ χάριν αὐτῦ αἴρει ἀπ᾽ αὐτῶν. διατὶ γὰρ ἡ ἀπόφασις ἡ κατὰ τῦ Βαλτάσαρ ἐξῆλθεν ἐξαίφνης, καὶ ὡς ἐν τύπῳ χειρὸς τῦτον ἐπάταξεν; ὐχ ὅτι κατετόλ-

τετόλμησε τῶν ἀψαύστων ἀναθημάτων, ὧν ἀφήρπασαν ἀπὸ Ἱερουσαλὴμ, καὶ εἰς αὐτὰ ἔπιεν αὐτὸς καὶ αἱ παλλακίδες αὐτοῦ; οὕτω καὶ οἱ ἀφιερώσαντες τὰ ἑαυτῶν μέλη τῷ Θεῷ, καὶ πάλιν τολμῶντες τούτοις εἰς τὰς κοσμικὰς πράξεις κεχρῆσθαι, ἀοράτῳ πληγῇ ἀπόλλυνται.

Οὐκοῦν μὴ τῇ προσδοκίᾳ τῆς μετανοίας, καὶ ἐν τῇ εὐτολμίᾳ τῇ δεδομένῃ ἡμῖν παρὰ τῶν θείων γραφῶν καταφρονήσωμεν τῶν τοῦ Θεοῦ λογίων καὶ ἀπειλῶν, καὶ παροργίσωμεν αὐτὸν τῇ ἀτοπίᾳ τῶν πράξεων ἡμῶν, καὶ χράνωμεν τὰ μέλη ἡμῶν ἅπερ καθάπαξ ἀφιερώσαμεν δουλεύειν τῷ Θεῷ. Ἰδοὺ γὰρ ἡγιάσθημεν αὐτῷ καὶ ἡμεῖς, ὡς Ἠλίας καὶ Ἐλισσαῖος, καὶ οἱ υἱοὶ τῶν Προφητῶν, καὶ οἱ λοιποὶ τῶν ἁγίων, καὶ παρθένων. οἵτινες τὰς μεγάλας θαυματουργίας ἐπετέλουν, καὶ πρόσωπον πρὸς πρόσωπον ἐλάλουν τῷ Θεῷ. καὶ ὅσοι μετ᾽ ἐκείνους, ὡς Ἰωάννης ὁ παρθένος, καὶ ὁ ἅγιος Πέτρος, καὶ ὁ λοιπὸς κατάλογος τῶν τῆς καινῆς εὐαγγελιστῶν καὶ κηρύκων, οἵτινες ἀφιέρωσαν ἑαυτοὺς τῷ Κυρίῳ, καὶ ἐδέξαντο παρ᾽ αὐτοῦ τὰ μυστήρια· οἱ μὲν, ἐκ στόματος αὐτοῦ· οἱ δὲ, δι᾽ ἀποκαλύψεων· καὶ ἐγένοντο μεσίται Θεοῦ καὶ ἀνθρώπων, καὶ κήρυκες τῆς βασιλείας τῇ οἰκουμένῃ.

ΛΟΓΟΣ ΟΑ.

ΠΕΡΙ ΕΚΕΙΝΩΝ ΔΙ ΩΝ ΚΤΗΣΑΣΘΑΙ ΤΙΣ ΔΥΝΑΤΑΙ ΤΗΝ ΑΛΛΟΙΩΣΙΝ ΤΩΝ ΚΡΥΠΤΩΝ ΝΟΗΜΑΤΩΝ ΜΕΤΑ ΤΗΣ ΑΛΛΟΙΩΣΕΩΣ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΤΗΣ ΕΞΩ.

Ὅσον τίς ἐστιν ἐν τῇ ἀκηδημοσύνῃ, ἡ ἐκδημία τῆς ζωῆς ἀνέρχεται ἐν τῇ αὐτοῦ διανοίᾳ ἀεί· καὶ ἐν τῇ ζωῇ τῇ μετὰ τὴν ἀνάστασιν ποιεῖ τὴν ἑαυτοῦ μελέτην πάντοτε, καὶ τὴν ἑτοιμασίαν ἅπασαν ἐκεῖσε μηχανᾶται ἐν παντὶ καιρῷ, καὶ ὑπομονὴν κτᾶται κατὰ πάσης τιμῆς, καὶ σωματικῆς ἀναπαύσεως ἐν τῷ λογισμῷ αὐτοῦ σπειρομένης· καὶ λογισμὸς ὑπὲρ τῆς καταφρονήσεως τοῦ κόσμου ἐν τῇ διανοίᾳ αὐτοῦ σφύζει καθ' ὥραν· καὶ θαῤῥεῖ ἐν τῇ διανοίᾳ αὐτοῦ, καὶ κτᾶται κραταιὰν καρδίαν ἐν παντὶ καιρῷ κατὰ παντὸς κινδύνου καὶ φόβου ἐργαζομένου θάνατον· ἀλλ' οὐδὲ ἐκ τοῦ θανάτου φοβεῖται. διότι ἐν πάσῃ ὥρᾳ αὐτῷ προσέχει, ὡς πλησιάζοντι, καὶ αὐτὸν προσδοκᾷ· καὶ ἡ μέριμνα αὐτοῦ ἐῤῥιμμένη ἐστὶν ἐπὶ τὸν Θεὸν ἐν πάσῃ πεποιθήσει ἀδιστάκτῳ. καὶ ἐὰν ἀπαντήσωσιν αὐτῷ θλίψεις, γίνεται ὥσπερ τὶς πεπεισμένος, καὶ γινώσκων ἀκριβῶς, ὅτι στέφανον προξενοῦσιν αὐτῷ. καὶ ἐν πάσῃ χαρᾷ ὑπομένει αὐτὰς, καὶ ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ ὑποδέχεται αὐτάς. διότι γινώσκει, ὅτι ὁ Θεὸς αὐτός ἐστιν ὁ οἰκονομήσας αὐτὰς αὐτῷ, διὰ τὰ κέρδη τῶν αἰτιῶν τῶν ἀγνώστων ἐν οἰκονομίᾳ μὴ φανερουμένῃ.

Ἐὰν δὲ συμβῇ αὐτῷ ἐξ αἰτίας τινὸς τὶ τῶν παρερχομένων κλήσασθαι ἐν τῇ ἐργασίᾳ καὶ μηχανῇ ἐκείνου τοῦ σοφοῦ τῶν κακῶν πάντων, αὐτῇ τῇ ὥρᾳ ὁ πόθος τοῦ σώματος ἄρχεται κινεῖσθαι ἐν τῇ ψυχῇ αὐτοῦ· καὶ ζωὴν μακρὰν ἐννοεῖ, καὶ λογισμοὶ τῆς ἀναπαύσεως τῆς σαρκὸς ἀναβαίνουσι, καὶ ἐξανθοῦσιν ἐν αὐτῷ κατὰ πᾶσαν ὥραν, καὶ κατακρατεῖ τὰ τοῦ σώματος, καὶ ζητεῖ ἐν ἑαυτῷ, εἰ δυνατὸν κατὰ πάντα τρόπον τροπώσασθαι τὰ συνιστῶντα αὐτῷ τὴν ἀνάπαυσιν αὐτοῦ, καὶ ἐξέρχεται ἐκ τῆς ἐλευθερίας ἐκείνης τῆς ἀνυποτάκτου τινὸς τῶν λογισμῶν τῶν τοῦ φόβου. καὶ ἐντεῦθεν ἐν πᾶσι τούτοις τὰς ἐννοίας τὰς ποιούσας τὴν πτόησιν, καὶ τὰς αἰτίας τοῦ φόβου ἐννοεῖ καὶ διαλογίζεται· διότι ἐλήφθη ἐξ αὐτοῦ τὸ θάρσος ἐκεῖνο τῆς καρδίας, ὅπερ ἐκτήσατο ὅτε ἦν ὑψηλότερος τοῦ κόσμου ἐν τῇ ἀκτημοσύνῃ αὐτοῦ, ὃ ἐπλούτησεν ἐν τῇ ἑαυτοῦ ψυχῇ, διὰ τὸ κληρονόμον εἶναι τοῦ κόσμου κατὰ τὸ μέτρον, ὧν ἐκτήσατο· καὶ τὸν φόβον δέχεται κατὰ τὸν νόμον, καὶ τὴν οἰκονομίαν τὴν ὁρισθεῖσαν ἐκ Θεοῦ. ὁποίῳ μέρει ἑτοιμαζομένων τῶν μελῶν ἡμῶν εἰς τὴν ἐνέργειαν αὐτοῦ, δοῦλοι γινόμεθα καὶ πειθήνιοι ἐν τῷ δουλεύειν παντὶ φόβῳ κατὰ τὸν λόγον τοῦ Ἀποστόλου. (1)

Πρὸ πάντων τῶν παθῶν, ἡ φιλαυτία· πρὸ δὲ πασῶν τῶν ἀρετῶν, ἡ τῆς ἀναπαύσεως καταφρόνησις. ὁ παραβάλλων τὸ σῶμα αὐτοῦ ἐν ἀναπαύσεσιν, ἐν χώρᾳ εἰρήνης θλίβει αὐτό. ὁ τρυφήσας ἐν νεότητι αὐτοῦ, δοῦλος ἐν τῷ γήρᾳ αὐτοῦ γίνεται, καὶ εἰς τὰ τελευταῖα αὐτοῦ στενάζει. καθάπερ οὐ δύναται ὁ τὴν κεφαλὴν

(1) Ὅσοι φόβῳ θανάτου διαπαντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Ἑβρ. β. ιε.

κεφαλὴν ἔχων εἰς τὸ ὕδωρ ἀναπνεῦσαι τὸν ἀέρα τὸν λεπτὸν τὸν ἐπιχεόμενον ἐν τῷ κόλπῳ τῷ κοινῷ τούτῳ, οὕτως οὐ δύναται ὁ βαπτίζων τὴν διάνοιαν ἑαυτοῦ ἐν τῇ ἐνταῦθα μερίμνῃ εἰσδέξασθαι τὴν ἀναπνοὴν τῆς αἰσθήσεως ἐκείνου τοῦ κόσμου τοῦ καινοῦ. καθάπερ συγχέει ἡ ὀσμὴ τοῦ θανάτου τὴν κρᾶσιν τοῦ σώματος, οὕτως ἡ θεωρία ἡ ἄτοπος τὴν εἰρήνην τῆς διανοίας. καθάπερ ἀδύνατον γενέσθαι τὴν ὑγείαν καὶ τὴν νόσον ἐν ἑνὶ σώματι, καὶ μὴ φθαρῆναι τὸ θάτερον ὑπὸ τοῦ ἑτέρου, οὕτως ἀδύνατον τὸν πλοῦτον τοῦ ἀργύρου, καὶ τὴν ἀγάπην ἐν οἴκῳ γενέσθαι ἑνὶ, καὶ μὴ φθαρῆναι τὸ ἓν ὑπὸ τοῦ ἑτέρου αὐτῶν. καθάπερ ἡ ὕελος οὐ δύναται ἐν τῷ κρούσματι τῆς γειτνιάσεως τοῦ λίθου σῶα διαμεῖναι, οὕτως οὐδὲ ὁ ἅγιος διαμένων καὶ προσμένων καὶ συνομιλῶν μετὰ γυναικὸς, διαμεῖναι ἐν τῇ ἑαυτοῦ καθαρότητι, καὶ μὴ σπιλωθῆναι. καθάπερ ἐκτίλλονται τὰ δένδρα ὑπὸ τῆς ῥαγδαίας τῶν ὑδάτων καὶ διηνεκοῦς ἐπιῤῥοῆσεως, οὕτω καὶ ἡ τοῦ κόσμου ἀγάπη ἐκ τῆς καρδίας, ἐν τῇ ἐπιῤῥοήσει τῶν πειρασμῶν τῶν ἐπιπιπτόντων τῷ σώματι.

Ὥσπερ καθαίρουσι τὰ φάρμακα τὴν ἀκαθαρσίαν τῶν χυμῶν τῶν πονηρῶν ἐκ τοῦ σώματος, οὕτως ἡ σφοδρότης τῶν θλίψεων καθαίρει τὰ πάθη τὰ πονηρὰ ἐκ τῆς καρδίας. καθάπερ οὐ δυνατὸν τὸν νεκρὸν αἰσθέσθαι τῶν πραγμάτων τῶν ζώντων, οὕτω τοῦ Μοναχοῦ τοῦ τεθαμμένου ἐν τῇ ἡσυχίᾳ, ὡς ἐν τάφῳ, ἡ ψυχὴ στερεῖται τοῦ χειμῶνος τοῦ συνήθως ἔχοντος ὑποκαπνίζειν ἐκ τῆς αἰσθήσεως τῶν πραγμάτων τῶν ἐν μέσῳ ἀνθρώπων ἀναστρεφομένων. ὥσπερ οὐ δυνατὸν ἀβλαβῆ διαμεῖναι τὸν φειδόμενον τοῦ ἐχθροῦ αὐτοῦ ἐν τῇ παρεμβολῇ τοῦ πολέμου, οὕτως ἀδύνατον καὶ τὸν ἀγωνιστὴν, τὴν ψυχὴν ἑαυτοῦ ῥύσασθαι ἐκ τῆς

ἀπωλείας, τοῦ ἰδίου φειδόμενον σώματος. ὥσπερ ἡ νεότης ἐκ τῶν φοβερῶν θεαμάτων ἐκπλήττεται, καὶ δραμοῦσα ἐπικρατεῖ τὰ κράσπεδα τῶν γονέων αὐτῆς, ἐπικαλουμένη αὐτοὺς, οὕτως ἡ ψυχὴ καθ' ὅσον στενοῦται καὶ θλίβεται ἐκ τοῦ φόβου τῶν πειρασμῶν, προσεχέστερον προσκολληθῆναι τῷ Θεῷ, ἐπικαλουμένη αὐτὸν ἐν δεήσει διηνεκεῖ. καὶ ὅσον οἱ πειρασμοὶ διαμένουσιν ἀλλεπαλλήλως προσπίπτοντες, πληθύνει τὴν δέησιν· καὶ ὅταν ἐν πλατυσμῷ πάλιν γένηται, τῷ μετεωρισμῷ ἑαυτὴν ἐκδίδωσιν.

Ὥσπερ οἱ παραδιδόμενοι εἰς τὰς χεῖρας τῶν κριτῶν τοῦ τιμωρηθῆναι ὑπὲρ τῆς κακίας, ἐὰν ὅτε προσεγγίσωσι ταῖς βασάνοις, ταπεινώσωσιν ἑαυτοὺς, καὶ παραχρῆμα ἐξομολογῶνται εἰς τὴν ἀδικίαν αὐτῶν, ἐλαττοῦται ἡ τιμωρία αὐτῶν, καὶ ἐν μικραῖς θλίψεσι λυτροῦνται ἐν τάχει· ἐὰν δὲ σκληροὶ πρὸς ἐξομολόγησιν γένωνται, ἀδικοί τινες ἐν αὐτοῖς προστίθενται αὐτοῖς βάσανα, καὶ ἐσχάτως ἀκουσίως ἐξομολογοῦνται μετὰ τὰ πολλὰ βάσανα, ἡνίκα αἱ πλευραὶ αὐτῶν πληρωθῶσι πληγῶν, καὶ οὐδὲν ὠφελοῦνται· οὕτω καὶ ἡμεῖς, ὅταν ὑπὲρ τῶν πλημμελημάτων ἡμῶν, ὧν ἀσκόπως ἐκτησάμεθα, ὑπὸ τοῦ ἐλέους παραδιδώμεθα ταῖς χερσὶ τοῦ δικαιοκρίτου τῶν ἁπάντων, καὶ κελευώμεθα ἐκταθῆναι κατέναντι τῆς ῥάβδου τῶν πειρασμῶν, ἕως ἂν εὐχερὴς γένηται ἡμῖν ἡ κόλασις ἡ ἐκεῖθεν· ἐὰν ὅτε προσεγγίσει ἐν ἡμῖν ἡ ῥάβδος τοῦ κριτοῦ, ταπεινωθῶμεν, καὶ μνημονεύσωμεν τῶν ἀδικημάτων, καὶ ἐξομολόγησιν ποιησώμεθα ἐνώπιον τοῦ ἐκδικητοῦ, ἐν πειρασμοῖς βραχέσι ταχὺ ῥυσθησόμεθα· ἐὰν δὲ σκληρυνθῶμεν ἐν ταῖς θλίψεσιν ἡμῶν, καὶ μὴ ἐξομολογησώμεθα, ὡς αἴτιοι τῶν τοιούτων ὑπάρχοντες, καὶ ἄξιοι καὶ πλείονα τούτων παθεῖν, ἀλλ' ἐπαιτιώμεθα τοὺς ἀνθρώπους,

θρώπους, ποτὲ δὲ καὶ τοὺς Δαίμονας, καὶ ἐν καιρῷ τὴν δικαιοσύνην τοῦ Θεοῦ, καὶ συνιστῶμεν ἑαυτοὺς ἀθώους τῶν τοιούτων ἔργων, καὶ τοῦτο ἀνοῶμεν καὶ λέγωμεν, καὶ οὐκ ἀνοῶμεν, ὅτι ὁ Θεὸς ἡμᾶς ἐπὶ πλέον ἐπίσταται καὶ γινώσκει, καὶ ὅτι ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ ἐστὶ, καὶ ὅτι χωρὶς τῆς ἐντολῆς αὐτοῦ οὐ παιδεύεται ἄνθρωπος, διὰ τοῦτο πάντα τὰ ἐπερχόμενα ἡμῖν λύπην διηνεκῆ ἐμποιεῖ, καὶ αἱ θλίψεις ἡμῶν σφοδραὶ γίνονται, καὶ ἐξ ἄλλης εἰς ἄλλην ὡς ἐν χοινίῳ παραδεδέμεθα, ἕως ἂν γνῶμεν ἑαυτοὺς, καὶ ταπεινωθῶμεν, καὶ αἰσθηθῶμεν τῶν ἀνομιῶν ἡμῶν. ἐκτὸς γὰρ τοῦ αἰσθηθῆναι ἡμᾶς τούτων, ἀδύνατον ἐλθεῖν εἰς κατόρθωσιν. καὶ ἐσχάτως ἐν πολλαῖς καταπονούμενοι θλίψεσιν, ἀνωφελῆ ποιοῦμεν ἐξομολόγησιν, ὁπότε μὴ γενέσθαι παράκλησιν πέφυκεν. ἀλλὰ τοῦτο τὸ αἰσθηθῆναί τινα τῶν ἁμαρτημάτων αὐτοῦ, ἐκ Θεοῦ ἐστὶ γινόμενον χάρισμα, καὶ ἐμπίπτον εἰς τὸ φρόνημα, ὅταν ἴδῃ ὁ Θεὸς ἡμᾶς, ὅτι κατεπονήθημεν ἐν τοῖς πολυτρόποις πειρασμοῖς, ἵνα μὴ ἀπέλθωμεν ἐν πάσαις ταῖς συμφοραῖς ἡμῶν καὶ ταῖς θλίψεσι, μηδὲν ὠφελούμενοι ἐκ τοῦ κόσμου τούτου. καὶ οὐκ ἔστιν ὅτι ἐκ τῆς τῶν πειρασμῶν δυσκολίας οὐ συνίεμεν, ἀλλ᾽ ἐκ τῆς ἀγνωσίας. πολλάκις δέ τινες ἐν τοῖς τοιούτοις ὄντες, ἐξέρχονται τοῦ κόσμου τούτου ὑπόδικοι, καὶ μὴ ἐξομολογούμενοι, ἀλλ᾽ ἀπαρνούμενοι, καὶ ἐπαιτιώμενοι· ὁ δὲ Θεὸς ὁ ἐλεήμων ἐξεδέχετο, ὅπως ταπεινωθῶσιν, ἵνα συγχωρήσῃ αὐτοῖς, καὶ ποιήσειεν ἔκβασιν. καὶ οὐ μόνον τῶν πειρασμῶν αὐτῶν ἐποίει ἂν ἔκβασιν, ἀλλὰ καὶ τὰ παραπτώματα συνεχώρησεν, ἱλεούμενος τῇ ἐξομολογήσει τῇ μικρᾷ τῆς καρδίας.

Ὥσπερ τὶς ἄνθρωπος προσφορὰν μεγάλην προσφέρων τῷ βασιλεῖ, κλᾶται ὄψιν ἱλαρὰν, ὅτω τῦ ἔχοντος δάκρυα ἐν τῇ προσευχῇ αὐτῦ, ὁ Θεὸς ὁ μέγας ὁ βασιλεὺς τῶν αἰώνων πάντα τὰ μέτρα τῶν παραπτωμάτων συγχωρεῖ, καὶ κλᾶσθαι παρ᾽ αὐτῷ κεχαριτωμένην ὄψιν ποιεῖ. ὥσπερ πρόβατον τῆς μάνδρας ἐξερχόμενον, καὶ ἐν τῷ μετεωρισμῷ τῆς ποιμάνσεως πορευόμενον, παρὰ τῷ φωλεῷ τῶν λύκων ἵςᾳ ἑαυτό· ὅτως ὁ Μοναχὸς ὁ ἀφορίζων ἑαυτὸν ἐκ τῆς συναγωγῆς τῶν ἑταίρων αὐτῦ ἐν ὀνόματι καθίσματος ἡσυχαςικῦ, καὶ διαμένει ἀπαντῶν, καὶ ἀπερχόμενος, καὶ προσεγγίζων ταῖς θεωρίαις, καὶ τοῖς θεάτρων θεάμασιν ἐν ταῖς πόλεσι διερχόμενος.

Ὥσπερ ἄνθρωπος ἐπὶ τῶν ὤμων ἑαυτῦ μαργαρίτην βαςάζων πολύτιμον, καὶ ἀπερχόμενος ἐν ὁδῷ λῃςευομένῃ, καὶ ἐν φήμαις φημιζομένῃ κακαῖς, ἐν πάσῃ ὥρᾳ ἐν φόβῳ ἐςὶ, μήπως ἐπιβουλευθῇ· ὅτως ὁ τὸν μαργαρίτην τῆς σωφροσύνης βαςάζων, καὶ ὁδεύων ἐν τῷ κόσμῳ τῇ τῶν ἐχθρῶν ὁδῷ, ἕως ἂν ἔλθῃ ἐν τῇ μονῇ τῦ μνήματος, (ἥτις ἐςὶν ἡ χώρα τῆς πεποιθήσεως) ὀκ ἔχει ἐλπίδα ἐξειλῆσαι τῶν λῃςῶν καὶ τῶν πορθητῶν. μὴ τάχα ἐκεῖνος ὁ φέρων τὸν μαργαρίτην τὸν πολύτιμον δύναται μὴ φοβηθῆναι; ὅτως ὀδὲ ὅτος γινώσκει ἐν ποίῳ τόπῳ, καὶ ἐκ ποίων, καὶ ποίᾳ ὥρᾳ παρακύπτεσιν ἐπ᾽ αὐτῷ, καὶ γυμνῦσιν ἐξαίφνης αὐτὸν τῆς ἐλπίδος αὐτῦ· καὶ ἔςαι ἐν τῇ θύρᾳ τῦ οἴκυ αὐτῦ, ὅπερ ἐςὶν ὁ καιρὸς τῦ γήρως αὐτῦ, ἐκπορθέμενος.

Ὥσπερ ἄνθρωπος πίνων οἶνον ἐν ἡμέρᾳ πένθες, καὶ μεθυσκόμενος ἀπάσης λύπης, τῶν ἑαυτῦ πόνων ἐπιλανθάνεται· ὅτως ὁ μεθυσθεὶς τῇ ἀγάπῃ τῦ Θεῦ ἐν τῷ κόσμῳ τύτῳ, (ὅς ἐςιν

οἶκος

οἶκος κλαυθμȣ̃) τῶν πόνων καὶ τῶν λυπῶν ἑαυτȣ̃ ἁπασῶν, καὶ γίνεται ἀναίσθητος ἐξ ὅλων τῶν παθῶν τῆς ἁμαρτίας, διὰ τὴν μέθην ἑαυτȣ̃. ȣ̃τινος ἡ καρδία τῇ ἐλπίδι ἐπεστήρικται τȣ̃ Θεȣ̃, καὶ ἡ ψυχὴ ζῶον πτερωτὸν κȣ̃φόν ἐστι· καὶ ἐν πάσῃ ὥρᾳ ἡ διάνοια αὐτȣ̃ ἐκ τῆς γῆς ὑψȣ̃ται, καὶ ὑπεράνω τῶν ἀνθρωπίνων ἵπταται ἐν τῇ ἀδολεσχίᾳ τῶν λογισμῶν ἑαυτȣ̃, καὶ ἐν τοῖς ἀθανάτοις τȣ̃ ὑψίστȣ κατατρυφᾷ· ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΟΒ.

ΠΕΡΙΕΧΩΝ ΥΠΟΘΕΣΕΙΣ ΩΦΕΛΙΜΟΥΣ ΠΕΠΛΗΡΩΜΕΝΑΣ ΤΗΣ ΣΟΦΙΑΣ ΤΟΥ ΠΝΕΥΜΑΤΟΣ.

Ἡ πίστις ἡ θύρα ἐστὶ τῶν μυστηρίων. καθάπερ γὰρ οἱ σωματικοὶ ὀφθαλμοὶ τοῖς αἰσθητοῖς πράγμασιν, ȣ̃τω καὶ ἡ πίστις τοῖς ὀφθαλμοῖς τοῖς κρυπτοῖς. ἐν τοῖς νοεροῖς ὀφθαλμοῖς, ὀφθαλμȣ̀ς μὲν δύω ψυχικȣ̀ς κεκτήμεθα, καθὼς λέγȣσιν οἱ πατέρες, καθάπερ τȣ̀ς δύω ὀφθαλμȣ̀ς τȣ̃ σώματος, καὶ ȣ̉κ ἡ αὐτὴ χρεία τῆς θεωρίας ἐν ἑκάστῳ. ἐν ἑνὶ μὲν γὰρ ὀφθαλμῷ ὁρῶμεν τὰ κρυπτὰ τῆς δόξης τȣ̃ Θεȣ̃ τὰ κεκρυμμένα ἐν ταῖς φύσεσιν, ἤγȣν τὴν δύναμιν αὐτȣ̃, καὶ τὴν σοφίαν, καὶ τὴν πρόνοιαν τὴν συναΐδιον τὴν περὶ ἡμᾶς, τὴν καταλαμβανομένην ἐκ τῆς μεγαλειότητος τῆς κυβερνήσεως αὐτȣ̃ εἰς ἡμᾶς. ὁμοίως δὲ καὶ τὰ τάγματα τὰ ȣ̉ράνια ἐν τȣ́τῳ τῷ ὀφθαλμῷ θεωρȣ̃-

θεωροῦμεν τὰ σφάλματα ἡμῶν. ἐν δὲ τῷ ἑτέρῳ ὀφθαλμῷ θεωροῦμεν τὴν δόξαν τῆς φύσεως αὐτοῦ τῆς ἁγίας· ὅτε εὐδοκήσει ὁ Θεὸς εἰσάξαι ἡμᾶς εἰς τὰ μυστήρια τὰ πνευματικὰ, καὶ τὴν θάλασσαν τῆς πίστεως ἀνοίξει ἐν τῇ διανοίᾳ ἡμῶν.

Χάρις μετὰ χάριν μετὰ τὸ βάπτισμα ἡ μετάνοια ἐδόθη τοῖς ἀνθρώποις. μετάνοια γάρ ἐστιν ἀναγέννησις δευτέρα ἐκ τοῦ Θεοῦ. καὶ ὅνπερ ἐκ τῆς πίστεως ἀῤῥαβῶνα ἐδεξάμεθα, διὰ τῆς μετανοίας τὸ χάρισμα αὐτοῦ ἐκδεχόμεθα. μετάνοιά ἐστιν ἡ θύρα τοῦ ἐλέους, ἡ ἀνεῳγμένη τοῖς διώκουσιν αὐτήν. διὰ τῆς θύρας ταύτης εἰσερχόμεθα πρὸς τὸ θεῖον ἔλεος· καὶ ἐκτὸς ταύτης τῆς εἰσόδου, οὐχ εὑρήσομεν ἔλεος. διότι πάντες ἥμαρτον κατὰ τὴν θείαν γραφὴν, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι. (Ῥωμ. γ. κδ.) ἡ μετάνοιά ἐστιν ἡ χάρις ἡ δευτέρα, καὶ τίκτεται ἐν τῇ καρδίᾳ ἐκ τῆς πίστεως καὶ τοῦ φόβου. ὁ φόβος δέ ἐστι ῥάβδος πατρικὴ ἡ κυβερνῶσα ἡμᾶς, ἕως ἂν φθάσωμεν εἰς τὸν παράδεισον τῶν ἀγαθῶν, τὸν πνευματικόν. καὶ ὅταν ἐκεῖ φθάσωμεν, ἀφίησιν ἡμᾶς καὶ στρέφεται.

Παράδεισός ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἐν ᾗ ἡ τρυφὴ πάντων τῶν μακαρισμῶν. ὅπου ὁ μακάριος Παῦλος ἐτράφη τροφὴν παρὰ τὴν φύσιν. καὶ ἀφ' οὗ ἐγεύσατο τοῦ ξύλου τῆς ζωῆς ἐκεῖσε, ἔκραξε λέγων· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. (α. Κορινθ. β. θ.) ἐκ τοῦ ξύλου τούτου ἐκωλύθη ὁ Ἀδὰμ διὰ τῆς συμβουλῆς τοῦ διαβόλου. τὸ ξύλον τῆς ζωῆς ἐστὶν ἡ ἀγάπη τοῦ Θεοῦ, ἀφ' ἧς ἐξέπεσεν ὁ Ἀδὰμ, καὶ οὐκ ἔτι ἀπήντησεν αὐτὸν ἡ χαρά· ἀλλ' ἐν τῇ γῇ τῶν ἀκανθῶν εἰργάζετο καὶ ἐκοπία. οἱ τῆς ἀγάπης τοῦ Θεοῦ στερηθέντες, ἄρτον ἱδρῶτος ἐσθίουσιν ἐν τοῖς

ἔργοις

ἔργοις αὐτῶν, κἂν εὐθύτητι πορεύωνται. ὃν ὁ πρωτόπλασος ἐπετράπη φαγεῖν μετὰ τὴν ἔκπτωσιν. ἕως ἂν εὕρωμεν τὴν ἀγάπην, ἐν τῇ γῇ τῶν ἀκανθῶν ἐςὶν ἡ ἐργασία ἡμῶν, καὶ ἐν μέσῳ τῶν ἀκανθῶν σπείρομεν καὶ θερίζομεν, κἂν καὶ ὁ σπόρος ἡμῶν γένηται σπόρος δικαιοσύνης, καὶ ἐν πάσῃ ὥρᾳ κεντέμεθα ἐξ αὐτῶν, ἢ ὁπόσον ἂν δικαιωθῶμεν, ἐν ἱδρῶτι τῦ προσώπυ ἡμῶν ζῶμεν. καὶ ὅταν εὕρωμεν τὴν ἀγάπην, ἄρτον ὐράνιον τρεφόμεθα, καὶ ἐνδυναμέμεθα ἄνευ ἔργυ καὶ κόπυ. ὁ ὐράνιος ἄρτος ἐςὶν ὁ Χριςὸς, ὁ κατελθὼν ἐκ τῦ ὐρανῦ, καὶ ζωὴν διδὺς τῷ κόσμῳ. καὶ αὕτη ἐςὶν ἡ τροφὴ τῶν Ἀγγέλων.

Ὁ εὑρὼν τὴν ἀγάπην, τὸν Χριςὸν ἐσθίει καθ' ἑκάςην ἡμέραν ἢ ὥραν, ἢ ἀθάνατος γίνεται ἐκ τύτυ. ὁ γὰρ τρώγων, φησὶν, ἐκ τῦ ἄρτυ, ὃν ἐγὼ δώσω αὐτῷ, θάνατον ὐκ ὄψεται εἰς τὸν αἰῶνα. μακάριός ἐςιν ὁ ἐσθίων ἐκ τῦ ἄρτυ τῆς ἀγάπης, ὅς ἐςιν Ἰησῦς. ὅτι δὲ ὁ ἐσθίων ἐκ τῆς ἀγάπης, τὸν Χριςὸν ἐσθίει τὸν ἐπὶ πάντων Θεὸν, μαρτυρεῖ Ἰωάννης λέγων· ὁ Θεὸς ἀγάπη ἐςί. λοιπὸν ζωὴν ἐκ τῦ Θεῦ καρπῦται ὁ ἐν τῇ ἀγάπῃ ζῶν, ἢ ἐν τῷ κόσμῳ τύτῳ τῦ ἀέρος ἐκείνυ τῆς ἀναςάσεως ὀσφραίνεται ἐκ τῶν ὧδε. ἐν τύτῳ τῷ ἀέρι τρυφῶσιν οἱ δίκαιοι ἐν τῇ ἀναςάσει. ἡ ἀγάπη ἐςὶν ἡ βασιλεία, ἣν ἐπηγγείλατο ὁ Κύριος μυςικῶς τοῖς Ἀποςόλοις φαγεῖν ἐν τῇ βασιλείᾳ αὐτῦ. τὸ γὰρ ἐσθίετε καὶ πίνετε ἐν τῇ τραπέζῃ τῆς βασιλείας μυ τί ἐςιν, εἰ μὴ ἀγάπη; ἱκανὴ γὰρ θρέψαι τὸν ἄνθρωπον ἡ ἀγάπη, ἀντὶ βρώσεως καὶ πόσεως. ὗτός ἐςιν ὁ οἶνος, ὁ εὐφραίνων καρδίαν ἀνθρώπυ. μακάριος ὁ πιὼν ἐκ τῦ οἴνυ τύτυ. ἐκ τύτυ ἔπιον οἱ ἀκόλαςοι, ἢ ἠδέσθησαν· καὶ οἱ ἁμαρτωλοὶ, καὶ ἐπελάθον-

Ἰωάν. ϛ. νη.

α. Ἰωάν. δ. ϛ.

Λυκ. κβ. λ.

Ψαλ. ργ. ιϛ.

λάθοντο τὰς ὁδοὺς τῶν προσκομμάτων· καὶ οἱ μέθυσοι, καὶ ἐγένοντο νηστευταί· καὶ οἱ πλούσιοι, καὶ ἐπεθύμησαν τὴν πτωχείαν· καὶ οἱ πένητες, καὶ ἐπλούτησαν τῇ ἐλπίδι· καὶ οἱ ἄῤῥωστοι, καὶ ἐγένοντο δυνατοί· καὶ οἱ ἰδιῶται, καὶ ἐσοφίσθησαν.

Ὥσπερ οὐ δυνατόν ἐστι περάσαι τὴν θάλασσαν τὴν μεγάλην χωρὶς πλοίου καὶ καράβου, οὕτως οὐ δύναταί τις περάσαι χωρὶς φόβου πρὸς τὴν ἀγάπην. τὴν θάλασσαν τὴν ὀζομένην τὴν τεθεῖσαν μεταξὺ ἡμῶν καὶ τοῦ νοεροῦ παραδείσου, διὰ καράβου τῆς μετανοίας παρελθεῖν δυνάμεθα, τῆς ἐχούσης τοὺς κωπηλάτας τοῦ φόβου. ἐὰν δὲ οἱ κωπηλάται οὗτοι τοῦ φόβου, οὐ κυβερνῶσι τὸ πλοῖον τοῦτο τῆς μετανοίας, δι' ἧς διερχόμεθα τὴν θάλασσαν τοῦ κόσμου τούτου πρὸς τὸν Θεὸν, καταποντιζόμεθα ἐν τῇ ὀζομένῃ θαλάσσῃ. ἡ μετάνοια ἐστὶ τὸ πλοῖον· ὁ φόβος δὲ, ὁ κυβερνήτης αὐτοῦ· ἡ ἀγάπη, ὁ λιμὴν ὁ θεϊκός. καθίζει οὖν ἡμᾶς ὁ φόβος ἐν τῷ πλοίῳ τῆς μετανοίας, καὶ διαβιβάζει ἡμᾶς τὴν θάλασσαν τοῦ βίου τὴν ὀζομένην, καὶ πρὸς τὸν λιμένα τὸν θεῖον, ὅς ἐστιν ἡ ἀγάπη, ὁδηγεῖ ἡμᾶς· εἰς ὃν περῶσι πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι ἐν τῇ μετανοίᾳ. καὶ ὅτε φθάσομεν τὴν ἀγάπην, ἐφθάσαμεν εἰς τὸν Θεόν. καὶ ἡ ὁδὸς ἡμῶν ἐτελειώθη, καὶ διέβημεν πρὸς τὴν νῆσον, τὴν ἐκεῖθεν τοῦ κόσμου οὖσαν· ὅπου ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος· καὶ ἡμᾶς ἀξίους ποιήσοι τῆς δόξης αὐτοῦ, καὶ τῆς ἀγάπης τῆς διὰ τοῦ φόβου αὐτοῦ. Ἀμήν.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΟΓ.

ΠΕΡΙΕΧΩΝ ΣΥΜΒΟΥΛΙΑΣ ΠΕΠΛΗΡΩΜΕΝΑΣ ΩΦΕΛΕΙΑΣ.

ἃς ἐν τῇ ἀγάπῃ ἐλάλησε τοῖς ἐν ταπεινώσει ἀκέουσιν αὐτϐ.

Οὐκ ἔςιν ἔννοια ἀγαθὴ, μὴ ἔσα ἐκ τῆς χάριτος τῆς θείας, ἐμπίπτουσα ἐν τῇ καρδίᾳ. καὶ οὐκ ἔςι λογισμὸς πονηρὸς προσεγγίζων τῇ ψυχῇ, εἰ μὴ πρὸς πειρασμὸν καὶ πεῖραν. ἄνθρωπος φθάσας γνῶναι τὸ μέτρον τῆς ἀθενείας αὐτοῦ, οὗτος ἔφθασε τὸ τέλειον τῆς ταπεινώσεως. ὁ ὁδηγῶν τὰ χαρίσματα τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, καρδία ἐςὶ κινουμένη πρὸς εὐχαριςίαν ἀδιάλειπτον. ὁ ὁδηγῶν τὸν πειρασμὸν πρὸς τὴν ψυχὴν, ἡ ἔννοιά ἐςι τοῦ γογγυσμοῦ, ἡ κινουμένη ἀεὶ ἐν τῇ καρδίᾳ. πάσας τὰς ἀθενείας τῶν ἀνθρώπων βαςάζει ὁ Θεός· ἄνθρωπον δὲ ἀεὶ γογγύζοντα οὐχ ὑπομένει, ἐὰν μὴ παιδεύσῃ αὐτόν. ψυχὴ ἡ ἀπέχουσα ἐκ πάσης ἐλλάμψεως τῆς γνώσεως, ἐν ταῖς τοιαύταις ἐννοίαις εὑρίσκεται. ςόμα διαπαντὸς εὐχαριςοῦν, εὐλογίαν δέχεται παρὰ τοῦ Θεοῦ· καὶ καρδία διαμένουσα ἐν εὐχαριςίᾳ, ἐμπίπτει ἐν αὐτῇ ἡ χάρις. πρὸ τῆς χάριτος, τρέχει ἡ ταπείνωσις· καὶ πρὸ τῆς παιδείας, τρέχει ἡ οἴησις. ὁ ὑπερηφανευόμενος, παραχωρεῖται πεσεῖν εἰς βλασφημίαν· καὶ ὁ ἐν τῇ ἀρετῇ τῆς πράξεως ἐπαιρόμενος, ἐν τῇ πορνείᾳ παραχωρεῖται πεσεῖν· καὶ ὁ ἐν τῇ σοφίᾳ αὐτοῦ ἐπαιρόμενος.

μενος, ἐν ταῖς σκοτειναῖς παγίσι τῆς ἀγνοίας ἐμπεσεῖν παραχωρεῖται.

Ἄνθρωπος ἀπέχων ἐκ πάσης μνήμης τȣ̃ Θεȣ̃, ȣ̃τός ἐςιν ὁ βαςάζων ἐν τῇ καρδίᾳ αὐτȣ̃ κατὰ τȣ̃ πλησίον μέριμναν ἐν τῇ μνήμῃ τῇ πονηρᾷ. ὁ τιμῶν πάντα ἄνθρωπον ἐν τῇ μνήμῃ τȣ̃ Θεȣ̃, ȣ̃τος ὑρίσκει βοήθειαν παρὰ παντὸς ἀνθρώπȣ ἐν τῷ νεύματι τȣ̃ Θεȣ̃, ἐν τῷ κρυπτῷ. ὁ ἀπολογȣ́μενος ὑπὲρ τȣ̃ ἀδικȣμένȣ, εὑρίσκει τὸν Θεὸν ὑπέρμαχον αὐτȣ̃. ὁ παρέχων τὸν βραχίονα ἑαυτȣ̃ εἰς βοήθειαν τȣ̃ πλησίον αὐτȣ̃, λαμβάνει τὸν βραχίονα τȣ̃ Θεȣ̃ εἰς βοήθειαν ἑαυτȣ̃. ὁ κατηγορῶν τὸν ἀδελφὸν αὐτȣ̃ ἐν τῇ κακίᾳ αὐτȣ̃, ευρίσκει τὸν Θεὸν κατήγορον ἑαυτȣ̃. ὁ διορθȣ́μενος τὸν ἀδελφὸν αὐτȣ̃ ἐν τῷ ταμείῳ αὐτȣ̃, τὴν ἰδίαν κακίαν ἰᾶται· καὶ ὁ κατηγορῶν τινὰ ἐν συναθροίσματι, ἐνισχύει τὰ ἴδια τραύματα. ὁ θεραπεύων τὸν ἀδελφὸν αὐτȣ̃ κρυπτῶς, τὴν ἰχὺν τῆς ἀγάπης αὐτȣ̃ ἔκδηλον ποιεῖ· καὶ ὁ καταιχύνων αὐτὸν ἐν ὀφθαλμοῖς τῶν ἑταίρων αὐτȣ̃, τὴν ἰχὺν τȣ̃ ἐν αὐτῷ φθόνȣ ἀποδεικνύει. φίλος ἐν κρυπτῷ ἐλέγχων, ἰατρὸς σοφός ἐςιν· ὁ δὲ ἐν ὀφθαλμοῖς πολλῶν ἰατρεύων, ὀνειδίζων ἐςὶν ἐν ἀληθείᾳ. σημεῖον τῆς συμπαθείας ἐςὶ, συγχώρησις παντὸς ὀφλήματος· ϗ σημεῖον τȣ̃ πονηρȣ̃ φρονήματος, ἀντιλογία πρὸς τὸν πταίσαντα. ὁ πρὸς ὑγείαν προσφέρων τὴν παιδείαν, ἐν τῇ ἀγάπῃ παιδεύει· ὁ δὲ ἐκζητῶν ἐκδίκησιν, κενός ἐςιν ἐκ τῆς ἀγάπης. ὁ Θεὸς παιδεύει ἐν τῇ ἀγάπῃ ȣ̓κ ἀμυνόμενος, μὴ γένοιτο, ἀλλ᾽ ἵνα ἰαθῇ ἡ εἰκὼν αὐτȣ̃ ζητεῖ, καὶ ȣ̓ φυλάττει τὴν ὀργὴν εἰς καιρόν. ȣ̃τος ὁ τρόπος τῆς ἀγάπης ἐκ τῆς εὐθύτητός ἐςι, καὶ ἐμπαθῶς εἰς ἄμυναν ȣ̓κ ἐκκλίνει. δίκαιος σοφὸς, τῷ Θεῷ ἐςὶν ὅμοιος. ȣ̓ γὰρ παιδεύει παντελῶς ἀνθρω-

ἄνθρωπον, ἀμυνόμενος αὐτὸν εἰς τὴν κακίαν αὐτοῦ, ἀλλ' ἢ ἵνα διορθωθῇ ὁ ἄνθρωπος, ἢ ἄλλοι φοβηθῶσιν. ἡ δὲ μὴ ὁμοιοῦσα ταύτῃ, (1) οὐκ ἔστι παιδεία. ὁ δι' ἀνταπόδοσιν ποιῶν τὸ ἀγαθὸν, ταχέως τρέπεται· ὁ δὲ τῇ δυνάμει τῆς γνώσεως ἑαυτοῦ θαυμάζων ἐν τῇ θεωρίᾳ τὴν γνῶσιν τὴν οὖσαν ἐν τῷ Θεῷ, οὗτος εἰ καὶ κατακόπτεται σαρκὶ, οὐδὲ ἐν τῇ διανοίᾳ ἑαυτοῦ ἐπαίρεται, οὐδὲ ἐκ τῆς ἀρετῆς ἐκκλίνει ποτέ. ὁ φωτίζων τὴν διάνοιαν ἑαυτοῦ πρὸς τὴν ἐπάξιον τοῦ Θεοῦ ἀμοιβὴν, οὗτος πρὸς τὸ βάθος τῆς ταπεινοφροσύνης κατήντησε ψυχῇ τε καὶ σώματι. πρὸ τοῦ γὰρ ἐγγίσαι τὶς τῇ γνώσει, ἀνέρχεται καὶ κατέρχεται ἐν τῇ πολιτείᾳ αὐτοῦ· ὅτε δὲ προσεγγίσει τῇ γνώσει, ὅλος ἐπάρσει ἐπαίρεται. καὶ ὅσον ὑψωθῇ, οὐ τελειοῦται ἡ ἀνάβασις τῆς γνώσεως αὐτοῦ, ἕως ἂν ἔλθῃ ἐκεῖνος ὁ αἰὼν τῆς δόξης, καὶ λάβῃ τὸν πλοῦτον αὐτοῦ πάμπαν. ὅσον γὰρ τελειοῦται ἄνθρωπος πρὸς τὸν Θεὸν, τοσοῦτον ὀπίσω αὐτοῦ πορεύεται· ἐν δὲ τῷ ἀληθινῷ αἰῶνι, τὸ πρόσωπον ἑαυτοῦ δεικνύει αὐτῷ· οὐχ ὅ, τι, ἐστίν. ὅσον γὰρ οἱ δίκαιοι εἰσέλθωσιν ἐν τῇ θεωρίᾳ αὐτοῦ, τὴν εἰκόνα ὡς ἐν ἐσόπτρῳ θεωροῦσιν· ἐκεῖσε δὲ, τὴν φανέρωσιν τῆς ἀληθείας θεωροῦσι.

Τὸ πῦρ τὸ ἐν ξηροῖς ξύλοις ἀναφθὲν δυσχερῶς σβεσθήσεται, καὶ ἡ θέρμη τοῦ Θεοῦ ἡ γινομένη καὶ ἐμπίπτουσα ἐν τῇ καρδίᾳ τοῦ ἀποταξαμένου τῷ κόσμῳ, ἡ πυρπόλησις αὐτῆς οὐ σβεσθήσεται, καὶ ἔστι τοῦ πυρὸς δριμυτέρα. ὁ οἶνος, ὅταν ἡ δύναμις αὐτοῦ εἰσέλθῃ εἰς τὰ μέλη, ἐπιλανθάνεται ὁ νοῦς τὴν ἀκρίβειαν τῶν πάντων· καὶ ἡ μνήμη τοῦ Θεοῦ, ὅτε κρατήσει

(1) Τὸ Ε. Χ. Εἰ δὲ μὴ ὁμοιοῦται ταύτῃ,

νομίω εἰς τίω ψυχίω, ἀπόλλυσι πᾶσαν μνήμίω ὁράσεως ἐκ τῆς καρδίας. διάνοια εὑρεῦσα τίω σοφίαν τῦ πνεύματος, ὡς ἄνθρωπος εὑρίσκων πλοῖον ἕτοιμον ἐν τῇ Θαλάσσῃ· καὶ ὅταν καθίσῃ ἐν αὐτῷ, διαβιβάζει ἑαυτὸν ἐκ τῆς Θαλάσσης τῦ κόσμε τέτε, καὶ φθάσαι ποιεῖ τίω νῆσον τῦ μέλλοντος αἰῶνος. ἕτως ἐςὶν ἡ αἴσθησις τῦ μέλλοντος αἰῶνος ἐν τῷ κόσμῳ τέτῳ, ὡς νῆσος μικρὰ ἐν τῇ Θαλάσσῃ, καὶ ὁ προσεγγίζων αὐτῇ, ἐκ ἔτι κοπιᾷ ἐν τοῖς κύμασι τῆς φαντασίας τῦ αἰῶνος τέτε.

Ὁ ἔμπορος ὅταν τελειωθῇ ὁ κλῆρος αὐτῦ, σπεδάζει ἀπελθεῖν εἰς τὸν οἶκον αὐτῦ· ϗ ὁ Μοναχὸς ὅσον ἀκμίω ὑπολείπεται ὁ καιρὸς τῆς πράξεως αὐτῦ, λυπεῖται χωρισθῆναι ἐκ τῦ σώματος τέτε· καὶ ὅταν αἰσθηθῇ ἐν τῇ ψυχῇ αὐτῦ, ὅτι ἐξηγόρασε τὸν καιρὸν, καὶ ἔλαβε τὸν ἀῤῥαβῶνα αὐτῦ, ἐπιθυμεῖ τὸν μέλλοντα αἰῶνα. ὁ ἔμπορος ὅσον ἐςὶν ἐν τῇ Θαλάσσῃ, ὁ φόβος ἐν τοῖς μέλεσιν αὐτῦ ἐςὶ, μήπως ἐπαναςῶσιν αὐτῷ τὰ κύματα, καὶ βυθισθῇ ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῦ· ϗ ὁ Μοναχὸς ὅσον ἐςὶν ἐν τῷ κόσμῳ, ὁ φόβος κατακρατεῖ τῆς πολιτείας αὐτῦ, μήπως ἐξυπνισθῇ κατ᾽ αὐτῦ ὁ χειμὼν, καὶ ἀπολεσθῇ τὸ ἔργον αὐτῦ, τὸ ἐκ τῆς νεότητος αὐτῦ ἕως γήρως αὐτῦ. ὁ ἔμπορος τίω χέρσον θεωρεῖ, καὶ ὁ Μοναχὸς τίω ὥραν τῦ θανάτε.

Ὁ ναύτης τὲς ἀςέρας βλέπει, ὅταν διαβαίνῃ ἐν μέσῳ τῆς Θαλάσσης, καὶ πρὸς τὲς ἀςέρας κατευθύνει τὸ πλοῖον αὐτῦ, ἕως ἂν φθάσῃ τὸν λιμένα· ϗ ὁ Μοναχὸς εἰς τίω εὐχίω βλέπει, διότι διορθοῖ αὐτὸν, καὶ κατευθύνει αὐτῦ τίω πορείαν πρὸς ὁποῖον λιμένα εὐθύνει ἡ πολιτεία αὐτῦ ἐν τῇ εὐχῇ τῇ καθ᾽ ὥραν. ὁ ναύτης ὁρᾷ τίω νῆσον, ἐν ᾗ δήσει τὸ πλοῖον αὐτῦ,

καὶ

καὶ ἐκεῖθεν ἐφοδιάζεται, καὶ εὐθύνεται πάλιν εἰς ἄλλην νῆσον. οὕτως ἐστὶν ἡ πορεία τοῦ Μοναχοῦ ὅσον ἐστὶν ἐν τῇ ζωῇ ταύτῃ· ἀπὸ νήσου εἰς νῆσον διαβαίνει, ἤτοι ἀπὸ γνώσεως εἰς γνῶσιν, καὶ ἐν τῇ ἀλλαγῇ τῶν νήσων, ἤτοι τῶν γνώσεων προκόπτει, ἕως ἂν ἀνέλθῃ ἐκ τῆς Θαλάσσης, καὶ πρὸς τὴν πόλιν τὴν ἀληθινὴν ἐκείνην καταφθάσῃ ἡ πορεία αὐτοῦ. ἐν ᾗ οἱ οἰκοῦντες ἐν αὐτῇ οὐκ ἐμπορεύονται πάλιν· ἀλλ᾽ ἕκαστος ἐν τῷ πλούτῳ αὐτοῦ ἐπαναπαύεται. μακάριος ὅστις ἡ ἐμπορία αὐτοῦ οὐ συνεχύθη ἐν τῷ κόσμῳ τούτῳ τῷ ματαίῳ, ἔσωθεν τῆς μεγάλης Θαλάσσης ταύτης. μακάριος ὅστις, τὸ πλοῖον αὐτοῦ οὐκ ἐκλάσθη, καὶ φθάνει ἐν χαρᾷ πρὸς τὸν λιμένα.

Ὁ νηχόμενος, γυμνὸς καταδύνει ἐν τῇ Θαλάσσῃ, ἕως ἂν εὕρῃ τὸν μαργαρίτην· καὶ ὁ σοφὸς Μοναχὸς, γυμνὸς διαπορεύεται ἐν τῷ βίῳ, ἕως ἂν εὕρῃ ἐν ἑαυτῷ τὸν μαργαρίτην Ἰησοῦν Χριστόν· καὶ ὅταν εὕρῃ αὐτὸν, οὐκ ἔτι κτᾶται σὺν αὐτῷ τι τῶν ὄντων. ὁ μαργαρίτης ἐν τοῖς ταμείοις φυλάττεται· καὶ ἡ τροφὴ (1) τοῦ Μοναχοῦ ἔσωθεν τῆς ἡσυχίας συντηρεῖται. ἡ παρθένος ἐν ταῖς συναγωγαῖς, καὶ ἐν τοῖς πλήθεσι τῶν λαῶν καταβλάπτεται· καὶ ἡ διάνοια τοῦ Μοναχοῦ ἐν ταῖς τῶν πολλῶν συντυχίαις. τὸ ὄρνεον ἐκ παντὸς τόπου πρὸς τὴν καλιὰν αὐτοῦ τρέχει, τοῦ ποιῆσαι τέκνα· καὶ ὁ Μοναχὸς ὁ ἔχων διάκρισιν ταχύνει εἰς τὸ σκήνωμα ἑαυτοῦ, τοῦ ποιῆσαι ἐν αὐτῷ καρπὸν ζωῆς. ὁ ὄφις ὅταν θλασθῇ ὅλον τὸ σῶμα αὐτοῦ, τὴν κεφαλὴν αὐτοῦ τηρεῖ· καὶ ὁ σοφὸς Μοναχὸς παραφυλάττεται ἐν παντὶ καιρῷ τὴν πίστιν αὐτοῦ, ἥτις ἐστὶν ἀρχὴ τῆς ζωῆς αὐτοῦ. νεφέλη κα-

λύπτει

(1) Τὸ Ε. Χ. τρυφή.

λύπτει Ἥλιον· καὶ λόγοι πολλοὶ τὴν ψυχὴν τὴν ἀρξαμένην φωτίζεσθαι ἐν τῇ θεωρίᾳ τῆς εὐχῆς καλύπτουσι.

Τὸ ὄρνεον τὸ καλούμενον Ἐρωδιὸς, ἐν ἐκείνῳ τῷ καιρῷ εὐφραίνεται καὶ ἀγαλλιᾶται κατὰ τὸν λόγον τῶν σοφῶν, ὅταν ἀφορίσῃ ἑαυτὸν ἐκ τῆς οἰκουμένης, καὶ πορευθῇ εἰς ἔρημον τόπον, καὶ οἰκήσῃ ἐν αὐτῷ. οὕτω καὶ ἡ ψυχὴ τοῦ μονάζοντος, ἐν ἐκείνῳ τῷ καιρῷ δέχεται τὴν οὐράνιον χαρὰν, ὅταν μακρυνθῇ ἐκ τῶν ἀνθρώπων, καὶ ἀπέλθῃ καὶ οἰκήσῃ εἰς τὴν χώραν τῆς ἡσυχίας, καὶ ἐκεῖ προσδοκήσῃ τὸν καιρὸν τῆς ἐξόδου αὐτοῦ. ἐῤῥέθη περὶ τοῦ ὀρνέου τοῦ λεγομένου Σειρῆνος, ὅτι ἕκαστος ἀκούων τοῦ μέλους τῆς φωνῆς αὐτοῦ, οὕτως αἰχμαλωτίζεται ὀπίσω αὐτοῦ ἐν τῇ ὁδοιπορίᾳ τῆς ἐρήμου, ὡς ἐπιλανθάνεσθαι ἐν τῇ ἡδύτητι τοῦ μέλους καὶ αὐτῆς τῆς ζωῆς, καὶ πίπτειν καὶ ἀποθνήσκειν. τούτῳ ἀπεικάζεται τὸ πρᾶγμα τῆς ψυχῆς. ὅταν γὰρ ἐμπέσῃ ἡ γλυκύτης ἡ οὐράνιος ἐν αὐτῇ, ἐκ τοῦ μέλους τῆς ἡδύτητος τῶν λογίων τοῦ Θεοῦ τῶν ἐμπιπτόντων ἐν αἰσθήσει ἐν τῷ νοΐ, οὕτως ὅλη ἀπέρχεται ὀπίσω αὐτῆς, ὡς ἐπιλανθάνεσθαι τῆς ζωῆς ταύτης τῆς σωματικῆς, καὶ στερεῖσθαι τὸ σῶμα τῶν ὀρέξεων αὐτοῦ, καὶ ὑψοῦσθαι αὐτὴν πρὸς τὸν Θεὸν ἐκ τῆς ζωῆς ταύτης.

Δένδρον ἐὰν μὴ ἀποβάλλῃ ἑαυτοῦ τὰ πρότερον φύλλα πρῶτον, οὐκ ἐκφέρει τοὺς νεαροὺς κλάδους· καὶ Μοναχὸς ἕως ἂν μὴ ἀποῤῥίψειεν ἀπὸ τῆς καρδίας αὐτοῦ τὴν μνήμην τῶν προτέρων ἑαυτοῦ, οὐκ ἐκφέρει νεαροὺς καρποὺς καὶ κλάδους ἐν Ἰησοῦ Χριστῷ.

Ὁ ἄνεμος λιπαίνει τοὺς καρποὺς, καὶ ἡ μέριμνα τοῦ Θεοῦ τοὺς καρποὺς τῆς ψυχῆς. μύαξ, ἐν ᾧ ὁ μαργαρίτης τίκτεται,

κτί-

κτίζεται ἐν αὐτῷ εἶδός τι σπινθῆρος ἐκ τῆς ἀςραπῆς, καὶ ἐκ τȣ̃ ἀέρος δέχεται τὴν ὕλην, καθὼς ἐςι λόγος, καὶ ἕως τότε σάρξ ἐςι ψιλή· καὶ ἡ καρδία τȣ̃ Μοναχȣ̃ ἕως ἂν δέξηται τὴν ὕλην τὴν ȣ̓ράνιον ἐν συνέσει, τὸ ἔργον αὐτῆς ψιλόν ἐςι, καὶ ȣ̓κ ἔχει ἔσωθεν τῶν μυάκων τὸν καρπὸν τῆς παρακλήσεως.

Ὁ Κύων ὁ λείχων τὸ ῥινίον, ἐκ τȣ̃ αἵματος ἑαυτȣ̃ πίνει, καὶ ȣ̓κ οἶδε τὴν βλάβην αὐτȣ̃ ἐκ τῆς γλυκύτητος τȣ̃ ἰδίȣ αἵματος· καὶ ὁ Μοναχὸς ὁ κλίνων πιεῖν κενοδοξίαν, ἐκ τῆς ζωῆς αὐτȣ̃ συμπίνει, καὶ ȣ̓κ αἰσθάνεται τῆς βλάβης αὐτȣ̃ ἐκ τῆς γλυκύτητος τῆς πρὸς ὥραν γινομένης. ἡ δόξα ἡ κοσμικὴ πέτρα ἐςὶν ἐν τῇ θαλάσσῃ σκεπαζομένη ὑπὸ τῶν ὑδάτων, καὶ ȣ̓ γινώσκεται τῷ ναύτῃ, ἕως ἂν ἐπιςῇ ἐν αὐτῇ τὸ πλοῖον κάτωθεν, καὶ πληρωθῇ ὕδατος· ȣ̔́τως ἡ κενοδοξία ποιεῖ εἰς τὸν ἄνθρωπον, ἕως ἂν βυθίσῃ καὶ ἀπολέσῃ αὐτόν. ἐῤῥέθη περὶ αὐτῆς τοῖς πατράσιν, ὅτι ἐν τῇ κενοδόξῳ ψυχῇ ςρέφονται πάλιν τὰ πάθη τὰ ἅπαξ ἡττηθέντα, καὶ ἐξελθόντα ἐξ αὐτῆς. νεφέλη μικρὰ σκεπάζει τὸν κύκλον τȣ̃ Ἡλίȣ· καὶ ὁ Ἥλιος μετὰ τὴν νεφέλην λίαν ἐςὶ θερμός· καὶ ἀκηδία μικρὰ σκεπάζει τὴν ψυχὴν, καὶ ἡ χαρὰ ἡ μετ᾽ αὐτὴν μεγάλη ἐςί.

Τοῖς λόγοις τῶν μυςηρίων τῶν ἐν τῇ θείᾳ γραφῇ, χωρὶς εὐχῆς καὶ αἰτήσεως βοηθείας παρὰ τȣ̃ Θεȣ̃ μὴ προσεγγίσῃς, ἀλλὰ λέγε· Κύριε δός μοι λαβεῖν αἴσθησιν τῆς δυνάμεως τῆς ἐν αὐταῖς. κλεῖδας τῶν νοημάτων τῶν ἀληθινῶν τῶν ἐν ταῖς θείαις γραφαῖς, τὴν εὐχὴν λογίζȣ εἶναι. ὅταν θελήσῃς προσεγγίσαι τῷ Θεῷ τῇ καρδίᾳ σȣ, πρῶτον ἐν τοῖς σωματικοῖς κόποις δεῖξον αὐτῷ τὸν πόθον σȣ. ἐκ τȣ́των ἐςὶν ἡ ἀρχὴ τῆς πολιτείας. μεγάλως γὰρ προσεγγίζει ἡ καρδία τῷ Θεῷ ἐν τῇ ἐνδείᾳ τῆς

Εὐχὴ τῆς ἀναγνώσεως.

χρείας, ἐν τῇ ἀσκήσει τῦ ἑνὸς εἴδους τῆς τροφῆς, καὶ ἀκολουθεῖ τοῖς ἔργοις. καὶ γὰρ καὶ ὁ Κύριος ἐκ τούτου ἐποίησε τὸν θεμέλιον τῆς τελειώσεως. λόγισαι δὲ τὴν ἀργίαν, ἀρχὴν σκοτώσεως τῆς ψυχῆς. σκότωσιν δὲ ἐπὶ σκοτώσει, τὰς συντυχίας τῶν λόγων. ἀφορμὴ δὲ τοῦ προτέρου, τὸ δεύτερον. ἐὰν γὰρ οἱ λόγοι τῆς ὠφελείας οἱ ἀμέτρως γινόμενοι σκότωσιν ἐμποιοῦσι, πόσῳ μᾶλλον τὰ μάταια; ἀτελίζεται γὰρ ἡ ψυχὴ ἐν τῷ πλήθει τῆς ὁμιλίας τῆς πολλῆς, κἂν ἡ παρασκευὴ αὐτῆς εἰς τὸν φόβον τοῦ Θεοῦ ᾖ. λοιπὸν ἡ σκότωσις τῆς ψυχῆς ἐκ τῆς ἀταξίας τῆς πολιτείας γίνεται.

Τὸ μέτρον, καὶ ὁ ὅρος ἐν τῇ πολιτείᾳ φωτίζουσι τὴν διάνοιαν, καὶ τὴν σύγχυσιν ἀποδιώκουσι. ἡ σύγχυσις τῆς διανοίας ἡ ἀπὸ τῆς ἀταξίας, σκότωσιν ἐμποιεῖ τῇ ψυχῇ· καὶ ἡ σκότωσις, θόλωσιν. ἡ εἰρήνη ἐκ τῆς καλῆς τάξεως γίνεται, καὶ τὸ φῶς ἐκ τῆς εἰρήνης γεννᾶται ἐν τῇ ψυχῇ, καὶ ἐκ τῆς εἰρήνης ὁ καθαρὸς ἀὴρ ἐν τῇ διανοίᾳ αὐγάζει. καὶ πρὸς τὸ μέτρον τοῦ πελασμοῦ τῆς καρδίας πρὸς τὴν σοφίαν τοῦ πνεύματος ἐκ τῆς τοῦ κόσμου ἀποξενώσεως, τοσοῦτον δέχεται τὴν χαρὰν παρὰ τοῦ Θεοῦ, καὶ διάκρισιν τῆς σοφίας τοῦ πνεύματος ἐκ τῆς τοῦ κόσμου αἰσθάνεται ἐν τῇ ψυχῇ ἑαυτοῦ. ὅτι ἐν τῇ σοφίᾳ τοῦ πνεύματος, ἡ σιωπὴ κατακρατεῖ ἐν τῇ ψυχῇ· ἐν δὲ τῇ κοσμικῇ σοφίᾳ, ἡ πηγὴ τοῦ μετεωρισμοῦ. καὶ μετὰ τὴν εὕρεσιν τῆς πρώτης σοφίας, πληροῦσαι ταπεινοφροσύνης πολλῆς, καὶ ἐπιεικείας, καὶ εἰρήνης τῆς βασιλευούσης πάντων τῶν λογισμῶν σου. ἐντεῦθεν καὶ τὰ μέλη σου παύσονται, καὶ ἡσυχάσουσιν ἐκ τῆς ταραχῆς καὶ τοῦ στηνιασμοῦ. μετὰ δὲ τὴν εὕρεσιν τῆς δευτέρας σοφίας κτᾶσαι τὴν ὑπερηφανίαν ἐν

τῷ

τῷ φρονήματί σε, καὶ λογισμὲς παρηλλαγμένες ἀῤῥήτες, καὶ ταραχὴν τε̃ νοός, καὶ ἀναίδειαν τῶν αἰσθήσεων, ἢ γαυρίασιν. μὴ νομίσῃς, ὅτι παῤῥησιασθήσεται ἐν προσευχῇ ἐνώπιον τε̃ Θεε̃ ἄνθρωπος δεδεμένος ἐν τοῖς σωματικοῖς. ψυχὴ σκνιπευομένη, ςερεῖται τῆς σοφίας· ἡ δὲ ἐλεήμων, σοφισθήσεται παρὰ τε̃ πνεύματος.

Ὥσπερ ἔλαιον εἰς φαῦσιν τῆς λαμπάδος, ἕτως ἡ ἐλεημοσύνη τρέφει τὴν γνῶσιν ἐν τῇ ψυχῇ. ἡ κλεὶς τῆς καρδίας τῶν θείων χαρισμάτων ἐν τῇ ἀγάπῃ τε̃ πλησίον δίδοται, καὶ κατὰ τὸ μέτρον τῆς λύσεως τῆς καρδίας ἐκ τε̃ δεσμε̃ τε̃ σώματος, κατὰ τοσε̃τον ἀνοίγεται ἔμπροσθεν αὐτε̃ ἡ θύρα τῆς γνώσεως. διάβασις τῆς ψυχῆς ἀπὸ κόσμε εἰς κόσμον, ἡ ὑποδοχὴ τῆς συνέσεως ἐςί. τί ὡραία ἢ ἐπαινετή ἐςιν ἡ ἀγάπη τε̃ πλησίον, ἐὰν μὴ ἡ μέριμνα αὐτῆς περιασπάσῃ ἡμᾶς ἐκ τῆς ἀγάπης τε̃ Θεε̃. τί ἡδεῖά ἐςιν ἡ συντυχία τῶν πνευματικῶν ἡμῶν ἀδελφῶν, ἐὰν δυνηθῶμεν φυλάξαι μετ᾽ αὐτῆς καὶ τὴν μετὰ τε̃ Θεε̃. λοιπὸν, καλόν ἐςι φροντίσαι καὶ περὶ τέτων, ἕως ἂν ἐπιτρέπῃ τὸ ἁρμόζον. τε̃το δέ ἐςι τὸ μὴ πεσεῖν, προφάσει τέτε, τῆς κρυπτῆς ἐργασίας, καὶ πολιτείας, καὶ ἀδιαλείπτε ὁμιλίας τῆς πρὸς τὸν Θεόν. ἡ γὰρ σύγχυσις τε̃ δευτέρε, ἐκ τῆς τε̃ πρώτε συςάσεως. ἐχ ἱκανοῖ δὲ ὁ νε̃ς πρὸς δύω ὁμιλίας.

Ἡ θεωρία τῶν κοσμικῶν σύγχυσιν τῇ ἀποταξαμένῃ αὐτὲς ψυχῇ ποιεῖ, διὰ τὸ ἔργον τε̃ Θεε̃. καὶ τῶν μὲν πνευματικῶν ἀδελφῶν ἡ ἀδιάλειπτος ὁμιλία βλάπτει, τῶν δὲ κοσμικῶν ἡ θεωρία ἡ ἐξωτέρα καὶ μόνη. τὴν πρᾶξιν τὴν σωματικὴν ἐ κωλύει ἡ ἀπάντησις τῶν αἰσθήσεων. ὁ δὲ θέλων ἐκ τῆς εἰρήνης τῆς διανοίας τρυγῆσαι τὴν χαρὰν ἐν τῇ ἐργασίᾳ τῶν κρυ-

πτῶν, καὶ ἐκ τῶν φωνῶν, χωρὶς θεωρίας, ταράσσεται εἰς τὴν ἀνάπαυσιν τῆς καρδίας αὐτοῦ. ἡ νέκρωσις ἡ ἐσωτέρα χωρὶς τῆς ἀργίας τῶν αἰσθήσεων οὐχ ἵσαται, καὶ ἡ σωματικὴ πολιτεία ἐξυπνισμὸν τῶν αἰσθήσεων θέλει, ἡ δὲ ψυχικὴ πολιτεία τὸν ἐξυπνισμὸν τῆς καρδίας.

Ὥσπερ ἐν τῇ φύσει κρείττων ἐςὶν ἡ ψυχὴ τοῦ σώματος, οὕτω κρεῖσσόν ἐςι τὸ ἔργον τῆς ψυχῆς τοῦ σώματος. καὶ ὥσπερ ἐν πρώτοις προηγήσατο ἡ πλάσις τοῦ σώματος τοῦ ἐμφυσήματος, οὕτω καὶ τὰ σωματικὰ ἔργα προηγεῖται τοῦ ἔργου τῆς ψυχῆς. μεγάλη δύναμις ἡ μικρὰ πολιτεία ἡ ἀεὶ διαμένουσα· καὶ ςαγὼν ἁπαλὴ διαμένουσα, τὴν πέτραν τὴν σκληρὰν κοιλαίνει.

Ὅταν προσεγγίσῃ ἀνασῆναι ἐν σοὶ ὁ πνευματικὸς ἄνθρωπος, ἡ νέκρωσις ἡ ἐκ πάντων ἐξυπνίζεται ἐν σοὶ, καὶ θερμαίνεται ἡ χαρὰ ἐν τῇ ψυχῇ σου τῇ ἀνομοίῳ τῆς κτίσεως, καὶ συγκλείονται οἱ λογισμοί σου αὐτός σου ἐν τῇ ἡδύτητι τῇ ἐν τῇ καρδίᾳ σου. καὶ ὅταν μέλλῃ ὁ κόσμος ἀνασῆναι ἐν σοὶ, ὁ μετεωρισμὸς τῆς διανοίας πληθύνεται ἐν σοὶ, καὶ τὸ φρόνημα τὸ μικρόν τε καὶ ἄςατον. κόσμον δὲ καλῶ τὰ πάθη, ἅπερ κυΐσκει ὁ μετεωρισμός. καὶ ὅταν τεχθῶσι, καὶ τελειωθῶσι, γίνονται ἁμαρτίαι, καὶ ἀποκτείνουσι τὸν ἄνθρωπον. ὥσπερ οὐ γεννῶνται τέκνα χωρὶς μητρὸς, οὕτως οὐ γεννῶνται τὰ πάθη χωρὶς τοῦ μετεωρισμοῦ τῆς διανοίας· καὶ οὐδὲ τελείωσις τῆς ἁμαρτίας, χωρὶς τῆς ὁμιλίας τῶν παθῶν.

Ὅταν πληθυνθῇ ἡ ὑπομονὴ ἐν ταῖς ψυχαῖς ἡμῶν, σημεῖόν ἐςιν, ὅτι ἐλάβομεν ἐν τῷ κρυπτῷ τὴν χάριν τῆς παρακλήσεως. ἡ ἰσχὺς τῆς ὑπομονῆς ἰσχυροτέρα ἐςὶ τῶν ἐννοιῶν τῆς χαρᾶς τῶν ἐμπιπτουσῶν ἐν τῇ καρδίᾳ. ἡ ζωὴ ἐν Θεῷ, ἡ κα-

τάπτω-

τάπτωσις τῶν αἰσθήσεων ἐςίν. ὅτε δὲ ζήσει ἡ καρδία, καταπίπτουσιν αἱ αἰσθήσεις. ἡ ἀνάςασις τῶν αἰσθήσεων, ἐςὶν ἡ νέκρωσις τῆς καρδίας. καὶ ὅταν αὗται ἀνας ῶσι, σημεῖόν ἐςι τῆς νεκρώσεως τῆς καρδίας ἀπὸ τοῦ Θεοῦ. ἐκ τῶν ἀρετῶν τῶν μεταξὺ τῶν ἀνθρώπων πραττομένων, οὐ λαμβάνει ἡ συνείδησις τὴν εὐθύτητα.

Ἀρετὴ, ἣν δι' ἄλλων πράττει τὶς, οὐ δύναται καθάραι τὴν ψυχήν. πρὸς γὰρ μισθὸν ἔργων λογίζεται ἐνώπιον τοῦ Θεοῦ. ἣν δὲ ἐν ἑαυτῷ ποιήσει ἄνθρωπος, πρὸς τελείαν λογίζεται ἀρετὴν, καὶ τελειοῖ τὰ ἀμφότερα, καὶ πρὸς ἀνταπόδοσιν λογίζεται, καὶ καθαρότητα ἐμποιεῖ. διὰ τοῦτο χωρίσθητι τοῦ πρώτου, καὶ ἀκολούθησον τῷ δευτέρῳ. ἐκτὸς γὰρ μερίμνης τῆς ἐν τούτῳ, τὸ καταλεῖψαι τὸ ἄλλο, ἔκπτωσις φανερὰ ἐκ τοῦ Θεοῦ. τὸ δεύτερον δὲ, καὶ τὸν τόπον τοῦ πρώτου ἀναπληροῖ χωρὶς αὐτοῦ. (1)

Ἡ ἀνάπαυσις καὶ ἡ ἀργία, ἀπώλεια ψυχῆς ἐςὶ, καὶ πλείω τῶν Δαιμόνων δύνανται βλάψαι αὗται. τὸ σῶμα τὸ ἀσθενὲς, ὅταν καταναγκάσῃς εἰς ἔργα περισσότερα τῆς δυνάμεως αὐτοῦ, σκότωσιν ἐπὶ σκοτώσει ἐντίθῃς τῇ σῇ ψυχῇ, καὶ σύγχυσιν αὐτῇ μᾶλλον ἐπιφέρεις. τὸ δὲ σῶμα τὸ ἰσχυρὸν, ἐὰν τῇ ἀναπαύσει καὶ τῇ ἀργίᾳ ἐκδῷς, πᾶσα κακία τελειοῦται ἐν τῇ ψυχῇ τῇ οἰκούσῃ ἐν αὐτῷ. καὶ ἐάν τις μεγάλως ἐπιθυμῇ τὸ ἀγαθὸν, ἀλλὰ μετὰ μικρὸν καὶ αὐτὴν τὴν ἔννοιαν τοῦ ἀγαθοῦ, ἣν εἶχεν, αἴρει ἀπ' αὐτοῦ. ὅταν ἡ ψυχὴ μεθυσθῇ ἐν τῇ χαρᾷ τῆς ἐλπίδος αὐτῆς, καὶ ἐν τῇ εὐφροσύνῃ τοῦ Θεοῦ,

(1) Τὸ Ε. Χ. χωρὶς ἐνεργείας αὐτοῦ.

ἀναισθητεῖ τὸ σῶμα τῶν θλίψεων, κἂν ἀσθενὲς ᾖ. βαστάζει γὰρ διπλοῦν βάρος καὶ οὐκ ἀτονεῖ, ἀλλὰ συναπολαύει, καὶ συνεργεῖ τὸ σῶμα ἐν τῇ τρυφῇ τῆς ψυχῆς, καὶ ἐὰν ᾖ ἀσθενές. (1) οὕτως ὅταν εἰσέλθῃ ἡ ψυχὴ εἰς ἐκείνην τὴν χαρὰν τοῦ πνεύματος.

Ἐὰν φυλάξῃς τὴν γλῶσσάν σου, ὦ ἀδελφὲ, δίδοταί σοι παρὰ Θεοῦ ἡ χάρις τῆς κατανύξεως τῆς καρδίας, τοῦ θεάσασθαι ἐν αὐτῇ τὴν ψυχήν σου. καὶ ἐν ταύτῃ εἰσέρχῃ εἰς τὴν χαρὰν τοῦ πνεύματος. ἐὰν δὲ ἡ γλῶσσά σου νικήσῃ σε, πίστευσόν μοι εἰς ὅπερ λέγω σοι, ὅτι οὐδέποτε δυνήσῃ ἐξειλῆσαι ἐκ τῆς σκοτώσεως. ἐὰν οὐκ ἔχῃς καρδίαν καθαρὰν, ἔχε κἂν στόμα καθαρὸν, ὡς ὁ μακάριος Ἰωάννης εἶπεν.

Ὅταν θελήσῃς νουθετῆσαί τινα εἰς τὸ ἀγαθὸν, πρῶτον ἀνάπαυσον αὐτὸν σωματικῶς, καὶ τίμησον αὐτὸν ἐν λόγῳ ἀγάπης. οὐδὲν γὰρ οὕτως αἰδεῖσθαι πείθει τὸν ἄνθρωπον, καὶ μεταλλαγῆναι ποιεῖ ἀπὸ τῆς κακίας αὐτοῦ ἐπὶ τὰ βελτίονα, εἰ μὴ τὰ σωματικὰ ἀγαθὰ, καὶ ἡ τιμὴ ἥνπερ θεωρεῖ ἀπὸ σοῦ. ὅσον γὰρ εἰς τὸν ἀγῶνα τὸν ὑπὲρ τοῦ Θεοῦ εἰσέλθῃ τὶς, τοσοῦτον παῤῥησιάζεται ἡ καρδία αὐτοῦ ἐν τῇ εὐχῇ αὐτοῦ. καὶ ὅσον ἐκ πολλῶν ἑλκυσθῇ ὁ ἄνθρωπος, στερεῖται τῆς βοηθείας τοῦ Θεοῦ. μὴ λυποῦ εἰς τὰς πηρώσεις τοῦ σώματος· διότι ὁ Θεὸς ἀναλαμβάνει αὐτὰς ἀπὸ σοῦ τελείως. μὴ φοβοῦ θάνατον· διότι ὁ Θεὸς ἡτοίμασε, τοῦ ποιῆσαί σε ἐπάνωθεν αὐτοῦ. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ

(1) Τὸ Ε. Χ. καὶ ἐὰν ᾖ ἀσθενὲς εἰς ἐκείνην τὴν χαρὰν τοῦ πνεύματος.

ΛΟΓΟΣ ΟΔ.

ΠΕΡΙ ΤΟΥ ΥΠΟΔΕΙΓΜΑΤΟΣ ΚΑΙ ΤΗΣ ΠΑΡΑΒΟΛΗΣ ΤΗΣ ΚΑΤΑ ΚΥΡΙΑΚΗΝ ΚΑΙ ΣΑΒΒΑΤΟΝ ΘΕΩΡΙΑΣ.

Ἡ Κυριακὴ μυστήριόν ἐστι τῆς γνώσεως τῆς ἀληθείας. ἥτις μετὰ σαρκὸς καὶ αἵματος οὐ προσδέχεται, κἂν ὑπέρκειται τῶν ἐνθυμήσεων. ἐν τούτῳ τῷ αἰῶνι οὐκ ἔστιν ὀγδόη, οὐδὲ σάββατον ἀληθῶς. ὁ γὰρ εἰπὼν κατέπαυσεν ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, τὴν κατάπαυσιν τοῦ δρόμου ταύτης τῆς ζωῆς ἐδήλωσε. διότι ὁ τάφος, σῶμά ἐστι, καὶ ἐκ τοῦ κόσμου ἐστίν. ἓξ ἡμέραι ἐν τῇ γεωργίᾳ τῆς ζωῆς, διὰ τῆς φυλακῆς τῶν ἐντολῶν τελειοῦνται· καὶ τὸ ἕβδομον, ἐν τῷ τάφῳ ὁλοκληροῦται· καὶ τὸ ὄγδοον, ἐν τῇ ἐξόδῳ αὐτοῦ.

Γεν. β. β.

Ὥσπερ τὰ μυστήρια τῆς Κυριακῆς ἐν παραβολῇ δέχονται ἐνταῦθα οἱ ἀξιούμενοι, καὶ οὐκ αὐτὴν τὴν ἡμέραν σωματικῶς, οὕτω καὶ τὰ μυστήρια τοῦ σαββάτου ἐν παραβολῇ δέχονται οἱ ἀγωνισταὶ, καὶ οὐκ αὐτὸ τὸ σάββατον ἐν ἀληθείᾳ, ὅπερ ἐστὶ κατάπαυσις ἀπὸ παντὸς λυπηροῦ, καὶ ἀνάπαυσις τελεία τῶν ὀχληρῶν. μυστήριον γὰρ δέδωκεν ἡμῖν ὁ Θεὸς, καὶ οὐχὶ ἐνέργειαν ἀληθινὴν, πολιτεύσασθαι ἐνθάδε. τὸ σάββατον τὸ ἀληθινὸν καὶ ἀσύγκριτον, τὸ μνῆμά ἐστι, τὸ ὑπεμφαῖνον καὶ σημαῖνον

μαῖνον τὴν τελείαν κατάπαυσιν ἀπὸ τῶν θλίψεων τῶν παθῶν, καὶ τῆς γεωργίας τῆς ἐναντιωμένης αὐτῆς. πᾶσα ἡ ἀνθρωπότης ἐκεῖ σαββατίζει, ἤτε ψυχὴ καὶ τὸ σῶμα. ἐν ἓξ ἡμέραις ἔταξεν ὁ Θεὸς τὴν σύστασιν τοῦδε τοῦ κόσμου, καὶ συνεστήσατο τὰ στοιχεῖα, καὶ δέδωκε τὴν σύστασιν αὐτῶν ἀεικινήτῳ κινήσει πρὸς λειτουργίαν· καὶ οὐ μὴ παύσωνται τοῦ δρόμου πρὸ τῆς ἀναλύσεως. καὶ ἐκ τῆς δυνάμεως τούτων, λέγω δὴ τῶν ἀρχεγόνων στοιχείων, συνέστη τὰ σώματα ἡμῶν. ἀλλ᾽ οὐδὲ αὐτοῖς δέδωκε κατάπαυσιν τῆς κινήσεως αὐτῶν, οὐδὲ τοῖς ἡμετέροις σώμασι τοῖς ἐξ αὐτῶν γεγενημένοις, τοῦ καταπαύειν τῆς γεωργίας. ὅρον δὲ τῆς καταπαύσεως αὐτῆς ἐν ἡμῖν τέθεικεν, ἕως ἂν ἀκολουθήσωσι τῇ ἰδίᾳ συγγενείᾳ τῇ πρώτῃ, ἥτις ἐστὶ κατάλυσις ἀπὸ τῆς ζωῆς. οὕτω καὶ τῷ Ἀδὰμ εἶπεν· ἐν ἱδρῶτι τοῦ προσώπου σου φα-

Γεν. γ. ιθ.

» γῇ τὸν ἄρτον σου. καὶ μέχρι τίνος; ἕως ἂν στραφῇς εἰς τὴν γῆν, » ἐξ ἧς ἐλήφθης. ἥτις ἀκάνθας, καὶ τριβόλους ἀνατελεῖ σοι. ἅτινά ἐστι μυστήρια τῆς γεωργίας τοῦδε τοῦ βίου, ἐν ὅσῳ ζῇ. ἐξ ἐκείνης γὰρ τῆς νυκτὸς, ἐν ᾗ ἵδρωσεν ὁ Κύριος, μετήλλαξε τὸν ἱδρῶτα τὸν ἐξαγαγόντα ἀκάνθας καὶ τριβόλους, εἰς τὸ ἱδρῶσαι ἐν τῇ προσευχῇ ὁμοῦ καὶ ἐν τῇ γεωργίᾳ τῆς δικαιοσύνης.

Πενταισχιλίους καὶ πεντακοσίους χρόνους, καὶ περαιτέρω κατέλιπε τὸν Ἀδὰμ μοχθῆσαι ἐν αὐτῇ. διότι μέχρι τότε οὐκ ἦν ἡ τῶν ἁγίων ὁδὸς ἀποκαλυφθεῖσα, καθὼς ἔφησεν ὁ θεῖος Ἀπόστολος. (1) ἐν ἐσχάταις δὲ ἡμέραις ἐπεδήμησε, καὶ ἐνετείλατο τῷ αὐτεξουσίῳ μεταλλάξαι ἱδρῶτα ἱδρῶτι, καὶ ἐκ παντὸς

» (1) Ὃ ἐν ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς » νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις Ἀποστόλοις αὐτοῦ, καὶ Προφήταις ἐν πνεύ» ματι ἁγίῳ. Ἐφεσ. γ. ε.

τὸς ἐκ ἐπέτρεψε κατάπαυσιν, ἀλλὰ μεταλλαγῆν· καθότι ἐφιλανθρωπεύσατο εἰς ἡμᾶς, διὰ τὸ ἐπίμονον τῆς ἐν τῇ γῇ κακοπαθείας ἡμῶν. ἐὰν ἐν καταπαύσωμεν τε ἱδρῶσαι ἐν ταύτῃ, ἐξ ἀνάγκης ἀκάνθας θερίζομεν. ἡ γὰρ ἐξ αὐτῆς τῆς προσευχῆς κατάλειψις, γεωργία ἐςὶ τῆς σωματώσεως τῆς γῆς· ἥτις ἀκάνθας κατὰ φύσιν ἀνατέλλει. ἐπ' ἀληθείας γὰρ, τὰ πάθη ἄκανθαί εἰσι, καὶ ἐκ τε ἐν τῷ σώματι σπόρε εἰς ἡμᾶς ἀνατέλλεσιν. ἐν ὅσῳ τὴν εἰκόνα τε Ἀδὰμ φέρομεν, ἀνάγκη καὶ τὰ πάθη αὐτε. ἀδύνατον γὰρ τῇ γῇ ἀργεῖν τε βλαςάνειν βλάςην, κατὰ τὴν ἰδίαν φύσιν. ἔκγονον δὲ τῆς φύσεως αὐτῆς ἐςὶν ἡ γῆ τῶν σωμάτων ἡμῶν, ὡς ἡ μαρτυρία τε Θεε· ἡ „ γῆ ἐξ ἧς ἐλήφθης. ἐκείνη, ἀκάνθας ἀνατέλλει· αὕτη δὲ ἡ λογικὴ, πάθη.

Γα. γ. θ.

Εἰ ὁ Κύριος ἐν πᾶσι τύπος ἦν ἡμῖν ἐν τῷ μυςηρίῳ ἐν πάσαις ταῖς διαφοραῖς τῆς οἰκονομίας αὐτε, καὶ ἕως ἐννάτης ὥρας τῆς παρασκευῆς ἐ κατέπαυσεν ἀπὸ τε ἔργε καὶ τε μόχθε, (ὅπερ ἐςὶ μυςήριον τῆς δι' ὅλης τῆς ζωῆς ἡμῶν γεωργίας) τῷ δὲ σαββάτῳ ἐν τῷ τάφῳ κατέπαυσε, πε εἰσὶν οἱ λέγοντες, ὅτι ἐν τῷ βίῳ σάββατον, ἤγεν κατάπαυσις ἀπὸ τῶν παθῶν; περὶ δὲ τῆς Κυριακῆς μέγα τὸ εἰπεῖν. τὸ σάββατον ἡμῶν, ἐςὶν ἡ ἡμέρα τῆς ταφῆς. ἐκεῖ ἐν ἀληθείᾳ σαββατίζει ἡ φύσις ἡμῶν. λοιπὸν καθ' ἡμέραν ἀνάγκη ἡμῖν ἐπίκειται, ἐκτίλαι ἐξ αὐτῆς τὰς ἀκάνθας, ἕως ὃ αὐτὴ ἡ γῆ ἵςαται. καὶ διὰ τὸ ἐπίμονον ἡμῶν ἐν τῇ γεωργίᾳ ὑςερεσιν αἱ ἄκανθαι. ἐ γὰρ ὁλοτελῶς κεκαθάρισαι ἐκ τέτων. καὶ εἰ τετο ἕτως ἔχει, ὅτι ἐν τῇ πρὸς καιρὸν ῥαθυμίᾳ, ἢ τῇ μικρᾷ ἀμελείᾳ πληθύνονται αἱ ἄκανθαι, καὶ τὸ πρόσωπον αὐτῆς καλύπτει, καὶ τὸν σπόρον σε

πνίγει, καὶ τὸν κόπον σου ποιεῖ ὡς μὴ ὄντα, λοιπὸν δέον ἐστὶ καθ᾽ ἡμέραν αὐτὴν καθαρίζειν. ἡ γὰρ ἐκ τούτου κατάπαυσις, πλήθη ἀκανθῶν αὐξάνει· ὧν καθαρισθείημεν χάριτι τοῦ ὁμουσίου, καὶ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ᾧ ἡ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ, καὶ τῷ ζωοποιῷ πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΟΕ.

ΠΕΡΙ

ΔΙΗΓΗΣΕΩΣ ΑΓΙΩΝ ΑΝΔΡΩΝ ΚΑΙ ΛΟΓΩΝ ΠΑΝΟΣΙΩΝ ΑΥΤΩΝ.

καὶ περὶ τῆς θαυμαστῆς αὐτῶν διαγωγῆς.

Ἐν μιᾷ τῶν ἡμερῶν ἀπῆλθον εἰς κέλλαν τινὸς ἀδελφοῦ ἁγίου, καὶ ἀνέκλινα ἐμαυτὸν εἰς τόπον τινὰ, διὰ τὴν ἀσθένειάν μου, ἵνα ἐπιμέλειάν μου ποιήσηται διὰ τὸν Θεόν. οὐ γὰρ εἶχον ἐκεῖσε τινὰ γνώριμον. καὶ ἔβλεπον τοῦτον τὸν ἀδελφὸν νυκτὸς ἀνιστάμενον πρὸ τοῦ καιροῦ, καὶ συνήθειαν ἔχοντα πρὸ τῶν ἀδελφῶν εἰς τὸν κανόνα εὑρεθῆναι. οὗτος ἱκανῶς ἐστιχολόγει, καὶ ἐξαίφνης ἐν ὅσῳ ἐν τούτῳ ἦν, ἠφίει τὸν κανόνα, καὶ ἔπιπτεν ἐπὶ πρόσωπον, καὶ αὐτὸς ἑκατὸν, ἢ καὶ περαιτέρω, ἔκρουε τὴν κεφαλὴν τῇ γῇ μετὰ θερμότητος τῆς ἐξαφθείσης ἐν τῇ καρδίᾳ αὐτοῦ ὑπὸ τῆς χάριτος· καὶ μετὰ ταῦτα ἀνίστατο, καὶ τὸν σταυρὸν τοῦ Δεσπότου ἐφίλει, καὶ πάλιν προσεκύνει, καὶ τὸν αὐτὸν σταυρὸν ἐφίλει, καὶ αὖθις ἔρριπτεν ἑαυτὸν ἐπὶ πρόσωπον,

πον, καὶ ἐν τῇ τοιαύτῃ συνηθείᾳ ἐπολιτεύετο· ὥστε με μὴ δύνασθαι ἀριθμῷ καταλαβεῖν τὸ πλῆθος τῶν γονυκλισιῶν αὐτοῦ. τὶς γὰρ ἠδύνατο ἀριθμῆσαι τὰς μετανοίας τοῦ ἀδελφοῦ ἐκείνου, ἃς καθ᾽ ἑκάστην νύκτα ἐποίει; εἰκοσάκις γὰρ ἐφίλει τὸν σταυρὸν μετὰ φόβου καὶ θερμότητος, μετὰ ἀγάπης συγκεκερασμένης εὐλαβείᾳ, καὶ πάλιν ἤρχετο τῆς στιχολογίας, καὶ ἅπαξ, ἅπαξ ἀπὸ τῆς πολλῆς ἐκκαύσεως τῶν λογισμῶν τῶν ἐξαπτόντων αὐτὸν ἐν τῇ θερμότητι αὐτῶν, ὅταν οὐκ ἠδύνατο φέρειν τὴν ἔξαψιν τῆς φλογὸς ἐκείνης, ἀπὸ τῆς χαρᾶς νικώμενος ἔκραζεν. οὐ γὰρ ἴσχυε κατέχειν ἑαυτόν. ὥστε με πολλὰ θαυμάζειν τὴν χάριν τοῦ ἀδελφοῦ ἐκείνου, καὶ τὸν ἀγῶνα αὐτοῦ, καὶ τὴν νῆψιν, ἣν εἶχεν εἰς τὸ ἔργον τοῦ Θεοῦ. ἕωθεν δὲ, μετὰ τὴν πρώτην, ἡνίκα ἐκαθέζετο εἰς τὴν ἀνάγνωσιν, ὅμοιος ἐγίνετο ἀνθρώπῳ αἰχμαλωτισθέντι, καὶ καθ᾽ ἕκαστον κεφάλαιον, ὃ ἀνεγίνωσκε, πολλάκις ἔπιπτεν ἐπὶ πρόσωπον, καὶ κατὰ πολὺ τῶν στίχων τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν ἀνύψου, καὶ τὸν Θεὸν ἐδοξολόγει. ἦν δὲ τῆς ἡλικίας αὐτοῦ ὁ χρόνος τεσσαρακοστός· εἶχε δὲ καὶ τὴν βρῶσιν ὀλιγοστὴν, καὶ κατάξηρον πάνυ. καὶ διὰ τὸ πολλάκις βιάζειν τὸ σῶμα αὐτοῦ ὑπὲρ μέτρον καὶ δύναμιν, ἐφαίνετο ὡς σκιά. ὥστε με ἐλεῆσαι αὐτὸν ἐκ τῆς ἀσθενείας τοῦ προσώπου αὐτοῦ· ὅπερ ἐκ τῆς ἀσιτίας τῆς πολλῆς ἐξέλιπε, καὶ ἦν μηδὲ δύω δακτύλων ἔχον ποσότητα. πολλάκις δὲ ἔλεγον αὐτῷ, ἐλέησον σεαυτὸν ἐν τῇ διαγωγῇ σου, ὦ ἀδελφὲ, καὶ ταύτην τὴν ἀγαθὴν πολιτείαν, ἣν ἐκτήσω, καὶ μὴ συμφύρῃς, καὶ ἐκκόψῃς σου τὴν ἀναστροφὴν, ἥτις ὁμοία καθέστηκεν ἀλύσει πνευματικῇ, καὶ διὰ πόθον προσθήκης μικροῦ κόπου μὴ ἀπολειφθῇς, καὶ στεθῇς τοῦ δρόμου σου ὅλου. φάγε συμμέ-

τρως, ἵνα μὴ πάντοτε φάγῃς, καὶ μὴ ἐκτείνῃς σȣ τὸν πόδα ὑπὲρ δύναμιν, ἵνα μὴ παντελῶς ἀργήσῃς. ὑπῆρχε δὲ ἐλεήμων, καὶ πάνυ αἰδήμων, μετὰ ἱλαρότητος ἐλεῶν· καθαρὸς τὴν φύσιν, πειθήνιος πρὸς παράκλησιν, σοφὸς κατὰ Θεὸν, καὶ διὰ τὴν καθαρότητα αὐτȣ̃ καὶ ἱλαρότητα ἠγαπᾶτο παρὰ πάντων. εἰργάζετο δὲ μετὰ τῶν ἀδελφῶν, ὅτε ἔχρῃζον αὐτȣ̃, πολλάκις ἡμέρας τρεῖς, καὶ τέσσαρας, καὶ ἀπὸ ἑσπέρας εἰς ἑσπέραν ἤρχετο εἰς τὸ ἴδιον κελλίον. ἦν γὰρ ἔμπειρος καὶ εἰς πᾶσαν διακονίαν. ὅτε δὲ ἐκέκτητό τι, εἰ καὶ ἔχρῃζον αὐτȣ̃, ἐκ τῆς πολλῆς αὐτȣ̃ αἰδȣ̃ς τῆς πρὸς μικρȣ̀ς καὶ μεγάλȣς, οὐκ ἠδύνατο εἰπεῖν μὴ ἔχειν αὐτό. καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖσον, ὅτε συνειργάζετο τοῖς ἀδελφοῖς, ὡς αἰδȣ́μενος τȣ̃το ἐποίει, καὶ ἐβίαζον ἑαυτὸν, μὴ ἔχων ἡδέως ἐξελθεῖν ἐκ τῆς κέλλης. τοιαύτη ἦν ἡ πολιτεία καὶ ἡ ἀναστροφὴ τȣ̃ ἀδελφȣ̃ ἐκείνȣ τȣ̃ ὄντως θαυμαστȣ̃. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τȣ̀ς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΟϚ.

ΠΕΡΙ ΤΟΥ ΠΑΛΑΙΟΥ ΓΕΡΟΝΤΟΣ.

Ἄλλοτε πάλιν ἀπῆλθον πρός τινα παλαιὸν γέροντα καλὸν καὶ ἐνάρετον. μεγάλως δέ με ȣ̃τος ἠγάπα. καὶ ἦν ἰδιώτης μὲν τῷ λόγῳ, πεφωτισμένος δὲ τῇ γνώσει, καὶ βαθὺς τῇ καρδίᾳ, καὶ τὰ ὑπὸ τῆς χάριτος αὐτῷ χορηγȣ́μενα ἐλάλει.

ἐλάλει. οὐκ ἐξήρχετο δὲ συχνῶς ἐκ τοῦ ἰδίου κελλίου, ἀλλ' εἰς τὰς ἁγίας συνάξεις. ἦν δὲ προσέχων ἑαυτῷ, καὶ ἡσυχάζων. τούτῳ εἶπον ποτὲ ἐγώ· πάτερ, ἐπῆλθέ μοι λογισμὸς ἀπελθεῖν ἐν τῇ Κυριακῇ εἰς τὴν στοὰν τῆς ἐκκλησίας, κἀκεῖ καθίσαι καὶ φαγεῖν ἔωθεν, ἵνα πᾶς ὁ εἰσπορευόμενος καὶ ἐκπορευόμενος, θεασάμενός με ἐξουθενήσῃ. πρὸς ταῦτα ἀνταπεκρίθη μοι ὁ γέρων, οὕτω· γέγραπται, ὅτι πᾶς ὁ ποιῶν κοσμικοῖς σκάνδαλον, οὐκ ὄψεται φῶς. σὲ γὰρ οὐδεὶς ἐπίσταται ἐν τῇ χώρᾳ ταύτῃ, οὐδέ σου γινώσκουσι τὸν βίον, ἀλλὰ μέλλουσιν εἰπεῖν, ὅτι οἱ Μοναχοὶ ἀπὸ πρωΐας ἐσθίουσι, καὶ μάλιστα ὅτι εἰσὶν ἐνταῦθα ἀδελφοὶ ἀρχάριοι, (1) οἵτινές εἰσιν ἀσθενεῖς ἐν τοῖς λογισμοῖς αὐτῶν. καὶ πολλοὶ ἐξ αὐτῶν ἔχοντες εἰς σὲ πίστιν, καὶ ὠφελούμενοι ἐκ σοῦ, καὶ ὅτε σε ἴδωσι τοῦτο κατεργασάμενον, βλαβήσονται. οἱ ἀρχαῖοι πατέρες τοιαῦτα ἐποίουν, διὰ τὰς πολλὰς θαυματουργίας, ἃς ἐπετέλουν, καὶ διὰ τὴν τιμὴν, ἣν εἶχον, καὶ τὸ μέγα ὄνομα. ἐποίουν δὲ ταῦτα, ἵνα ἀτιμασθῶσι, καὶ ἀποκρύψωσι τὴν δόξαν τῆς πολιτείας αὐτῶν, καὶ μακρὰν ποιήσωσιν ἀπ' αὐτῶν τὰς αἰτίας τῆς ὑπερηφανίας. σὲ δὲ τί τὸ ἀναγκάζον ποιῆσαί τι τοιοῦτον; οὐκ οἶδας, ὅτι ἐστὶν ἑκάστῃ πολιτείᾳ τάξις καὶ καιρός; σοὶ δὲ οὐκ ἔστι τοιαύτη πολιτεία ἀφωρισμένη, οὔτε τοιοῦτον ὄνομα. ὡς γὰρ εἷς τῶν ἀδελφῶν πολιτεύῃ, καὶ οὔτε σεαυτὸν ὠφελεῖς, καὶ ἄλλον βλάπτεις. καὶ πάλιν αὕτη ἡ οἰκονομία οὐ πᾶσιν ἐστὶν ὠφέλιμος, μόνοις δὲ τοῖς τελείοις καὶ μεγάλοις. διότι ἐν ταύτῃ πέφυκεν ἡ λύσις τῶν αἰσθήσεων. τοῖς μὲν γὰρ μέσοις καὶ τοῖς ἀρχαρίοις ἐπιζήμιός ἐστι. διότι πολλῆς

(1) Μοναχοὶ ἀρχάριοι τὸ Ε. Χ.

λῆς παραφυλακῆς δέονται, καὶ τῆς τῶν αἰσθήσεων ὑποταγῆς. οἱ δὲ γέροντες διέβησαν τὸν καιρὸν τῆς παραφυλακῆς, καὶ ἐν πᾶσιν οἷς βούλονται κερδαίνουσιν. οἱ γὰρ ἄπειροι ἔμποροι ἐν τοῖς μεγίστοις πράγμασι, μεγάλας ἑαυτοῖς προξενοῦσι ζημίας· ἐν δὲ τοῖς εὐτελεστέροις πράγμασι, ταχέως εἰς τὸ ἔμπροσθεν ἐπεκτείνονται. καὶ πάλιν, ὡς ἔφην, παντὶ ἔργῳ ἐστὶ τάξις, καὶ πάσῃ διαγωγῇ καιρὸς ἐγνωσμένος. πᾶς δὲ ὁ πρὸ καιροῦ ἀρχόμενος τῶν ὑπὲρ τὸ μέτρον αὐτοῦ, τὴν βλάβην ἑαυτῷ διπλασιάζει, καὶ οὐ κερδαίνει. εἰ ἐπιθυμεῖς τούτου, ὑπόμεινον τὴν οἰκονομικῶς ἐπερχομένην σοι ἀκούσιον ἀτιμίαν μετὰ χαρᾶς, καὶ μὴ θορυβηθῇς, μήτε μισήσῃς τὸν ἀτιμάζοντά σε.

Ἤμην ποτὲ ἐν συντυχίᾳ μετὰ τοῦ εὐφυοῦς ἐκείνου τοῦ γευσαμένου τοῦ φυτοῦ τῆς ζωῆς, διὰ τοῦ ψυχικοῦ ἱδρῶτος ἀπὸ τῆς πρωΐας τῆς νεότητος αὐτοῦ, ἕως τῆς ἑσπέρας τοῦ γήρως αὐτοῦ. καὶ μετὰ τὸ διδάξαι με πολλοὺς λόγους περὶ ἀρετῆς, εἶπέ μοι οὕτω· πᾶσα προσευχή, ἐν ᾗ μὴ μοχθήσῃ τὸ σῶμα, καὶ θλιβῇ ἐν αὐτῇ ἡ καρδία, ἔκτρωμα λογίζεται. χωρὶς γὰρ ψυχῆς ἐστὶν ἐκείνη ἡ προσευχή. καὶ πάλιν μοι ἔφη· μετὰ ἀνθρώπου φιλονεικοῦντος, καὶ τὸν λόγον αὐτοῦ στῆσαι θέλοντος, καὶ πονηροῦ τὴν διάνοιαν, καὶ ἀναιδοῦς εἰς τὰς αἰσθήσεις αὐτοῦ, μήτε δῷς, μήτε λάβῃς παντελῶς, ἵνα μὴ μακρύνῃς ἀπὸ σοῦ τὴν καθαρότητα, ἣν ἐκτήσω μετὰ πολλοῦ τοῦ κόπου, καὶ ἐμπλήσῃς σου τὴν καρδίαν σκότους καὶ ταραχῆς.

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΟΖ.

ΠΕΡΙ ΕΤΕΡΟΥ ΓΕΡΟΝΤΟΣ.

Ἀπῆλθον ποτὲ εἰς κελλίον τινὸς τῶν πατέρων. οὐκ ἤνοιγε δὲ οὗτος ὁ ἅγιος τινὶ συχνῶς. ὡς δὲ εἶδέ με ἀπὸ τῆς θυρίδος, ὅτι αὐτὸς ἐγώ εἰμι, εἶπέ μοι· βούλει εἰσελθεῖν; κἀγὼ ἀντέφην· ναὶ τίμιε πάτερ. μετὰ δὲ τὸ εἰσελθεῖν με, καὶ εὔξασθαι, καὶ καθίσαι, καὶ ὁμιλίαν πολλὴν κινηθῆναι, ἔσχατον ἠρώτησα αὐτόν· τί ποιῆσαι ἔχω πάτερ, ὅτι τινὲς ἔρχονται πρός με, καὶ οὔτε κερδαίνω, οὔτε ὠφελοῦμαι ἐκ τῆς συντυχίας αὐτῶν; αἰδοῦμαι δὲ αὐτοῖς εἰπεῖν, μὴ ἐλθεῖν. ἀλλὰ καὶ ἀπὸ τῶν συνήθων κανόνων ἐμποδίζουσί με πολλάκις. καὶ διὰ τοῦτο θλίβομαι. πρὸς ταῦτα ἀνταπεκρίθη μοι ὁ μακάριος ἐκεῖνος γέρων.

Ἡνίκα τοιοῦτοί τινες πρὸς σὲ ἔλθωσιν ἀγαπῶντες τὴν ἀργίαν, ὅταν καθίσωσι μικρὸν, ποίησον σεαυτὸν ὅτι θέλεις ἀνίστασθαι εἰς προσευχὴν, καὶ εἰπὲ τῷ εὑρισκομένῳ μετὰ μετανοίας· ἀδελφὲ δεῦρο προσευξώμεθα, ὅτι ὁ καιρὸς τοῦ κανόνος μου ἤδη ἔφθασε, καὶ οὐ δύναμαι διαβῆναι αὐτόν· διότι βάρος μοι ἐγγίνεται, βουλομένῳ εἰς ἄλλην ὥραν τοῦτον πληρῶσαι, καὶ γίνεταί μοι αἰτία ταραχῆς, καὶ ἄνευ ἀναγκαίου τινὸς οὐ δύναμαι ἐᾶσαι αὐτόν. νυνὶ δὲ οὐκ ἔστιν ἐπάναγκες καταργῆσαι τὴν προσευχήν μου. καὶ μὴ ἐάσῃς αὐτὸν, τοῦ μὴ εὔξασθαι μετὰ σοῦ.

ἐὰν

ἐὰν δὲ εἴπῃ πρόσευξαι σὺ κἀγὼ πορσεύσομαι, ποίησον αὐτῷ μετάνοιαν, καὶ εἰπέ· διὰ τὴν ἀγάπην, κἂν τὴν μίαν ταύτην εὐχὴν ποίησον μετ᾽ ἐμοῦ, ἵνα ὠφεληθῶ ἐκ τῆς εὐχῆς σου. καὶ ὅταν ἀναστῆτε, μάκρυνόν σου τὴν εὐχὴν, καὶ ὑπὲρ ὃ εἴωθας ποιεῖν. ἐὰν γὰρ οὕτω ποιήσῃς αὐτοῖς καθὼς πρὸς σὲ παραγένωνται, μαθόντες ὅτι οὐχ ὁμογνωμονεῖς αὐτοῖς, οὔτε ἀγαπᾷς τὴν ἀργίαν, ὅπου ἂν ἀκούσωσιν ὅτι ἐκεῖ εἶ, οὐ μὴ προσεγγίσωσι.

Βλέπε οὖν μὴ πρόσωπον λαμβάνων ἀνθρώπου, καταλύσῃς τὸ ἔργον τοῦ Θεοῦ. ἐὰν δὲ εὑρεθῇ τὶς τῶν πατέρων, ἢ ξένος κεκοπιακὼς, ἀντὶ μεγίστης σου εὐχῆς κρίνεται τὸ μετὰ τοιούτου στῆναι. καὶ ἐὰν ὁ ξένος ἐκ τῶν ἀγαπώντων τὰς ματαιολογίας ᾖ, τὸ κατὰ δύναμιν ἀνάπαυσον αὐτὸν, καὶ ἀπόλυσον ἐν εἰρήνῃ.

Εἶπέ τις τῶν πατέρων, θαυμάζω· ὅτι ἀκήκοα τινὰς ποιοῦντας ἐν ταῖς κέλλαις αὐτῶν ἐργόχειρον, καὶ δυναμένους ἀνελλιπῶς ποιῆσαι καὶ τὸν κανόνα αὐτῶν, καὶ μὴ ταράσσεσθαι. ἔφη δὲ λόγον θαύματος ἄξιον· ἐν ἀληθείᾳ λέγω, ὅτι ἐὰν ἀπέλθω πρὸς ὕδωρ, ταράσσομαι ἀπὸ τῆς συνηθείας μου, καὶ τῆς τάξεως αὐτῆς, καὶ ἐμποδίζομαι τῆς τελειώσεως τοῦ διακριτικοῦ μου.

ΛΟΓΟΣ ΟΗ.

ΠΕΡΙ
ΕΡΩΤΗΣΕΩΣ ΑΔΕΛΦΟΥ ΤΙΝΟΣ.

Ἠρωτήθη ποτὲ ὁ αὐτὸς γέρων ἀπό τινος ἀδελφοῦ, τί ποιήσω, ὅτι πολλάκις μοι γίνεταί τι πρᾶγμα οὗ χρείαν ἔχω, ἢ διὰ τὴν ἀσθένειαν, ἢ δι᾽ ἔργον, ἢ δι᾽ ἥντιναοῦν αἰτίαν, καὶ τότε χωρὶς οὐ δύναμαι πολιτεύσασθαι ἐν τῇ ἡσυχίᾳ, καὶ βλέπων τινὰ τούτου χρείαν ἔχοντα, καὶ νικώμενος ὑπὸ τοῦ ἐλέους, δίδωμι τοῦτο αὐτῷ. πολλάκις δὲ, καὶ ὡς αἰτηθεὶς ὑπό τινος, τοῦτο ποιῶ. καὶ γὰρ ἀναγκάζομαι ὑπό τε τῆς ἀγάπης καὶ τῆς ἐντολῆς, καὶ παρέχω τῷ αἰτοῦντι τὸ ἐμοὶ χρειῶδες. καὶ μετὰ ταῦτα ποιεῖ με ἡ τούτου χρεία ἐμπεσεῖν εἰς μέριμναν καὶ ταραχὴν λογισμῶν, εἶθ᾽ οὕτω σκορπίζει μου τὸν νοῦν ἀπὸ τῆς εἰς τὴν ἡσυχίαν μερίμνης· καὶ ἀναγκάζομαι ἴσως ἐξελθεῖν ἐκ τῆς ἡσυχίας, καὶ ἀπελθεῖν εἰς ζήτησιν τοῦ αὐτοῦ πράγματος. ἐὰν δὲ καὶ ὑπομείνω τοῦ μὴ ἐξελθεῖν, ἐν θλίψει πολλῇ καὶ θορύβῳ τῶν λογισμῶν γίνομαι. οὐκ οἶδα οὖν τίνα τῶν δύω ἐκλέξομαι ἐμαυτῷ, τὴν παύουσάν με καὶ σκορπίζουσαν τὴν ἡσυχίαν διὰ τὴν ἀνάπαυσιν τοῦ ἀδελφοῦ μου, ἢ παριδεῖν τὴν αἴτησιν, καὶ ὑπομένειν ἐν τῇ ἡσυχίᾳ; πρὸς ταῦτα ἀνταπεκρίθη μοι ὁ γέρων, καὶ εἶπε.

Πᾶσα ἐλεημοσύνη, ἡ ἀγάπη, ἡ εὐσπλαγχνία, ἢ ὁτιοῦν διὰ τὸν Θεὸν νομιζόμενον εἶναι, ἀπὸ τῆς ἡσυχίας κωλύον σε, καὶ αἰρόν-

αἴρόν σε τὸ ὄμμα ἐπὶ τὸν κόσμον, καὶ ἐμβάλλον σε εἰς μέριμναν, καὶ ταράσσον σε ἀπὸ τῆς μνήμης τοῦ Θεοῦ, καὶ ἐκκόπτον τὰς εὐχάς σου, καὶ εἰσάγον σε εἰς θόρυβον καὶ ἀκαταστασίαν λογισμῶν, καὶ παῦον σε τῆς μελέτης τῶν θείων ἀναγνώσεων, ἥτις ἐστὶν ὅπλον ῥυόμενον ἀπὸ τῶν μετεωρισμῶν, καὶ λύον τὴν παραφυλακήν σου, καὶ ποιοῦν σε μετὰ τὸ δεδέσθαι περιπατῆσαι, καὶ μετὰ τὸ μονωθῆναι συναναστρέφεσθαι, καὶ ἐξυπνίζον ἐπάνω σου τὰ τεθαμμένα πάθη, καὶ διαλύον τὴν ἐγκράτειαν τῶν αἰσθήσεών σου, καὶ ἐγεῖρον τὴν ἀπὸ τοῦ κόσμου σου θνῆξιν, καὶ κατάγον σε ἀπὸ τῆς γεωργίας τῆς ἀγγελικῆς, ἧς τὸ ἔργον μία φροντὶς, καὶ ἐν τῷ μέρει τῶν κοσμικῶν ἵστων σε, ἀπόλοιτο ἐκείνη ἡ δικαιοσύνη. τὸ πλήρωμα γὰρ τῆς ὀφειλῆς τῆς ἀγάπης ἐν τῇ ἀναπαύσει τῶν σωματικῶν, τοῦ ἔργου τῶν κοσμικῶν ἐστὶν, ἢ καὶ Μοναχῶν, ἀλλὰ τῶν ἐνδεεστέρων ὄντων, οὐ τῶν ἐν ἡσυχίᾳ διαγόντων, ἢ καὶ τῶν ἐχόντων τὴν ἡσυχίαν μεμιγμένην τῇ ὁμονοίᾳ τῇ μετ' ἀλλήλων, καὶ εἰσερχομένων διηνεκῶς, καὶ ἐξερχομένων. καὶ τοῦτο τοῖς τοιούτοις καλὸν καὶ ἀξιάγαστον.

Τοῖς μέντοι ἐν ἀληθείᾳ ἐκλεξαμένοις τὴν ἀπὸ τοῦ κόσμου ἀναχώρησιν σώματι καὶ νοῒ, τοῦ στῆσαι τὰς διανοίας αὐτῶν εἰς τὴν μεμονωμένην εὐχὴν, εἰς τὴν θνῆξιν τῶν παρερχομένων, καὶ τῆς θέας καὶ τῆς μνήμης τῶν πραγμάτων, οὐ πρέπει τῇ τῶν σωματικῶν γεωργίᾳ, καὶ τῇ δικαιοσύνῃ τῶν φανερῶν πραγμάτων (ἵνα δι' αὐτῶν δικαιωθῶσι τῷ Χριστῷ) ὑπηρετεῖν, ἀλλὰ τῇ νεκρώσει τῶν μελῶν αὐτῶν τῶν ἐπὶ τῆς γῆς, (Κολασ. γ. ε.) κατὰ τὸ Ἀποστόλου λόγιον, προσφέρειν αὐτῷ θυσίαν τὴν τῶν λογισμῶν καθαράν τε καὶ ἄμωμον, ἀπαρχὴν τῆς ἑαυτῶν γεωργίας, καὶ τὴν θλίψιν τῶν σωμάτων ἐν τῇ ὑπομονῇ τῶν κινδύ-

κινδιώων, διὰ τὴν μέλλȣσαν ἐλπίδα. ἡ γὰρ μοναχικὴ πολιτεία τῇ τῶν Ἀγγέλων ἐφάμιλλος καθέςηκεν. ȣ̓ πρέπει δὲ ἡμῖν ἐᾶσαι τὴν ἐπȣράνιον γεωργίαν, ϗ πραγμάτων ἀντέχεσθαι. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα εἰς τȣ̀ς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΟΘ.

ΠΕΡΙ ΜΕΜΨΕΩΣ ΑΔΕΛΦΟΥ ΤΙΝΟΣ.

Ἐμέμφθη ποτέτις ἀδελφὸς, ὡς μὴ ποιήσας ἐλεημοσιώην, καὶ μετὰ παῤῥησίας καὶ αὐθαδείας ἀνταπεκρίθη τῷ μεμψαμένῳ αὐτόν· Μοναχοῖς ȣ̓χ ὑπόκειται ποιεῖν ἐλεημοσιώην. καὶ πρὸς αὐτὸν ἀντέφη ὁ μεμψάμενος· δῆλός ἐςι, καὶ φανερὸς ὁ Μοναχὸς, ὃς ȣ̓χ ὑπόκειται ποιεῖν ἐλεημοσιώην. ἐκεῖνος γάρ ἐςιν, ὃς ἀνακεκαλυμμένῳ προσώπῳ διώαται εἰπεῖν τῷ Χριςῷ, ὡς γέγραπται, » ἰδȣ̀ ἡμεῖς ἀφήκαμεν πάντα καὶ » ἠκολȣθήσαμέν σοι, τȣτέςιν ἐκεῖνος ὁ μηδὲν ἔχων ἐπὶ τῆς γῆς, καὶ μὴ κατεργάζων ἑαυτὸν ἐν τοῖς σωματικοῖς, καὶ μὴ ἔχων κατὰ νȣ̃ν τὶ τῶν ὁρωμένων, μηδὲ μεριμνῶν κλήσασθαί τι, ἀλλὰ καὶ ἐάν τις δῷ τὶ αὐτῷ, λαμβάνων τὰ πρὸς τὴν χρείαν μόνα, τῶν δὲ ὑπὲρ ταύτην λόγον μὴ ποιȣ́μενος. καὶ ἔςιν ὡς τὸ πετεινὸν ἐν τῇ ἀναςροφῇ αὐτȣ̃. τῷ τοιȣ́τῳ ȣ̓κ ἐπίκειται ποιῆσαι ἐλεημοσιώην. πῶς γὰρ ἀφ᾽ ὧν πραγμάτων ἐλεύθερός ἐςι, διώαται δȣ̃ναι ἑτέρῳ; ἀλλὰ μᾶλλον τῷ ἐν τοῖς βιωτικοῖς περισπωμένῳ, καὶ ταῖς ἰδίαις χερσὶν ἐργαζομένῳ, καὶ

Ματθ. ιθ. κζ.

παρ' ἄλλων λαμβάνοντι, ἐποφείλεται αὐτῷ δοῦναι ἐλεημοσύνην. καὶ τὸ ἀμελῆσαι ταύτης, ἐναντίωσίς ἐστιν ἡ ἀσπλαγχνία τῆς τοῦ Κυρίου ἐντολῆς. εἰ γὰρ ἐν τοῖς κρυπτοῖς οὐ προσεγγίζει τὶς τῷ Θεῷ, οὔτε δουλεύειν αὐτῷ οἶδεν ἐν πνεύματι, καὶ τῶν φανερῶν οὐ φροντίζει, ἅτινα δυνατὰ αὐτῷ ἐστὶ, ποία ἑτέρα ἐλπὶς ἔσται τῷ τοιούτῳ, δι' ἧς κτήσεται ἑαυτῷ τὴν ζωήν; ὁ τοιοῦτος ἀσύνετός ἐστιν.

Ἕτερος γέρων εἶπεν· ἐγὼ θαυμάζω ἐκ τῶν ταρασσόντων ἑαυτοὺς ἐν τῷ ἔργῳ τῆς ἡσυχίας, ὅπως ἄλλους ἀναπαύσωσιν ἐν τοῖς σωματικοῖς. καὶ πάλιν ἔφη· οὐ χρὴ ἡμᾶς συμμίξαι τῷ ἔργῳ τῆς ἡσυχίας μέριμναν τινὸς ἑτέρου· πᾶν δὲ ἔργον τιμάσθω ἐν τῷ τόπῳ αὐτοῦ, ἵνα μὴ γένηται ἡ διαγωγὴ ἡμῶν πεφυρμένη. ὁ γὰρ πολλῶν ἔχων μέριμναν, δοῦλός ἐστι τῶν πολλῶν· ὁ δὲ πάντα καταλείψας, καὶ μεριμνῶν τῆς καταστάσεως τῆς ἑαυτοῦ ψυχῆς, οὗτος φίλος ἐστὶ τοῦ Θεοῦ. βλέπε ὅτι οἱ ποιοῦντες ἐλεημοσύνην, καὶ πληροῦντες τὴν ἀγάπην τῶν πλησίον ἐν τοῖς σωματικοῖς, οὗτοι πολλοί εἰσιν ἐν τῷ κόσμῳ· οἱ δὲ ἐργάται τῆς καθολικῆς καὶ καλῆς ἡσυχίας, οἱ ἀσχολούμενοι ἐν τῷ Θεῷ, μόλις εὑρίσκονται, καὶ σπάνιοί εἰσι. τὶς δὲ ἐκ τῶν ἐν τῷ κόσμῳ ποιούντων ἐλεημοσύνην, ἢ δικαιοσύνην ἐν τοῖς σωματικοῖς, ἠδύνατο ἐν τῶν χαρισμάτων φθάσαι, ὧν καταξιοῦνται παρὰ Θεοῦ, οἱ ἐν ἡσυχίᾳ καθήμενοι; καὶ πάλιν εἶπεν· ἐὰν ἧς κοσμικὸς, ἐν τῇ διαγωγῇ τῶν κοσμικῶν ἀγαθῶν ἀναστρέφου· εἰ δὲ Μοναχὸς εἶ, ἐν τοῖς ἔργοις ἐν οἷς ἀριστεύουσιν οἱ Μοναχοὶ διάπρεψαι. εἰ μέντοι ἐν ἑκατέροις βούλει ἀναστραφῆναι, ἀπὸ τῶν δύο μέλλεις ἐκπεσεῖν. ἔργα Μοναχοῦ εἰσὶ ταῦτα. ἐλευθερία ἀπὸ τῶν σωματικῶν, καὶ ὁ ἐν προσευχαῖς σωματικὸς κόπος, καὶ ἡ ἀδιάλειπτος

λειπτος πρὸς Θεὸν μνήμη τῆς καρδίας. εἰ οὖν δυνατόν σοι χωρὶς τούτων αὐταρκεῖσθαι ταῖς κοσμικαῖς ἀρεταῖς, κρίνον σύ.

Οὐ δύναται ἄρα Μοναχὸς ὁ ἐν τῇ ἡσυχίᾳ κακοπαθῶν, τὰς δύω ἀναστροφὰς κτήσασθαι, λέγω δὴ μέριμναν τοῦ Θεοῦ, καὶ φέρειν καὶ φροντίδα ἑτέραν ἐν τῇ καρδίᾳ; 'Ερώτ.

Ἐγὼ μὲν οἶμαι, ὅτι οὐδ' ὅταν ἀφῇ πάντα ὁ ἐν ἡσυχίᾳ βουλόμενος ἀναστρέφεσθαι, καὶ τῆς ἑαυτοῦ καὶ μόνης ψυχῆς φροντίζῃ, δύναται ἀνελλιπῶς ἐν τῷ ἔργῳ τῆς ἡσυχίας πολιτεύσασθαι, κἂν ἔξω γένηται τῆς βιωτικῆς μερίμνης, πόσῳ μᾶλλον ἐὰν καὶ ἄλλου φροντίσῃ; κατέλιπεν ὁ Κύριος ἑαυτῷ ἐν τῷ κόσμῳ τοὺς δουλεύοντας αὐτῷ, καὶ ἐπιμελουμένους τῶν τέκνων αὐτοῦ, καὶ ἐξελέξατο ἑαυτῷ τοὺς ἔμπροσθεν ἑαυτοῦ λειτουργοῦντας. οὐ γὰρ ἐν μόνοις τοῖς πράγμασι τῶν ἐπιγείων βασιλέων, διαφορὰς τάξεων ἐστὶν ἰδεῖν, ἐνδοξοτέρων ὄντων τῶν κατὰ πρόσωπον τοῦ βασιλέως ἱσταμένων ἀεὶ, καὶ τοῖς μυστηρίοις αὐτῷ κοινωνούντων, τῶν ὄντων ἐν τοῖς ἐξωτικοῖς πράγμασιν· ἀλλὰ καὶ ἐν τοῖς τοῦ ἐπουρανίου βασιλέως ἔστι ταῦτα ἰδεῖν, πόσην παῤῥησίαν κέκτηνται οἱ ἐν τῇ ὁμιλίᾳ μετ' αὐτοῦ μυστηριάζοντες διὰ τῆς προσευχῆς πάντοτε, καὶ πόσου πλούτου ἐπουρανίου τε καὶ ἐπιγείου καταξιοῦνται, καὶ πόσην ἐνδείκνυνται τὴν αὐτῶν ἐξουσίαν κατὰ πάσης τῆς κτίσεως, ὑπὲρ ἐκείνους τοὺς διὰ κτημάτων, καὶ βιωτικῶν πραγμάτων δουλεύοντας τῷ Θεῷ, καὶ ἐν τῇ ἀγαθοεργίᾳ αὐτῶν εὐαρεστοῦντας αὐτῷ, εἰ καὶ τοῦτο μέγιστον, καὶ καλὸν πάνυ. δεῖ οὖν ἡμᾶς οὐκ ἐκ τούτων τῶν ἐν τοῖς ἔργοις τοῦ Θεοῦ ἐλλιπῶν ὄντων τύπον λαβεῖν, ἀλλ' ἐκ τῶν ἀθλητῶν καὶ ἀγωνιστῶν ἁγίων τῶν καλῶς πολιτευσαμένων, καὶ ἐκείνων τῶν καταλειψάντων τὰ βιωτικὰ, καὶ ἐν γῇ γεωργησάντων τὴν ἐπου- 'Απόκρ.

ράνιον βασιλείαν· ἐκείνων τῶν καθάπαξ ἀπωσάντων τὰ γήϊνα, καὶ ἐκτεινάντων τὰς χεῖρας πρὸς τὰς τοῦ οὐρανοῦ πύλας.

Ἐν τίνι εὐηρέστησαν οἱ ἀρχαῖοι ἅγιοι τῷ Θεῷ, οἵτινες προωδοποιήσαντο τὴν ὁδὸν ἡμῖν τῆς πολιτείας ταύτης; ὁ ἐν ἁγίοις Ἰωάννης ὁ Θηβαῖος, ὁ θησαυρὸς τῶν ἀρετῶν, ἡ πηγὴ τῆς προφητείας, ἆρα ἐν τοῖς σωματικοῖς ἀναπαύων τοὺς ἀδελφοὺς ἔσωθεν τοῦ ἐγκλειστηρίου αὐτοῦ εὐηρέστησε τῷ Θεῷ, ἢ ἐν προσευχῇ καὶ ἡσυχίᾳ; ὅτι μὲν γὰρ καὶ ἐν ἐκείνοις πολλοὶ πάλιν εὐηρέστησαν αὐτῷ, οὐκ ἀντιλέγω· ἀλλ' ἐνδεέστερον τῶν διὰ προσευχῆς, καὶ τῆς τῶν πάντων καταλείψεως. ἡ γὰρ βοήθεια τῶν ἐν ἡσυχίᾳ διαγόντων, καὶ εὐδοκιμούντων τοῖς ἰδίοις ἀδελφοῖς, φανερά τίς ἐστι, λέγω δὴ τὸ βοηθῆσαι ἡμῖν λόγῳ ἐν καιρῷ ἀνάγκης, ἢ τὸ προσφέρειν ὑπὲρ ἡμῶν ἐντεύξεις. ἐκτὸς γὰρ τούτων, μνήμη ἢ μέριμνα τινὸς ἕνεκεν τῶν βιωτικῶν ἐὰν καθεύδῃ ἐν καρδίᾳ τῶν ἐν ἡσυχίᾳ καθημένων, οὐκ ἔστι τῆς πνευματικῆς σοφίας. τὸ γὰρ ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ „ τὰ τοῦ Θεοῦ τῷ Θεῷ· καὶ τὰ τοῦ πλησίον, καὶ τὰ τῷ Θεῷ τὰ ὄντα αὐτῶν ἑκάστῳ, οὐ τοῖς ἡσυχάζουσιν εἴρηται, ἀλλὰ τοῖς ἔξω πολιτευομένοις. τοῖς γὰρ τῇ ἀγγελικῇ τάξει ἀναστρεφομένοις, λέγω δὴ τῇ τῆς ψυχῆς μερίμνῃ, ἐν τοῖς βιωτικοῖς εὐαρεστεῖν αὐτῷ οὐκ ἐντέταλται, τουτέστι φροντίζειν ἐργοχείρου, ἢ λαβεῖν ἀπότινος, καὶ δοῦναι ἑτέρῳ. ὥστε οὐ δεῖ τὸν Μοναχὸν ἔχειν μέριμναν τινὸς κινοῦντος, καὶ καταβιβάζοντος τὸν νοῦν αὐτοῦ ἀπὸ τῆς στάσεως αὐτοῦ τῆς πρὸ προσώπου τοῦ Θεοῦ.

Ματθ. κβ. κα.

Ἐὰν δέ τις ἀντιλέγων, μνημονεύσῃ τοῦ θείου Παύλου τοῦ Ἀποστόλου, ὡς ὅτι ἐκεῖνος εἰργάζετο ταῖς ἰδίαις χερσὶ, καὶ ἐποίει ἐλεημοσύνας, ἐροῦμεν αὐτῷ, ὅτι ὁ Παῦλος καὶ μόνος ἠδύνατο

ἠδυνάτο πάντα· ἄλλον δὲ Παῦλον οὐκ οἴδαμεν γενόμενον, καὶ δυνάμενον πρὸς πάντα κατ' ἐκεῖνον. δεῖξον γάρ μοί σὺ ἕτερον τοιοῦτον Παῦλον, κἀγώ σοι πείθομαι. (1) λοιπὸν τὰ οἰκονομικῶς γινόμενα μὴ ἀγάγῃς ἐν τῷ μέσῳ τῶν καθολικῶν πραγμάτων. ἕτερον γάρ ἐστι τὸ ἔργον τοῦ εὐαγγελίου, καὶ ἑτέρα ἡ πρᾶξις τῆς ἡσυχίας. σὺ δὲ εἰ βούλει κρατῆσαι τῆς ἡσυχίας, γενοῦ ὡς

(1) Ὅτι μὲν μέγα, καὶ ὑψηλὸν, καὶ δυσκατόρθωτον τὸ τοῦ Παύλου ἔργον, προφανὲς τυγχάνει καὶ πρόδηλον. μέριμνα πασῶν τῶν Ἐκκλησιῶν, νουθεσία συνεχὴς καὶ ἀδιάκοπος, (τριετίαν νύκτα, καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον. Πραξ. κ. λα.) περίοδος, ναυάγια, διωγμοὶ, ῥαβδισμοὶ, δεσμὰ, φυλακαὶ, καὶ τὰ λοιπὰ ἐξαίσια αὐτοῦ ἆθλα. εἶτα καὶ τὸ μὴ φαγεῖν ἄρτον δωρεὰν, (οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν. β. Θεσσαλον. γ. η.) ἀλλὰ ὑπὲρ αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ ἐργάζεσθαι ταῖς ἰδίαις χερσί. (αὐτοὶ δὲ γινώσκετε, ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Πραξ. κ. λδ.) ἔνθεν τοι καὶ ὁ θεῖος Χρυσόστομος ἐν πολλοῖς τῶν ἑαυτοῦ λόγων πολλάκις αὐτὸν ἐγκωμιάζων γεραίρει, μάλιστα δὲ ἐν τῷ εἰς αὐτὸν ἐγκωμίῳ, λέγων· τίποτε ἐστὶν ἄνθρωπος, καὶ ὅση ἡ εὐγένεια τῆς ἡμετέρας φύσεως, καὶ ὅσης ἐστὶ δεκτικὸν ἀρετῆς τουτὶ τὸ ζῶον, ἔδειξε μάλιστα πάντων ἀνθρώπων ὁ Παῦλος. ἀλλ' οὐ διὰ τοῦτο ἀμίμητος. αὐτὸς γὰρ περὶ αὐτοῦ φησί· παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε. (Κολασ. δ. ιϛ.) καὶ ἀλλαχοῦ, γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά. (Ἐφεσ. ε. α.) οὐ διὰ τοῦτο, ὁ Παῦλος καὶ μόνος ἠδυνάτο πάντα. ἐν τίνι γὰρ ἠδύνατο πάντα; ἐν τῷ ἐνδυναμοῦντι αὐτὸν Χριστῷ. πάντα, γάρ φησιν, ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. (Φιλιπ. δ. ιγ.) αὐτὸς δὲ ὁ Χριστὸς ἔφη, πάντα δυνατὰ τῷ πιστεύοντι. (Μαρκ. θ. κγ.) ἀλλὰ καὶ ὁ Ἀββᾶ Ἰσαὰκ ἀλλαχοῦ (σελ. 306.) εἴρηκεν· ὅσον ἐπὶ πλέον ὑπεραρθῇ ὁ ἄνθρωπος, καὶ εἰσέλθῃ εἰς τὸ πνευματικὸν κατὰ τὴν ὁμοίωσιν τοῦ Παύλου. εἴτε οὖν αὐτὸς ὁ Ἰσαὰκ, εἴτε ὁ γέρων, οὗτινος ἀνωτέρω μνείαν ἐποιήσατο, περὶ τοῦ Παύλου εἶπε τὸ, Παῦλος καὶ μόνος ἠδυνάτο πάντα κτ. τῇ ὑπερβολῇ ἐχρήσατο, τό, τε ὕψος τῆς τοῦ Ἀποστόλου ἀρετῆς ὑποδεῖξαι βουλόμενος, καὶ τὸ τῆς δυσχερείας μέγεθος, τῆς τῇ ἡσυχίᾳ ἐπιγινομένης, ἡνίκα καὶ ἡ φροντὶς πρόσκειται τοῦ ἐλεημοσύνην διδόναι, καὶ τὰ πρὸς τὴν χρείαν ἐπιχορηγεῖν τῷ πλησίον.

ὡς τὰ Χερουβὶμ, τὰ μηδενὸς φροντίζοντα βιωτικοῦ· καὶ μὴ ἡγοῦ τινὰ εἶναι ἄλλον ἐν τῇ γῇ, πλὴν σοῦ καὶ τοῦ Θεοῦ, οὗ φροντίζεις, ὡς ἐδιδάχθης ὑπὸ τῶν πατέρων σου τῶν πρὸ σοῦ γεγονότων. ἐὰν γὰρ μὴ σκληρωθῇ τὶς τὴν ἰδίαν καρδίαν, καὶ βεβαίως συνέχῃ τὸ ἔλεος αὐτοῦ, ἵνα γένηται μακρὰν ἀπὸ τῆς πάντων μερίμνης τῶν κάτω, ἤγουν τῆς τε διὰ τὸν Θεὸν καὶ διά τι βιωτικὸν, καὶ ἐν τῇ προσευχῇ καὶ μόνῃ ἐν τοῖς ὡρισμένοις αὐτῷ καιροῖς ἐμμένῃ, ἐλευθερωθῆναι τῆς ταραχῆς καὶ τῆς μερίμνης, καὶ ἐν ἡσυχίᾳ γενέσθαι οὐ δύναται.

Ὅταν οὖν ἔλθῃ σοι ἐνθύμησις τοῦ φροντίζειν τινὸς λόγῳ ἀρετῆς, ὥστε σκεδάσαι ἀπὸ σοῦ τὴν οὖσάν σοι γαλήνην ἐν τῇ καρδίᾳ, εἰπὲ αὐτῇ· καλή ἐστιν ἡ τῆς ἀγάπης ὁδὸς, καὶ τὸ διὰ Θεὸν ἔλεος, ἀλλὰ κἀγὼ διὰ τὸν Θεὸν οὐ θέλω αὐτήν. εἶπέ μοι πάτερ, ἔφησέ τις Μοναχὸς, ὅτι διὰ τὸν Θεὸν τρέχω ὀπίσω σου· κἀκεῖνος ἀντέφη, κἀγὼ διὰ τὸν Θεὸν φεύγω ἐκ σοῦ. ὁ Ἀββᾶς Ἀρσένιος, οὔτε πρὸς ὠφέλειαν, οὔτε πρὸς ἄλλο τὶ διὰ τὸν Θεὸν ὑπήντα τινί. ἄλλος διὰ τὸν Θεὸν ὅλην τὴν ἡμέραν ἐλάλει, καὶ πάντας τοὺς ἐρχομένους ξενικοὺς ἐδέχετο. ἐκεῖνος δὲ ἀντὶ τούτου, ἐξελέξατο τὴν σιγὴν καὶ τὴν ἡσυχίαν. καὶ διὰ τοῦτο μετὰ τοῦ θείου πνεύματος ἐν μέσῳ τῆς θαλάσσης τοῦ παρόντος βίου ἐλάλει, καὶ μετὰ γαλήνης μεγίστης διέπλει ἐν τῷ πλοίῳ τῆς ἡσυχίας, ὡς φανερῶς ὡράθη τοῖς ἀγωνισταῖς, τοῖς ἐξερευνήσασι παρὰ τοῦ Θεοῦ περὶ τούτου. καὶ γὰρ ὁ τῆς ἡσυχίας ὅρος, οὗτός ἐστι· σιωπὴ ἀπὸ πάντων. ἐὰν δὲ ἐν τῇ ἡσυχίᾳ εὑρεθῇς πεπληρωμένος ταραχῆς, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν θορυβήσῃς τὸ σῶμα, καὶ τὴν ψυχὴν ἐν φροντίδι τινῶν, ποίαν ἡσυχίαν τηνικαῦτα ἄγεις φροντίζων πολλῶν, ἵνα ἀρέσῃς

ἀρέσεως τῷ Θεῷ; κρῖνον σύ. ἄνευ γὰρ τῆς τῶν πάντων καταλείψεως, καὶ τῦ μακρυσμῦ ἀπὸ πάσης φροντίδος, τὴν πολιτείαν τῆς ἡσυχίας κατορθώσασθαι ἐπονείδιςον ἡμῖν εἰπεῖν ἐςί. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα.

ΛΟΓΟΣ Π.

ΠΕΡΙΕΧΩΝ ΗΜΕΡΗΣΙΟΝ ΑΝΑΓΚΑΙΟΤΑΤΟΝ ΥΠΟΜΝΗΜΑ ΚΑΙ ΠΑΝΥ ΧΡΗΣΙΜΩΤΑΤΟΝ

τῷ καθημένῳ ἐν τῷ κελλίῳ αὐτῦ, καὶ ἑαυτῷ μόνῳ προσέχειν αἱρυμένῳ.

Τὶς τῶν ἀδελφῶν ἔγραψε ταῦτα, καὶ ἐτίθει αὐτὰ ἔμπροσθεν αὐτῦ διηνεκῶς, ἀνεμίμνησκέ τε ἑαυτὸν τύτων καὶ ἔλεγεν· ἐν ἀφροσύνῃ ἐδαπάνησας τὴν ζωήν σε, (1) ὦ κατῃχυμένε ἄνθρωπε, καὶ παντὸς κακῦ ἄξιε· ἀλλὰ παραφύλαττε κἂν ἐν ταύτῃ τῇ ἡμέρᾳ τῇ καταλειφθείσῃ ἐκ τῶν ἡμερῶν σε τῶν ἐξεληλυθυιῶν κενῶς καὶ ἀπράκτως τῶν ἀγαθῶν, καὶ πεπλετηκυιῶν ἐν τοῖς κακοῖς. μὴ ἐρωτήσῃς περὶ τῦ κόσμυ, μήτε περὶ τῆς διαγωγῆς αὐτῦ, μήτε περὶ τῶν Μοναχῶν, ἢ τῶν πραγμάτων αὐτῶν, καὶ ὅπως εἰσὶ, μήτε περὶ τῆς ποσότητος τῆς ἐργασίας αὐτῶν, καὶ μὴ φροντίσῃς τινὸς τῶν τοιύτων. ἐξῆλθες ἐκ τῦ κόσμυ ἐν μυςηρίῳ, καὶ ἐλογίσθης ὡς νεκρὸς ἐν Χριςῷ, μηκέτι ζήσῃς τῷ κόσμῳ, μήτε τοῖς ἐν τῷ κόσμῳ· ἵνα σε προ-

(1) Τ. Ε. Χ. τὸν τῆς ζωῆς σε χρόνον.

προλάβῃ ἡ ἀνάπαυσις, καὶ γνῷς ἐν Χριςῷ ζῶν. γνῶ ἕτοιμος καὶ ηὐτρεπισμένος πρὸς πᾶν ὄνειδος, καὶ πᾶσαν ὕβριν, καὶ χλευασμὸν, καὶ μέμψιν ἐκ πάντων. καὶ δέξαι ταῦτα πάντα μετὰ χαρᾶς ὡς ἄξιος αὐτῶν ἐν ἀληθείᾳ, καὶ ὑπόμενον πάντα πόνον, καὶ πᾶσαν θλίψιν, καὶ κίνδυνον τὸν ἐκ τῶν Δαιμόνων, ὧν τὸ θέλημα ἔπραξας μετ' εὐχαριςίας. ἢ γενναίως Φέρε πᾶσαν ἀνάγκλω, καὶ τὰ συμβεβηκότα Φυσικῶς, καὶ τὰς πικρότητας. καὶ ὑπόμεινον ἐν τῇ εἰς Θεὸν πεποιθήσει καὶ τλὼ ςέρησιν τῶν ἀναγκαίων τῆ σώματος, τῶν μετ' ὀλίγον εἰς κόπρον ἐσομένων. καὶ ταῦτα πάντα τῇ εἰς Θεὸν ἐλπίδι καταδέξαθαι θέλησον, μὴ ἀναμένων τλὼ ἀλλαχόθεν λύτρωσιν, ἢ τλὼ παρ' ἄλλε παράκλησιν· ἀλλ' ἐπίῤῥιψον ἐπὶ Κύριον τλὼ μέριμνάν σε, καὶ ἐν πᾶσι τοῖς πειρασμοῖς σε σεαυτὸν κατάκρινον, ὡς αἴτιον ὄντα τέτων. μὴ σκανδαλιθῇς ἔν τινι, μηδὲ μέμΦε τινὰ τῶν λυπέντων σε. διότι ἔΦαγες ἐκ τῆ ὁριθέντος Φυτῆ, καὶ ἐκτήσω διάΦορα πάθη. μετὰ χαρᾶς δέξαι τὰς πικρότητας, ἵνα σε τινάξωσι μικρὸν, καὶ ὕςερον γλυκανθῇς. Φεῦ σοι καὶ τῇ δόξῃ σε τῇ δυσώδει· διότι ἐγκατέλιπες τλὼ σεαυτῆ ψυχλὼ, ὡς ἀκατάκριτον, πεπληρωμένλω ἔσαν πάσης ἁμαρτίας, καὶ ἄλλες κατέκρινας λόγῳ, καὶ διανοίᾳ. ἱκανοὶ γάρ σοι, ἱκανοὶ αὕτη ἡ χοιρώδης βρῶσις, ἐν ᾗ μέχρι τῆς ἄρτι τυγχάνεις ἐνδιαιτώμενος. τί σοι καὶ τοῖς ἀνθρώποις, ὦ ῥυπαρὲ, ἐκ αἰσχύνῃ συναναςραΦῆναι αὐτοῖς, διότι ἀλόγως ἐπολιτεύσω; ἐὰν πρόσχῃς τέτοις, καὶ κατάσχῃς ταῦτα πάντα, ἴσως τῇ συνεργείᾳ τῆ Θεῆ σωθήσῃ. εἰ δὲ μὴ, ἀπελεύσῃ εἰς τλὼ σκοτεινλὼ χώραν, καὶ εἰς τὰς τῶν Δαιμόνων κατασκηνώσεις, ὧν τὸ θέλημα εἰργάσω ἀναιδεῖ προσώπῳ. ἰδὲ διεμαρτυρά-

τυράννωσοι ἐν πᾶσι τέτοις. ἐὰν κινήσῃ κατὰ σῦ ὁ Θεὸς δικαίως εἰς τὸ ἀμείψαθαίσε ἀντὶ τῶν ὕβρεων καὶ μέμψεων, ὧν ἐλογίσω, ἢ ἐλάλησας κατ᾽ αὐτῦ χρόνον ὁλόκληρον, ὁ κόσμος ὅλος ἔχει ἀχοληθῆναι εἰς σέ. λοιπὸν παῦσαι ἀπὸ τῦ νῦν, καὶ ὑπόμεινον τὰς ἐπερχομένας σοι ἀμοιβάς. ἐν πᾶσι τέτοις ὑπεμίμνησκεν ἑαυτὸν ὁ ἀδελφὸς πάσας τὰς ἡμέρας, ἵνα πειρασμῦ ἐπελθόντος αὐτῷ, ἢ θλίψεως, δυνηθῇ ὑπομεῖναι μετ᾽ εὐχαριστίας, ἢ ὠφεληθῆναι. γένοιτο δὲ ἡμᾶς μετ᾽ εὐχαριστίας ὑπομεῖναι τὰ ἐπερχόμενα, ἢ ὠφεληθῆναι χάριτι τῦ φιλανθρώπυ Θεῦ· ᾧ ἡ δόξα ἢ τὸ κράτος εἰς τὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΠΑ.

ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΑΡΕΤΩΝ ΚΑΙ ΠΕΡΙ ΤΕΛΕΙΟΤΗΤΟΣ ΠΑΝΤΟΣ ΔΡΟΜΟΥ.

Τελειότης παντὸς δρόμυ ἐν τοῖς τρισὶ τέτοις ἐςίν. ἐν τῇ μετανοίᾳ, ἐν τῇ καθαρότητι, καὶ τῇ τελειότητι. τὶ δὲ ἐςὶν ἡ μετάνοια; καταλεῖψαι τὰ πρότερα, ἢ λυπεῖθαι ὑπὲρ αὐτῶν. καὶ τί ἐςιν ἡ καθαρότης συντόμως; καρδία ἐλεήμων ὑπὲρ πάσης τῆς κτισῆς φύσεως. καὶ τί ἐςιν ἡ τελειότης; βάθος ταπεινώσεως, ὅπερ ἐςὶ κατάλειψις πάντων τῶν ὁρατῶν τε καὶ ἀοράτων. ὁρατῶν μὲν, πάντων τῶν αἰθητῶν· ἀοράτων δὲ, τῶν νοητῶν, καὶ ἐκτὸς μερίμνης τῆς ὑπὲρ αὐτῶν.

Ἠρωτήθη πάλιν ἐν ἄλλῳ καιρῷ, τί ἐστι μετάνοια; καὶ εἶπε· καρδία συντετριμμένη, καὶ τεταπεινωμένη· διπλῆ νέκρωσις ἑκουσίως ἐκ πάντων. καὶ τί ἐστι καρδία ἐλεήμων; καὶ εἶπε· καῦσις καρδίας ὑπὲρ πάσης τῆς κτίσεως, ὑπὲρ τῶν ἀνθρώπων, καὶ τῶν ὀρνέων, καὶ τῶν ζώων, καὶ τῶν Δαιμόνων, καὶ ὑπὲρ παντὸς κτίσματος. καὶ ἐκ τῆς μνήμης αὐτῶν, καὶ τῆς θεωρίας αὐτῶν ῥέουσιν οἱ ὀφθαλμοὶ αὐτοῦ δάκρυα. ἐκ τῆς πολλῆς καὶ σφοδρᾶς ἐλεημοσύνης τῆς συνεχούσης τὴν καρδίαν, καὶ ἐκ τῆς πολλῆς καρτερίας σμικρύνεται ἡ καρδία αὐτοῦ, καὶ οὐ δύναται βαστάξαι, ἢ ἀκοῦσαι, ἢ ἰδεῖν βλάβην τινὰ, ἢ λύπην μικρὰν ἐν τῇ κτίσει γινομένην. καὶ διὰ τοῦτο καὶ ὑπὲρ τῶν ἀλόγων, καὶ ὑπὲρ τῶν ἐχθρῶν τῆς ἀληθείας, καὶ ὑπὲρ τῶν βλαπτόντων αὐτὸν ἐν πάσῃ ὥρᾳ εὐχὴν μετὰ δακρύων προσφέρει, τοῦ φυλαχθῆναι αὐτοὺς, καὶ ἱλασθῆναι αὐτοῖς· ὁμοίως καὶ ὑπὲρ τῆς φύσεως τῶν ἑρπετῶν ἐκ τῆς πολλῆς αὐτοῦ ἐλεημοσύνης τῆς κινουμένης ἐν τῇ καρδίᾳ αὐτοῦ ἀμέτρως καθ᾽ ὁμοιότητα τοῦ Θεοῦ.

Καὶ ἠρωτήθη πάλιν, τί ἐστιν εὐχή; καὶ εἶπεν· εὐκαιρία καὶ σχολὴ τῆς διανοίας ἐκ πάντων τῶν ἐνταῦθα, καὶ καρδία ἡ ἐπιστρέψασα τελείως τὴν ἑαυτῆς ὅρασιν εἰς τὴν ἐπιπόθησιν ἐκείνης τῆς ἐλπίδος τῶν μελλόντων. ὁ δὲ ἀφωρισμένος ἐκ τούτων, σύμμικτον σπόρον σπείρει ἐν τῷ ἑαυτοῦ σπόρῳ, κατὰ τὸν ζευγνύοντα ζεῦγος ἐν βοῒ καὶ ὄνῳ ὁμοῦ.

Καὶ πάλιν ἠρωτήθη, πῶς δύναταί τις κτήσασθαι τὴν ταπείνωσιν; καὶ εἶπεν· ἐν τῇ ἀδιαλείπτῳ μνήμῃ τῶν παραπτωμάτων, καὶ ἐν ἐλπίδι προσεγγιζούσῃ θανάτῳ, καὶ ἐν ἐσθῆτι εὐτελεῖ, καὶ ἐν παντὶ καιρῷ προκρίνειν τὸν ἔσχατον τόπον, καὶ ἐν παντὶ πράγματι ἐπιτρέχειν τοῖς ἔργοις τοῖς ἐλαχίστοις καὶ κα-

θυβρισ-

θυβρισμένοις, καὶ τῷ μὴ εἶναι ἀνήκοον, καὶ ἐν τῇ ἀδιαλείπτῳ σιωπῇ, καὶ τῷ μὴ ἀγαπᾷν συναντῆσαι ταῖς συνάξεσι, καὶ τῷ θέλειν ἑαυτὸν ἀγνώριστον καὶ ἀψήφιστον, καὶ ἐν τῷ μὴ κατέχειν τινὰ τῶν πραγμάτων ἐν ἰδιορυθμίᾳ παντελεῖ, καὶ τῷ μισεῖν τὴν ὁμιλίαν τῶν πολλῶν προσώπων, καὶ τῷ μὴ ἀγαπᾷν τὰ κέρδη. καὶ μετὰ ταῦτα, τῷ ὑπεραίρειν τὴν ἑαυτοῦ διάνοιαν ἐκ πάσης μέμψεως καὶ ἐγκλήσεως παντὸς ἀνθρώπου, καὶ τῆς ζηλοτυπίας· καὶ τῷ μὴ εἶναι τὴν χεῖρα αὐτοῦ κατὰ πάντων, καὶ ἡ χεὶρ τῶν πάντων κατ᾽ αὐτοῦ, ἀλλ᾽ ἐν τοῖς ἑαυτοῦ μόνος μεμονωμένος· καὶ τῷ μὴ λαβεῖν μέριμναν τινὸς ἐν τῷ κόσμῳ, πλὴν ἑαυτοῦ· καὶ τὸ σύντομον, ἡ ξενιτεία, καὶ ἡ πτωχεία, καὶ ἡ τῆς μονώσεως διαγωγή. ταῦτα τίκτουσι τὴν ταπείνωσιν, καὶ καθαρίζουσι τὴν καρδίαν.

Τῶν δὲ φθασάντων τὴν τελειότητα, τοῦτό ἐστι τὸ τεκμήριον. ἐὰν καθ᾽ ἡμέραν δεκάκις εἰς καῦσιν παραδοθῶσιν ὑπὲρ τῆς ἀγάπης τῶν ἀνθρώπων, οὐ κορέννυνται ἐκ τούτων. καθάπερ εἶπεν ὁ Μωϋσῆς τῷ Θεῷ· εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου, ἧς ἔγραψας. καὶ καθὼς ὁ μακάριος Παῦλος, ηὐχόμην λέγων, ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, καὶ τὰ ἑξῆς. καὶ πάλιν. νῦν χαίρω ἐν ταῖς θλίψεσιν ὑπὲρ ὑμῶν τῶν ἐθνῶν. καὶ οἱ λοιποὶ δὲ Ἀπόστολοι, ἀντὶ τοῦ πόθου τῆς ζωῆς τῶν ἀνθρώπων ἐδέξαντο θάνατον ἐν παντοίοις τρόποις.

Ἐξ. λβ. λα.

Ῥωμ. θ. γ.

Κολασ. α. κδ.

Τέλος δὲ τούτων πάντων ὁμοῦ ὁ Θεὸς καὶ Κύριος, διὰ τὸν πόθον τῆς κτίσεως τὸν ἑαυτοῦ υἱὸν διὰ σταυροῦ εἰς θάνατον παραδέδωκεν. οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν μονογενῆ ἑαυτοῦ υἱὸν δοῦναι εἰς θάνατον ὑπὲρ αὐτοῦ. οὐχ ὅτι

Ἰωάν. γ. ιϛ.

οὐκ ἠδύνατο ἐν ἄλλῳ τρόπῳ λυτρώσασθαι ἡμᾶς, ἀλλὰ τὴν ἀ-
γάπην ἑαυτοῦ τὴν ὑπερβάλλουσαν ἐν τούτῳ εὑρέθη διδάσκων ἡ-
μᾶς. καὶ ἐν τῷ θανάτῳ τοῦ μονογενοῦς ἑαυτοῦ μ͂ου προσήγγισεν
ἡμᾶς πρὸς ἑαυτόν. καὶ εἰ εἶχε τιμιώτερον αὐτοῦ, ἔδωκεν ἂν
ἡμῖν· ὅπως ἐν αὐτῷ εὑρεθῇ αὐτῷ τὸ γένος ἡμῶν. καὶ διὰ τὴν
ἀγάπην αὐτοῦ τὴν πολλὴν, οὐκ εὐδόκησε τὴν ἐλευθερίαν ἡμῶν
βιάσασθαι, κἂν δυνατὸς ἦ ποιῆσαι· ἀλλὰ τῇ ἀγάπῃ τοῦ φρονή-
ματος ἡμῶν πλησιάσαι αὐτῷ. καὶ αὐτὸς ὁ Χριστὸς ὑπήκουσε
τῷ πατρὶ αὐτοῦ, διὰ τὴν ἀγάπην αὐτοῦ τὴν πρὸς ἡμᾶς, τοῦ
δέξασθαι καθ' ἑαυτοῦ τὴν ὕβριν. καὶ τὴν λύπην ἐν χαρᾷ, κα-
Ἑβρ. ιβ. β. θὼς λέγει ἡ γραφή· ἀντὶ τῆς χαρᾶς ἧς εἶχεν, ὑπέμεινε σταυ-
» ρὸν, αἰσχύνης καταφρονήσας. διὰ τοῦτο εἶπεν ὁ Κύριος ἐν τῇ
Ματθ. κϛ. κϛ. νυκτὶ, ᾗ παρεδίδοτο· τοῦτο τὸ σῶμά μου τὸ ὑπὲρ τοῦ κόσμου
» διδόμενον εἰς ζωὴν, καὶ τοῦτο τὸ αἷμά μου τὸ ὑπὲρ πολλῶν ἐκχυ-
» νόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ ὑπὲρ ἡμῶν φησὶ πάλιν·
Ἰωαν. ιζ. ιθ. ἐγὼ ἁγιάζω ἐμαυτόν. οὕτω καὶ πάντες οἱ ἅγιοι ταύτην τὴν τε-
λειότητα φθάνουσιν, ὅταν τέλειοι γένωνται, καὶ τῷ Θεῷ ἀφο-
μοιῶνται ἐν τῷ ὑπερεκβλύζειν τὴν ἀγάπην αὐτῶν καὶ τὴν
φιλανθρωπίαν εἰς πάντας. καὶ τοῦτο τὸ σημεῖον ζητοῦσιν ἑαυ-
τοῖς οἱ ἅγιοι ἀφομοιωθῆναι τῷ Θεῷ, ἐν τῷ τελειωθῆναι τῷ πό-
θῳ τοῦ πλησίον. οὕτω καὶ οἱ πατέρες ἡμῶν οἱ μονασταὶ ἐποίουν,
ὅταν πρὸς ἐκείνην τὴν τελειότητα καὶ ὁμοίωσιν, τὴν πλήρη
ζωῆς τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐν ἑαυτοῖς ἐλάμβανον πάντοτε.

Ὁ μακάριος, φασὶν, Ἀντώνιος, οὐδέποτε ἔκρινε καθ' ἑ-
αυτὸν ποιῆσαί τι ὠφελοῦν αὐτὸν πλέον τοῦ πλησίον αὐτοῦ, ὅτι εἶ-
χε τὴν ἐλπίδα ταύτην, ὅτι τὸ κέρδος τοῦ πλησίον αὐτοῦ, ἐστὶν
αὐτῷ ἐργασία ἀρίστη. καὶ πάλιν ἐῤῥέθη περὶ τοῦ ἀββᾶ Ἀγά-
θωνος,

θωπος, ὡς ἔλεγεν· ὅτι ἤθελον εὑρεῖν λωβὸν, καὶ λαβεῖν τὸ σῶμα αὐτῦ, καὶ δῦναι αὐτῷ τὸ ἐμόν. εἶδες ἀγάπην τελείαν; ἢ ἕως (1) πάλιν εἰς ὅπερ ἔξωθεν αὐτῦ ἦν, ἐκ ἔφερε μὴ ἀναπαῦσαι τὸν πλησιον αὐτῦ. καὶ πάλιν εἶχε σμιλίον; καὶ εἰσελθὼν ἀδελφὸς πρὸς αὐτὸν, καὶ ἐπιθυμήσας αὐτῦ, ἐκ ἀφῆκεν αὐτὸν ἐξελθεῖν ἐκ τῦ κελλίε αὐτῦ χωρὶς αὐτῦ. ἢ τὰ λοιπὰ τὰ γραφέντα περὶ τῶν τοιέτων. ἢ τί λέγω ταῦτα; πολλοὶ ἐξ αὐτῶν τοῖς θηρίοις, ἢ τῷ ξίφει, καὶ τῷ πυρὶ παρέδωκαν τὰ σώματα ἑαυτῶν, διὰ τὸν πλησίον. ἐδεὶς δύναται ἐλθεῖν εἰς τὴν τάξιν ταύτης τῆς ἀγάπης, εἰ μήτις αἰσθηθῇ κρυπτῶς τῆς ἑαυτῦ ἐλπίδος. ἢ ἐ δύνανται κτήσασθαι τὴν ἀγάπην τῶν ἀνθρώπων οἱ ἀγαπῶντες τῦτον τὸν κόσμον. ὅταν τὶς κτήσηται τὴν ἀγάπην, αὐτὸν τὸν Θεὸν ἐνδύεται μετ᾽ αὐτῆς. ἀνάγκη δὲ τὸν κτησάμενον τὸν Θεὸν, μὴ πειθῆναι κτήσασθαι μετ᾽ αὐτῦ τὶ, ἀλλὰ καὶ τὸ σῶμα ἑαυτῦ ἀποδύσασθαι. ἐὰν δὲ τὸν κόσμον τῦτον ἐνδύσηται, ἢ τὴν ζωὴν ταύτην ἐν τῷ πόθῳ αὐτῦ, ἐ μὴ ἐνδύσηται τὸν Θεὸν, ἕως ἐκ ἀφῇ αὐτά. αὐτὸς γὰρ ταῦτα ἐμαρτύρησεν. εἴτις λέγων, ἐκ ἀφίησι πάντα, ἢ μισεῖ τὴν ἑαυτῦ ψυχὴν, μαθητὴς ἐμοὶ γενέσθαι ἐ δύναται. ἢ ἐχὶ μόνον τὸ ἀφεῖναι, ἀλλὰ καὶ μισῆσαι αὐτά. ἢ εἴτις ἐ δύναται μαθητὴς αὐτῦ γενέσθαι, πῶς οἰκήσει ἐν αὐτῷ; (Λεκ. ιδ. κς.)

Ἐρώτ. Διατὶ ἡ ἐλπὶς ὅτως ἡδεῖα, ἢ ἡ διαγωγὴ αὐτῆς, καὶ τὰ ἔργα αὐτῆς ἐλαφρά; ἢ ταχέως τὰ ἔργα αὐτῆς τῇ ψυχῇ γίνεται;

Ἀπόκρ. Διὰ τὸ τὴν ἐπιπόθησιν τὴν φυσικὴν ἐξυπνισθῆναι ἐν τῇ ψυχῇ, καὶ ποτίσαι αὐτὲς τὸ ποτήριον τῦτο, καὶ μεθύσαι αὐτὲς ἐκ τῆς ὥρας ἐκείνης. ἢ παρὰ τῦτο ἐκ ἔτι τῦ κόπε αἰ-

θάνον-

(1) Τὸ, ἕως, περιττὸν δοκεῖ.

θάνονται, ἀλλὰ ἀναίσθητοι τῶν θλίψεων γίνονται, ἢ ἐν παντὶ δρόμῳ τῆς πορείας αὐτῶν, ἔτω νομίζεσιν, ὡς εἶναι αὐτὲς ποιἔντας τὴν πορείαν ἐν τῷ ἀέρι, ἢ ἐχὶ ἐν τῷ βαδίσματι τῷ ἀνθρωπίνῳ· ἐν τῷ μὴ ὁρᾶσθαι ὑπ' αὐτῶν τὴν σκληρότητα τῆς ὁδἔ, καὶ μὴ γενέσθαι κατ' ἐνώπιον αὐτῶν βενὲς, καὶ χειμάῤῥες. ἢ ἔσαι αὐτοῖς τὰ τραχέα εἰς ὁδὲς λείας, καὶ τὰ ἑξῆς. (Ἡσ. μ. δ.) καὶ διὰ τὸ ἐν πάσῃ ὥρᾳ προσέχειν τῷ κόλπῳ τἔ πατρὸς αὐτῶν. ἢ αὕτη ἡ ἐλπὶς ὡς ἐν δακτύλῳ δεικνύει αὐτοῖς ἐν πάσῃ ῥοπῇ τὰ μακρὰν ὄντα, καὶ ἀόρατα. ὡσανεὶ ἐν αὐτοῖς καθορῶσι παραβολικῶς ἐν τῷ ὀφθαλμῷ τῷ κρυπτῷ τῆς πίςεως. καὶ διὰ τὸ πυρωθῆναι τὰ μέρη τῆς ψυχῆς, ὡς ἐν πυρὶ, ἐν τῷ πόθῳ τῶν μακρὰν ὄντων, ἢ τὰ ἀπόντα ὡς παρόντα αὐτοῖς λογισθῆναι. ἐκεῖσε ἔν ἐκτείνεται πᾶν διάςημα τῶν λογισμῶν αὐτῶν. καὶ τὸ πότε φθάσωσιν ἀεὶ ἐπείγονται. ἢ ὅτε προσεγγίζεσι πρὸς ἑκάςην ἀρετὴν τἔ ἐνεργῆσαι αὐτὴν, ἐχὶ μερικῶς ἐνεργἔσιν αὐτὴν, ἀλλὰ περιεκτικῶς ὅλας ἐξ ὅλε ἐφάπαξ ἐνεργἔσι. διότι τὴν πορείαν αὐτῶν, ἐχὶ ἐν τῇ βασιλικῇ ὁδῷ ποιἔνται, καθὼς πάντες, ἀλλὰ τρίβες συντόμες ἐκλέγονται ἔτοι οἱ γίγαντες ἑαυτοῖς. ἐν αἷς ἔκδηλοί τινες πορεύονται συντόμως πρὸς τὰς μονάς. διότι αὕτη ἡ ἐλπὶς πυροῖ αὐτὲς ὡς ἐν πυρὶ, καὶ ἐ δύνανται ἠρεμῆσαι ἐκ τἔ σφοδρἔ δρόμε τἔ διωεκἔς ἐν τῇ χαρᾷ αὐτῶν. καὶ γίνεται αὐτοῖς, καθὼς καὶ ἐν τῷ μακαρίῳ Ἱερεμίᾳ ἐῤῥέθη. (Ἱερ. κ. θ.) εἶπα γάρ φησιν ἐ μὴ μνησθῶ αὐτἔ, ἐδ' ἐ μὴ λαλήσω τῷ ὀνόματι αὐτἔ. ἢ ἐγένετο ἐν τῇ καρδίᾳ με, ὡς πῦρ φλογίζον, καὶ εἰσδύνον ἐν τοῖς ὀςέοις με. ἔτω γίνεται ἐν ταῖς καρδίαις αὐτῶν ἡ μνήμη τἔ Θεἔ, τῶν ἐν τῇ ἐλπίδι τῶν ἐπαγγελιῶν αὐτἔ μεθυόντων.

Αἱ τρίβοι αἱ σύντομοι τῶν ἀρετῶν, αἱ περιεκτικαί εἰσιν ἀρεταί· διὰ τὸ μὴ ἔχειν αὐτὰς μακρὸν διάστημα ἐν ταῖς τρίβοις ταῖς πολλαῖς τῆς πολιτείας ἐξ ἐκείνης πρὸς ταύτην· οὐδὲ τόπον, καὶ καιρὸν, καὶ σκορπισμὸν ἐκδέχονται, ἀλλ᾽ εὐθέως ἵστανται καὶ πληροῦσιν αὐτά.

Ἐρώτ. Τί ἐστιν ἀπάθεια ἡ ἀνθρωπίνη;

Ἀπόκρ. Ἀπάθεια, οὐχὶ τὸ μὴ αἰσθηθῆναι τῶν παθῶν ἐστὶν, ἀλλὰ τὸ μὴ δέξασθαι αὐτά· ἐκ τῶν πολλῶν καὶ ποικίλων ἀρετῶν, ὧν ἐκτήσαντο τῶν φανερῶν καὶ κρυπτῶν, καὶ ἠσθένησαν ἐν αὐτοῖς τὰ πάθη, καὶ οὐ δύνανται εὐχερῶς ἐπαναστῆναι κατὰ τῆς ψυχῆς. καὶ ἡ διάνοια οὐ χρήζει πάντοτε προσέχειν αὐτοῖς· διότι ἐν παντὶ καιρῷ πεπληρωμένη ἐστὶν ἐν τοῖς νοήμασιν αὐτῆς ἐκ τῆς μελέτης καὶ τῆς ὁμιλίας τῶν ἀρίστων τρόπων, τῶν ἐν τῇ συνέσει κινουμένων ἐν τῷ νοΐ. καὶ ὅταν ἄρξωνται τὰ πάθη κινεῖσθαι, ἐξαίφνης ἁρπάζεται ἡ διάνοια ἐκ τῆς ἐγγύτητος αὐτῶν ἐν συνέσει τινὶ τῇ παρακυψάσῃ ἐν τῷ νοΐ. καὶ ἀπολιμπάνονται αὐτῷ τὰ πάθη ὡς ἀργὰ, καθάπερ εἶπεν ὁ μακάριος Μάρκος.

Νοῦς ὑπὸ τῆς χάριτος τοῦ Θεοῦ τὰς πράξεις τῶν ἀρετῶν πληρῶν, καὶ τῇ γνώσει πλησιάσας, ὀλίγον αἰσθάνεται ἐκ τοῦ μέρους τοῦ κακοῦ καὶ ἀνοήτου τῆς ψυχῆς. ἡ γνῶσις γὰρ αὐτοῦ ἁρπάζεται εἰς τὸ ὕψος, καὶ ἀπαλλοτριοῖ αὐτὸν ἀπὸ πάντων τῶν ἐν τῷ κόσμῳ. καὶ διὰ τὴν ἐν αὐτοῖς ἁγνείαν, καὶ τὴν λεπτότητα, καὶ ἐλαφρότητα, καὶ ὀξύτητα τοῦ νοὸς αὐτῶν, καὶ διὰ τὴν ἄσκησιν πάλιν αὐτῶν, καθαρίζεται αὐτῶν ὁ νοῦς, καὶ διαυγὴς ἀποδείκνυται, διὰ τὸ τὴν σάρκα αὐτῶν ξηρανθῆναι. καὶ ἐκ τῆς σχολῆς τῆς ἡσυχίας, καὶ τῆς πολλῆς διαμονῆς τῆς ἐν

αὐτῇ εὐκόλως, καὶ ταχέως ἐπιτίθεται ἑκάστῳ, καὶ ὁδηγεῖ αὐτοὺς ἡ θεωρία ἡ ἐν αὐτοῖς, πρὸς ἔκπληξιν τὴν παρ' αὐτῇ. καὶ ἐν τούτῳ πολλοστὸν πληθύνονται ταῖς θεωρίαις, καὶ οὐδέποτε ὑστερεῖ ὕλης συνέσεως ἡ διάνοια αὐτῶν, καὶ οὐδὲ ἐκτὸς ἐκείνων ποτὲ, ὧν τοῦ πνεύματος ὁ καρπὸς ἐμπαιεῖ αὐτοῖς, διαγίνονται. καὶ ἐν τῇ συνηθείᾳ τῇ πολυχρονίῳ ἐξαλείφονται αἱ μνῆμαι ἐκ τῆς καρδίας αὐτῶν, αἵτινες κινοῦσι τὰ πάθη ἐν τῇ ψυχῇ, καὶ ἡ ἰσχὺς τῆς ἐξουσίας τοῦ Διαβόλου. ὅταν γὰρ ἡ ψυχὴ μὴ ἑταιρειάσῃ μετὰ τῶν παθῶν ἐν τῇ μελέτῃ ἐν αὐτοῖς, διὰ τὸ εἶναι αὐτὴν ἐξ ἄλλης φροντίδος κεκρατημένην ἀδιαλείπτως, οὐ δύναται ἡ ἰσχὺς τῶν ὀνύχων τῶν παθῶν κατακρατῆσαι τῶν αἰσθήσεων αὐτῆς τῶν πνευματικῶν.

Ἐρώτ. Τίνα εἰσὶ τὰ ἐξαίρετα τῆς ταπεινώσεως;

Ἀπόκρ. Καθάπερ ἡ οἴησις διασκορπισμός ἐστι τῆς ψυχῆς ἐν τῇ φαντασίᾳ αὐτῆς τῇ μετεωριζούσῃ αὐτὴν, καὶ ἐκ ἀναχαιτιζούσῃ αὐτὴν πτερωθῆναι ἐν νεφέλαις τῶν λογισμῶν αὐτῆς, ὥστε κυκλῶσαι ἐν πάσῃ τῇ κτίσει, οὕτω καὶ ἡ ταπείνωσις συνάγει αὐτὴν ἐν ἡσυχίᾳ, καὶ συνάπτεται αὐτὸς ἑαυτῆς ἡ ψυχή. καὶ καθάπερ ψυχὴ οὐκ ἔστι γνωστὴ, οὐδὲ τοῖς σωματικοῖς ὀφθαλμοῖς ὁρατὴ, οὕτως ὁ ταπεινόφρων οὐ γινώσκεται μεταξὺ τῶν ἀνθρώπων. καὶ ὥσπερ ψυχὴ αὐτὸς τοῦ σώματος κεκρυμμένη ἐστὶν ἐκ τῆς θεωρίας καὶ τῆς μίξεως τῆς μετὰ πάντων ἀνθρώπων, οὕτως ὁ ἀληθινὸς ταπεινόφρων, οὐχὶ μόνον οὐ θέλει βλέπεσθαι, καὶ γνωρίζεσθαι ὑπὸ τῶν ἀνθρώπων, διὰ τὸν ἀφορισμὸν αὐτοῦ, καὶ τὴν ἐκ πάντων ἀπορίαν, ἀλλὰ τοῦτό ἐστι τὸ θέλημα αὐτοῦ· εἰ δυνατὸν, καὶ αὐτὸν ἀφ' ἑαυτοῦ βαπτίζειν ἑαυτὸν αὐτὸς ἑαυτοῦ, καὶ εἰσοικίζειν καὶ εἰσέρχεσθαι ἐν ἡσυχίᾳ, καὶ καταλεῖψαι

ψαι τὰ νοήματα αὐτοῦ τὰ πρῶτα μετὰ τῶν αἰσθήσεων αὐτοῦ ὅλα ἐξ ὅλου, καὶ γενέσθαι ὥστινα οὐκ ὄντα ἐν τῇ κτίσει, καὶ οὐκ ἐλθόντα εἰς τὸ εἶναι, καὶ μηδὲ αὐτῇ τῇ ἑαυτοῦ ψυχῇ ὄντα παντελῶς γινωσκόμενον. καὶ ὅσον ἐστὶν ὁ τοιοῦτος κεκρυμμένος, καὶ τεθησαυρισμένος, καὶ κεχωρισμένος ἐκ τοῦ κόσμου, ὅλος πρὸς τὸν ἑαυτοῦ δεσπότην γίνεται.

Ὁ ταπεινόφρων οὐκ ἀναπαύεταί ποτε ἰδεῖν τὰ συναθροίσματα, καὶ τὴν σύγχυσιν τῶν ὄχλων, καὶ τὸν σεισμὸν, καὶ τὰς φωνὰς, καὶ τὸν πλατυσμὸν, καὶ τὴν μέριμναν, καὶ τὴν τρυφὴν, ἐξ ἧς ἡ ἀκρασία· οὐδὲ εἰς τοὺς λόγους, καὶ εἰς τὰς συντυχίας, καὶ φωνὰς, καὶ εἰς τὸν διασκορπισμὸν τῶν αἰσθήσεων· ἀλλὰ πλέον πάντων προκρίνει τὸ ἀφειδιάσαι ἑαυτὸν ἐν ἡσυχίᾳ μεμονωμένον, καὶ κεχωρισμένον ἀπὸ πάσης κτίσεως, φροντίζοντα ἑαυτοῦ ἐν χώρᾳ ἡσύχῳ. καὶ ἐν πᾶσιν, ἡ σμικρότης, καὶ ἡ ἀκτημοσύνη, καὶ ἡ χρεία, καὶ ἡ πτωχεία ποθητά εἰσι πρὸς αὐτὸν, ἤπερ ἐν πράγμασι πολλοῖς, καὶ ἔργοις εἶναι ἐπ' ἀλλήλοις· ἀλλ' ἐν παντὶ καιρῷ ἐν εὐκαιρίᾳ καὶ ἀμεριμνίᾳ στῆναι, χωρὶς συγχύσεως τῶν ἐνταῦθα· ἵνα μὴ ἐξέλθωσιν οἱ λογισμοὶ αὐτοῦ ἔξωθεν αὐτοῦ. ὅτι πεπεισμένος ἐστὶν, ὅτι ἐὰν εἰς τὰ πολλὰ πέσῃ, ἐκτὸς συγχύσεως τῶν λογισμῶν γενέσθαι οὐ δύναται· ὅτι τὰ πολλὰ πράγματα, πολλαί μέριμναί εἰσι, καὶ συναγωγή ἐστι λογισμῶν ποικίλων καὶ συνθέτων. καὶ ἐξέρχεται ἐκ τοῦ εἶναι αὐτὸν ὑψηλότερον τῶν μεριμνῶν τῶν γηΐνων ἐν τῇ εἰρήνῃ τῶν ἑαυτοῦ λογισμῶν, χωρὶς τῶν μικρῶν χρειῶν τῶν ἐν ἀνάγκῃ οὐσῶν, καὶ τῆς διανοίας τῆς λαβούσης φροντίδα μονογενῆ ἐν τοῖς λογισμοῖς ἑαυτῆς τοῖς ἀρίστοις. ἐὰν δὲ κωλυθῶσι αὐτὸν ἐκ τῶν λογισμῶν τῶν ἀρίστων μὴ ἀφῶσιν

αἱ χρεῖαι, ἔρχεται εἰς τὸ βλάπτεσθαι καὶ βλάπτειν. καὶ ἐντεῦθεν ἀνοίγεται θύρα τοῖς πάθεσι, καὶ ἀπέρχεται ἡ γαλήνη τῆς διακρίσεως, καὶ φεύγει ἡ ταπείνωσις, καὶ κλείεται ἡ θύρα τῆς εἰρήνης. διὰ ταῦτα ἐν πάντα λοιπὸν ἀδιαλείπτως ἑαυτὸν φυλάττει ἐκ τῶν πολλῶν, καὶ ἐν παντὶ καιρῷ εὑρίσκει ἑαυτὸν ἐν γαλήνη, καὶ ἀναπαύσει, καὶ ἐν εἰρήνη, καὶ ἐπιεικείᾳ, καὶ εὐλαβείᾳ.

Ἐν ταπεινόφρονι ποτὲ ἐκ ἔστι κατέπειξις, καὶ ταχύτης, καὶ σύγχυσις, ἐδὲ νοήματα θερμὰ καὶ κἔφα· ἀλλ' ἐν παντὶ καιρῷ ἐν ἀναπαύσει ἐστὶ καταλύων. ἐὰν κολληθῇ ὁ ἐρανὸς τῇ γῇ, ὁ ταπεινόφρων ἐ θροεῖται. ἐχὶ πᾶς ἡσύχιος ταπεινόφρων· ἕκαστος δὲ ταπεινόφρων, καὶ ἡσύχιος. ταπεινόφρων μὴ ὤν, συνεσταλμένος ἐκ ἔστι· συνεσταλμένες δὲ, μὴ ὄντας ταπεινόφρονας, πολλὲς εὑρήσεις. τἔτό ἐστιν ὅπερ εἶπεν ὁ Κύριος ὁ πραῢς καὶ ταπεινός· μάθετε ἀπ' ἐμἕ ὅτι πρᾶός εἰμι, καὶ „ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς „ ὑμῶν. ὁ ταπεινόφρων ἐν παντὶ καιρῷ ἐν ἀναπαύσει ἐστὶν, ὅτι ἐκ ἔστι τὶ κινἔν, ἢ θροἔν τὴν διάνοιαν αὐτἕ. καὶ ὥσπερ ἐ δύναταί τις πτοῆσαι ὄρος, ἕτως ἐ πτοεῖται ἐδὲ ἡ διάνοια αὐτἕ. καὶ εἰ δυνατὸν ῥηθῆναι, καὶ ἴσως ἐκ ἄτοπόν ἐστι τἕτο εἰπεῖν, ὅτι ὁ ταπεινόφρων ἐκ τἕ κόσμε τέτε ἐκ ἔστιν· ὅτι ἔτε ἐν ταῖς λύπαις θροεῖται καὶ ἀλλοιἔται, ἔτε ἐν εὐφροσύναις θαυμάζεται ἢ ἐξαπλἔται· ἀλλ' ὅλη ἡ εὐφροσύνη αὐτἕ, καὶ ἡ ἀγαλλίασις ἡ ἀληθινὴ ἐν τοῖς τἕ δεσπότε αὐτἕ ἐστίν. ἀκολεθεῖ δὲ τῇ ταπεινοφροσύνῃ ἡ ἐπιείκεια, καὶ τὸ συνάξαι ἑαυτόν· ὅπερ ἐστὶν ἡ σωφροσύνη τῶν αἰσθήσεων, φωνὴ σύμμετρος, σμικρολογία, ἑαυτἕ καταφρόνησις, ἐσθὴς εὐτελής, βάδισμα ἐ σεσοβημένον,

Ματθ. ια. κθ.

τὸ

τὸ προσέχειν κάτω, τὸ ὑπερέχειν ἐν ἐλεημοσύνῃ, ταχυτὴς δακρύων, μεμονωμένη ψυχὴ, καρδία συντετριμμένη, ἀκινησία θυμοῦ, αἰσθήσεις ἀσκόρπιστοι, σμικρότης πραγμάτων, σμικρότης ἐν πάσῃ χρείᾳ, τὸ βαστάξαι, ἡ ὑπομονὴ, τὸ μὴ πτοεῖσθαι, ἡ ἰσχυρότης τῆς καρδίας ἡ τικτομένη ἐκ τοῦ μίσους τῆς χρονικῆς ζωῆς, ἡ ὑπομονὴ τῶν πειρασμῶν, ἔννοιαι βαρεῖαι, καὶ οὐκ ἐλαφραὶ, σβέσις λογισμῶν, φυλακὴ τῶν μυστηρίων τῆς σωφροσύνης, ἡ αἰδὼς, ἡ εὐλάβεια· καὶ ὑπὲρ πάντα ταῦτα, τὸ ἡσυχάσαι πάντοτε, τὸ τὴν ἀγνωσίαν (1) ἀεὶ προσκαλεῖσθαι.

Τῷ ταπεινόφρονι ποτὲ οὐκ ἀνάγκη ἀπαντᾷ ποιοῦσα αὐτὸν ταραχθῆναι, ἢ συγχυθῆναι. ὁ ταπεινόφρων ὅταν ποτὲ μόνος γένηται, αἰδεῖται ἐξ ἑαυτοῦ. ἐγὼ θαυμάζω, ὅτι ἐὰν ᾖ τὶς ταπεινόφρων ἐν ἀληθείᾳ, οὐ τολμήσει τοῦ προσεύξασθαι τῷ Θεῷ, ὁπόταν προσεγγίσῃ τῇ εὐχῇ, ἢ τοῦ ἀξιωθῆναι αὐτῆς, ἢ αἰτήσασθαί τι ἄλλο, ἢ γινώσκει τὶ εὔχεται· ἀλλὰ μόνον σιωπᾷ ἐν πάσαις ταῖς ἑαυτοῦ ἐννοίαις, προσδοκῶν μόνον τὸ ἔλεος. καὶ ποῖον ἄρα θέλημα ἐξέλθῃ περὶ αὐτοῦ ἐκ προσώπου τῆς μεγαλωσύνης τῆς προσκυνητῆς, ἡνίκα τὸ πρόσωπον κλίνει αὐτοῦ εἰς τὴν γῆν, καὶ ἡ θεωρία ἡ ἔσω τῆς καρδίας αὐτοῦ ἐπηρμένη ἐπὶ τὴν πύλην τὴν ἁγίαν τῶν ἁγίων τὴν ὑψηλήν. ἔνθα ἐστὶν ἐκεῖνος, οὗτινος ὁ γνόφος σκήνωμα, ὁ ἀμβλύνων τὰ ὄμματα τῶν Σεραφὶμ, καὶ ἡ ἀρετὴ αὐτοῦ κατεπείγει τοὺς λεγεῶνας τῆς χοροστασίας αὐτῶν, καὶ σιωπὴν ἐπιχέων ἐπὶ πᾶσι τοῖς τάγμασιν αὐτῶν. καὶ ἕως τούτου μόνου τολμᾷ εἰπεῖν, καὶ προσεύξασθαι· κατὰ τὸ θέλημά σου Κύριε, οὕτω γενέσθω ἐν ἐμοί. καὶ ἡμεῖς τοῦτο λέγωμεν εἰς ἡμᾶς. Ἀμήν.

Εὐχὴ ταπεινόφρονος

(1) Τὴν τῶν κοσμικῶν πραγμάτων, καὶ τῶν παθῶν νοητέον.

ΛΟΓΟΣ ΠΒ.

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΑΚΟΠΩΣ ΕΙΣΕΡΧΕΤΑΙ Η ΨΥΧΗ ΠΡΟΣ ΚΑΤΑΝΟΗΣΙΝ ΤΗΣ ΣΟΦΙΑΣ ΤΟΥ ΘΕΟΥ,

καὶ τῶν κτισμάτων αὐτοῦ, ἐὰν ἡσυχάσῃ ἀπό τε τοῦ κόσμου καὶ τῶν μεριμνῶν τῶν βιωτικῶν. τότε γὰρ δύναται γνῶναι τὴν φύσιν ἑαυτῆς, καὶ οὓς ἔχει ἔσωθεν κεκρυμμένους θησαυρούς.

Ὅταν μὴ εἰσέλθωσιν ἔξωθεν μέριμναι βιωτικαὶ ἐπὶ τὴν ψυχὴν, ἀλλὰ μείνῃ ἐπὶ τὴν φύσιν αὐτῆς, οὐ χρονίζει κοπιάσαι, τοῦ εἰσελθεῖν καὶ κατανοῆσαι τὴν σοφίαν τοῦ Θεοῦ. ὅτι ὁ χωρισμὸς αὐτῆς ὁ ἐκ τοῦ κόσμου, καὶ ἡ ἡσυχία αὐτῆς, φυσικῶς κινοῦσιν αὐτὴν πρὸς κατανόησιν τῶν κτισμάτων τοῦ Θεοῦ. καὶ ἐκ τούτου ὑψοῦται πρὸς τὸν Θεὸν, καὶ ἐκπλήττεται θαυμάζουσα, καὶ παραμένει τῷ Θεῷ. ὅταν γὰρ μὴ εἰσέλθῃ ὕδωρ ἔξωθεν ἐπὶ τὴν πηγὴν τῆς ψυχῆς, τὸ ὕδωρ τὸ βρύον τὸ φυσικὸν ἐν αὐτῇ, νοήματα βλυστάνει ἐν αὐτῇ τῶν θαυμασίων τοῦ Θεοῦ διαπαντός· ὅταν δὲ εὑρεθῇ ἡ ψυχὴ ἐκτὸς τούτων, ἤ τινα αἰτίαν ἔκ τινος ἀλλοτρίας μνήμης ἔλαβεν, ἢ αἱ αἰσθήσεις ἐκίνησαν κατ' αὐτῆς ταραχὴν ἐκ τῆς ἀπαντήσεως τῶν πραγμάτων. ὅταν δὲ συγκλεισθῶσιν αἱ αἰσθήσεις τῇ ἡσυχίᾳ, καὶ μὴ ἐκπηδῆσαι συγχωρηθῶσι, καὶ παλαιωθῶσιν αἱ μνῆμαι τῇ ταύτης βοηθείᾳ,

βοηθεία, τότε θεάσῃ τοὺς φυσικοὺς λογισμοὺς τῆς ψυχῆς, τί εἰσι, καὶ τί ἐστιν ἡ φύσις τῆς ψυχῆς, καὶ ποίους θησαυροὺς κεκρυμμένους ἔχει ἐν ἑαυτῇ. οἱ δὲ θησαυροί εἰσιν, ἡ κατανόησις τῶν ἀσωμάτων, ἡ κινουμένη ἐν ἑαυτῇ ἀφ' ἑαυτῆς χωρὶς προνοίας καὶ κόπου τοῦ ὑπὲρ αὐτῆς. οὐκ ἐπίσταται δὲ ὁ ἄνθρωπος, ὅτι τοιοῦτοι λογισμοὶ κινοῦνται ἐν τῇ ἀνθρωπίνῃ φύσει. τίς γὰρ ἦν αὐτοῦ διδάσκαλος; ἢ πῶς αὐτὰ κατέλαβεν, ὅπερ καὶ νοηθὲν, ἀδύνατον ἄλλοις σαφηνισθῆναι; ἢ τίς ἦν αὐτῷ ὁδηγὸς πρὸς ὅπερ παρ' ἄλλου μηδαμῶς μεμάθηκε;

Τοιαύτη τίς ἐστιν ἡ φύσις τῆς ψυχῆς. οὐκοῦν τὰ πάθη, προσθήκη ἐστὶν ἐξ αἰτίας ψυχικῆς. ἐπεὶ φυσικῶς ἀπαθής ἐστιν ἡ ψυχή. ὅταν δὲ ἀκούσῃς ἐν τῇ γραφῇ πάθη ψυχικὰ καὶ σωματικὰ, γνῶθι, ὅτι πρὸς τὰς αἰτίας εἴρηται. ἡ γὰρ ψυχὴ φυσικῶς ἀπαθής ἐστιν. (1) οἱ δὲ τῆς ἔξω φιλοσοφίας οὐ παραδέχον-

(1) Κυρίως μὲν ἀπαθὴς, ὁ πρὸς τὸ κακὸν ἀκίνητος, καὶ παντὸς πάθους ἀνεπίδεκτος. λέγοιτο δ' ἂν κατὰ δεύτερον λόγον ἀπαθὴς, καὶ ὁ πρὸς τὸ κακὸν δυσκίνητος, καὶ τῶν παθῶν καθαρεύων, κἂν τούτων ᾖ ἐπιδεκτικός. τὸ μὲν οὖν κυρίως ἀπαθὲς, μόνῳ τῷ τῶν ἁπάντων Θεῷ φύσει πρόσεστι· τὸ δὲ κατὰ δεύτερον λόγον, χάριτι πᾶσα ἡ λογικὴ κτίσις κεκλήρωται. εἰ γὰρ ἡ τῶν Ἀγγέλων καὶ ἀνθρώπων φύσις παρὰ τοῦ τῶν ὅλων Θεοῦ παθῶν διεπέπλαστο ἀνεπίδεκτος, οὐδὲ ὁ ἑωσφόρος ὑπεδέξατο ἂν τὴν ἔπαρσιν, οὐδὲ τὴν ὑπερηφανίαν οἱ τοῦ ἀνθρωπίνου γένους προπάτορες. ἐνθεν τοι καὶ ὁ Θεολόγος Γρηγόριος περὶ μὲν τῶν Ἀγγέλων φησί· (ἐν τῷ εἰς τὰ γενέθλ. τοῦ σωτῆρ. λόγ.) „Βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτους πρὸς τὸ „κακὸν, καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ Θεὸν οὔσας, καὶ „τὰ πρῶτα ἐκ Θεοῦ λαμπομένας. τὰ γὰρ ἐνταῦθα, δευτέρας ἐλλάμ„ψεως. πείθει δέ με μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους καὶ ὑπολαμβάνειν „ταύτας καὶ λέγειν, ὁ διὰ τὴν λαμπρότητα ἑωσφόρος, σκότος διὰ τὴν „ἔπαρσιν καὶ γενόμενος καὶ λεγόμενος. αἵ τε ὑπ' αὐτῶν ἀποστατικαὶ δυνά„μεις, δημιουργοὶ τῆς κακίας τῇ τοῦ καλοῦ φυγῇ, καὶ ἡμῖν πρόξενοι. περὶ „δὲ τοῦ ἀνθρώπου· (αὐτ.) παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθεὶς, ὁ δὴ νοερὰν ψυχὴν „καὶ

ῥαδέχονται τοῦτο, ὁμοίως δὲ καὶ οἱ τούτοις ἀκόλουθοι. ἀλλ' ἡμεῖς οὕτω πιστεύομεν, ὅτι ὁ Θεὸς τὸν κατ' εἰκόνα ἀπαθῆ πεποίηκε· κατ' εἰκόνα δὲ λέγω, οὐ κατὰ τὸ σῶμα, ἀλλὰ κατὰ τὴν ψυχὴν, ἥτις ἐστὶν ἀόρατος. πᾶσα γὰρ εἰκὼν ἐκ προϋποκειμένης εἰκόνος ἀνιμᾶται. ἀδύνατον δέ τινα παραστῆσαι εἰκόνα, μὴ προθεαθέντος (1) αὐτῷ ὁμοιώματος. ὥστε δεῖ πιστεύειν σε, ὅτι τὰ πάθη, ὡς προείπομεν, τῆς ψυχῆς οὐκ εἰσίν. εἰ δέ τις ἀνθίσταται τοῖς εἰρημένοις, ἡμεῖς ἐρωτήσομεν, ὁ δὲ ἀποκρινέσθω.

Ἐρώτ. Τί ἐστιν ἡ φύσις τῆς ψυχῆς; ἆρα ἀπαθής τις, καὶ φωτὸς πλήρης, ἢ ἐμπαθής τις, καὶ σκοτεινή;

Ἀπόκρ. Εἰ γὰρ ἦν ποτὲ ἡ φύσις τῆς ψυχῆς διαυγὴς καὶ καθαρὰ τῇ τοῦ μακαρίου φωτὸς ὑποδοχῇ, (2) ὁμοίως δὲ καὶ ὅταν πρὸς τὴν ἀρχαίαν ἀνέλθῃ τάξιν οὕτως εὑρίσκεται, λοιπὸν ὅταν

» καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ λόγος, οἷόν τινα κόσμον δεύτερον ἐν μικρῷ μέγαν
» ἐπὶ τῆς γῆς ἵστησιν, Ἄγγελον ἄλλον, προσκυνητὴν μικτὸν, ἐπόπτην τῆς
» ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευό-
» μενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν
» καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος κτ. ταύτην οὖν τὴν κατὰ δεύτερον λόγον ἀπάθειαν σημαίνων ὁ ὅσιος εἶπεν· ἡ γὰρ ψυχὴ φυσικῶς ἀπαθής ἐστι. καθαρὰν γὰρ, καὶ ἀμόλυντον, καὶ παντὸς πάθους ἀπηλλοτριωμένην τὴν τῆς ψυχῆς φύσιν ὁ Θεὸς πεποίηκεν, οὐ μέντοι γε καὶ πάθους μὴ ἐπιδεκτικήν. αὐτεξουσιότητι γὰρ αὐτὴν τιμήσας, τὸ
» ἀπαθῆ διαμεῖναι ἐπ' αὐτῇ κεῖσθαι καταλέλοιπεν. παρέθηκέ σοι, γάρ φη-
» σι, πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου. (Σειρ. ιε. ιϛ.) κατ' εἰκόνα δὲ Θεοῦ τὴν ψυχὴν οἶδεν ὁ λόγος, οὐ μόνον διὰ τὴν εἰρημένην ἀπάθειαν, ἀλλὰ καὶ διὰ τὸ νοερὸν, καὶ διὰ τὸ λογικὸν, καὶ διὰ τὸ ἀθάνατον, καὶ διὰ τὸ αὐτεξούσιον, καὶ διὰ τὸ τριμερές.

(1) Τὸ Ε. Χ. μὴ προτεθέντος αὐτῷ.

(2) Διαδοχῇ. Τὸ Ε. Χ.

ὅταν ἐμπαθῶς κινηθῇ, ἔξω τῆς φύσεως αὐτῆς ὁμολογȣμένως ἐςὶν, ὡς οἱ τῆς ἐκκλησίας τρόφιμοι διαβεβαιȣ̃νται. ὥςε τὰ πάθη ὕςερον τῇ ψυχῇ ἐπεισῆλθε, καὶ ȣ̓ δίκαιον εἰπεῖν τῆς ψυχῆς εἶναι τὰ πάθη, κἂν ἐν τȣ́τοις αὕτη κινῆται. Φανερὸν ȣ̃ν ἐςὶν, ὅτι τοῖς ἔξωθεν κινεῖται, ȣ̓χ ὡς ἰδίοις. καὶ εἰ ἐν τȣ́τοις τοῖς πάθεσι τῆς ψυχῆς κινȣμένης ἄνευ τȣ̃ σώματος, κατὰ τȣ̃το λέγονται φυσικὰ, λοιπὸν ἡ πεῖνα, καὶ ἡ δίψα, καὶ ὁ ὕπνος, ψυχικὰ (1) ἂν εἴη· ὅτι ϗ ἐν τȣ́τοις πάσχει, καὶ συςενάζει τῷ σώματι, καὶ τῇ τῶν μελῶν ἐκκοπῇ, καὶ τοῖς πυρετοῖς, καὶ ταῖς νόσοις, ϗ τοῖς παραπλησίοις. διότι τῇ κοινωνίᾳ συναλγεῖ τῷ σώματι ἡ ψυχὴ, ὥσπερ δὴ ϗ τὸ σῶμα αὐτῇ, καὶ συγκινεῖται τῇ τȣ̃ σώματος εὐφροσύνῃ, ϗ δέχεται τὰς τȣ́τȣ θλίψεις. τῷ δὲ Θεῷ ἡμῶν δόξα ϗ κράτος εἰς τȣ̀ς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ ΠΓ.

ΠΕΡΙ ΨΥΧΗΣ ΚΑΙ ΠΑΘΩΝ ΚΑΙ ΝΟΟΣ ΚΑΘΑΡΟΤΗΤΟΣ ΚΑΤ ΕΡΩΤΗΣΙΝ ΚΑΙ ΑΠΟΚΡΙΣΙΝ.

Ἐρώτ. Τί ἐςιν ἡ φυσικὴ κατάςασις τῆς ψυχῆς, ϗ τί ἐςιν ἡ παρὰ φύσιν, ϗ τί ἐςιν ἡ ὑπὲρ φύσιν;

Ἀπόκρ. Ἡ φυσικὴ κατάςασις τῆς ψυχῆς, γνῶσίς ἐςι τῶν κτισμάτων τȣ̃ Θεȣ̃ τῶν αἰσθητῶν ϗ τῶν νοητῶν. ἡ ὑπὲρ φύσιν ἐςὶν ἡ κίνη-

(1) Φυσικὰ τὸ Ε. Χ.

κίνησις τῆς θεωρίας τῆς ὑπερβσίε Θεότητος. ἡ παρὰ φύσιν ἐςὶν ἡ ἐν τοῖς ἐμπαθέσι κίνησις, καθὼς ἔφη ὁ θεῖος καὶ μέγας Βασίλειος· ὅτι ἡ ψυχὴ ὅταν ἐυρεθῇ κατὰ φύσιν, ἄνω διάγει· ὅτε δὲ ἔξωθεν τῆς φύσεως αὐτῆς ἐυρεθῇ, ἐυρίσκεται κάτω εἰς τὴν γῆν· ὅταν δὲ ἄνω γένηται, ἀπαθὴς ευρίσκεται· ἡνίκα δ᾽ ἂν κατέλθῃ ἡ φύσις ἐκ τῆς οἰκείας τάξεως, τότε τὰ πάθη ἐν αὐτῇ ἐυρίσκεται. Φανερὸν ὂν λοιπὸν, ὅτι τὰ πάθη τὰ ψυχικὰ, ἐκ εἰσὶ φύσει ψυχικά. εἰ ἢ ἔτως ἡ ψυχὴ κινεῖται ἐν τοῖς πάθεσι τε σώματος τοῖς ψεκτοῖς, ὥσπερ ἐν τῇ πείνῃ, ἢ τῇ δίψει. (1) ἀλλ᾽ ἐπειδὴ ἐκ ἐπετέθη αὐτῇ ἐν τέτοις νόμος, ἐ τοσἔτον (2) μεμπταία ἐςὶ, καθὼς ἐν τοῖς λοιποῖς τοῖς ὑποκειμένοις τῇ μέμψει. ἔσθ᾽ ὅτε συμβαίνει ἐπιτρέπεσθαί τινα παρὰ τε Θεε, πρᾶξαί τι δοκεν ἄτοπον, καὶ ἀντὶ τῆς μέμψεως, ἢ τῶν ἐλέγχων, ἀγαθαῖς ἀμοιβαῖς ἀμειφθῆναι. καθὼς ὁ προφήτης Ὠσηὲ, ὁ πόρνην γεγαμηκὼς, ἢ ὡς Ἠλίας ὁ προφήτης, ὁ ζήλῳ Θεε φονεύσας, ἢ ὡς οἱ μαχαίραις τὲς ἰδίες γονεῖς ἀποκτείναντες τῇ προςάξει τε Μωϋσέως. πλὴν λέγεται φυσικῶς εἶναι τῇ ψυχῇ τὴν ἐπιθυμίαν ἢ τὸν θυμὸν, χωρὶς τῆς τε σώματος φύσεως. ἢ ταῦτα αὐτῆς τὰ πάθη.

Ἐρώτ. Πότερον ἡνίκα ἡ τῆς ψυχῆς ἐπιθυμία ἐξαφθῇ ἐν τοῖς θείοις, κατὰ φύσιν ἐςὶν· ἡ ὅταν ἐυρεθῇ ἐν τοῖς γηΐνοις ἢ τοῖς σω-

(1) Ἡ πεῖνα, ἡ δίψα, ὁ ὕπνος, καὶ τὰ τέτοις ἐφάμιλλα, ἐδὲ διαβλητά εἰσιν, ἐδὲ ψεκτά. καὶ γὰρ καὶ ὁ Κύριος ἡμῶν ἐν τῇ παναχράντῳ αὐτε σαρκὶ ταῦτα ἀναδεξάμενος, καὶ ἐπείνασε μετὰ τὴν τεσσαρακονθήμερον νηςείαν, καὶ ἐδίψησε παρὰ τὸ φρέαρ τε Ἰακὼβ, καὶ ἐν τῷ πλοίῳ καθηύδησε. ψεκτὰ δὲ ἔφη αὐτὰ ὁ ὅσιος, διὰ τὸ παρακολεθήματα εἶναι τῆς φθορᾶς.

(2) Τὸ, ἐ τοσἔτον, ἀντὶ τε ἐδαμῶς ἐκληπτέον.

σωματικοῖς; καὶ διατὶ ζηλοῖ τῆς ψυχῆς ἡ φύσις τῷ θυμῷ; καὶ πῶς λέγεται φυσικὸς ὁ θυμός; ἆρα ἐν τῷ θυμοῦσθαι διά τινα σαρκικὴν ἐπιθυμίαν, ἢ φθόνον, ἢ κενοδοξίαν, ἢ ἐν τοῖς τοιούτοις· ἢ κατὰ τὸ ἐναντίον τούτων; ἀποκρινέσθω ὁ λέγων, καὶ ἡμεῖς ἀκολουθήσομεν.

Ἀποκρ. Πολλὰ λέγει ἡ θεία γραφὴ, καὶ τίθησι καταχρηστικῶς ὀνόματα πολλάκις· ἅτινα τοῦ σώματος μέν ἐστι, κατὰ τῆς ψυχῆς δὲ λέγεται. καὶ πάλιν τὰ τῆς ψυχῆς κατὰ τοῦ σώματος, καὶ οὐ χωρίζει ταῦτα. ἀλλ᾽ οἱ συνετοὶ συνιοῦσι τοῦτο. ὥσπερ τὰ τῆς Θεότητος τοῦ Κυρίου, ἅτινα εἴρηνται κατὰ τοῦ παναγίου αὐτοῦ σώματος, πράγματα μὴ συγκρινόμενα τῇ ἀνθρωπίνῃ φύσει. καὶ πάλιν ταπεινὰ εἴρηνται κατὰ τῆς Θεότητος αὐτοῦ· ἅτινά ἐστι κατὰ τῆς ἀνθρωπότητος. καὶ πολλοὶ μὴ συνιέντες τὸν σκοπὸν τῶν θείων λογίων, ἐνταῦθα ὠλίσθησαν ὀλίσθημα ἀδιόρθωτον. οὕτω καὶ τὰ τῆς ψυχῆς, καὶ τὰ τοῦ σώματος. εἰ οὖν ἡ ἀρετὴ ὑγεία ἐστὶ τῆς ψυχῆς φυσικῶς, λοιπὸν τὰ πάθη ἀῤῥωστία ἐστὶ τῆς ψυχῆς, ἐπισυμβάντα καὶ ἐπεισελθόντα τῇ φύσει, καὶ ἐξαγαγόντα τῆς ἰδίας ὑγείας. φανερὸν οὖν, ὅτι ἡ ὑγεία προϋπάρχει ἐν τῇ φύσει τοῦ συμβεβηκότος ἀῤῥωστήματος. καὶ εἰ ταῦτα οὕτως, ὡς καὶ ἀληθῆ ἐστὶ, λοιπὸν ἡ ἀρετὴ φυσικῶς ἐστὶν ἐν τῇ ψυχῇ· τὰ δὲ συμβεβηκότα ἔξωθεν τῆς φύσεώς ἐστί.

Ἐρώτ. Τὰ πάθη τὰ σωματικὰ φυσικῶς λέγεται τῷ σώματι, ἢ κατὰ συμβεβηκός; καὶ τὰ πάθη τῆς ψυχῆς τὰ ὄντα αὐτῇ διὰ τὴν πρὸς τὸ σῶμα σχέσιν, φυσικῶς αὐτῇ λέγονται, ἢ καταχρηστικῶς;

Ἀποκρ. Τὰ μὲν τοῦ σώματος, οὐ θαῤῥεῖ τὶς λέξειν καταχρηστικῶς· τὰ δὲ τῆς ψυχῆς, ἀφ᾽ οὗ ἔγνωσαι, καὶ ὑπὸ πάντων ὡμολόγη-

ται, ὅτι φυσικῶς πέφυκε τῇ ψυχῇ ἡ καθαρότης, θαῤῥεῖν δεῖ, καὶ λέγειν, ὅτι φυσικῶς αὐτῇ τὰ πάθη ἐδαμῶς. διότι ἡ νόσος, δευτέρα ἐςὶ τῆς ὑγείας. τὸ δὲ εἶναι τὴν μίαν φύσιν ἀγαθὴν καὶ πονηρὰν, ἀδύνατον. ὥςε ἐξ ἀνάγκης ἡ μία προηγεῖται τῆς ἑτέρας. ἐκείνη δέ ἐςιν ἡ φυσικὴ, ἡ προϋπάρξασα τῆς ἑτέρας. διότι πᾶν πρᾶγμα ὂν συμβεβηκὸς, ἐ λέγεται εἶναι ἐκ τῆς φύσεως, ἀλλ' ἔξωθεν ἐπεισελθόν· καὶ παντὶ συμβεβηκότι ἢ ἐπεισερχομένῳ, ἀλλοίωσις ἕπεται· ἡ δὲ φύσις, ἐκ ἀλλοιῦται, ὔτε μετακινεῖται.

Πᾶν πάθος πρὸς ὠφέλειαν ὑπάρχον, παρὰ Θεῦ δεδώρηται. ἢ τὰ σωματικὰ πάθη πρὸς ὠφέλειαν, ἢ αὔξησιν αὐτῦ τέθεινται ἐν αὐτῷ, ὁμοίως καὶ τὰ ψυχικά. ἀλλ' ὅταν ἀναγκασθῇ τὸ σῶμα ἔξω γενέσθαι τῆς ἰδίας εὐθηνίας, ἐν τῇ ςερήσει τῶν οἰκείων, καὶ τῇ ψυχῇ ἀκολυθῆσαι, τότε ἐξασθενεῖ, καὶ βλάπτεται. καὶ ὅταν ἡ ψυχὴ τὰ ὑπάρχοντα αὐτῇ καταλείψασα, τῷ σώματι ἀκολυθήσῃ, τηνικαῦτα ἢ αὐτὴ βλάπτεται, κατὰ τὸν θεῖον Ἀπόςολον, λέγοντα· τὸ πνεῦμα ἐπιθυμεῖ κατὰ τῆς σαρκὸς, ἢ ἡ σὰρξ κατὰ τῦ πνεύματος. ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται. ἐκῦν μηδεὶς βλασφημείτω τὸν Θεὸν, ὅτι αὐτὸς τὰ πάθη καὶ τὴν ἁμαρτίαν ἐπὶ τὴν φύσιν ἡμῶν τέθεικεν. αὐτὸς μὲν γὰρ ἐν ταῖς φύσεσι τέθεικε τὰ ἑκάςῳ αὐξάνοντα. ἀλλ' ὅταν συναινέσῃ μία τῇ ἑτέρᾳ, τότε ἐκ ἐν τοῖς ἰδίοις εὑρίσκεται, ἀλλ' ἐν τοῖς ἐναντίοις. εἰ γὰρ ἦσαν τὰ πάθη φυσικῶς ἐν τῇ ψυχῇ, τίνος χάριν ἐβλάπτετο ὑπ' αὐτῶν; τὰ γὰρ τῆς φύσεως ἴδια, τὴν φύσιν ἐ λυμαίνεται.

Γαλ. ε. ιζ.

Ἐρώτ. Καὶ τίνος ἕνεκεν τὰ σωματικὰ πάθη τὰ αὐξάνοντα ἢ ἐνδυναμῦντα τὸ σῶμα, τὴν ψυχὴν βλάπτυσιν, εἰ ταύτης

ἐκ

οὐκ εἰσὶν ἴδια; καὶ τίνος χάριν ἡ ἀρετὴ τὸ σῶμα μὲν κολάζει, τὴν δὲ ψυχὴν αὐξάνει;

Οὐχ ὁρᾷς, πῶς τὰ ἔξωθεν τῆς φύσεως ὄντα βλάπτει ταύτην; ἑκάστη γὰρ φύσις προσεγγίσασα τοῖς οὖσιν αὐτῇ, εὐφροσύνης πληροῦται. θέλεις δὲ γνῶναι, τί ἐστι τὸ ἴδιον ἑκάστης τῶν φύσεων τούτων; ὅρα, ὅτι τὰ βοηθοῦντα ἑκάστῃ, ἴδια αὐτῆς ἐστί· τὰ δὲ βλάπτοντα, ἀλλότρια καὶ ἔξωθεν ἐπεισελθόντα. ἐπεὶ οὖν ἔγνωσαι, ὅτι τὰ πάθη τούτων ἀλλήλοις ἀντίκεινται, λοιπὸν πᾶν ὁτιοῦν βοηθοῦν τῷ σώματι, καὶ ἄνεσιν αὐτῷ δίδωσιν. ὅταν δὲ ἡ ψυχὴ ἐν αὐτῷ συναναστραφῇ, οὐ λέγεται φυσικῶς εἶναι αὐτῇ. τὰ γὰρ τῆς ψυχῆς φυσικῶς ἴδια, θάνατός ἐστι τοῦ σώματος. καταχρηστικῶς δὲ ὅμως αὐτῇ ἀνατίθεται, (1) καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν οὐ δύναται τούτων ἐλευθερωθῆναι, ἐν ὅσῳ τοῦτο φορεῖ. διότι φυσικῶς κεκοινώνηκε τοῖς λυπηροῖς αὐτοῦ, διὰ τὴν ἕνωσιν τῆς κινήσεως αὐτῆς, τὴν μεμιγμένην τῇ κινήσει τοῦ σώματος ἐν τῇ ἀκαταλήπτῳ σοφίᾳ. ἀλλ' εἰ καὶ οὕτως ἀλλήλοις κεκοινωνήκασιν, ἀλλ' ὅμως κεχώρισται κίνησις ἀπὸ κινήσεως, καὶ θέλημα ἀπὸ θελήματος, καὶ πάλιν τὸ σῶμα ἀπὸ τοῦ πνεύματος. ἡ δὲ φύσις οὐκ ἀλλοιοῦται, ἀλλ' ἑκάστη αὐτῶν εἰ καὶ λίαν κλίνει, εἴτε πρὸς τὴν ἁμαρτίαν, εἴτε πρὸς τὴν ἀρετήν, ἀλλ' ὅμως ἑκάστη αὐτῶν τῷ ἰδίῳ θελήματι κινεῖται. καὶ ὅταν ἡ ψυχὴ ἀρθῇ ἀπὸ τῆς μερίμνης τοῦ σώματος, τότε ὅλη καθόλου διὰ τοῦ πνεύματος ἀνθεῖ τὰς ἑαυτῆς κινήσεις, καὶ ἐν μέσῳ τοῦ οὐρανοῦ νήχεται ἐν ἀκαταλήπτοις πράγμασιν· οὐ μὴν δὲ συγχωρεῖ τῷ σώματι τοῦ μὴ μνημονεύειν τῶν ἰδίων, κἂν οὕτω γένηται. καὶ ἐὰν πάλιν τὸ σῶμα ἐν ταῖς ἁμαρτίαις εὐρε-

'Απόκρ.

(1) Τὸ Ε. Χ. ἐντίθεται.

εὑρεθῇ, οἱ διαλογισμοὶ τῆς ψυχῆς οὐ παύονται ἀλλόμενοι ἐν τῇ διανοίᾳ.

Ἐρώτ. Τί ἐστιν ἡ καθαρότης τοῦ νοῦ;

Ἀπόκρ. Καθαρός ἐστι τὸν νοῦν, οὐχ ὁ μὴ γινώσκων τὸ κακὸν, ἐπεὶ κτηνώδης ἔσται, οὔτε ὁ ὢν τῇ φύσει ἐν τάξει νηπίων, οὔτε ὁ πρόσωπον λαμβάνων. ἀλλ᾽ αὕτη ἐστὶν ἡ καθαρότης τοῦ νοῦ· διαλογισμὸς (1) ἐν θείοις γενόμενος, μετὰ τὴν πρᾶξιν τῶν ἀρετῶν. καὶ οὐ θρασυνόμεθα εἰπεῖν, ὅτι ἄνευ τῆς τῶν λογισμῶν πείρας τοῦτο ἐκτήσατό τις, ἐπεὶ οὐκ ἐνδέδυται σῶμα. ἡμεῖς γὰρ ἕως τοῦ θανάτου μὴ πολεμηθῆναι τὴν φύσιν, ἢ μὴ βλαβῆναι, οὐ θαῤῥοῦμεν λέγειν. πεῖραν δὲ τῶν λογισμῶν λέγω, οὐ τὸ ὑποταγῆναι τούτοις, ἀλλὰ τὸ ἀρχὴν βαλεῖν, τοῦ ἀγωνίσασθαι ἐν αὐτοῖς.

Ἀπαρίθμησις τῶν κινήσεων τῶν λογισμῶν.

Ἡ κίνησις τῶν λογισμῶν ἐν τῷ ἀνθρώπῳ ὑπὸ τεσσάρων αἰτιῶν γίνεται. πρῶτον μὲν, ἐκ τοῦ θελήματος τῆς σαρκὸς τοῦ φυσικοῦ· δεύτερον δὲ, ἐκ τῆς φαντασίας τῶν αἰσθήσεων τῶν τοῦ κόσμου πραγμάτων, ὧνπερ ἀκούει καὶ βλέπει· τρίτον, ἐκ τῶν προλήψεων, καὶ ἐκ τῆς ἐκκλίσεως τῆς ψυχῆς, ὧν ἔχει κατὰ νοῦν· τέταρτον, ἐκ τῶν προσβολῶν τῶν Δαιμόνων τῶν πολεμούντων ἡμᾶς εἰς πάντα τὰ πάθη, διὰ τῶν αἰτιῶν ὧν προείπομεν. διὰ τοῦτο ἕως θανάτου οὐ δύναται ὁ ἄνθρωπος μὴ ἔχειν λογισμοὺς, καὶ πόλεμον, ὅσον ἐστὶν ἐν τῇ ζωῇ τῆς σαρκὸς ταύτης. εἰ γὰρ πρὸ τῆς ἀπαλλαγῆς τοῦ κόσμου, καὶ πρὸ θανάτου ἐνδέχεται καταργηθῆναι μίαν τῶν τεσσάρων τούτων αἰτιῶν· ἢ καὶ ἐὰν δυνατὸν ᾖ τὸ σῶμα μὴ ζητεῖν τὰ ἀναγκαῖα, καὶ μὴ ἀναγκασθῇ ἐπιθυμῆσαί τινος τῶν κοσμικῶν πραγμάτων, κρίνον

(1) Τὸ Ε. Χ. διϋλισμός.

νον σύ. εἰ δὲ ἄτοπόν ἐστιν ἐννοῆσαί τι τῶν τοιούτων, ἐπειδὴ ἡ φύσις ἐπιδεής ἐστι τῶν τοιούτων, λοιπὸν τὰ πάθη κινοῦνται ἐν παντὶ σῶμα φοροῦντι, θέλοντι, καὶ μὴ βουλομένῳ. διὰ τοῦτο ἀναγκαῖον παραφυλάττεσθαι πάντα ἄνθρωπον, οὐ δι' ἓν λέγω πάθος, τὸ φανερῶς καὶ συνεχῶς ἐν αὐτῷ κινούμενον, οὐδὲ δύο, ἀλλὰ πλείονα, ὡς σῶμα φοροῦντα. οἱ νικήσαντες τὰ πάθη διὰ τῶν ἀρετῶν, εἰ καὶ ἐνοχλοῦνται ὑπὸ τῶν λογισμῶν, καὶ τῶν προσβολῶν τῶν τεσσάρων αἰτιῶν, ἀλλ' οὐχ ἡττῶνται· ὅτι ἔχουσι δύναμιν, καὶ ἁρπάζεται ὁ νοῦς αὐτῶν εἰς μνήμας ἀγαθὰς καὶ θείας.

Τί διαφέρει ἡ καθαρότης τοῦ νοῦ τῆς καθαρότητος τῆς καρδίας; Ἐρώτ.

Ἄλλη μέν ἐστιν ἡ καθαρότης τοῦ νοὸς, ἑτέρα δὲ τῆς καρδίας. ὁ μὲν γὰρ νοῦς, μία ἐστὶ τῶν τῆς ψυχῆς αἰσθήσεων· ἡ δὲ καρδία, ἐστὶν ἡ περιέχουσα καὶ κρατοῦσα τὰς ἔνδον αἰσθήσεις. καὶ αὕτη ἐστὶν ἡ ῥίζα. καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι ἅγιοι. ἤγουν ἐὰν καθαρθῇ ἡ καρδία, δῆλον ὅτι καὶ πᾶσαι αἱ αἰσθήσεις καθαίρονται. ὁ μὲν γὰρ νοῦς ἐὰν ἐπιμέλειαν ποιήσηται τῆς ἀναγνώσεως τῶν θείων γραφῶν, ἢ καὶ μοχθήσῃ μικρὸν ἐν τε νηστείαις καὶ ἀγρυπνίαις καὶ ἡσυχίαις, ἐπιλήσεται μὲν τῆς προτέρας διαγωγῆς καὶ καθαρθήσεται, ἡνίκα ἂν μακρυνθῇ ἀπὸ τῆς αἰσχρᾶς ἀναστροφῆς· οὐ μὴν δὲ μόνιμον ἕξει τὴν καθαρότητα. ὥσπερ γὰρ ταχέως καθαίρεται, οὕτω καὶ ταχέως μολύνεται. ἡ δὲ καρδία διὰ πολλῶν θλίψεων, καὶ στερήσεων, καὶ μακρυσμοῦ τῆς κοινωνίας τῆς μετὰ τῶν κατὰ κόσμον κοσμικῶν πάντων, καὶ τῆς τούτων ἀπονεκρώσεως, καθαίρεται. καθαρθεῖσα δὲ, ἀπὸ τῶν μικρῶν πραγμάτων οὐ μολύνεται αὐ-

τῆς

Ἀπόκρ.

τῆς ἡ καθαρότης, οὐδὲ ἀπὸ τῶν μεγάλων πολέμων καὶ φανερῶν πτοεῖται, τῶν φοβερῶν λέγω· καθότι ἐκτήσατο στόμαχον ἰσχυρὸν, δυνάμενον τάχιστα πέψαι πᾶσαν τροφὴν, τὴν οὖσαν τοῖς ἀσθενέσιν ἄπεπτον. οὕτω γὰρ εἴρηται τοῖς ἰατροῖς· ὅτι ἑκάστη βρῶσις κρεῶν δύσπεπτος μέν ἐστι, πολλὴν δὲ δύναμιν ἐμποιεῖ τοῖς ὑγιεινοῖς σώμασιν, ἡνίκα στόμαχος ἰσχυρὸς ταύτην δέξεται. οὕτως ἑκάστη καθαρότης ταχέως γινομένη, καὶ ἐν μικρῷ χρόνῳ, καὶ ὀλίγῳ κόπῳ, ταχέως καὶ ἀπογίνεται, καὶ μολύνεται. ἡ δὲ καθαρότης ἡ γενομένη διὰ πολλῶν θλίψεων, καὶ ἡ διὰ μακροῦ χρόνου κτισθεῖσα, ἔκ τινος μετρίας προσβολῆς ἔν τινι μορίῳ τῶν τῆς ψυχῆς, οὐ φοβεῖται. ὁ Θεὸς γὰρ κρατύνει αὐτήν· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΠΔ.

ΠΕΡΙ
ΤΗΣ ΘΕΑΣ ΤΗΣ ΤΩΝ ΑΣΩΜΑΤΩΝ ΦΥΣΕΩΣ
ΚΑΤ ΕΡΩΤΗΣΙΝ ΚΑΙ ΑΠΟΚΡΙΣΙΝ.

Ἐρώτ. Κατὰ πόσους τρόπους, καὶ διαφορὰς δέχεται τὴν θέαν τῆς φύσεως τῶν ἀσωμάτων ἡ ἀνθρωπίνη φύσις;

Ἀπόκρ. Πάσης φύσεως ἀσυνθέτου καὶ λεπτῆς τῶν πνευματικῶν σωμάτων (1) κατὰ τρεῖς διαφορὰς (2) ὑποπίπτει ἡ κατάληψις

(1) Πνευματικὰ σώματα λέγει αὐτὰς τὰς ἀσωμάτους καὶ αὔλους οὐσίας, ἃς καὶ φύσιν ἀσύνθετον ἐκάλεσεν.

(2) Τὴν τῶν αὔλων οὐσιῶν αἴσθησιν τρισὶ τρόποις ὁ ἀνθρώπινος ὑποδέχε-

ψις τῇ αἰσθήσει τῆς ἀνθρωπίνης φύσεως· ἢ ἐν παχύτητι ὑποστάσεως, ἐνουσίως· ἢ ἐν λεπτότητι ὑποστάσεως, ἀνουσίως· ἢ ἐν θεωρίᾳ ἀληθινῇ, ἥτις ἐστὶν ἡ οὐσιώδης θεωρία. καὶ κατὰ μὲν τοῦ

δέχεται φύσις. αἰσθήσει σώματος· ὡς ὁ πατριάρχης Ἀβραὰμ ἐν τῇ δρυῒ τῇ μαμβρῇ τὴν τῶν τριῶν ὑπερουσίων ὑποστάσεων, καὶ ὁ Λὼτ τὴν τῶν ὑπ' αὐτοῦ ἐν Σοδόμοις ξενισθέντων, καὶ ὁ Ἰακὼβ τὴν τοῦ μετ' αὐτοῦ κατὰ τὴν ὁδὸν παλαίσαντος, καὶ ὁ Γεδεὼν, καὶ ὁ Μανωὲ, καὶ ὁ Τωβὶτ, καὶ ὁ Ζαχαρίας, καὶ ἡ ἁγία Παρθένος, καὶ αἱ Μυροφόροι, καὶ ὁ Πέτρος τὴν τῶν Ἀγγέλων. οὓς δὴ καὶ ἑωράκασι παχυλήν τινα, καὶ ὑλικὴν οὐσίαν περιβεβλημένους, καὶ σχῆμα καὶ μορφὴν ἀνθρωπίνην ἔχοντας, καὶ ἀκηκόασιν εὐαγγέλια, καὶ ἐπιταγὰς Θεοῦ αὐτοῖς προσκομίζοντας· ψυχῆς θεωρίᾳ· ὡς ὁ Ἡσαΐας τὴν τοῦ καθημένου ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, τήν τε τῶν κύκλῳ αὐτοῦ ἑξαπτερύγων, καὶ τὴν τοῦ ἑνὸς τῶν Σεραφὶμ, ὃ πρὸς αὐτὸν ἀπεστάλη, καὶ ὁ Δανιὴλ τὸν παλαιὸν τῶν ἡμερῶν, καὶ ὁ Ἰεζεκιὴλ τοὺς ἠλεκτρίνους Ἀγγέλους. ἐν λεπτῇ δὲ πάντως, καὶ ἀνουσίῳ τινι, καὶ αὔλῳ τῇ ὑποστάσει ταῦτα ἑώρων. τούτῳ δὲ τῷ τρόπῳ τυχὸν καὶ τὰς κατ' ὄναρ εἶδον ὀπτασίας ὅ,τε Ἰωσὴφ ὁ μνήστωρ τῆς Παρθένου, καὶ οἱ ἀπὸ ἀνατολῶν τὸν σωτῆρα ἐλθόντες προσκυνῆσαι μάγοι, καὶ ἡ τοῦ Πιλάτου γυνὴ ἐν τῷ καιρῷ τοῦ σωτηρίου πάθους· καὶ διανοίας δυνάμει· οὗτος δὲ ὁ ἔσχατος τρόπος οὐδὲν ἕτερόν ἐστιν, ὡς οἶμαι, εἰ μὴ ἡ νοερὰ θεωρία καὶ μελέτη τοῦ νοὸς, δι' ἧς οἱ εἰς μέτρον ἀρετῆς προαχθέντες, καὶ ἀπὸ τῆς γῆς καὶ τῶν γηΐνων τὴν διάνοιαν ὑψοῦν ἐθισθέντες, ὁτὲ μὲν τὰ τῶν δικαίων πνεύματα, ὁτὲ δὲ τὰς τῶν Ἀγγέλων ἱεραρχίας, ἄλλοτε δὲ καὶ αὐτὸν τὸν ὕψιστον Βασιλέα τῆς δόξης, ἢ ὡς Θεὸν δοξαζόμενον, ἢ ὡς προμηθείᾳ προνοούμενον, ἢ ὡς ἀγαθὸν εὐποιοῦντα, ἢ ὡς δικαστὴν δικάζοντα, ἀναλογιζόμενοι θεωροῦσιν. ὅθεν τοι εἰκότως ταύτην ἀληθινὴν καὶ οὐσιώδη θεωρίαν ἔφη ὁ ὅσιος. καὶ ὁ μὲν πρῶτος τρόπος, τῶν οὐκ ἐφ' ἡμῖν πάντως. Θεοῦ γὰρ εὐδοκίᾳ αἱ κατ' αἴσθησιν ἐκτελοῦνται ὀπτασίαι. ὁ δὲ δεύτερος, καὶ ὁ τρίτος, τῶν ἐφ' ἡμῖν ἐστί. δεῖ γὰρ καὶ ψυχὴν καὶ θέλησιν τῇ τοῦ Θεοῦ συνδραμεῖν ἐπιδόσει, ἵνα αἵτε κατὰ ψυχὴν ὁράσεις, καὶ αἱ κατὰ διάνοιαν μελέται προσεπεξεργασθεῖσαι συναπαρτισθῶσι. διὸ καλῶς εἴρηκε περὶ μὲν τοῦ πρώτου, (κατωτέρω) καθ' ἣν δείκνυσι μόνον, καὶ ἔστι χωρὶς τοῦ ὑποδεχομένου θελήματος, καὶ τῆς ἀληθοῦς γνώσεως. διότι αἱ αἰσθήσεις δεκτικαί εἰσιν ὅλων τῶν συμβεβηκότων, ἄνευ τοῦ θελήματος· περὶ δὲ τοῦ δευτέρου καὶ τοῦ τρίτου, ἡ θέλησις καὶ ἡ διάνοια

πρώτου, ἐξουσίαν ἔχουσιν αἱ αἰσθήσεις· κατὰ δὲ τοῦ δευτέρου, ἡ ψυχὴ ἀκρομερῶς καθορᾷ· κατὰ δὲ τοῦ τρίτου, ἡ δύναμις τῆς φύσεως τῆς διανοίας. καὶ πάλιν ἡ θέλησις καὶ ἡ διάνοια καθ' ἑκατέρου αὐτῶν ἔχουσι τὴν ἐξουσίαν. καὶ κατὰ τῆς θελήσεως, καὶ τῆς ψυχικῆς καυχήσεως, κἀκείνου ᾧ συντέθειται αὕτη, ἡ θέλησις πρῶτον ἐστὶν ἡ αἰτία. καὶ ταῦτα ἔκγονα τοῦ αὐτεξουσίου, (1) εἰ καὶ ἐν τῷ καιρῷ τῆς χρείας ἡσυχίαν ἄγει τό,τε αὐτεξούσιον καὶ τὸ θέλημα, ἐν ὅσῳ χώραν ἔχει ἡ ἐνέργεια, κἀκεῖσε ἵσταται· καὶ καθ' ἓν δείκνυσι μόνον, καὶ ἐστὶ χωρὶς τοῦ ὑποδεχομένου θελήματος, καὶ τῆς ἀληθοῦς γνώσεως. διότι αἱ αἰσθήσεις δεκτικαί εἰσιν ὅλων τῶν συμβεβηκότων, ἄνευ τοῦ θελήματος. ἐν τοῖς τρισὶ τρόποις τούτοις λειτουργοῦσιν αἱ ἅγιαι Δυνάμεις ἐν τῇ πρὸς ἡμᾶς κοινωνίᾳ, πρὸς διδαχὴν ἡμῶν, καὶ πρὸς σύστασιν τῆς ἡμετέρας ζωῆς.

Οἱ μέντοι ἐναγεῖς Δαίμονες οὐ δύνανται κινῆσαι ἐν ἡμῖν, εἰ μὴ τοὺς δύω τρόπους, ἡνίκα πλησιάσωσιν ἡμῖν πρὸς ἀπώλειαν, οὐχὶ πρὸς ὠφέλειαν. τῷ δὲ τρίτῳ τρόπῳ οὐ δύνανται προσελθεῖν ἡμῖν, τοῦ πλανῆσαι ἡμᾶς. διότι οἱ Δαίμονες οὐκ ἔχουσιν ὅλως δύναμιν κινῆσαι ἐν ἡμῖν τοὺς φυσικοὺς λογισμοὺς ἐν τῇ διανοίᾳ.

διάνοια καθ' ἑκατέρου αὐτῶν ἔχουσι τὴν ἐξουσίαν. τὸ δὲ, κατὰ τῆς θελήσεως, (τὸ Ε. Χ. ἔχει μετὰ τῆς θελήσεως) καὶ τῆς ψυχικῆς καυχήσεως, κἀκείνου ᾧ συντέθειται αὕτη, ἡ θέλησις πρῶτον ἐστὶν ἡ αἰτία, ταυτοσήμαντον δοκεῖ τῷ, ἡ θέλησίς ἐστι τὸ πρῶτον αἴτιον, κἂν σὺν τῇ θελήσει καὶ ἡ ψυχὴ, καὶ ὁ συμπεφυκὼς αὐτῇ νοῦς καυχήσασθαί τι ἔχωσιν ἐν τούτοις.

(1) Τὸ μὲν αὐτεξούσιον, τὴν θέλησιν· ἡ δὲ θέλησις, τὴν ψυχὴν καὶ τὴν διάνοιαν ἐπὶ τὴν θεωρίαν ἀνίστησιν. ἐν τῷ καιρῷ δὲ τῆς θεωρίας· τὸ μὲν αὐτεξούσιον καὶ ἡ θέλησις, ἡσυχάζουσιν· ἡ δὲ ψυχὴ καὶ ἡ διάνοια, ἐνεργοῦσι.

διανοίᾳ. ἀδύνατον γὰρ τοῖς υἱοῖς τοῦ σκότους προσεγγίσαι τῷ Φωτί. οἱ δὲ ἅγιοι Ἄγγελοι κέκτηνται τοῦτο, καὶ κινῆσαι καὶ Φωτίσαι. ἐκεῖνοι γὰρ ψευδῶν νοημάτων τῶν σκότους ἐκγόνων ἐξουσιασαὶ καὶ δημιουργοὶ τυγχάνουσιν. ἀπὸ μὲν γὰρ τῶν Φωτεινῶν, Φῶς ὑποδέχεται· (1) ἀπὸ δὲ τῶν σκοτεινῶν, σκότος.

Καὶ τίς ἡ αἰτία, ὅτι ἐκείνοις μὲν δέδωται, τούτοις δὲ οὐδαμῶς; — Ἐρώτ.

Πᾶς τις ἐκ τούτων τῶν διδασκάλων τὴν σύνεσιν, ἣν διδάσκει, πρῶτον μὲν αὐτὸς καθορᾷ ἐν ἑαυτῷ, καὶ μανθάνει, καὶ δέχεται, καὶ γεύεται, καὶ τότε δύναται ὑποτίθεσθαι αὐτὴν τοῖς διδασκομένοις. οἱ πρῶτοι διδάσκαλοι τὴν ἀκρίβειαν τῶν πραγμάτων ἐκ τῆς οἰκείας γνώσεως τῆς ὑγιοῦς μεταδιδόασιν· ἐκεῖνοι, οἵτινες ἐξ ἀρχῆς δύνανται καταλαβεῖν ἐν ὀξείᾳ καταλήψει νοὸς ὀξυτάτου καὶ καθαρωτάτου. οἱ δὲ Δαίμονες κέκτηνται ταχυτῆτα, ἀλλ' οὐχὶ καὶ Φῶς. ἄλλο δέ ἐστιν ὀξύτης, καὶ ἕτερον Φῶς. ἡ πρώτη χωρὶς τῆς δευτέρας εἰς ἀπώλειαν Φέρει τὸν ταύτην κεκτημένον. αὕτη, (2) τὴν ἀλήθειαν δεικνύει· ἐκεῖνο, τῆς ἀληθείας ἴνδαλμα. διότι τὸ Φῶς τὴν ἀλήθειαν τῶν πραγμάτων δεικνύει, καὶ κατὰ τὸ μέτρον τῆς διαγωγῆς πληθύνεται, καὶ ἐλαττοῦται. — Ἀπόκρ.

Οἱ ἅγιοι Ἄγγελοι ἐκ τῆς οἰκείας γνώσεως ἐποχετεύουσιν ἡμῖν περὶ τῶν κινήσεων τῶν πραγμάτων ἐκείνης, ἧς πρῶτον γεύονται, καὶ καταλαμβάνουσι, καὶ τότε μεταδιδόασιν ἡμῖν.

(1) Ἴσ. ὑποδέχεταί τις.

(2) Οὕτως ἀναγνωστέον. ἡ πρώτη χωρὶς τοῦ δευτέρου εἰς ἀπώλειαν Φέρει τὸν ταύτην κεκτημένον. τοῦτο, τὴν ἀλήθειαν δεικνύει· ἐκείνη, τῆς ἀληθείας ἴνδαλμα. διότι κτλ.

καὶ πάλιν οἱ δεύτεροι διδάσκαλοι (1) κατὰ τὸ μέτρον τῆς γνώσεως αὐτῶν κινοῦσιν ἐν ἡμῖν περὶ τῆς τῶν πραγμάτων κινήσεως. ἐν οἷς γὰρ οὐκ εἰσὶ μεμανηκότες, ἀνάγκη ἐστὶν αὐτοῖς τὸ κινῆσαι ἐν ἡμῖν ὀρθοὺς λογισμούς. ὅμως πίστευε, ὡς ἤδη εἶπον, ὅτι οὐδὲ εἰ ἦμεν δυνατοὶ ὑποδέξασθαι ἡμεῖς, ἠδύναντο αὐτοὶ διδάξαι ἡμᾶς ἀληθινὴν θεωρίαν, καίγε ἦσαν ἐν αὐτῇ ἐξ ἀρχῆς. καὶ πάλιν περὶ ἑνὸς ἑκάστου αὐτῶν κατὰ τὴν οἰκονομίαν, ἐν ᾗ διοικεῖται, ἐρεθίζει τοὺς διδασκομένους· εἴτε τούτων, εἴτε τῶν ἐναντίων. ἐγὼ δὲ οὕτως ἔχω ἐν ἀληθείᾳ, ὅτι ὁ ἡμέτερος νοῦς χωρὶς μεσιτείας ἁγίων Ἀγγέλων, ἀφ᾽ ἑαυτοῦ δύναται κινεῖσθαι πρὸς τὸ ἀγαθὸν ἀδιδάκτως· (τὴν μέντοι τῶν κακῶν γνῶσιν ἄνευ τῆς τῶν Δαιμόνων μεσιτείας οὐ δέχονται αἱ αἰσθήσεις, οὔτε κινοῦνται ἐν αὐτοῖς.) καὶ ἀφ᾽ ἑαυτοῦ οὐ δύναται τὸ κακὸν ἐνεργῆσαι. τὸ γὰρ ἀγαθὸν, ἐν τῇ φύσει πεφυτευμένον ἐστί· τὸ δὲ κακὸν, οὐδαμῶς. πᾶν δὲ τὸ ὂν ξένον, καὶ ἔξωθεν ἐπεισερχόμενον, πρὸς τὴν κατάληψιν τῆς γνώσεως αὐτοῦ μεσίτου τινὸς δέεται. τὸ μέντοι ἔσωθεν φυόμενον, ἀδιδάκτως ἕρπει εἰς τὴν φύσιν, κἂν πόσως. καὶ εἰ οὕτως ἔχει ἡ φύσις, τὸ κινεῖσθαι πρὸς τὸ ἀγαθὸν ἀφ᾽ ἑαυτῆς, ἡ αὔξησις αὐτῆς καὶ τὸ φῶς, ἄνευ τῆς τῶν Ἀγγέλων θεωρίας δυνατὸν γενέσθαι. διδάσκαλοι δὲ ἡμῶν εἰσὶ, καθὼς καὶ αὐτοὶ ἀλλήλων. οἱ κατώτεροι, ἀπ᾽ ἐκεί-

νων

(1) Δευτέρους διδασκάλους, τοὺς Δαίμονας λέγει. εἰπὼν γὰρ ἀνωτέρω οἱ πρῶτοι διδάσκαλοι τὴν ἀκρίβειαν τῶν πραγμάτων κτ. προστίθησιν ἔπειτα, οἱ δὲ Δαίμονες κέκτηνται ταχυτῆτα κτ. διὸ οὐκ ὀρθῶς ἔχει τὸ, ἐν οἷς γὰρ οὐκ εἰσὶ μεμανηκότες ἀνάγκη κτ. ἀλλὰ δεῖ προσθεῖναι αὐτῷ καὶ ἕτερον ἀρνητικὸν μόριον. οὐκ ἀνάγκη ἐστὶν αὐτοῖς (τοῖς Δαίμοσι) τὸ κινῆσαι ἐν ἡμῖν ὀρθοὺς λογισμοὺς, ἐν οἷς οὐκ εἰσὶ μεμανηκότες.

νων τῶν ἐπικυπτόντων αὐτοῖς, καὶ τὸ φῶς πλέον ἐχόντων, καὶ οὕτως ἀλλήλοις, ἕως ἂν καταντήσωσι πρὸς ἐκείνην τὴν ἑνότητα, ἥτις κέκληται διδάσκαλον τὴν ἁγίαν Τριάδα. καὶ αὐτὴ πάλιν ἡ πρώτη τάξις θαῤῥοῦσα λέγει, ὅτι οὐκ ἀφ' ἑαυτῆς, ἀλλὰ διδάσκαλον ἔχει τὸν μεσίτην Ἰησοῦν ἐκεῖνον, ὑφ' οὗ ὑποδέχεται καὶ τοῖς ὑποκάτω ἐπιδίδωσιν.

Ἐγὼ μὲν οὕτω λογίζομαι, ὅτι ὁ ἡμέτερος νοῦς ἔχει φυσικὴν δύναμιν, κινηθῆναι πρὸς θεωρίαν θείαν. (1) καὶ μιᾷ ὑφέ-

(1) Ὅρα ἐνταῦθα, πῶς δοκεῖ καταργεῖν ἃ συνεστήσατο. λέγει γάρ, ὅτι ὁ ἡμέτερος νοῦς ἔχει φυσικὴν δύναμιν κινηθῆναι πρὸς θεωρίαν θείαν. εἶτα, ξένον δὲ τῇ φύσει τῷ ἀνθρωπίνῳ νοΐ, καὶ τῷ ἀγγελικῷ. τί οὖν ῥητέον πρὸς τοῦτο; ἢ ὅτι, φυσικὴν δύναμιν λέγων, τὴν ὑπὸ τῆς χάριτος ἐνιχυθεῖσαν ἐννοεῖ. φησὶ γάρ, καθότι ἐν ἡμῖν καὶ αὐταῖς ἡ χάρις κινεῖται. τοῦτο δὲ ἡ τοῦ νοὸς φύσις δύναται, τὸ τὴν χάριν ἐπιδέχεσθαι, ἧς τῇ δυνάμει πρὸς τὴν τοῦ ἀπείρου Θεοῦ κινεῖται θεωρίαν. ὥστε τὸ τὸν Θεὸν θεωρεῖν καὶ κατὰ φύσιν, καὶ ὑπὲρ φύσιν. κατὰ φύσιν μέν, καθὸ ἡ φύσις ἐπιδεκτικὴ τῆς πρὸς τὴν τούτου ἐκπλήρωσιν ἐνιχυθείσης αὐτῇ χάριτος· ὑπὲρ φύσιν δέ, καθὸ ψιλῇ καὶ μόνῃ τῇ τῆς φύσεως δυνάμει ἐστὶν ἀδύνατον.

Πάλιν. πᾶσι τοῖς λογικοῖς, φησί, τοῖς τε πρώτοις καὶ μέσοις, οὐκ ἔστι κατὰ φύσιν, ἀλλὰ τῇ χάριτι κινεῖται ἡ θεωρία ἐν πᾶσι τοῖς οὖσιν, ἔν τε τοῖς οὐρανίοις καὶ ἐπιγείοις. ὥστε κατὰ τοῦτον τὸν λόγον, (κἄν τε πρώτους, καὶ μέσους ὑπολάβωμεν τοὺς ἀνωτέρους καὶ κατωτέρους τῶν Ἀγγέλων διανόσμους, κἂν πρώτους μὲν τοὺς τῶν Ἀγγέλων, μέσους δὲ τοὺς τῶν ἀνθρώπων.) οὐδὲν τῶν ὄντων θεωρεῖν δύναται φύσει ὁ νοῦς. ἀλλὰ προστίθησιν, καὶ οὐχ ἡ φύσις τοῦτο κατέλαβεν, ὡς τὰ λοιπὰ τῶν πραγμάτων. κατὰ δὲ τοῦτον τὸν λόγον εἰσί τινα πράγματα τῇ τῆς φύσεως δυνάμει κατανοούμενα. ἀλλὰ τίνα ταῦτα; εἴρηκε γὰρ ἐν πᾶσι τοῖς οὖσιν, ἔν τε τοῖς οὐρανίοις καὶ ἐπιγείοις. ἐπίγεια, ὡς οἶμαι, λέγει ἤτοι τὴν ἐπὶ πάντα τὰ ἐπίγεια ἐφαπλουμένην πρόνοιαν καὶ οἰκονομίαν τοῦ παντοκράτορος Θεοῦ, ἢ τὴν τῶν

σει ἴσοι ἐσμὲν ταῖς οὐρανίαις φύσεσι πάσαις· καθότι ἐν ἡμῖν καὶ αὐταῖς ἡ χάρις κινεῖται. ξένον δὲ τῇ φύσει, τῷ ἀνθρωπίνῳ νοΐ, καὶ τῷ ἀγγελικῷ· διότι οὐ συναριθμεῖται ἡ ἐπὶ τῇ Θεότητι θεωρία ταῖς λοιπαῖς θεωρίαις. πᾶσι δὲ τοῖς λογικοῖς τοῖς-τε πρώτοις καὶ μέσοις, οὐκ ἔστι κατὰ φύσιν, ἀλλὰ τῇ χάριτι κινεῖται ἡ θεωρία ἐν πᾶσι τοῖς οὖσιν, οὔτε τοῖς οὐρανίοις καὶ ἐπιγείοις· καὶ οὐχ ἡ φύσις τοῦτο κατέλαβεν, ὡς τὰ λοιπὰ τῶν πραγμάτων.

Ἡ ἐν τῷ νῷ θεωρία, ἐν ᾗ κινεῖται ἡ τῶν οὐρανίων τάξις, καὶ ἡ ὁπλασία, πρὸ τῆς ἐνσάρκου ἐπιδημίας τοῦ Χριστοῦ οὐκ ἦν αὐτοῖς κατ᾽ ἐξουσίαν, ὥστε εἰσιέναι πρὸς ταῦτα τὰ μυστήρια· ὅτε δὲ ἐσαρκώθη ὁ λόγος, ἠνοίχθη αὐτοῖς θύρα ἐν τῷ Ἰησοῦ, καθὼς φησιν ὁ Ἀπόστολος. (1) ἀλλὰ καὶ ἐὰν ἁγνισθῶμεν καὶ καθαρθῶμεν, ἐγὼ λογίζομαι, ὅπερ ἐστὶ καὶ ἀληθές, ὅτι ἡμεῖς οἱ ἄνθρωποι πρὸς τὰς ἀποκαλύψεις καὶ διαγνώσεις τὰς ἀπαγούσας

γούσας

ὑλικῶν αὐτοῦ κτισμάτων φύσιν. τὰ γὰρ τῆς τοῦ Θεοῦ προνοίας κρίματα τίς ἂν Ἀγγέλων, ἢ ἀνθρώπων ἐπιγνῶναι ἔχοι μόνῃ τῇ τῆς φύσεως δυνάμει; » ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ, βοᾷ ὁ Παῦλος, » ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. τίς » γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; (Ῥωμ. ια. λγ.) ὡσαύτως καὶ ἡ τῶν κτισμάτων φύσις οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ Ἀγγέλοις τυχὸν ἀκατάληπτος. λοιπὰ δὲ τῶν πραγμάτων λέγει τὰς αὐτῶν ἰδιότητας, καὶ τὰ τεχνικά, καὶ ἠθικά, καὶ ἀνθρώπινα. ἅπερ ἔνεστι πάντως κατανοῆσαι τοῖς τῷ φωτὶ καθοδηγουμένοις τῆς λογικῆς φύσεως.

(1) Ὁ ἀπόστολος Παῦλος ἐν μὲν τῇ πρὸς Κορινθ. πρώτῃ ἐπιστολῇ » (Κεφ. ιϛ. ἐδ. θ.) φησί· θύρα γάρ μοι ἀνέῳγε μεγάλη· ἐν δὲ τῇ δευτέρᾳ, » (Κεφ. β. ἐδ. ιβ.) ἐλθὼν δὲ εἰς τὴν Τρῳάδα εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, » καὶ θύρας μοι ἀνεῳγμένης ἐν Κυρίῳ· ἐν δὲ τῇ πρὸς Κολασ. (Κεφ. δ. ἐδ. γ.) » προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν· ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λό- » γου λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι᾽ ὃ καὶ δέδεμαι.

γούσας πρὸς τὴν θεωρίαν ἐκείνην τὴν ἀΐδιον, ἥτις ἐστὶν ἀληθῶς μυστηρίων ἀποκάλυψις, ἄνευ τῆς μεσιτείας αὐτῶν προσεγγίσαι τὰ νοήματα ἡμῶν οὐ δύνανται. οὐ γάρ ἐστι τῷ ἡμετέρῳ νοῒ τοιαύτη δύναμις, ὅση ταῖς οὐσίαις ταῖς ἀνωτάτω· αἵτινες ἀμέσως παρὰ τοῦ ἀϊδίου τὰς ἀποκαλύψεις καὶ τὰς θεωρίας δέχονται. κἀκεῖναι γὰρ ἐν εἰκόνι, καὶ οὐχὶ γυμνῶς ἐξ αὐτῆς. καὶ πάλιν ὁ ἡμέτερος νοῦς ὁμοίως. διὰ μεταδόσεως γὰρ ἑκάστη τάξις ἀπὸ τῆς ἄλλης κατὰ πᾶσαν οἰκονομίαν καὶ διάγνωσιν ἀπὸ τῆς πρώτης εἰς τὴν δευτέραν, καὶ οὕτως ἕως ἂν διέλθῃ τὸ μυστήριον εἰς ὅλας τὰς τάξεις. (1) πολλὰ δὲ τῶν μυστηρίων ἐν τῇ πρώτῃ τάξει ἵστανται, καὶ πρὸς τὰς ἄλλας οὐ διαπερῶσιν. οὐ γὰρ δύνανται χωρὶς ἐκείνης εἰσδέξασθαι τὸ μέγεθος τοῦ μυστηρίου. καί τινα τῶν μυστηρίων ἀπὸ τῆς πρώτης τάξεως ἐξερχόμενα, τῇ δευτέρᾳ καὶ μόνῃ ἀποκαλύπτεται, κἀκεῖ φυλάττεται σεσιγημένα, αἱ δὲ ἄλλαι τάξεις αὐτὰ οὐ συνῆκαν· καί τινα ἕως τῆς τρίτης, καὶ τετάρτης. καὶ πάλιν αὔξησις καὶ ὕφεσις γίνεται ἐν ταῖς ἀποκαλύψεσι ταῖς ὀφθησομέναις τοῖς ἁγίοις Ἀγγε-

(1) Ἄκουσον τοῦ ἱεροφάντου Διονυσίου τοῦ Ἀρεοπαγίτου συνῳδὰ τούτοις ἐκδιδάσκοντος. συνῆπται τοίνυν ἡμῖν, ὡς ἡ μὲν πρεσβυτάτη τῶν περὶ Θεὸν Νοῶν διακόσμησις ὑπὸ τῆς τελεταρχικῆς ἐλλάμψεως ἱεραρχουμένη, τῷ ἐπ' αὐτὴν ἀμέσως ἀνατείνεσθαι, κρυφιωτέρᾳ καὶ φανοτέρᾳ τῆς θεαρχίας φωτοδοσίᾳ καθαίρεται, καὶ φωτίζεται, καὶ τελεσιουργεῖται. κρυφιωτέρᾳ μὲν, ὡς νοητοτέρᾳ, καὶ μᾶλλον ἁπλωτικῇ καὶ ἑνοποιῷ· φανοτέρᾳ δὲ, ὡς πρωτοδότῳ καὶ πρωτοφανεῖ καὶ ὁλικωτέρᾳ, καὶ μᾶλλον εἰς αὐτὴν ὡς διειδῆ κεχυμένῃ. πρὸς ταύτης δὲ πάλιν ἀναλόγως, ἡ δευτέρα· καὶ πρὸς τῆς δευτέρας, ἡ τρίτη· καὶ πρὸς τῆς τρίτης, ἡ καθ' ἡμᾶς ἱεραρχία, κατὰ τὸν αὐτὸν τῆς εὐκόσμου ταξιαρχίας θεσμὸν, ἐν ἁρμονίᾳ θείᾳ καὶ ἀναλογίᾳ, πρὸς τὴν ἁπάσης εὐκοσμίας ὑπεράρχιον ἀρχὴν καὶ περάτωσιν ἱεραρχικῶς ἀνάγεται. Κεφ. ι. περὶ οὐραν. ἱεραρχ.

Ἀγγέλοις. καὶ εἰ ἐκεῖναι ὅτω, πόσῳ μᾶλλον ἡμεῖς χωρὶς αὐτῶν, καὶ ἄνευ μετιτείας, δυνάμεθα δέξασθαι μυστήρια τοιαῦτα;

Ἀλλ' ἐξ αὐτῶν ἐστὶν, ὅταν τῷ νοῒ τῶν ἁγίων πίπτῃ ἡ αἴσθησις τῆς ἀποκαλύψεως ὁποίου μυστηρίου. καὶ ὅτε συγχωρηθῇ ὑπὸ Θεοῦ ἀπὸ τάξεως εἰς τάξιν ἀποκαλυφθῆναι τῆς ἀνωτάτω, καὶ τῆς κατωτέρω, καὶ κατὰ τοῦτον τὸν τρόπον ὅτε συγχωρηθῇ τι ἐκ τῆς θείας ἐπινεύσεως, μέχρι τῆς ἀνθρωπίνης φύσεως καταντήσει πρὸς τοὺς ἀξίους ἐκ παντός. δι' αὐτῶν γὰρ οἱ ἅγιοι εἰσδέχονται τὸ φῶς τῆς θεωρίας, μέχρι τῆς ἐνδόξου ἀϊδιότητος, τὸ ἀδίδακτον μυστήριον, καὶ οἱ αὐτοὶ ἀπ' ἀλλήλων. πνεύματα γὰρ λειτουργικά εἰσι, πρὸς τοὺς ἐν ἑτοιμασίᾳ ὄντας κληρονόμους γενέσθαι τῆς ζωῆς ἀποστελλόμενα. ἀλλ' εἰς τὸν μέλλοντα αἰῶνα αὕτη ἡ τάξις καταργηθήσεται. τότε γὰρ οὐκ ἄλλος ἀπ' ἄλλου δέχεται τὴν ἀποκάλυψιν τῆς δόξης τοῦ Θεοῦ, πρὸς εὐφημίαν καὶ εὐφροσύνην τῆς ἰδίας ψυχῆς· ἀλλ' ἑκάστῳ ἀφ' ἑαυτοῦ δοθήσεται τὸ πρὸς ἀξίαν παρὰ τοῦ δεσπότου κατὰ τὸ μέτρον τῶν ἀριστευμάτων αὐτοῦ, καὶ οὐχὶ ἐκ τοῦ ἑτέρου λήψεται τὴν δωρεὰν, ὡς ἐνθάδε. οὐ γάρ ἐστιν ἐκεῖ οὔτε ὁ διδάσκων, οὔτε ὁ διδασκόμενος, οὔτε ὁ δεόμενος ἀναπληρῶσαι τὸ ἐλάττωμα αὐτοῦ ἐκ τοῦ ἑτέρου. εἷς γάρ ἐστιν ὁ δοτὴρ ἐκεῖ, ἀμέσως δωρούμενος τοῖς δεκτικοῖς. καὶ παρ' αὐτοῦ κομίζονται οἱ κομιζόμενοι τὴν ἐπουράνιον εὐφροσύνην. ἐκεῖ παύσονται αἱ τάξεις τῶν διδασκόντων, καὶ τῶν διδασκομένων, καὶ ἐν ἑνὶ κρέμαται ἡ ὀξύτης τῆς ἐφέσεως παντός.

Ἑβρ. α. ιδ.

Ἐγὼ δὲ λέγω, ὅτι οἱ ἐν τῇ γεέννῃ κολαζόμενοι, τῇ μάστιγι τῆς ἀγάπης μαστίζονται. καὶ τί πικρὸν καὶ σφοδρὸν τὸ τῆς ἀγάπης

ἀγάπης κολαστήριον. τετέστιν ἐκεῖνοι οἵτινες ἠθήθησαν, ὅτι εἰς τὴν ἀγάπην ἔπταισαν, μείζονα τὴν κόλασιν ἔχουσι πάσης φοβερωτάτης κολάσεως. ἡ γὰρ λύπη ἡ βάλλουσα ἐν τῇ καρδίᾳ ἐκ τῆς εἰς τὴν ἀγάπην ἁμαρτίας, ὀξυτέρα ἐστὶ πάσης κολάσεως γινομένης. ἄτοπόν ἐστι λογίζεσθαί τινα, ὅτι οἱ ἁμαρτωλοὶ ἐν τῇ γεέννῃ στεροῦνται τῆς ἀγάπης τοῦ Θεοῦ. ἡ ἀγάπη ἔκγονόν ἐστι τῆς γνώσεως τῆς ἀληθείας, ἥτις ὁμολογουμένως κοινῶς πᾶσι δίδοται. ἐνεργεῖ δὲ ἡ ἀγάπη ἐν τῇ δυνάμει αὐτῆς κατὰ διπλοῦν τρόπον· τοὺς μὲν ἁμαρτωλοὺς, κολάζουσα, ὡς καὶ ἐνταῦθα συμβαίνει πρὸς φίλον ἀπὸ φίλου· τοὺς δὲ τετηρηκότας τὰ δέοντα, εὐφραίνουσα ἐν αὐτῇ. καὶ αὕτη ἐστὶ κατάγε τὸν ἐμὸν λόγον ἡ ἐν τῇ γεέννῃ κόλασις, ἡ μεταμέλεια. τῶν μέντοι υἱῶν τῶν ἄνω ἐν τῇ τρυφῇ αὐτῆς μεθύσκει τὰς ψυχάς.

Ἠρωτήθη τὶς, πότε γνώσεταί τις, ὅτι ἔτυχε τῆς ἀφέσεως τῶν αὐτοῦ ἁμαρτιῶν; Ἐρώτ.

Καὶ ἀνταπεκρίθη αὐτῷ· ἡνίκα ἂν αἰσθηθῇ ἐν τῇ ψυχῇ αὐτοῦ, ὅτι τελείως αὐτὰς μεμίσηκεν ἐκ καρδίας· καὶ ὅταν ἐν τοῖς φανεροῖς αὐτοῦ, ἐναντίως οὗ ἦν διοικῇ ἑαυτόν. ὁ τοιοῦτος πέποιθεν, ὅτι τετύχηκε τῆς τῶν πταισμάτων συγχωρήσεως παρὰ Θεοῦ, τῶν ἐκ τῆς ἁμαρτίας, ὡς ἤδη μισήσας τὴν ἁμαρτίαν ἀπὸ τῆς μαρτυρίας τῆς συνειδήσεως, ἣν ἐν ἑαυτῷ ἐκτήσατο, κατὰ τὸ λόγιον τοῦ Ἀποστόλου τὸ φάσκον· συνείδησις ἀκατάκριτος, αὐτὴ ἑαυτῆς μάρτυς. (1) γένοιτο δὲ ἡμᾶς τυχεῖν Απόκρ.

(1) Τοῦτο τυχὸν ἐλήφθη ἐκ τοῦ, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως. Ῥωμ. β. ιε.

τυχεῖν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ ἀνάρχου πατρὸς σὺν τῷ μονογενεῖ υἱῷ, καὶ ἁγίῳ πνεύματι· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΠΕ.

ΠΕΡΙ

ΔΙΑΦΟΡΩΝ ΥΠΟΘΕΣΕΩΝ, ΚΑΤ' ΕΡΩΤΗΣΙΝ ΚΑΙ ΑΠΟΚΡΙΣΙΝ.

1 Ἐρώτ. Ποίῳ δεσμῷ συνδέεται ἡ καρδία τοῦ ἀνθρώπου, τοῦ μὴ τρέχειν εἰς τὰ κακά;

Ἀπόκρ. Ἐν τῷ ἀκολουθῆσαι διαπαντὸς τῇ σοφίᾳ, καὶ πλεονεκτῆσαι ἐν τῇ διδαχῇ τῆς ζωῆς. ἄλλος γὰρ δεσμὸς ἰσχυρότερος τῇ ἀταξίᾳ τῆς διανοίας οὐκ ἔστιν.

2 Ἐρώτ. Ἕως πότε ὁ ὅρος τοῦ στέρξαι τῷ κατακολουθοῦντι τῇ σοφίᾳ; καὶ ἐν τίνι τελειοῦται ἡ μάθησις αὐτῆς;

Ἀπόκρ. Ὄντως ἀδύνατον φθάσαι ἐν πορείᾳ τὸν ὅρον τοῦτον· ὅτι καὶ οἱ ἅγιοι ἐλλειπεῖς εἰσὶ πρὸς τὴν τελειότητα αὐτῆς. τῆς γὰρ ὁδοιπορίας τῆς σοφίας οὐκ ἔστι πέρας· ἕως δὲ τούτου ὑψοῦται, ἕως οὗ ἑνώσῃ τῷ Θεῷ τὸν ἀκολουθοῦντα αὐτῇ. καὶ τοῦτο σημεῖον αὐτῆς· ὅτι ἀπέραντός ἐστιν ἡ κατανόησις αὐτῆς. ὅτι ἡ σοφία, αὐτός ἐστιν ὁ Θεός.

3 Ἐρώτ. Ποία ἐστὶν ἡ πρώτη τρίβος καὶ ἀρχή, ἥτις ποιεῖ ἡμᾶς πλησιάσαι τῇ σοφίᾳ;

Τὸ

Τὸ ἐν πάσῃ δυνάμει καταδιώξαι τῷ Θεῷ τὴν σοφίαν, καὶ σπουδάσαι ἐν τῇ καταδιώξει αὐτῆς ὁλοψύχως ἕως τέλους, καὶ αὐτὴν τὴν ζωὴν αὐτοῦ, ἡνίκα δέη ἀποδύσασθαι καὶ ῥίψαι αὐτὴν ἐξ ἑαυτοῦ, μὴ ἀμελῆσαι, διὰ τὴν ἀγάπην τοῦ Θεοῦ. — Ἀπόκρ.

Τίς ἐστιν ὁ ἀξίως ὀνομαζόμενος συνετός; — Ἐρώτ. 4

Ὁ ἐν ἀληθείᾳ συνιεὶς, ὅτι (1) τῆς ζωῆς ταύτης ὅρος ἐστὶν, αὐτός ἐστιν ὁ δυνάμενος ὅρον ποιῆσαι ταῖς πλημμελείαις αὐτοῦ. ποία γὰρ γνῶσις, ἢ σύνεσις, μείζων ταύτης, τοῦ σοφίσασθαί τινα τὸ ἐξελθεῖν ἐκ ταύτης τῆς ζωῆς ἐν ἀφθαρσίᾳ, μὴ ἔχοντα μέρος μεμιασμένον ἐκ τῆς ὀσμῆς τῆς ἐπιθυμίας, μηδὲ ῥύπον ἐν τῇ ψυχῇ ἐκ τῆς γλυκύτητος αὐτῆς; ἐὰν γὰρ ἄνθρωπός τις λεπτύνων τὰ νοήματα αὐτοῦ, εἰσελθεῖν εἰς τὰ μυστήρια ὅλων τῶν φύσεων, καὶ πλουτῶν ἐν ἐφευρέσει καὶ κατανοήσει ἐν πάσῃ γνώσει, καὶ ἡ ψυχὴ αὐτοῦ ῥερυπωμένη τῷ ῥύπῳ τῆς ἁμαρτίας, καὶ οὐκ ἐκτήσατο μαρτυρίαν ἐν ἐλπίδι ψυχῆς αὐτοῦ, ἀλλὰ δοκεῖ καλῶς φθάσαι εἰς τὸν λιμένα τῆς πεποιθήσεως, οὐκ ἔχει ὁ κόσμος ἀφρονέστερον αὐτοῦ. ἕως γὰρ τῆς ἐλπίδος τοῦ κόσμου τούτου μόνον μετήνεγκαν αὐτὸν τὰ ἔργα αὐτοῦ ἐν τῷ πρὸς αὐτὸν ἀδιαλείπτῳ δρόμῳ. — Ἀπόκρ.

Ποῖός ἐστιν ὁ ἰσχυρότερος ἐν τῇ ἀληθείᾳ; — Ἐρώτ. 5

Ὁ εὐδοκῶν ἐν θλίψεσι προσκαίροις, ἐν αἷς κέκρυπται ἡ ζωὴ, καὶ ἡ δόξα τῆς νίκης αὐτοῦ, καὶ οὐκ ἐπεθύμησε τὸν πλατυσμὸν, ἐν ᾧ κέκρυπται ἡ ὀσμὴ τῆς αἰσχύνης, τὸν ἐν παντὶ καιρῷ ποτίζοντα τὸν εὑρίσκοντα αὐτὸν ποτήριον στεναγμοῦ. — Ἀπόκρ.

Τί βλάπτει ἄρα ἐν τῇ ὁδοιπορίᾳ τῇ πρὸς Θεὸν, ἐάν τις ἐκκλίνῃ ἐκ τῶν ἀγαθῶν ἔργων διὰ τοὺς πειρασμούς; — Ἐρώτ. 6

 Οὐκ

(1) Ἴσ. ὅ,τι.

Ἀπόκρ. Οὐκ ἐνδέχεταί τινα πλησιάσαι τῷ Θεῷ χωρὶς θλίψεως, καὶ ἐ φυλάττεται ἡ δικαιοσύνη αὐτε ἀναλλοίωτος χωρὶς αὐτῆς. καὶ ἐὰν κόψῃ τὰ ἔργα τὰ αὐξάνοντα αὐτὴν, κόπτει καὶ τὰ φυλάσσοντα αὐτὴν, καὶ ὡς θησαυρὸς ἀφύλακτος εὑρίσκεται, καὶ ὡς ἀθλητὴς γυμνωθεὶς τῶν ὅπλων αὐτε, ὅτε περιεκύκλωσαν αὐτὸν τὰ τάγματα τῶν ἐχθρῶν αὐτε, καὶ ὥσπερ ναῦς εὑρίσκεται μὴ ἔχεσα τὰ σκεύη αὐτῆς, καὶ ὡς παράδεισος, ἐκκοπείσης αὐτε τῆς πηγῆς τε ὕδατος.

7 Ἐρώτ. Τίς ἐστιν ὁ πεφωτισμένος ἐν τοῖς νοήμασιν αὐτε;

Ἀπόκρ. Ὅστις ἔφθασεν εὑρεῖν τὴν πικρότητα τὴν κεκρυμμένην ἐν τῇ γλυκύτητι τε κόσμε, καὶ ἐκώλυσε τὸ στόμα αὐτε, τε μὴ πιεῖν ἐκ τέτε τε ποτηρίε, καὶ ἀεὶ ἐρευνᾷ περὶ τῆς σωτηρίας τῆς ψυχῆς αὐτε· καὶ μὴ παυόμενος ἐκ τε δρόμε, ἕως ἂν ἐκλυθῇ ἐκ τε κόσμε τέτε, καὶ κλείων τὰς θύρας τῶν αἰσθήσεων αὐτε, ἵνα μήποτε εἰσέλθῃ ἐν αὐτῷ ὁ πόθος τε βίε τέτε, καὶ κλέψῃ ἐξ αὐτε τὲς κρυπτὲς θησαυρὲς αὐτε.

8 Ἐρώτ. Τί ἐστιν ὁ κόσμος; καὶ πῶς γινώσκομεν αὐτόν; καὶ τί βλάπτει τὲς ἀγαπῶντας αὐτόν;

Ἀπόκρ. Ὁ κόσμος πόρνη ἐστίν· ἥτις τῇ ἐπιθυμίᾳ τε κάλλες αὐτῆς ἕλκει τὲς ὁρῶντας εἰς τὸν πόθον αὐτῆς. καὶ ὁ κρατηθεὶς μερικῶς τῷ πόθῳ αὐτε, καὶ περιπλακεὶς αὐτῷ, ἐ δύναται ἐξελιχθῆναι ἐκ τῶν χειρῶν αὐτε, ἕως ἂν ἀποδύσῃ αὐτὸν τὴν ζωὴν αὐτε. καὶ ὅταν γυμνώσῃ αὐτὸν ἐκ πάντων, καὶ ἐκφέρῃ αὐτὸν ἐκ τε οἴκε αὐτε ἐν τῇ ἡμέρᾳ τε θανάτε αὐτε, τότε γνωρίζει αὐτὸν ὁ ἄνθρωπος πλάνον ὄντως, (1) καὶ ἀπατεῶνα.

(1) Τὸ Ε. Χ. ὄντα.

τεῶνα. ὅταν δέ τις ἀγωνίσηται ἐξελθεῖν ἐκ τοῦ σκότους τοῦ κόσμου τούτου, ἕως ἂν ᾖ κεκρυμμένος ἐν αὐτῷ, οὐ δύναται ἰδεῖν τὰς περιπλοκὰς αὐτοῦ. καὶ οὕτως ὁ κόσμος οὐ μόνον τοὺς μαθητὰς αὐτοῦ, καὶ τὰ τέκνα αὐτοῦ, καὶ τοὺς δεδεμένους ἔνδον αὐτοῦ κρατεῖ, ἀλλὰ καὶ τοὺς ἀκτήμονας, καὶ ἀσκητὰς, καὶ τοὺς κλάσαντας τὰ δεσμὰ αὐτοῦ, καὶ προσάπαξ γενομένους ἐπάνωθεν αὐτοῦ. ἰδοὺ ἤρξατο θηρεύειν αὐτοὺς εἰς τὰ ἔργα αὐτοῦ ἔντισι τρόποις, καὶ καταπατεῖ αὐτοὺς, καὶ τίθησιν αὐτοὺς κάτωθεν τῶν ποδῶν αὐτοῦ.

Τί ποιοῦμεν τῷ σώματι, ὅταν περικυκλώσῃ αὐτῷ ἡ ὀδύνη καὶ τὸ βάρος· ὅτι συγχαυνοῦται αὐτῷ τὸ θέλημα τὸ ἐκ τῆς ἐπιθυμίας τοῦ ἀγαθοῦ, καὶ τῆς πρώτης ἰσχύος αὐτοῦ; Ἐρώτ. 9

Τοῦτο γίνεται πολλάκις ἐπί τισιν· ὅτι τὸ ἥμισυ αὐτῶν ἐξῆλθον ὀπίσω τοῦ Κυρίου, καὶ τὸ ἥμισυ αὐτῶν ἔμειναν ἐν τῷ κόσμῳ, καὶ ἡ καρδία αὐτῶν οὐκ ἐκόπη ἐκ τῶν ἐνταῦθα, ἀλλὰ διεμερίσθησαν καθ' ἑαυτούς. καὶ ποτὲ μὲν, ἔμπροσθεν βλέπουσι· ποτὲ δὲ, ὀπίσω. καὶ ὡς νομίζω ἐγὼ, ὅτι ὁ σοφὸς τοὺς οὕτω μεμερισμένους, καὶ προσεγγίζοντας τῇ ὁδῷ τοῦ Θεοῦ, παραινεῖ λέγων· μὴ προσέλθῃς αὐτῇ ἐν δύω καρδίαις, ἀλλ' ὡς ὁ σπείρων καὶ ὡς ὁ θερίζων, πρόσελθε αὐτῇ. καὶ ὁ Κύριος τοὺς ἀποτασσομένους οὐ τελείως τῷ κόσμῳ, ἀλλὰ μεμερισμένους ὄντας, καὶ τῷ λόγῳ, ἢ μᾶλλον τῷ λογισμῷ εἰς τὰ ὀπίσω στρεφομένους ἐκ τῆς προφάσεως τοῦ φόβου τῶν θλίψεων εἰδὼς, καὶ ὅτι τὴν ἐπιθυμίαν τῆς σαρκὸς ἀκμὴν οὐκ ἔρριψαν ἀπ' αὐτῶν, ὅτε ἠθέλησαν ἀπορρίψαι τὴν χαύνωσιν τῆς διανοίας ἐξ αὐτῶν, λόγον αὐτοῖς ὡρισμένον εἶπεν· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, πρῶτον ἀπαρνησάσθω ἑαυτὸν, καὶ τὰ ἑξῆς. Ἀπόκρ. Σειρ. α. κζ. Ματθ. ιϛ. κδ.

10 Ἐρώτ. Καὶ ἄρα τί ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν;

Ἀπόκρ. Ἵνα ὥσπερ ὁ ἑτοιμασθεὶς ἐν τῷ σταυρῷ ἀνελθεῖν, μόνην τὴν ἔννοιαν λαμβάνει τοῦ θανάτου ἐν τῷ λογισμῷ αὐτοῦ, καὶ οὕτως ἐξέρχεται, ὡς ἄνθρωπος μὴ ἐνθυμούμενος πάλιν ἔχειν μέρος ζωῆς ἐν τῇ ζωῇ ταύτῃ τοῦ παρόντος αἰῶνος, οὕτω καὶ ὁ τὸ εἰρημένον πληρῶσαι βουλόμενος. ὁ γὰρ σταυρὸς, πρὸς πᾶσαν θλίψιν ἕτοιμόν ἐστι θέλημα. καὶ ὅτε ταῦτα πάλιν ἠθέλησε διδάξαι διατί οὕτως ἐστὶν, εἶπεν· (Ματθ. ι. λθ.) » ὁ θέλων ζῆσαι ἐν τῷ κόσμῳ » τούτῳ, ἀπολέσει ἑαυτὸν ἐκ τῆς ζωῆς τῆς ἀληθινῆς· ὁ δὲ ἀπολ- » λύων ἑαυτὸν ὧδε ἕνεκεν ἐμοῦ, εὑρήσει ἑαυτὸν ἐκεῖ. τουτέστιν ὁ διαβαίνων τὴν ὁδὸν τοῦ σταυροῦ, καὶ τὰ διαβήματα αὐτοῦ τιθεὶς ἐν αὐτῇ. εἰ δέ τις πάλιν μεριμνᾷ τῆς ζωῆς ταύτης, ἀπώλεσεν ἑαυτὸν ἐκ τῆς ἐλπίδος, δι᾽ ἧς ἐξῆλθε θλιβῆναι· ὅτι ἡ μέριμνα αὕτη οὐκ ἐᾷ αὐτὸν προσεγγίσαι τῇ διὰ Θεὸν θλίψει, ἀλλ᾽ ἐν τῇ διαμονῇ αὐτοῦ τῇ πρὸς αὐτὴν ἕλκει αὐτὸν κατὰ μικρὸν, καὶ ἐκφέρει αὐτὸν ἐκ μέσου τοῦ ἀγῶνος τῆς ζωῆς τῆς μακαριότητος, καὶ αὐξάνει ἐν αὐτῷ ὁ λογισμὸς οὗτος, ἕως ἂν νικήσῃ αὐτόν. ὁ δὲ ἀπολλύων τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ ἐν τῇ διανοίᾳ αὐτοῦ διὰ τὸν πόθον μου, οὗτος ἀνέγκλητος καὶ ἀβλαβὴς φυλάττεται εἰς τὴν αἰώνιον ζωήν. καὶ τοῦτό ἐστι τὸ, ὁ ἀπολλύων τὴν » ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. λοιπὸν ἐντεῦθεν ἐξ ἑαυτοῦ ἑτοίμασον τὴν ψυχήν σου εἰς ἀφανισμὸν τέλειον ἐκ ταύτης τῆς ζωῆς. καὶ ἐὰν ἀπόλλῃς σεαυτὸν ἐκ τῆς ζωῆς ταύτης, (Ἰωάν. ι. κη.) ἐρεῖ σοι ἐν ταύτῃ τῇ διανοίᾳ· καὶ δώσω σοι, φησὶ, ζωὴν αἰώνιον καθὼς ἐπηγγειλάμην σοι. ἐὰν δὲ ἐν τῇ ζωῇ ταύτῃ μείνῃς, τὴν ἐπαγγελίαν μου ἐν ἔργῳ ἐνδείξομαί σοι ἐνταῦθα, καὶ τὴν βεβαίωσιν τῶν μελλόντων ἀγαθῶν· καὶ τότε εὑρίσκεις τὴν αἰώ-

νιον

νιον ζωὴν, ὅτε τῆς ζωῆς ταύτης καταφρονήσεις. καὶ ὅτε εἰσέλθῃς ἐν τῇ παρασκευῇ ταύτῃ εἰς τὸν ἀγῶνα, τότε καταφρονεῖται ἐν ὀφθαλμοῖς σε πάντα τὰ νομιζόμενα ἐπίπονα καὶ θλιβερά. ὅτε γὰρ ὁ νῦς ὅτω παρασκευαθῇ, ἐκ ἔχει ἀγῶνα, ὅτε θλῖψιν ἐν τῷ καιρῷ τῦ κινδύνε τῦ θανάτε. διὰ τῦτο ἀκριβῶς δεῖ εἰδέναι, ὅτι ἐὰν μὴ μισήσῃ ἄνθρωπος τὴν ζωὴν αὐτῦ ἐν τῷ κόσμῳ διὰ τὴν ἐπιθυμίαν τῆς μελλέσης καὶ μακαρίας ζωῆς, ἐ δύναται τὸ σύνολον ὑπομεῖναι τὰς καθ' ἑκάστην ὥραν ἐπερχομένας τέτῳ παντοίας θλίψεις καὶ πόνες.

Ποίῳ τρόπῳ κόπτει ὁ ἄνθρωπος τὴν πρώτην συνήθειαν αὐτῦ, καὶ συνηθίζει ἑαυτὸν ἐν τῇ ζωῇ τῆς ἐνδείας, καὶ τῆς ἀσκήσεως; Ἐρώτ. 11

Ζῆσαι τὸ σῶμα ἐκτὸς τῆς χρείας αὐτῦ ἐ πείθεται, ἐφ' ὅσον περιέχεται ἐν ταῖς αἰτίαις τῆς τρυφῆς καὶ τῆς χαυνώσεως. καὶ ἐ δύναται τῦτο ὁ νῦς κατέχειν ἀπὸ τῶν τοιέτων, ἕως ἂν μὴ ξενωθῇ τὸ ῥηθὲν σῶμα ἐκ πάντων τῶν ποιέντων τὴν χαύνωσιν. διότι ὅταν εὕρῃ ἰδεῖν τὴν θεωρίαν τῆς τρυφῆς, καὶ τῶν πραγμάτων, καὶ βλέπῃ σχεδὸν καθ' ἑκάστην ὥραν τὰ τῆς χαυνώσεως αἴτια, ἐξυπνίζεται ἐν αὐτῷ ἡ ἐπιθυμία αὐτῶν διάπυρος, καὶ ὅτως ἐρεθίζει ὡς διακαίεσα. διάτοι τῦτο καὶ πάνυ καλῶς τῷ ἀκολεθῆσαι ὀφείλοντι, ὁ λυτρωτὴς Κύριος ἐνετείλατο, γυμνωθῆναι καὶ ἐξελθεῖν ἐκ τῦ κόσμε. διότι πρῶτον ὀφείλει ὁ ἄνθρωπος ῥίψαι τὰς αἰτίας τῆς χαυνώσεως ἐξ αὐτῦ, καὶ ὅτω προσεγγίσαι τῷ ἔργῳ. καὶ αὐτὸς δὲ ὁ Κύριος, ὅτε ἤρξατο πολεμεῖν μετὰ τῦ διαβόλε, ἐν ἐρήμῳ ξηροτάτῃ ἐπολέμησεν αὐτόν. καὶ ὁ Παῦλος δὲ παραινεῖ ἐξελθεῖν ἐκ τῆς πόλεως τὲς αἴροντας τὸν σαυρὸν τῦ Χρισῦ· „συνε- Ἀπόκρ. Ἑβρ. ιγ. ιβ.

„ξέλθω-

„ ἐξέλθωμεν αὐτῷ φησὶν ἔξωθεν τῆς πόλεως, καὶ λάβωμεν τὸν
„ ὀνειδισμὸν αὐτοῦ· ὅτι ἔξω τῆς πόλεως ἔπαθεν. ἐκ γὰρ τοῦ ἀφορίσαι τινὰ ἑαυτὸν ἐκ τοῦ κόσμου καὶ τῶν αὐτοῦ, ταχέως λανθάνει ὁ ἄνθρωπος τὴν πρώτην αὐτοῦ συνήθειαν, καὶ τὴν ἀναστροφὴν, καὶ οὐ κοπιᾷ χρόνον πολὺν ἐν τούτοις. τὸ δὲ πλησιάσαι ἑαυτὸν τῷ κόσμῳ καὶ τοῖς πράγμασιν αὐτοῦ, ταχέως χαυνοῖ τὴν ἰσχὺν τῆς διανοίας αὐτοῦ. διὸ δεῖ γινώσκειν, ὅτι μεγάλως βοηθεῖ, καὶ πρὸς προκοπὴν ὁδηγεῖ τὴν ἐν τῷ ἀθλητικῷ ἀγῶνι τῷ σωτηρίῳ. προσήκει οὖν, καὶ βοηθεῖ ἐν τῷ ἀγῶνι τούτῳ τὸ εἶναι ἐν ἐνδείᾳ καὶ ὑστερήσει τὴν κατάστασιν τοῦ κελλίου τοῦ μοναχοῦ· καὶ ἵνα γένηται τὸ κελλίον αὐτοῦ κενὸν, καὶ ἀργὸν ἀπὸ πάντων τῶν κινούντων ἐν αὐτῷ τὴν ἐπιθυμίαν τῆς ἀναπαύσεως. ὅταν γὰρ αἱ αἰτίαι τῆς χαυνώσεως ἀπέχωσιν ἐκ τοῦ ἀνθρώπου, οὐ κινδυνεύει ἐν τῷ διπλῷ πολέμῳ, τῷ ἐσωτέρῳ καὶ ἐξωτέρῳ. καὶ οὕτως ἀκόπως νικᾷ ὁ ἄνθρωπος ὁ μακρόθεν ἔχων τὰ πρὸς ἡδονὴν, παρὰ τὸν ἐκ τοῦ σύνεγγυς τὰ πρὸς ἐπιθυμίαν αὐτὸν κινοῦντα ἔχοντα. ὧδε γὰρ ὁ ἀγὼν διπλοῦς ἐστίν.

Ὅτε γὰρ χρήζει ὁ ἄνθρωπος (1) εἰς σύστασιν τοῦ σκηνώματος αὐτοῦ, τότε καὶ ἡ χρεία αὐτοῦ εὐκαταφρόνητος γίνεται, καὶ οὐδὲ ἐν τῷ ἀναγκαίῳ καιρῷ τῆς μικρᾶς αὐτοῦ μεταλήψεως θεωρεῖ αὐτὴν μετ᾽ ἐπιθυμίας, καὶ ἐν ὀλίγῳ τινὶ πείθει τὸ σῶμα, καὶ τοῦτο ὡς εὐκαταφρόνητον παρ᾽ ἑαυτῷ βλέπει, καὶ οὐ διὰ τὴν ἡδύτητα τοῦ βρώματος προσεγγίζει αὐτῷ, ἀλλ᾽ ἵνα τὴν φύσιν ἀντιλάβηται καὶ ἐνισχύσῃ. αὗται αἱ προφάσεις ταχέως ἀναφέρουσί τινα εἰς τὴν ἄσκησιν ἀθλίπτῳ καὶ

ἀλύπῳ

(1) Ἴσ. ὅτε γὰρ οὐ χρήζει ὁ ἄνθρωπος.

ἀλύπῳ λογισμῷ. προσήκει τοίνυν τῷ σπουδαίῳ Μοναχῷ ὀξεῖ τῷ ποδὶ φεύγειν ἀνεπιστρόφως πάντα τὰ πολεμοῦντα τῷ Μοναχῷ, καὶ μὴ συναναμίγνυσθαι τοῖς πολεμοῦσιν αὐτῷ, ἀλλὰ καὶ ἀπὸ τῆς ψιλῆς θεωρίας αὐτῶν ἐγκρατεύεσθαι, καὶ μακρυνθῆναι ἀπὸ τοῦ πλησιασμοῦ αὐτῶν καθ' ὅσον δύναται. καὶ τοῦτο λέγω οὐ μόνον περὶ τῆς γαστρὸς, ἀλλὰ καὶ περὶ πάντων τῶν ἐν τῇ πείρᾳ καὶ τῷ πολέμῳ, ἐν οἷς πειράζεται καὶ δοκιμάζεται τοῦ Μοναχοῦ ἡ ἐλευθερία. ὅταν γὰρ ἔλθῃ ὁ ἄνθρωπος πρὸς τὸν Θεὸν, διαθήκην μετὰ τοῦ Θεοῦ ποιεῖ, ἀπέχεσθαι ἐκ πάντων τούτων. ταῦτα δέ εἰσι, τὸ μὴ ὁρᾷν πρόσωπον γυναικὸς, καὶ τὸ μὴ ἰδεῖν τὰ πρόσωπα τῶν εὐπρεπῶν, καὶ τὸ μηδενὸς ἐπιθυμεῖν, ἢ τρυφᾷν, καὶ τὸ μὴ ἰδεῖν τὴν εὐκοσμίαν τῶν ἐνδυμάτων, καὶ τὸ μὴ ἰδεῖν πᾶσαν τάξιν τῶν κοσμικῶν, μήτε ἀκοῦσαι τῶν λόγων αὐτῶν, μήτε τὰ περὶ αὐτῶν ἐξετάσαι. διότι πολλὴν δύναμιν κλῶνται τὰ πάθη ἐκ τοῦ πλησιασμοῦ τῶν τοιούτων ἁπάντων πραγμάτων, εὐχαυνέντων τὸν ἀγωνιστὴν, καὶ ἀλλοιέντων τήν τε φρόνησιν καὶ τὴν πρόθεσιν αὐτοῦ. καὶ ἐὰν αἱ θεωρίαι τῶν καλῶν κινῶσι τὴν προαίρεσιν τοῦ ὄντως ἐν τῷ ζήλῳ ἐκκλίνειν εἰς τὴν ἐργασίαν αὐτῶν, δῆλον ὅτι καὶ τὰ ἐναντία τούτων ἔχουσιν ἰσχὺν αἰχμαλωτίσαι τὴν διάνοιαν εἰς αὐτά. καὶ ἐὰν πλέον τὶ οὐ γίνηται μόνον τῇ διανοίᾳ τῇ ἡσυχαζούσῃ, ἀλλ' εἰς ἀγῶνα πολέμων ἐμβάλλει ἑαυτὸν, καὶ τοῦτο ζημία μεγάλη ἐστίν· ἵνα ἐκ τῆς εἰρήνης, εἰς θόλωσιν τὶς ἑκουσίως ἐμβάλλῃ ἑαυτόν.

Καὶ ἐάν τις τῶν γερόντων τῶν ἀσκητῶν καὶ ἀγωνιστῶν ἰδὼν ἀγένειον, τὸν ὅμοιον ταῖς γυναιξὶν, ἐλογίσατο τοῦτο ἐπιβλαβὲς τῷ λογισμῷ, καὶ ἐπιζήμιον ἐν τῷ ἀγῶνι αὐτοῦ, τίς ἐστιν,

ὃς ἐν ἄλλοις ἀμελῆσαι δύναται, ὁπότε ἔτος ὁ ἅγιος ἐ κατεδέξατο εἰσελθεῖν καὶ ἀσπάσασθαι ἀδελφούς; διότι ἀνέκρινεν ὁ σοφὸς γέρων, ὅτι μόνον ἐὰν ἐνθυμηθῶ ἐν τῇ ψυχῇ ταύτῃ, ὅτι ἐστὶν ἐνταῦθα τὶ τοιοῦτον, τοῦτο μεγάλη μοι ζημία ἐστί. καὶ διὰ τοῦτο οὐκ εἰσῆλθε, καὶ εἶπεν αὐτοῖς, ἐγὼ μὲν τέκνα ἐ φοβοῦμαι, ἀλλ' ὅμως τὶ θέλω ἐνέγκαι ἐμαυτῷ πόλεμον μάτην; ἡ γὰρ μνήμη τῶν τοιούτων ταραχὴν ἀνόνητον ἐν τῇ διανοίᾳ ποιεῖ. εἰς ἕκαστον γὰρ τῶν τοῦ σώματος τούτου μελῶν δέλεαρ πρόκειται, καὶ ἔχει πόλεμον μέγαν ὁ ἄνθρωπος εἰς αὐτὰ, καὶ ὀφείλει φυλάξασθαι ἑαυτὸν, καὶ σμικρύνειν τὸν πόλεμον αὐτοῦ τὸν εἰς αὐτὰ, ἐκ τοῦ φεύγειν· ὥσπερ ὅτε ἐγγίζουσι, κἂν βιάζηται ὁ ἄνθρωπος εἰς τὰ ἀγαθὸν, ἀλλ' ὅμως κινδυνεύει ἐξ αὐτῶν θεωρῶν καὶ ἐπιθυμῶν ἀεί.

Καὶ γὰρ φάρμακα πολλὰ θεωροῦμεν ἐν τῇ γῇ κεκαλυμμένα, καὶ ἐν τῷ θέρει διὰ τὸν καύσωνα οὐδεὶς γινώσκει αὐτά· ὅταν δὲ νοτισθῶσιν ἐκ τοῦ ὕδατος, καὶ ὀσφρανθῶσι τῆς δυνάμεως τῆς ψυχρότητος τοῦ ἀέρος, τότε φαίνεται ἕκαστον εἶδος ποῦ ἦν τεθαμμένον ἐν τῇ γῇ· οὕτω καὶ ὁ ἄνθρωπος, ὅτε ἐστὶν ἐν τῇ χάριτι τῆς ἡσυχίας, καὶ ἐν τῇ θέρμῃ τῆς ἐγκρατείας, ὄντως ἐκ πολλῶν παθῶν ἀναπαύεται· ἐὰν δὲ ἔλθῃ εἰς τὰ πράγματα τοῦ κόσμου, τότε βλέπει πῶς ἕκαστον πάθος ἐγείρεται, καὶ κουφίζει τὴν κεφαλὴν αὐτοῦ, καὶ μάλιστα ἐὰν ὀσφρανθῶσιν ὀσμῆς ἀναπαύσεως. τοῦτο δὲ εἶπον, ἵνα μὴ θαῤῥήσῃ τὶς ὅσον ζῇ ἐν τῷ σώματι αὐτοῦ, ἕως ἂν ἀποθάνῃ· καὶ ἵνα δείξω, ὅτι τὸ φεύγειν, καὶ μακρύνειν τινὰ ἑαυτὸν ἀπὸ τῶν αἰτιῶν τῆς κακίας, πάνυ βοηθοῦσιν εἰς τὸν ἀσκητικὸν ἀγῶνα. διὰ τὰ πράγματα τὰ φέροντα ἡμῖν αἰσχύνην ἐν τῇ μνήμῃ αὐτῶν, δέον

ἡμᾶς

ἡμᾶς ἀεὶ φοβεῖσθαι αὐτὰ, καὶ μὴ καταπατῆσαι τὴν συνείδησιν, καὶ καταφρονῆσαι αὐτῆς. λοιπὸν ἐν τῇ ἐρήμῳ χωρῆσαι τὸ σῶμα τέως πειράσωμεν, καὶ ποιήσωμεν κλᾶσθαι τὴν ὑπομονήν· τὸ δὲ μεῖζον πάντων, ἵνα σπουδάζῃ τὶς ὅπου δ' ἂν καὶ ᾖ, ὥστε ἀπέχειν τὸ αἴτιον τοῦ πολέμου, (κἂν γὰρ θλίβηταί τις ἴσως, ἀλλ' ἄφοβός ἐστιν) ἵνα μὴ ὅτε ἔλθῃ χρεία, πέσῃ διὰ τὴν ἐγγύτητα αὐτῆς.

Ἐρώτ. 12

Ὅστις ἀπέῤῥιψεν ἐξ ἑαυτοῦ ὅλον τὸν περισπασμὸν, καὶ εἰσῆλθεν εἰς τὸν ἀγῶνα, ποία ἐστὶν ἡ ἀρχὴ αὐτοῦ ἐν τῷ πολέμῳ τῆς ἁμαρτίας; καὶ πόθεν ἄρχεται τῆς πάλης;

Ἀπόκρ.

Τοῦτο πᾶσι γνώριμόν ἐστιν, ὅτι ἑκάστῳ ἀγῶνι τῆς ἁμαρτίας καὶ τῆς ἐπιθυμίας ὁ κόπος τῆς ἀγρυπνίας καὶ τῆς νηστείας ἐστὶν ἡ ἀρχὴ, καὶ μάλιστα τῷ ἀνταγωνιζομένῳ πρὸς τὴν ἐν ἡμῖν ἔνδον ἁμαρτίαν. καὶ τὸ σημεῖον τοῦ μίσους τῆς ἁμαρτίας, καὶ τῆς ἐπιθυμίας αὐτῆς, ἐκ τούτου ὁρᾶται τοῖς ἀνταγωνιζομένοις πρὸς τὸν ἀόρατον πόλεμον τοῦτον· ἐν τῇ νηστείᾳ ἄρχονται, καὶ μετὰ ταύτην ἡ ἀγρυπνία τῆς νυκτὸς συνεργεῖ πρὸς τὴν ἄσκησιν.

Περὶ νηστείας καὶ ἀγρυπνίας.

Ὁ ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ τὴν ὁμιλίαν τῆς συζυγίας ταύτης ἀγαπῶν, οὗτος φίλος τῆς σωφροσύνης γίνεται. καθὼς ἡ ἀνάπαυσις τῆς γαστρὸς ἀρχὴ πάντων τῶν κακῶν, καὶ ἡ χαυνότης τοῦ ὕπνου, ἡ ἐξάπτουσα τὴν ἐπιθυμίαν τῆς πορνείας, οὕτως ἡ ὁδὸς τοῦ Θεοῦ ἡ ἁγία, καὶ πάσης ἀρετῆς ὁ θεμέλιος, ἡ νηστεία ὑπάρχει, καὶ ἡ ἀγρυπνία, καὶ ἡ ἐγρήγορσις ἐν τῇ λειτουργίᾳ τοῦ Θεοῦ, ἐν σταυρώσει τοῦ σώματος ὅλην τὴν ἡμέραν καὶ τὴν νύκτα ἐξ ἐναντίας τῆς γλυκύτητος τοῦ ὕπνου. ἡ νηστεία ὑπερα-

σμός ἐστι πάσης ἀρετῆς, καὶ ἀρχὴ τοῦ ἀγῶνος, καὶ στέφανος τῶν ἐγκρατῶν, καὶ τὸ κάλλος τῆς παρθενίας καὶ τοῦ ἁγιασμοῦ, καὶ ἡ λαμπρότης τῆς σωφροσύνης, καὶ ἡ ἀρχὴ τῆς ὁδοῦ τοῦ χριστιανισμοῦ, καὶ ἡ μήτηρ τῆς προσευχῆς, καὶ ἡ πηγὴ τῆς σωφροσύνης καὶ τῆς φρονήσεως, καὶ ἡ διδάσκαλος τῆς ἡσυχίας, καὶ ἡ προηγουμένη πάντων τῶν καλῶν ἔργων. καθὼς ἀκολουθεῖ τοῖς ἐῤῥωμένοις ὀφθαλμοῖς ἡ ἐπιθυμία τοῦ φωτὸς, οὕτως ἀκολουθεῖ τῇ νηστείᾳ τῇ μετὰ διακρίσεως γινομένῃ, ἡ ἐπιθυμία τῆς εὐχῆς.

Ὅταν γὰρ ἄρξηταί τις νηστεύειν, ἐκ τούτου εἰς τὴν ἐπιθυμίαν τῆς ὁμιλίας τοῦ Θεοῦ ἐπιθυμεῖ ἐλθεῖν ἐν τῇ διανοίᾳ αὐτοῦ. οὐ γὰρ καρτερεῖ τὸ σῶμα νηστεῦον ὑπνῶσαι ἐν τῇ στρωμνῇ αὐτοῦ ὅλην τὴν νύκτα. ὅταν ἡ σφραγὶς τῶν νηστειῶν ἐπιτεθῆται τῷ σώματι τοῦ ἀνθρώπου, ὁ λογισμὸς αὐτοῦ ἐν κατανύξει μελετᾷ, καὶ ἡ καρδία αὐτοῦ εὐχὴν βρύει, καὶ ἡ συγνότης ἐπὶ τὸ πρόσωπον αὐτοῦ κεῖται, καὶ οἱ αἰσχροὶ διαλογισμοὶ πόῤῥω ἀπέχουσιν ἀπ᾽ αὐτοῦ· ἱλαρότης οὐχ ὁρᾶται ἐν ὀφθαλμοῖς αὐτοῦ, καὶ ἐχθρός ἐστι τῶν ἐπιθυμιῶν, καὶ τῶν ματαίων συντυχιῶν. οὐδέποτε εἶδέ τις νηστεύοντα ἐν διακρίσει, δουλωθέντα ὑπὸ τῆς κακῆς ἐπιθυμίας. δόμος μέγας εἰς πᾶν ἀγαθόν ἐστιν ἡ νηστεία ἡ μετὰ διακρίσεως· καὶ ὁ ἀμελῶν αὐτῆς, πᾶν ἀγαθὸν διασείει. διότι αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ τεθεῖσα τῇ φύσει ἡμῶν ἐξ ἀρχῆς εἰς παραφυλακὴν κατὰ τῆς γεύσεως τῆς τροφῆς, καὶ ἐκεῖθεν ἔπεσεν ἡ ἀρχὴ τοῦ πλάσματος ἡμῶν. ὅμως ὅθεν γέγονεν ὁ ἀφανισμὸς ὁ πρῶτος, ἐκεῖθεν ἄρχονται οἱ ἀθληταὶ εἰς τὸν φόβον τοῦ Θεοῦ, ὅταν ἄρξωνται φυλάττειν τοὺς νόμους αὐτοῦ.

Καὶ

Καὶ ὁ Σωτὴρ δὲ, ὅτε ὠράθη τῷ κόσμῳ ἐν τῷ Ἰορδάνῃ, ἐντεῦθεν ἤρξατο. μετὰ γὰρ τὸ βάπτισμα ἐξώνεγκεν αὐτὸν τὸ πνεῦμα εἰς τὴν ἔρημον, καὶ ἐνήστευσεν ἡμέρας τεσσαράκοντα, καὶ νύκτας τεσσαράκοντα. ὁμοίως καὶ πάντες οἱ ἐξερχόμενοι ἀκολουθῆσαι ὀπίσω αὐτοῦ, ἐπὶ τούτῳ τῷ θεμελίῳ βάλλουσι τὴν ἀρχὴν τοῦ ἀγῶνος αὐτῶν. ὅπλον γάρ ἐστιν εἰργασμένον ὑπὸ τοῦ Θεοῦ. καὶ τὶς ἀμελῶν εἰς αὐτὸ, οὐ μεμφθήσεται; καὶ εἰ ὁ ἐκθέμενος τὸν νόμον νηστεύει, τὶς ἐκ τῶν τηρούντων τὸν νόμον, οὐ χρὴ νηστεύειν; διὰ τοῦτο ἕως τότε τὸ γένος τῶν ἀνθρώπων οὐκ ἐγίνωσκε τὴν νίκην, οὐδὲ ὁ Διάβολος ποτὲ ἐπειράσθη τῆς ἥττης αὐτοῦ ἐκ τῆς φύσεως ἡμῶν· ἀλλ' ἐν τούτῳ τῷ ὅπλῳ ἠτόνησεν ἐξ ἀρχῆς. καὶ ὁ Κύριος ἡμῶν ἦν ὁ ἀρχηγὸς καὶ πρωτότοκος τῆς νίκης, τοῦ δοῦναι τὸν πρῶτον στέφανον τῆς νίκης ἐπὶ τῆς κεφαλῆς τῆς φύσεως ἡμῶν. καὶ ὅταν ἴδῃ τοῦτο τὸ ὅπλον ἐπίτινα τῶν ἀνθρώπων ὁ Διάβολος, εὐθέως φοβεῖται ὁ ἀντικείμενος καὶ τύραννος, καὶ εὐθὺς ἐνθυμεῖται καὶ εἰς μνήμην ἔρχεται τῆς ἥττης αὐτοῦ τῆς ἐν τῇ ἐρήμῳ ὑπὸ τοῦ Σωτῆρος, καὶ ἡ δύναμις αὐτοῦ κλᾶται, καὶ ἐν τῇ θεωρίᾳ τοῦ ὅπλου τοῦ δοθέντος ἡμῖν ὑπὸ τοῦ ἀρχιστρατήγου ἡμῶν καίεται. ποῖον ὅπλον δυνατώτερον αὐτοῦ, καὶ θάρσος παρέχον τῇ καρδίᾳ ἐν τῇ πάλῃ τῇ κατὰ τῶν πνευμάτων τῆς πονηρίας, ὡς ἡ γινομένη πεῖνα ὑπὲρ τοῦ Χριστοῦ; ὅσον γὰρ μοχθεῖ τὸ σῶμα καὶ κακοπαθεῖ ἐν τῷ καιρῷ, ἐν ᾧ περικυκλοῖ τὸν ἄνθρωπον ἡ φάλαγξ τῶν Δαιμόνων, τοσοῦτον ἀντιλαμβάνεται ἡ καρδία αὐτοῦ ὑπὸ τῆς πεποιθήσεως. καὶ ὁ ἐνδυόμενος τὸ τῆς νηστείας ὅπλον, ἐν ζήλῳ πυρπολεῖται ἐν παντὶ καιρῷ. καὶ ὁ ζηλωτὴς γὰρ Ἠλίας, ἡνίκα ἐζήλωσεν ὑπὲρ τοῦ νόμου τοῦ Θεοῦ, εἰς τοῦτο τὸ ἔργον τῆς νηστείας

διῆγεν. ὑπομιμνήσκει γὰρ τὸν κτησάμενον αὐτὴν τὰ ἐντάλματα τοῦ πνεύματος, καὶ μεσίτης ἐστὶν ἡ νηστεία τοῦ παλαιοῦ νόμου, καὶ τῆς χάριτος τῆς δοθείσης ἡμῖν παρὰ τοῦ Χριστοῦ. (1) καὶ ὁ ἀμελῶν εἰς αὐτὴν, καὶ εἰς τὰ ὑπόλοιπα τῶν ἀγωνισμάτων χαῦνός ἐστι, καὶ ἀμελὴς, καὶ ἀσθενὴς, καὶ ἀρχὴν καὶ σημεῖον κακὸν τῆς χαυνώσεως δεικνύει τῆς ψυχῆς αὐτοῦ, καὶ δίδωσι τόπον νίκης τῷ πολεμοῦντι αὐτόν. διότι γυμνὸς, καὶ ἄοπλος εἰσέρχεται εἰς τὸν ἀγῶνα, καὶ ἔκδηλός ἐστιν ὅτι χωρὶς νίκης ἐξέρχεται ἐξ αὐτοῦ. διότι τὰ μέλη αὐτοῦ οὐκ ἐφόρεσαν τὴν θέρμην τῆς πείνης τῆς νηστείας. τοιαύτη ἐστὶν ἡ νηστεία. καὶ ὁ διαμένων ἐν αὐτῇ, ἀσάλευτος ἔσται ἡ διάνοια αὐτοῦ, καὶ πρὸς ἀπάντησιν ἑτοίμη καὶ ἀποτροπὴν πάντων τῶν δυσχερῶν παθῶν.

Λέγεται περὶ πολλῶν Μαρτύρων, ὅτι ἐν τῇ ἡμέρᾳ, ἐν ᾗ προσεδόκων δέξασθαι τὸν στέφανον τοῦ μαρτυρίου, εἰ προεγίνωσκον, ἢ ἐξ ἀποκαλύψεως, ἢ φάσεώς τινος τῶν ἑταίρων αὐτῶν τοῦτο, τῇ νυκτὶ ἐκείνῃ οὐκ ἐγεύοντό τινος, ἀλλὰ ἀπὸ ἑσπέρας ἕως πρωῒ ἵσταντο ἀγρυπνοῦντες ἐν τῇ εὐχῇ, δοξάζοντες τὸν Θεὸν ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, καὶ ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει ἐξεδέχοντο τὴν ὥραν ἐκείνην, ὡς τινὲς ἑτοιμασθέντες εἰς τοὺς γάμους, ἐκδεχόμενοι ἀπαντῆσαι τῷ ξίφει

(1) Ὁ μὲν Μωϋσῆς ἐν τῷ ὄρει τῷ Σινᾶ νηστεύσας, τὰς τοῦ γραπτοῦ νόμου πλάκας ἐδέξατο· ὁ δὲ Σωτὴρ τῶν ἁπάντων μετὰ τὴν ἐν τῇ ἐρήμῳ τεσσαρακονθήμερον νηστείαν, τὸν τῆς χάριτος νόμον εὐαγγελίζεσθαι ἤρξατο. διὰ τοῦτο οὖν τὴν νηστείαν μεσίτην καλεῖ τοῦ παλαιοῦ νόμου, καὶ τῆς χάριτος. αὐτῆς γὰρ προηγηθείσης, καὶ οἱονεὶ μεσιτευσάσης, ἑκάτερος τούτων ἡμῖν ἐπεδόθη.

ξίφει ἐν τῇ νηστείᾳ αὐτῶν. καὶ ἡμεῖς τοίνυν οἱ εἰς τὴν ἀόρατον μαρτυρίαν κληθέντες, τοῦ δέξασθαι τοὺς στεφάνους τοῦ ἁγιασμοῦ, νήψωμεν, καὶ μηδέποτε ἐν μέλει τινὶ καὶ μέρει τοῦ σώματος ἡμῶν δοθῇ τοῖς ἐχθροῖς ἡμῶν σημεῖον τῆς ἀρνήσεως.

Ἐρώτ. 13

Πῶς εἰσί τινες πολλάκις καὶ πολλοὶ ἔχοντες τὰ ἔργα ταῦτα ἴσως, καὶ τῆς γαλήνης καὶ ἀναπαύσεως τῶν παθῶν, καὶ τῆς εἰρήνης τῶν λογισμῶν οὐκ αἰσθάνονται;

Ἀπόκρ.

Τὰ πάθη τὰ κεκρυμμένα ἐν τῇ ψυχῇ, ὦ ἀδελφὲ, οὐχὶ ἐν τοῖς σωματικοῖς κόποις μόνον διορθοῦνται, οὐδὲ τοὺς λογισμοὺς κωλύουσιν ἐπὶ τῶν ἐξυπνιζομένων ἀεὶ διὰ τῶν αἰσθήσεων. οἱ γὰρ κόποι οὗτοι φυλάττουσι τὸν ἄνθρωπον ἐκ τῶν ἐπιθυμιῶν, ἵνα μὴ νικηθῇ ἐξ αὐτῶν, καὶ ἐκ τῆς πλάνης τῶν Δαιμόνων· τὴν δὲ εἰρήνην καὶ τὴν γαλήνην οὐ παρέχουσι τῇ ψυχῇ. τὰ γὰρ ἔργα καὶ οἱ κόποι τότε τὴν ἀπάθειαν παρέχουσι τῇ ψυχῇ, καὶ νεκροῦσι τὰ μέλη τὰ ἐν τῇ γῇ, καὶ δωροῦνταί τὴν ἀνάπαυσιν τῶν λογισμῶν, ὅταν κοινωνήσωμεν τῇ ἡσυχίᾳ· ἡνίκα γὰρ (1) αἱ αἰσθήσεις αἱ ἔξω παύσωνται τῆς ταραχῆς, καὶ ἐπιμείνωσιν ἐν τῇ ἐργασίᾳ τῆς σοφίας καιρόν τινα. ἕως γὰρ ἂν στερηθῇ ὁ ἄνθρωπος τῆς ἀπαντήσεως τῶν ἀνθρώπων, καὶ τὰ μέλη αὐτοῦ ἐκ τῆς διαχύσεως τῶν λογισμῶν, καὶ συναγάγῃ ἑαυτὸν πρὸς ἑαυτὸν, οὐ μὴ δυνηθῇ γνωρίσαι τὸ πάθος αὐτοῦ. ἡ ἡσυχία γὰρ, καθὼς ἔφη ὁ ἅγιος Βασίλειος, ἀρχὴ τῆς καθάρσεως τῆς ψυχῆς ἐστίν. ἡνίκα γὰρ τὰ ἔξω μέλη παύσωνται τῆς στάσεως τῆς ἐξωτέρας, καὶ τοῦ περισπασμοῦ τοῦ εἰς τὴν ἔξω χώραν, τότε στρέφεται ἡ διάνοια ἀπὸ τῶν ἐξωτέρων περισπασμῶν καὶ τοῦ μετεω-

(1) Ἴσ. ἵνίκα ἂν.

μετεωρισμοῦ, καὶ καθ᾽ ἑαυτὴν ἠρεμεῖ, καὶ ἐξυπνίζεται ἡ καρδία ἐξερευνῆσαι τὰς ἐννοίας τὰς ἔξωθεν τῆς ψυχῆς. καὶ ἐὰν ὑπομείνῃ ἐν τούτοις καλῶς, ἔρχεται κατ᾽ ὀλίγον ὁ ἄνθρωπος ὁδεύειν εἰς τὴν καθαρότητα τῆς ψυχῆς.

14 Ἐρώτ. Καὶ οὐ δύναται ἄρα ἐν τῇ ἀναστροφῇ τῇ ἔξω τῆς θύρας καθαρθῆναι ἡ ψυχή;

Ἀπόκρ. Δένδρον καθ᾽ ἡμέραν ποτιζόμενον, πότε ξηραίνεται ἡ ῥίζα αὐτοῦ; καὶ σκεῦος δεχόμενον καθ᾽ ἡμέραν προσθήκην, πότε μειοῦται; καὶ ἐὰν ἡ καθαρότης οὐδαμοῦ ἄλλο ἐστὶν, εἰ μὴ τὸ λαθεῖν τὴν ἀναστροφὴν τῆς ἐλευθερίας, καὶ ἐξελθεῖν τῆς συνηθείας αὐτῆς, πῶς, καὶ πότε θελήσει καθαρθῆναι τὴν ψυχὴν αὐτοῦ, ὅστις πρακτικῶς ἐν ἑαυτῷ, ἢ ἐν ἄλλοις διὰ τῶν αἰσθήσεων ἀνακαινίζει τὴν μνήμην τῆς παλαιᾶς συνηθείας ἐν ἑαυτῷ, ὅπερ ἐστὶν ἡ ἐπίγνωσις τῆς κακίας; πότε δύναται καθαρθῆναι τὴν ψυχὴν αὐτοῦ ἐκ τούτου; ἢ πότε χολάσαι ἐκ τῶν ἀνταγωνισμάτων τῶν ἐξωτέρων, ἵνα κἂν θεάσηται ἑαυτόν; ἐὰν γὰρ ἡ καρδία καθ᾽ ἡμέραν ῥυπεῖται, πότε καθαίρεται ἐκ τοῦ ῥύπου; ἀλλ᾽ οὐδὲ πρὸς τὴν ἐνέργειαν τὴν ἐξωτέραν δύναται ἀντιστῆναι, καὶ πόσῳ μᾶλλον καθαρίσαι οὐ δύναται τὴν καρδίαν, ὅτε ἐν μέσῳ τοῦ στρατοπέδου ἵσταται, καὶ ἐκδέχεται καθ᾽ ἡμέραν τὴν συνεχῆ ἀγγελίαν τοῦ πολέμου ἀκοῦσαι; καὶ πῶς τολμᾷ κηρύξαι εἰρήνην τῇ ψυχῇ αὐτοῦ; ἐὰν δὲ ἐκ τούτου μακρυνθῇ, τότε δύναται κατὰ μικρὸν τὰ πρῶτα καταπαῦσαι τὰ ἔσω. ἐπεὶ ἕως ἂν ἄνωθεν ὁ ποταμὸς οὐ φράττηται, ἐκ τῶν κάτω τὰ ὕδατα αὐτοῦ οὐ ξηραίνεται. ὅτε δὲ ἔλθῃ τις εἰς τὴν ἡσυχίαν, τότε δύναται ἡ ψυχὴ διακρῖναι τὰ πάθη, καὶ ἐξερευνῆσαι ἐν συνέσει τὴν ἑαυτῆς σοφίαν. τότε καὶ ὁ ἔσω ἄνθρωπος

θρωπος ἐξυπνίζεται εἰς τὸ ἔργον τοῦ πνεύματος, καὶ ἡμέρᾳ τῇ ἡμέρᾳ αἰσθάνεται τῆς κρυπτῆς σοφίας τῆς ἀνθούσης ἐν τῇ ψυχῇ αὐτοῦ.

Τίνα εἰσὶ τὰ ἀκριβῆ τεκμήρια καὶ τὰ σημεῖα τὰ πλησιάζοντα; ἐξ ὧν, ἢ δι' ὧν αἰσθάνεταί τις, ὅτι ἤρξατο βλέπειν ἐν ἑαυτῷ καρπὸν κρυπτὸν ἐν τῇ ψυχῇ; (1) Ἐρώτ. 15

Ὅταν ἀξιωθῇ τις τῆς χάριτος τῶν δακρύων τῶν πολλῶν τῶν χωρὶς βίας γινομένων. ὡς γὰρ ὅρος τις ἐτέθησαν τὰ δάκρυα τῇ διανοίᾳ μεταξὺ τῶν σωματικῶν καὶ τῶν πνευματικῶν, καὶ μεταξὺ τῆς ἐμπαθείας καὶ τῆς καθαρότητος. ἕως ἂν δέξηταί τις τὸ χάρισμα τοῦτο, ἀκμὴν ἐν τῷ ἐξωτέρῳ ἀνθρώπῳ ἐστὶν ἡ ἐνέργεια τοῦ ἔργου αὐτοῦ, καὶ ἀκμὴν οὐκ ᾔσθηθη παντελῶς τῆς ἐνεργείας τῶν κρυπτῶν τοῦ πνευματικοῦ ἀνθρώπου. ὅταν γὰρ ἄρξηταί τις ἐᾶν τὰ σωματικὰ τοῦ νῦν αἰῶνος, καὶ αὐτὸς τοῦ ὅρου τούτου τοῦ ὄντος ἔσωθεν τῆς φύσεως ὁρᾶται διαβαίνων, εὐθὺς εἰς τὴν χάριν ταύτην τῶν δακρύων φθάνει. καὶ ἐκ τῆς πρώτης μονῆς τῆς πολιτείας τῆς κρυπτῆς ἄρχονται τὰ δάκρυα ταῦτα, καὶ ἀπάγουσιν αὐτὸν εἰς τὴν τελειότητα τῆς ἀγάπης τοῦ Θεοῦ. καὶ ὅσον προβαίνει ἐκεῖσε, τοσοῦτον πλουτεῖ ἐν αὐτῇ· ἕως ἂν πίνῃ αὐτὰ ἐν τῇ τροφῇ αὐτοῦ, καὶ ἐν τῷ πόματι αὐτοῦ ἐκ τῆς πολλῆς αὐτῶν διαμονῆς. Ἀπόκρ.

Καὶ τοῦτό ἐστι τὸ σημεῖον τῆς ἀκριβείας, ὅτι ἐξῆλθεν ἡ διάνοια ἐκ τοῦ κόσμου τούτου, καὶ ᾔσθηθη τοῦ κόσμου ἐκείνου τοῦ πνευματικοῦ. ὅσον δὲ πλησιάζει τῷ κόσμῳ τούτῳ ἐν τῇ διανοίᾳ αὐτοῦ ὁ ἄν-

(1) Τὸ Ε. Χ. τὰ πλησιάζοντα τῷ ἀρξαμένῳ βλέπειν ἐν ἑαυτῷ καρπὸν κρυπτὸν ἐν τῇ ἑαυτοῦ ψυχῇ;

ὁ ἄνθρωπος, τοσῦτον ἐλατ]ῦται ἐκ τῶν δακρύων τύτων. καὶ ὅταν ἡ διάνοια τελείως ἐν τῷ κόσμῳ τύτῳ γένηται, τελείως ςερίσκεται τῶν δακρύων τύτων. καὶ τῦτο τὸ σημεῖόν ἐςιν, ὅτι ἐςὶν ὁ ἄνθρωπος τεθαμμένος ἐν τοῖς πάθεσιν.

Περὶ διαφορᾶς δακρύων.

Εἰσί τινα μὲν τῶν δακρύων, καίοντα· καὶ εἰσὶ δάκρυα, πιαίνοντα. πάντα ἓν τὰ δάκρυα τὰ ἐκ τῆς κατανύξεως καὶ τῆς ὁσίας καρδίας (1) ἐξερχόμενα διὰ τὰς ἁμαρτίας, ταῦτα ξηραίνεσι τὸ σῶμα, καὶ καίεσι, καὶ πολλάκις καὶ αὐτὸ τὸ ἡγεμονικὸν τῆς ἐκ τύτων αἰσθάνεται βλάβης ἐν τῇ ἐξόδῳ αὐτῶν. ὃ πρῶτον μὲν ἐν ταύτῃ τῇ τάξει τῶν δακρύων ἐξ ἀνάγκης ἀπαντᾷ ὁ ἄνθρωπος, καὶ δι᾽ αὐτῶν ἀνοίγεται αὐτῷ θύρα εἰσελθεῖν εἰς τὴν τάξιν τὴν δευτέραν, τὴν κρείτ]ονα ταύτης· ἥπερ ἐςὶ χώρα χαρᾶς, ἐν ᾗ δέχεται ὁ ἄνθρωπος τὸ ἔλεος. ταῦτα δέ εἰσι τὰ δάκρυα τὰ προχεόμενα ἐκ τῆς συνέσεως· ἃ ὃ ὡραΐζεσι, καὶ πιαίνεσι τὸ σῶμα, καὶ ἀβιάςως ἀφ᾽ ἑαυτῶν κατέρχονται. καὶ ὃ μόνον, ὡς εἴρηται, πιαίνεσι τὸ σῶμα τῦ ἀνθρώπε, ἀλλὰ ὃ ἡ ὅρασις τῦ ἀνθρώπε ἀλλοιῦται. καρ- „ δίας γάρ φησιν εὐφραινομένης πρόσωπον θάλλει, ἐν δὲ λύ- „ παις ὄσης σκυθρωπάζει.

Παροιμ. ιε. ιγ.

Ἐρώτ.

Τίς ἐςιν ἡ ἀνάςασις τῆς ψυχῆς, ἣν φησιν ὁ Ἀπόςολος, εἰ συνηγέρθητε τῷ Χριςῷ;

Κολασσ. γ. α.

Ἀπόκρ.

Ἐν τῷ εἰπεῖν τὸν Ἀπόςολον, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότυς „ φῶς λάμψαι, αὐτὸς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, ψυχῆς ἀνάςασιν, τὴν τῆς παλαιότητος ἔξοδον ἔδειξεν, ὅτι ταύτην δεῖ καλεῖν, τυτέςιν ἵνα γένηται καινὸς ὁ ἄνθρωπος, μηδὲν ἔχων τῦ

Β. Κορινθ. δ. ς.

(1) Τὸ Ε. Χ. καὶ τῆς ὁσίας τῆς καρδίας.

» τοῦ παλαιοῦ ἀνθρώπου, καθὼς λέγει, καὶ δώσω αὐτοῖς καρδίαν Ἰεζ. λς. κς.
» καινὴν, καὶ πνεῦμα καινόν. τότε γὰρ εἰκονίζεται Χριστὸς ἐν ἡμῖν διὰ πνεύματος σοφίας, καὶ ἀποκαλύψεως τῆς ἐπιγνώσεως αὐτοῦ.

Τί ἐστι κατὰ συντομίαν ἡ δύναμις τῆς πράξεως τῆς ἡσυχίας; Ἐρώτ. 17

Ἡ ἡσυχία τὰς αἰσθήσεις τὰς ἔξω νεκροῖ, καὶ τὰς ἔσω κινήσεις ἐγείρει. ἡ δὲ ἔξω ἀναστροφὴ τὰ ἐναντία τούτων πράττει, ἤγουν τὰς ἔξω αἰσθήσεις ἐγείρει, καὶ τὰς ἔσω κινήσεις νεκροῖ. Ἀπόκρ.

Τί ἐστιν ἡ αἰτία τῶν ὁράσεων, καὶ τῶν ἀποκαλύψεων, ὅτι τινὲς ὁρῶσι, τινὲς δὲ κοπιῶσιν ὑπὲρ αὐτοὺς, καὶ οὐκ ἐνεργεῖ τοσοῦτον ἡ ὅρασις ἐν αὐτοῖς; Ἐρώτ. 18

Αἰτίαι τούτων πολλαί εἰσι. καὶ αἱ μὲν αὐτῶν, οἰκονομικαὶ, καὶ τοῦ κοινοῦ χάριν· αἱ δὲ, πρὸς παρηγορίαν τῶν ἀσθενῶν, καὶ θάρσος καὶ διδαχήν. καὶ πρῶτον μὲν, διὰ τὸ ἔλεος τοῦ Θεοῦ οἰκονομοῦνται διὰ τοὺς ἀνθρώπους ταῦτα πάντα, καὶ πρὸς τοὺς τρεῖς τρόπους τῶν ἀνθρώπων τούτων οἰκονομοῦνται τὰ πράγματα τῶν τοιούτων, ὡς ἐπὶ τὸ πολύ· ἢ πρὸς τοὺς ἀπλουστέρους, καὶ ὑπερβαλλόντως ἀκάκους, ἢ πρός τινας τελείους καὶ ἁγίους, ἢ πρὸς τοὺς ἔχοντας ζῆλον ἔμπυρον Θεοῦ, καὶ ἀπεγνωκότας τοῦ κόσμου, καὶ ἀποταξαμένους τελείως, καὶ ἀναχωρήσαντας τῆς μετὰ τῶν ἀνθρώπων κατοικίας, καὶ ὀπίσω τοῦ Θεοῦ γυμνοὺς ἐξελθόντας, μὴ προσδοκήσαντας βοήθειάν τινα ἐκ τῶν ὁρωμένων· καὶ ἐπιπίπτει αὐτοῖς δειλία ἐκ τοῦ ἰδιασμοῦ αὐτῶν, ἢ περικυκλοῖ αὐτοὺς κίνδυνος θανάτου ἐκ τοῦ λιμοῦ, ἢ ἐκ τῆς ἀῤῥωστίας, ἢ ἀπό τινος περιστάσεως καὶ θλίψεως, ὥστε Ἀπόκρ.

αὐτοὺς ἐγγίζειν τῇ ἀπογνώσει. αἱ παρακλήσεις οὖν αἱ γινόμεναι πρὸς τοὺς τοιούτους, καὶ πρὸς τοὺς ὑπερέχοντας αὐτοὺς ἐν κόποις μὴ γινόμεναι, ἡ αἰτία αὐτῶν ἡ πρώτη ἐστὶν αὕτη· ἡ ἁγνεία, καὶ οὐχ ἁγνεία, (1) τῆς συνειδήσεως λέγω. ἡ δὲ δευτέρα αἰτία ἐστὶν ἀκριβῶς αὕτη· ὅσον τὶς ἔχει παράκλησιν ἀνθρωπίνην, ἢ ἐκτινος τῶν ὁρωμένων, οὐ γίνονται τοιαῦται παρακλήσεις πρὸς αὐτὸν, εἰ μὴ δι' οἰκονομίαν τινὰ χάριν τοῦ κοινοῦ. ἡμῖν δὲ ὁ λόγος περὶ τῶν ἀναχωρητῶν ἐστί. καὶ μάρτυς τῶν λεγομένων εἷς τῶν πατέρων ὑπὲρ ταύτης παρακαλέσας, καὶ ἀκούσας, ἀρκεῖ σοι ἡ παράκλησις καὶ ἡ ὁμιλία τῶν ἀνθρώπων.

Καὶ ἄλλος τὶς ἐν τούτῳ τῷ τρόπῳ ὅτε ἦν ἐν τῇ ἀναχωρήσει, καὶ ἔζη ἐν τῇ ἀναστροφῇ τῆς ἀναχωρήσεως, ἦν ἐν πάσῃ ὥρᾳ τῆς παρακλήσεως τῆς ἐκ τῆς χάριτος κατατρυφῶν· ὅτε δὲ προσήγγισε τῷ κόσμῳ, ἐζήτησεν αὐτὴν κατὰ τὸ ἔθος καὶ οὐχ εὗρε, καὶ ἐδεήθη τοῦ Θεοῦ, δηλῶσαι αὐτῷ τὴν αἰτίαν, λέγων· μήτι Κύριε διὰ τὴν ἐπισκοπὴν ἀπέστη ἀπ' ἐμοῦ ἡ χάρις; (2) καὶ ἐῤῥέθη αὐτῷ, οὐχί· ἀλλ' ὅτι ὁ Θεὸς πρόνοιαν ποιεῖται τῶν ἐν ἐρήμῳ διαγόντων, καὶ ἀξιοῖ αὐτοὺς τῶν τοιούτων παρακλήσεων. οὐκ ἐνδέχεται γὰρ εἶναί τινι τῶν ἀνθρώπων παράκλησιν ὁρωμένην, καὶ δέχεσθαι καὶ ταύτην, εἰ μήτι γε διά τινα τῶν εἰρημένων οἰκονομίαν κεκρυμμένην, καὶ μόνῳ τῷ οἰκονομοῦντι τὰ τοιαῦτα ἐγνωσμένην.

Εἰ

(1) Ἡ ἁγνεία, καὶ οὐχ ἁγνεία, ἤτοι ἡ ἁγνεία τῶν σωματικῶν παθῶν, οὐχὶ δὲ καὶ τῶν τῆς ψυχῆς καὶ τῆς συνειδήσεως· ἢ ἡ ἁγνεία, ἀλλ' οὐχ ἡ ἀκριβὴς καὶ τελεία· ἢ ἡ λεγομένη, καὶ μὴ οὖσα ἁγνεία.

(2) Περὶ ἑαυτοῦ τυχὸν τοῦτο λέγει. αὐτὸς γὰρ ἀναχωρητὴς ὢν πρότερον, ἐπίσκοπος τῆς Νινευὴ γέγονεν ὕστερον.

Ἐρώτ. 19 Εἰ ταυτόν ἐστιν ὅρασις καὶ ἀποκάλυψις, ἢ οὔ;

Ἀπόκρ. Οὐχί· ἀλλὰ διαφορά ἐστιν. ἡ ἀποκάλυψις (1) πολλάκις λέγεται κατὰ τῶν δύω· διότι γὰρ τὸ κρυπτὸν φανεροῦται, πᾶσα ὅρασις λέγεται ἀποκάλυψις· ἡ ἀποκάλυψις δὲ, οὐ λέγεται ὅρασις. ἡ ἀποκάλυψις γὰρ ὡς ἐπὶ τὸ πολὺ περὶ τῶν γινωσκομένων, καὶ ὑπὸ τοῦ νοῦ γνωρομένων, καὶ νοουμένων λαμβάνεται. ἡ ὅρασις δὲ ἐκ παντὸς τρόπου γίνεται, ὡς ἐν εἰκόνι καὶ τύποις, ὥσπερ πάλαι πρὸς τοὺς ἀρχαίους ἐγίνετο, ὡς ἐν ὕπνῳ βαθεῖ, ἢ ἐν ἐγρηγόρσει. καὶ ποτὲ μὲν, ἀκριβῶς· ποτὲ δὲ, ὡς ἐν φάσματι, καὶ ἀμυδρῶς πως. διὸ καὶ αὐτὸς ὁ ὁρῶν πολλάκις οὐ γινώσκει, εἴτε ἐγρηγορῶν θεωρεῖ, εἴτε καθεύδων. ἔστι δὲ καὶ διὰ φωνῆς ἀκούειν ἀντιλήψεως, ποτὲ δὲ καὶ τύπον τινὰ ὁρᾷν, ποτὲ δὲ τρανώτερον πρόσωπον πρὸς πρόσωπον. καὶ ἡ ὅρασις, καὶ ἡ ὁμιλία, καὶ ἡ ἐρώτησις, καὶ ἡ μετ' αὐτῆς συντυχία δυνάμεις εἰσὶν ἅγιαι, ὁρώμεναι τοῖς ἀξίοις, καὶ τὰς ἀποκαλύψεις ποιοῦσαι. καὶ ἐν τοῖς ἐρημικωτέροις τόποις, καὶ ἐν τοῖς διεστηκόσιν ἀπὸ τῶν ἀνθρώπων αἱ τοιαῦται ὑποθέσεις γίνονται, ὅπου ἀναγκαίως δέεται αὐτῶν ὁ ἄνθρωπος, διὰ τὸ μὴ ἔχειν αὐτὸν ἄλλην ἀντίληψιν, ἢ παράκλησιν ἐκ τόπου. αἱ δὲ ἀποκαλύψεις αἱ ἐν τῷ νοῒ αἰσθανόμεναι διὰ καθαρότητος, καὶ δεκτικαί εἰσι, καὶ μόνων τῶν τελείων καὶ γνωστικῶν ὑπάρχουσιν.

Ἐρώτ. 20 Εἰ ἔφθασέ τις εἰς τὴν καθαρότητα τῆς καρδίας, τί ἐστι τὸ σημεῖον αὐτῆς; καὶ πότε γινώσκει ὁ ἄνθρωπος, ὅτι ἦλθεν ἡ καρδία αὐτοῦ εἰς καθαρότητα;

Ἀπόκρ. Ὅταν πάντας ἀνθρώπους καλοὺς θεωρῇ, καὶ οὐ φαίνηταί τις αὐτῷ ἀκάθαρτος καὶ βέβηλος, τότε ἐστὶν ἀληθῶς καθαρὸς

(1) Ἴσ. ἡ ὅρασις.

θαρὸς τῇ καρδίᾳ. πῶς γὰρ πληρῦται ὁ λόγος τῦ Ἀποςόλυ ὁ φάσκων, τὸ ὑπερέχοντας ἑαυτῶν ἡγεῖσθαι πάντας ἐπίσης, ἐξ εἰλικρινῦς καρδίας, ἐὰν μὴ φθάσῃ τὸ εἰρημένον· ὅτι ὀφθαλμὸς ἀγαθὸς ἐκ ὄψεται πονηρά;

Φιλιπ. β. γ. Ἀββακ. α. γ.

21 Ἐρώτ. Τί ἐςιν ἡ καθαρότης; καὶ ἕως πότε ὁ ὅρος αὐτῆς;

Ἀπόκρ. Ἡ καθαρότης ἐςὶν ἡ λήθη τῶν τρόπων τῆς γνώσεως τῶν παρὰ φύσιν, τῶν ἐν τῷ κόσμῳ εὑρεθέντων ὑπὸ τῆς φύσεως. ὁ ὅρος δὲ τῦ ἐλευθερωθῆναι, καὶ ἔξω αὐτῶν εὑρεθῆναι, ὗτός ἐςι· τὸ ἐλθεῖν τὸν ἄνθρωπον εἰς τὴν πρώτην τῆς φύσεως αὐτῦ ἁπλότητα καὶ ἀκακίαν, καὶ ὡς νήπιόν τινα γενέσθαι, χωρὶς τῶν ἐλαττωμάτων μόνον τῦ νηπίυ.

22 Ἐρώτ. Καὶ ἐνδέχεταί τινα εἰσελθεῖν εἰς τὴν τάξιν ταύτην;

Ἀπόκρ. Ναί. ἰδὲ γὰρ ἦλθόν τινες εἰς τὸ μέτρον τῦτο, ὥσπερ δὴ καὶ ὁ ἀββᾶς Σισόης ἦλθεν εἰς τὸ μέτρον τῦτο, ὡς καὶ τὸν μαθητὴν, εἰ ἔφαγον ἐρωτᾷν, ἢ ἐκ ἔφαγε. καὶ ἄλλος τὶς τῶν πατέρων ἦλθεν εἰς τοιαύτην ἁπλότητα ϗ ἀκεραιότητα μικρῦ δεῖν τῶν νηπίων, ὥςε ἐπιλαθέσθαι αὐτὸν τῶν ὧδε παντελῶς, τοσῦτον ὡς καὶ ἐσθίειν αὐτὸν πρὸ τῆς μεταλήψεως, εἰ μήτιγε ὑπὸ τῶν μαθητῶν αὐτῦ ἐκωλύετο. καὶ ἦγον αὐτὸν ὡς νήπιον οἱ μαθηταὶ αὐτῦ κοινωνῆσαι. καὶ τῷ μὲν κόσμῳ, νήπιος ἦν· τὴν δὲ ψυχὴν, πρὸς Θεὸν τέλειος.

23 Ἐρώτ. Ποίαν μελέτην ϗ ἀδολεσχίαν δεῖ ἔχειν τὸν ἀσκητὴν ἐν τῷ ἡσυχαςηρίῳ αὐτῦ καθήμενον ἐν ἡσυχίᾳ; καὶ τί ὀφείλει διηνεκῶς ἐργάζεσθαι, ἵνα μὴ σχολάσῃ ὁ νῦς αὐτῦ εἰς λογισμὺς ματαίυς;

Ἀπόκρ. Περὶ μελέτης καὶ ἀδολεσχίας ἐρωτᾷς, πῶς γίνεται ὁ ἄνθρωπος νεκρὸς ἐν τῷ κελλίῳ αὐτῦ; ἄνθρωπος ἄρα σπυδαῖος, καὶ

ὁ νήφων τῇ ψυχῇ, ἐρωτήσεως δεῖται, καθ' ἑαυτὸν ὑπάρχων. πῶς διάξει; τί γὰρ ἄλλο ἐστὶν ἡ μελέτη τοῦ Μοναχοῦ ἐν τῷ κελλίῳ αὐτοῦ, εἰ μὴ ὁ κλαυθμός; ἐκ τοῦ κλαυθμοῦ ἆρά γε εὐκαιρεῖ πρὸς ἄλλον λογισμὸν ἀτενίσαι; καὶ ποία μελέτη κρείσσων ταύτης ὑπάρχει; αὐτὸ γὰρ τὸ κάθισμα τοῦ Μοναχοῦ, καὶ ἡ μόνωσις αὐτοῦ, τὴν ὁμοίωσιν τῆς ἐν τῷ τάφῳ διαγωγῆς, τῆς ἀπεχθείσης ἀπὸ τῆς χαρᾶς τῶν ἀνθρώπων διδάσκει αὐτόν. ὅτι τὸ πένθος ἐστὶν ἡ πρᾶξις αὐτοῦ. καὶ αὐτὴ γὰρ ἡ ἐπωνυμία τοῦ ὀνόματος αὐτοῦ εἰς τοῦτο καὶ παρακαλεῖ καὶ προτρέπεται αὐτόν. πενθικὸς γὰρ ὀνομάζεται, τουτέστι πικρὸς τῇ καρδίᾳ. καὶ πάντες δὲ οἱ ἅγιοι πενθοῦντες ἐξεδήμησαν ἐκ τοῦ βίου τούτου. καὶ εἰ οἱ ἅγιοι ἐπένθουν, καὶ τὰ ὄμματα αὐτῶν ἐπληροῦντο ἀεὶ τῶν δακρύων, ἕως ἐκ τοῦ βίου τούτου ἐξεδήμησαν, τίς μὴ κλαύσῃ; ἡ παράκλησις τοῦ Μοναχοῦ ἐκ τοῦ κλαυθμοῦ αὐτοῦ τίκτεται. καὶ εἰ οἱ τέλειοι καὶ νικηφόροι ἔκλαυσαν ὧδε, ὁ πεπληρωμένος τραυμάτων, πῶς ὑποίσει ἡσυχάσαι ἐκ τοῦ κλαυθμοῦ; ὁ ἔχων τὸν νεκρὸν αὐτοῦ ἔμπροσθεν αὐτοῦ κείμενον, καὶ αὐτὸς ἑαυτὸν νενεκρωμένον ὁρῶν ταῖς ἁμαρτίαις, χρήζει διδασκαλίας, ποίῳ λογισμῷ χρήσεται τοῖς δάκρυσιν; ἡ ψυχή σου τεθανατωμένη ταῖς ἁμαρτίαις, καὶ κειμένη ἐνώπιόν σου, ἥτις βελτιωτέρα ἐστὶ παρὰ σοὶ ὑπὲρ ὅλον τὸν κόσμον, καὶ οὐ δέεται κλαυθμοῦ; ἐὰν οὖν εἰς τὴν ἡσυχίαν εἰσέλθωμεν, καὶ ἐν αὐτῇ καρτερήσωμεν μεθ' ὑπομονῆς, πάντως δυνάμεθα διαμεῖναι ἐν τῷ κλαυθμῷ. διὰ τοῦτο ἐν διανοίᾳ συνεχεῖ δεηθῶμεν τοῦ Κυρίου, ὅπως τοῦτο παράσχῃ ἡμῖν. ἐὰν γὰρ ταύτην τὴν χάριν κομισώμεθα τὴν κρείττονα τῶν λοιπῶν χαρισμάτων καὶ ὑπερβάλλουσαν, δι' αὐτῆς εἰς τὴν καθαρότητα εἰσερχόμεθα. καὶ

ὅταν

ὅταν εἰσέλθωμεν εἰς αὐτὴν, ἔκτοτε ἐ μὴ ἀρθῇ ἀφ' ἡμῶν ἡ καθαρότης, ἕως τῆς ἐξόδε ἡμῶν τῆς ἐκ τε βίε τέτε.

Μακάριοι ἐν οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι ἐκ ἔςι καιρὸς, ἐν ᾧ ἐκ ἀπολαύεσι τῆς τρυφῆς τῶν δακρύων ταύτης, καὶ ἐν αὐτῇ ἀεὶ ὁρῶσι τὸν Κύριον· καὶ ἔτι τῶν δακρύων ἐν τοῖς ὀφθαλμοῖς αὐτῶν, ἀξιενται τῆς θεωρίας τῶν ἀποκαλύψεων αὐτε ἐν τῷ ὕψει τῆς προσευχῆς αὐτῶν, καὶ ἐκ ἔςιν αὐτοῖς εὐχὴ ἐκτὸς δακρύων. καὶ τετό ἐςι τὸ εἰρημένον ὑπὸ τε Κυρίε· ὅτι μακάριοι οἱ πενθεντες, ὅτι αὐτοὶ παρακληθήσονται. ἐκ τε πάθες γάρ ἔρχεταί τις εἰς τὴν καθαρότητα τῆς ψυχῆς. διὰ τετο εἰπὼν ὁ Κύριος, ὅτι αὐτοὶ παρακληθήσονται, ἐκ ἡρμήνευσε ποίαν παράκλησιν. ὅταν γὰρ ἀξιωθῇ ὁ Μοναχὸς διὰ τῶν δακρύων περάσαι τὴν χώραν τῶν παθῶν, καὶ καταντῆσαι εἰς τὴν πεδιάδα τῆς καθαρότητος τῆς ψυχῆς, τότε ἀπαντᾷ αὐτῷ ἡ τοιαύτη παράκλησις. εἴτις ἐν διαπερᾷ ἐκ τῶν ἐφευρόντων αὐτὴν ἐνταῦθα, καὶ ἐν ταύτῃ ἀπαντᾷ τῇ παρακλήσει τῇ μὴ εὑρισκομένῃ ὧδε, καὶ τότε συνιεῖ ποίαν παράκλησιν τὸ τέλος τε πάθες ὑποδέχεται, ἣν διὰ τῆς καθαρότητος ὁ Θεὸς τοῖς πενθεσι δίδωσι. διότι ἐκ ἐνδέχεταί τινα ἀδιαλείπτως πενθεντα, ὑπὸ τῶν παθῶν διοχλεῖσθαι. ἀπαθῶν γὰρ τετό ἐςι τὸ χάρισμα, τὸ δακρύειν καὶ πενθεῖν. καὶ εἰ τὸν πρὸς καιρὸν πενθεντα καὶ κλαίοντα δύνανται τὰ δάκρυα ἐ μόνον ὁδηγῆσαι πρὸς ἀπάθειαν, ἀλλὰ καὶ τὸν νεν αὐτε παντελῶς ἀπαλεῖψαι, καὶ τῶν παθῶν τῆς μνήμης ἀπαλλάξαι, τί εἴπωμεν περὶ τῶν νυκτὸς καὶ ἡμέρας ἐν γνώσει ἐχόντων τὴν ἐργασίαν ταύτην; τὴν ἐκ τε κλαυθμε ἐν γινομένην βοήθειαν ἐδεὶς γινώσκει, εἰ μὴ μόνοι ἐκεῖνοι, οἱ ἐκδεδωκότες τὰς ἑαυτῶν

Ματθ. ε. δ.

ψυχὰς

ψυχὰς εἰς τὸ ἔργον τοῦτο. πάντες οἱ ἅγιοι ἐφίενται τῆς εἰσόδου ταύτης, ὅτι διὰ τῶν δακρύων ἀνοίγεται ἡ θύρα ἔμπροσθεν αὐτῶν, τοῦ εἰσελθεῖν εἰς τὴν χώραν τῆς παρακλήσεως, ἐν ᾗ χώρᾳ τὰ χρηστότατα ἴχνη τοῦ Θεοῦ καὶ σωτήρια εἰκονίζονται δι' ἀποκαλύψεων.

Διὰ τὸ εἶναί τινας ἀδυνάτως ἔχοντας πρὸς τὸ ἀδιαλείπτως πενθεῖν διὰ τὴν ἀσθένειαν τοῦ σώματος, τί δεῖ ἔχειν αὐτοὺς πρὸς φυλακὴν τοῦ νοὸς, ἵνα μὴ τὰ πάθη, σχολάσαντος αὐτοῦ, ἐπαναστῶσιν αὐτῷ; 'Ερώτ. 24

Οὐ δύνανται τὰ πάθη ἐπαναστῆναι κατὰ τῆς ψυχῆς, καὶ ταράξαι τὸν ἀσκητὴν, σχολαζούσης τῆς καρδίας ἐκ τῶν τοῦ βίου ἐν τῇ ἀναχωρήσει αὐτοῦ τῇ ἀπεχούσῃ ἀπὸ παντὸς περισπασμοῦ, εἰ μὴ ῥαθυμήσῃ καὶ ἀμελήσῃ ἐκ τῶν δεόντων. ἐξαιρέτως γὰρ ἐὰν σχολάσῃ ἐν τῇ μελέτῃ τῶν θείων γραφῶν, διὰ τῆς ἐξετάσεως τῶν νοημάτων αὐτῶν ἀνενόχλητος διαμένει ἀπὸ τῶν παθῶν αὐτός. διὰ γὰρ τὴν πλεονάζουσαν καὶ διαμένουσαν ἐν αὐτῷ κατανόησιν τῶν θείων γραφῶν, δραπετεύουσιν ἐξ αὐτοῦ οἱ μάταιοι λογισμοὶ, καὶ οὐ δύναται ὁ νοῦς αὐτοῦ ἀποστῆναι ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν, ἤτοι τῆς ἐνθυμήσεως, οὐδὲ προσέχειν τῷ βίῳ τούτῳ τὸ σύνολον, διὰ τὴν μεγίστην ἡδονὴν τῆς ἀδολεσχίας αὐτοῦ ὑπεραιρόμενος τούτων ἐν τῇ πολλῇ ἡσυχίᾳ αὐτοῦ τῇ ἐν τῇ ἐρήμῳ. ὅθεν καὶ ἐπιλήσμων γίνεται ἑαυτοῦ, καὶ τῆς φύσεως αὐτοῦ, καὶ γίνεται ὥσπερ ἄνθρωπος ἐξεστηκὼς, μὴ ποιούμενος μνήμην τοῦ αἰῶνος τούτου παντελῶς. ἐξαιρέτως ἀδολεσχῶν, καὶ διανοούμενος τὰ περὶ τῆς μεγαλωσύνης τοῦ Θεοῦ, καὶ λέγων· δόξα τῇ Θεότητι αὐτοῦ. καὶ πάλιν, δόξα τοῖς θαυμασίοις αὐτοῦ. παράδοξα καὶ ἐξαίσια ἅπαντα τὰ 'Απόκρ.

ἔργα

ἔργα αὐτȣ· εἰς οἷον ὕψος τὴν ἐμὴν εὐτέλειαν ἀνήγαγεν, εἰς οἷα ἠξίωσέ με ἀδολεσχεῖν, καὶ ἐν ποίοις λογισμοῖς κατατολμῆσαι, καὶ ἀπολαῦσαι τὴν ἐμὴν ψυχήν. καὶ ἐν τοῖς θαυμασίοις τȣ́τοις ἀναστρεφόμενος, καὶ ἐκπληττόμενος ἀεὶ, μεθύσκεται πάντοτε, καὶ γίνεται ὥσπερ ἐν τῇ μετὰ τὴν ἀνάστασιν διαγωγῇ. πάνυ γὰρ ἡ ἡσυχία συνεργεῖ τῇ χάριτι ταύτῃ. διότι εὑρίσκει χώραν ὁ νȣ̃ς αὐτȣ, διαμεῖναι ἐν ἑαυτῷ ἐν τῇ εἰρήνῃ τῇ εὑρεθείσῃ αὐτῷ ἐκ τῆς ἡσυχίας. σὺν τȣ́τοις δὲ, καὶ ἐντεῦθεν κινεῖται εἰς μνήμην κατὰ τὴν θέσιν τῆς διαγωγῆς αὐτȣ. καὶ γὰρ λαμβάνων κατὰ νȣ̃ν τὴν δόξαν τȣ̃ μέλλοντος αἰῶνος, καὶ τὴν ἐλπίδα τὴν ἀποκειμένην τοῖς δικαίοις τοῖς ἐν τῇ ζωῇ ἐκείνῃ τῇ πνευματικῇ, καὶ ἐν Θεῷ κινȣμένοις, καὶ τὴν καινὴν ἐκείνην ἀποκατάστασιν, ȣ̓κ ἐνθυμεῖται, ȣ̓δὲ μνημονεύει τῶν τȣ̃ κόσμȣ τȣ́τȣ. καὶ ὅταν ἐν τȣ́τοις μεθυσθῇ, πάλιν μετανίσταται ἐκεῖθεν ἐν θεωρίᾳ αὐτȣ̃ περὶ τȣ̃ αἰῶνος τȣ́τȣ, ἐν ᾧ ἐστὶν ἀκμήν, καὶ λέγει ἐκπληκτικῶς· ὦ βάθος πλȣ́τȣ, καὶ σοφίας, καὶ γνώσεως, καὶ συνέσεως, καὶ φρονήσεως, καὶ οἰκονομίας τȣ̃ ἀνεξιχνιάστȣ Θεȣ̃. ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτȣ̃, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτȣ̃. ἡνίκα γὰρ αἰῶνα ἄλλον τοιȣ̃τον θαυμαστὸν ἡτοίμασεν, ἵνα εἰς αὐτὸν εἰσάξῃ πάντας τȣ̀ς λογικȣ̀ς, καὶ φυλάξῃ αὐτȣ̀ς ἐν τῇ ἀπεράντῳ ζωῇ, τίς ἡ αἰτία ἄρα τȣ̃ ποιῆσαι αὐτὸν τὸν κόσμον τȣ̃τον πρῶτον, καὶ πλατῦναι αὐτὸν, καὶ πλȣτῆσαι τȣ̃τον ȣ̔́τως ἐν τῷ πυκασμῷ καὶ τῷ πλήθει τῶν εἰδῶν καὶ τῶν φύσεων, καὶ θέσθαι ἐν αὐτῷ αἰτίας, καὶ ὕλας, καὶ ἀνταγωνίσματα τῶν πολλῶν παθῶν; καὶ πῶς ἐν πρώτοις ἔθετο ἡμᾶς ἐν αὐτῷ, καὶ ἔπηξεν ἐν ἡμῖν τὴν ἀγάπην τῆς πολυζωΐας αὐτȣ̃, καὶ ἐξαίφνης μεταίρει ἡμᾶς ἐξ αὐτȣ̃

Ῥωμ. ια. λγ. (margin note)

διὰ

διὰ θανάτου, καὶ διαφυλάττει ἡμᾶς καιρὸν οὐ μικρὸν ἐν ἀναισθησίᾳ καὶ ἀκινησίᾳ, καὶ ἀφανίζει τὰς μορφὰς ἡμῶν, καὶ ἐκχέει τὴν κρᾶσιν ἡμῶν, καὶ συμμίσγει αὐτὴν ἐν τῇ γῇ, καὶ παραχωρεῖ καταλυθῆναι, καὶ ἐκτακῆναι, καὶ ῥυῆναι τὴν κατασκευὴν ἡμῶν, ἕως οὗ παντελῶς ἀπογένηται τῆς ἀνθρωπίνης κατασκευῆς· καὶ τότε ἐν τῷ καιρῷ, ἐν ᾧ ὥρισεν ἐν τῇ προσκυνητῇ σοφίᾳ αὐτοῦ, ὅτε θέλει, ἐγερεῖ ἡμᾶς ἐν σχήματι ἄλλῳ, ἐν ᾧ γινώσκει, καὶ εἰσφέρει ἡμᾶς εἰς κατάστασιν ἄλλην. ταῦτα δὲ οὐχ ἡμεῖς μόνοι οἱ ἄνθρωποι ἐλπίζομεν, ἀλλὰ καὶ αὐτοὶ οἱ ἅγιοι Ἄγγελοι, οἱ μὴ ἔχοντες χρείαν τοῦ κόσμου τούτου, διὰ τὸ παράδοξον τῆς φύσεως αὐτῶν παρὰ βραχύ τι τῆς τελειότητος ὄντες, ἐκδέχονται τὴν ἡμῶν ἔγερσιν ἐκ τῆς φθορᾶς· τὸ, πότε ἐγείρεται τὸ γένος ἡμῶν ἐκ τοῦ χοὸς, καὶ ἀνακαινίζεται ἡ φθορὰ αὐτοῦ. δι᾽ ἡμᾶς γὰρ ἐκ τῆς εἰσαγωγῆς κωλύονται· ὅτι ἐφάπαξ τὴν ἄνοιξιν τῆς θύρας τοῦ καινοῦ αἰῶνος ἐκδέχονται. καὶ γὰρ ἡ κτίσις αὕτη τῶν Ἀγγέλων μεθ᾽ ἡμῶν ἀναπαύσεται ἐκ τῆς βαρύτητος τοῦ σώματος, τῆς οὔσης ἐν ἡμῖν, ὡς λέγει ὁ Ἀπόστολος· καὶ ὅτι καὶ αὐτὴ ἡ κτίσις τὴν ἀποκά-
» λυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται, ὅπως ἐλευθερωθῇ ἐκ
» τῆς δουλείας τῆς φθορᾶς ἐν τῇ ἐλευθερίᾳ τῆς δόξης τῶν τέ-
» κνων τοῦ Θεοῦ, μετὰ τὴν παντελῆ κατάλυσιν τοῦ αἰῶνος τούτου ἐξ ὅλης τῆς καταστάσεως αὐτοῦ, καὶ ἀποκατασταθῆναι τὴν φύσιν ἡμῶν ἐν τῇ πρώτῃ καταστάσει.

Ῥωμ. η. κα.

Καὶ λοιπὸν ἐκ τούτου ὑψοῦται ἐν τῷ νοῒ αὐτοῦ εἰς τὰ πρὸ καταβολῆς τοῦ κόσμου τούτου, ὅτε οὐκ ἦν κτίσις τὶς, οὔτε οὐρανὸς, οὔτε γῆ, οὔτε Ἄγγελοι, οὐδὲ ἓν τῶν γεγονότων· καὶ πῶς ἐξαίφνης τὰ πάντα ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήγαγεν ἐν τῷ εὐ-

 δοκῆσαι

δοκιμάσαι αὐτὸν μόνον. καὶ πᾶν πρᾶγμα τετελειωμένον παρέσει ἐνώπιον αὐτοῦ. καὶ αὖθις κάτεισιν ἐν τῷ νοῒ αὐτοῦ ἐπὶ πάσας τὰς δημιουργίας τοῦ Θεοῦ, καὶ προσέχει εἰς τὰς θαυματουργίας τῶν κτισμάτων αὐτοῦ, καὶ εἰς τὴν σοφίαν τῶν ποιημάτων αὐτοῦ, λέγων ἐν ἐκπλήξει καθ' ἑαυτόν· ὢ τοῦ θαύματος, πῶς ἡ οἰκονομία αὐτοῦ, καὶ ἡ πρόνοια ὑπερβαίνει πᾶσαν ἔννοιαν, καὶ ἡ θαυμαστὴ αὐτοῦ δύναμις ἰσχυροτέρα πάντων τῶν ποιημάτων αὐτοῦ; καὶ πῶς τὴν κτίσιν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήγαγεν, ἤγουν τὰ πλήθη τῶν διαφόρων πραγμάτων, τὰ ἀναρίθμητα; καὶ πῶς πάλιν μέλλει διαφθεῖραι αὐτὴν ἐκ τῆς θαυμαστῆς ταύτης συνταξίας, καὶ ἐκ τοῦ κάλλους τῶν φύσεων, καὶ ἐκ τοῦ δρόμου τοῦ συντάκτου τῶν κτισμάτων; ὥρας, καὶ καιροὺς, καὶ τὴν συνάφειαν τῆς νυκτὸς καὶ τῆς ἡμέρας, μεταβολὰς συνεργοὺς τοῦ χρόνου, τὰ ἐκ τῆς γῆς ποικίλα ἄνθη, τὰς καλλίστας οἰκοδομὰς τῶν πόλεων, καὶ τὰ ἐν αὐταῖς ὡραῖα παλάτια, καὶ τὸν ταχύτατον τῶν ἀνθρώπων δρόμον, τὴν φύσιν αὐτῶν τὴν μοχθηρὰν ἀπὸ τῆς εἰσόδου αὐτῆς, ἕως τῆς ἐξόδου; καὶ πῶς ἐξαίφνης καταργεῖται ἡ θαυμαστὴ τάξις αὕτη, καὶ ἥξει ἄλλος αἰὼν, καὶ παντελῶς ἡ μνήμη τῆς πρώτης ταύτης κτίσεως οὐκ ἀναβήσεται ἐν καρδίᾳ τινὸς, καὶ ἀλλοίωσις ἄλλη γενήσεται, καὶ ἄλλοι διαλογισμοὶ, καὶ ἄλλη μέριμνα; καὶ πάλιν ἡ τῶν ἀνθρώπων φύσις οὐ μὴ μνημονεύσῃ τοῦ κόσμου τούτου, οὐδὲ τῆς προτέρας ὅλως ἀναστροφῆς αὐτοῦ. δεσμευθήσεται γὰρ ὁ νοῦς αὐτῶν εἰς τὴν θεωρίαν ἐκείνης τῆς καταστάσεως, καὶ οὐ μὴ σχολάσῃ ὁ νοῦς αὐτῶν παλινδρομῆσαι ἔτι πρὸς πάλην αἵματος καὶ σαρκός. σὺν γὰρ τῇ φθορᾷ τοῦ αἰῶνος τούτου, παραυτίκα ἀρχὴν λαμβάνει ὁ μέλλων. καὶ ἐρεῖ τότε

πᾶς

πᾶς ἄνθρωπος τοιαῦτα· ὦ μῆτερ ἡ ἐπιλαθεῖσα ἐκ τῶν τέκνων αὐτῆς, ὧν ἐγέννησε, καὶ ἀνέθρεψε, καὶ ἐσόφισε, καὶ ἐν ῥιπῇ ὀφθαλμοῦ συναγομένων εἰς ἀλλότριον κόλπον, καὶ γινομένων τέκνων ἀληθινῶν τῆς στείρας, τῆς μηδέποτε τεκούσης. εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα εἰς τὰ τέκνα, ἃ ἔτεκέ σοι ἡ γῆ. Ἡσ. νδ. α.

Καὶ τότε ἀδολεσχεῖ ὡς ἐξεστηκώς, καὶ λέγει· ἆρα πόσον καιρὸν συνίσταται οὗτος ὁ αἰών; καὶ πότε ἀρχὴν λαμβάνει ὁ μέλλων; καὶ πόσον ἆρα πάλιν καθεύδουσι τὰ σκηνώματα ταῦτα καιρὸν ἐν τῷ σχήματι τούτῳ, καὶ τὰ σώματα ἔσονται τῷ χοῒ ἅμα συμμεμιγμένα; καὶ πῶς ἆρα γίνεται ἡ διαγωγὴ ἐκείνη; καὶ ἐν ποίᾳ μορφῇ αὕτη ἡ φύσις ἀνίσταται, καὶ συνίσταται; καὶ ἐν ποίῳ τρόπῳ ἔρχεται εἰς τὴν δευτέραν κτίσιν; καὶ ἐν τῷ εἰς ταῦτα καὶ τὰ τοιαῦτα ἀδολεσχεῖν, ἐπιπίπτει ἐπ᾽ αὐτὸν ἔκστασις, καὶ ἔκπληξις, καὶ ἥσυχος σιωπή, εἶθ᾽ οὕτως ἀνίσταται τῇ ὥρᾳ ἐκείνῃ, καὶ γόνυ κλίνει, καὶ εὐχαριστίας ἀναπέμπει, καὶ δοξολογίας μετὰ δακρύων ἱκανῶν τῷ μόνῳ σοφῷ Θεῷ, τῷ ἐν τοῖς πανσόφοις ἔργοις αὐτοῦ δοξαζομένῳ ἀεί.

Μακάριος λοιπὸν, ὅστις τοιούτων ἠξιώθη. μακάριος οὗ ἡ μελέτη αὐτοῦ αὕτη ἐστὶν ἡμέρας τε καὶ νυκτός. μακάριος, ὅστις ἐν τούτοις τε καὶ τοῖς τοιούτοις ἀδολεσχεῖ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. ἐὰν δὲ ἐν τῇ ἀρχῇ τῆς ἡσυχίας αὐτοῦ ὁ ἄνθρωπος οὐκ αἰσθάνηται τῆς δυνάμεως τῶν τοιούτων θεωριῶν, διὰ τὸν μετεωρισμὸν τοῦ νοὸς αὐτοῦ, καὶ οὐ δύναται ἔτι ὑψωθῆναι πρὸς τὰς δυνάμεις τῶν προῤῥηθέντων θαυμασίων τοῦ Θεοῦ, μὴ ἀκηδιάσῃ, καὶ ἐάσῃ τὸ ἤρεμον τῆς ἡσύχου αὐτοῦ διαγωγῆς. οὐδὲ γὰρ εὐθέως ἐν τῷ σπείρειν τὸν ἐργάτην ἐν τῇ γῇ σὺν τῷ σπεῖραι τὸν σπόρον θεωρεῖ καὶ τὸν στάχυν. διότι ἀκολουθεῖ τῷ

ἀσόρῳ ἀκηδία, καὶ κόπος, καὶ πόνος τῶν ἰδίων μελῶν, καὶ ἐκκοπὴ τῶν ἐντέρων, καὶ χωρισμὸς τῶν συνήθων. μετὰ δὲ τὸ ὑπομεῖναι ταῦτα, ἔρχεται καιρὸς ἕτερος, ἐν ᾧ τότε ἥδεται, καὶ σκιρτᾷ, καὶ ἀγάλλεται, καὶ εὐφραίνεται ὁ ἐργάτης. καὶ ποῖος οὗτος; ὅταν ἐσθίῃ ἐκ τοῦ ἄρτου τοῦ ἱδρῶτος αὐτοῦ, καὶ μόνη τετηρημένη ἐν τῇ ἡσυχίᾳ ἡ ἀδολεσχία αὐτοῦ. πολλὴν γὰρ ἡδονὴν καὶ ἀτελεύτητον κινεῖ ἐν τῇ καρδίᾳ, καὶ πρὸς ἔκπληξιν ἀνεκλάλητον ἐλαύνει τὸν νοῦν ταχέως ἡ ἡσυχία, καὶ ἡ ῥηθεῖσα ἐν αὐτῇ ἀδολεσχία μεθ' ὑπομονῆς. καὶ μακάριος ἐκεῖνος, ὅστις καρτερεῖ ἐν αὐτῇ· ὅτι ἐνώπιον τούτου ἠνοίχθη αὕτη ἡ θεόβρυτος πηγὴ, καὶ ἔπιεν ἐκ ταύτης, καὶ ἡδύνθη, καὶ οὐ μὴ παύσηται τοῦ πίνειν ἐξ αὐτῆς ἀεὶ, καὶ πάντοτε, κατὰ πᾶσαν ὥραν τῆς νυκτὸς καὶ τῆς ἡμέρας, ἕως συντελείας καὶ πέρατος τῆς ὅλης ἰδίας προσκαίρου ταύτης ζωῆς.

25 Ἐρώτ. Τί ἐστι τὸ περιεκτικὸν τῶν κόπων ὅλων τοῦ ἔργου τούτου, ἤγουν τῆς ἡσυχίας, ἵνα τὶς καταντήσας εἰς αὐτὸ, μάθῃ ὅτι τὴν τελειότητα τῆς πολιτείας ἔφθασεν;

Ἀπόκρ. Ὅταν ἀξιωθῇ τὶς τῆς διαμονῆς τῆς προσευχῆς. ὅταν γὰρ φθάσῃ ταύτην, πρὸς τὴν ἄκραν πασῶν τῶν ἀρετῶν ἔφθασε, καὶ τοῦ λοιποῦ κατοικητήριον τοῦ ἁγίου πνεύματος ἐγένετο. εἰ γάρ τις τὴν χάριν τοῦ παρακλήτου ἀκριβῶς οὐκ ἐδέξατο, τὴν διαμονὴν ταύτης τῆς προσευχῆς τελειῶσαι ἐν ἀνέσει οὐ δύναται. τὸ πνεῦμα γάρ φησιν ὅταν κατοικήσῃ ἔν τινι τῶν ἀνθρώπων, οὐ παύεται ἐκ τῆς προσευχῆς. αὐτὸ γὰρ τὸ πνεῦμα ἀεὶ προσεύχεται. (1) τότε, οὔτε ἐν τῷ καθεύδειν αὐτὸν, οὔτε ἐν

(1) „Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις

ἐν ἐγρηγόρσει ἡ προσευχὴ ἐκ τῆς ψυχῆς αὐτοῦ κόπτεται· ἀλλ' ἐὰν ἐσθίῃ, καὶ ἐὰν πίνῃ, καὶ ἐὰν κοιμᾶται, καὶ ἐάντι πράττῃ, καὶ ἕως ἐν βαθεῖ ὕπνῳ αἱ εὐωδίαι καὶ οἱ ἀτμοὶ τῆς προσευχῆς ἐν τῇ καρδίᾳ αὐτοῦ ἀναδίδονται ἄνευ κόπου. καὶ χωρισμὸν τότε ἡ προσευχὴ οὐκ ἔχει, ἀλλὰ πάσας τὰς ὥρας αὐτοῦ, κἂν ἡσυχάσῃ ἔξωθεν αὐτοῦ ἡ τοιαύτη, ἀλλ' οὖν πάλιν ἡ αὐτὴ λειτουργεῖ ἐν αὐτῷ κρυπτῶς. τὴν σιγὴν γὰρ τῶν καθαρῶν, προσευχὴν λέγει τὶς τῶν χριστοφόρων. ἐπειδὴ οἱ λογισμοὶ αὐτῶν θεῖαι κινήσεις εἰσίν· αἱ κινήσεις δὲ τῆς καθαρᾶς καρδίας καὶ διανοίας, φωναὶ πραεῖαί εἰσιν, ἐν αἷς κρυπτῶς τῷ κρυπτῷ ψάλλουσιν.

Τίς ἐστιν ἡ πνευματικὴ προσευχή; καὶ πῶς ταύτης ἀξιοῦται ὁ ἀγωνιζόμενος; 'Ερώτ. 26

Ψυχικαὶ κινήσεις εἰσὶ τῇ ἐνεργείᾳ τοῦ ἁγίου πνεύματος κοινωνοῦσαι δι' ἀκριβοῦς ἁγνείας καὶ καθαρότητος. καὶ εἷς ἐκ τῶν μυρίων ἀνθρώπων ταύτης ἀξιοῦται. μυστήριον γὰρ καταστάσεως τῆς μελλούσης καὶ πολιτείας ἐστί· διότι ὑψοῦται, καὶ ἡ φύσις μένει ἐκ τῆς ὅλης κινήσεως καὶ μνήμης τῶν ἐνθάδε ἀνενέργητος. καὶ οὐχὶ προσευχὴν προσεύχεται, ἀλλ' αἰσθήσει αἰσθάνεται ἡ ψυχὴ τῶν πνευματικῶν πραγμάτων τοῦ αἰῶνος ἐκείνου, τῶν ὑπερβαλλόντων τὴν ἔννοιαν τῶν ἀνθρώπων. ἐν οἷς τὸ κατανοῆσαι ἐν αὐτοῖς, διὰ τῆς δυνάμεως τοῦ ἁγίου πνεύματός ἐστιν. ὅπερ ἐστὶν ἡ νοητὴ θεωρία καὶ ἡ κίνησις, καὶ ζήτησις τῆς προσευχῆς ἐστίν· ἀλλ' ἐκ τῆς προσευχῆς ἔλαβεν 'Απόκρ.

ἀφορ-

„ νείαις ἡμῶν. τὸ γὰρ τί προσευξόμεθα καθ' ὃ δεῖ οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ
„ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. 'Ρωμ. η. κϛ.

ἀφορμήν. διὰ τοῦτο γὰρ καὶ τινες τοιοῦται τὴν τελειότητα ἤδη τῆς καθαρότητος ἔφθασαν. καὶ οὐκ ἔστιν ὥρα, ἐν ᾗ ἡ κίνησις αὐτῶν ἡ ἐσωτέρα οὐκ ἔστιν ἐν προσευχῇ, ὡς προείπομεν. καὶ ὅτε παρακύψει τὸ πνεῦμα τὸ ἅγιον, ἐν προσευχῇ εὑρίσκει τούτους ἀεί. καὶ ἐξ αὐτῆς τῆς προσευχῆς ἐκφέρει αὐτοὺς πρὸς θεωρίαν, ἥτις λέγεται πνευματικὴ ὅρασις. οὐ χρήζουσι γὰρ σχήματος μακρᾶς προσευχῆς, οὐδὲ στάσεως καὶ τάξεως τῆς πολλῆς λειτουργίας. ἀρκεῖ γὰρ αὐτοῖς ἡ μνήμη τοῦ Θεοῦ, καὶ εὐθὺς αἰχμαλωτίζονται ἐν τῇ ἀγάπῃ αὐτοῦ. ὅμως τῆς στάσεως τῆς προσευχῆς τῆς εἰς τέλος οὐκ ἀμελοῦσιν, ἡνίκα τὴν τιμὴν μερίζουσι τῇ προσευχῇ, καὶ ἵστανται τοῖς ποσὶν εἰς τὰς δεδηλωμένας ὥρας, ἐκτὸς τῆς ἀδιαλείπτου.

Εἴδομεν γὰρ τὸν ἅγιον Ἀντώνιον (1) ἱστάμενον ἐν τῇ εὐχῇ τῆς ἐννάτης ὥρας, ὅτι ᾐσθάνετο τὸν νοῦν αὐτοῦ ὑψωθέντα. καὶ ἄλλος ἐκ τῶν πατέρων ἐκτείνας τὰς χεῖρας ἱστάμενος ἐν τῇ προσευχῇ αὐτοῦ, ἦλθεν εἰς ἔκστασιν τέσσαρας ἡμέρας. καὶ ἄλλοι πολλοὶ οὕτως ἐν τῷ προσεύχεσθαι, ἀπὸ τῆς πολλῆς μνήμης τοῦ Θεοῦ, καὶ τῆς ἀγάπης αὐτοῦ ᾐχμαλωτίζοντο, καὶ εἰς ἔκστασιν ἤρχοντο. ἀξιοῦται δὲ ὁ ἄνθρωπος ταύτης, ὅταν ἀποδύηται τὴν ἁμαρτίαν ἔσωθεν καὶ ἔξωθεν διὰ τῆς φυλακῆς τῶν ἐντολῶν τοῦ Κυρίου, τῶν ἐναντίων τῆς ἁμαρτίας. ἅστινας ἐντολάς,

ἐάν τις

(1) Ὁ μὲν Ἀντώνιος ὁ ἐπικληθεὶς μέγας, οὗ τὸν βίον ὁ θεῖος συνέγραψεν Ἀθανάσιος, ἐν ἔτει σωτηρίῳ τνζ. τῶν τῇδε μετέστη· (Φαβρίκ. ἐν βιβλ. ε. σελ. τμδ. τῆς ἑλλην. βιβλιοθ.) ὁ δὲ Ἰσαὰκ ὁ Σύρος, περὶ τὸ φλδ. ἔτος ἤκμασε. πῶς οὖν φησὶν εἴδομεν γὰρ τὸν ἅγιον Ἀντώνιον; ἤτοι περὶ ἄλλου τινὸς Ἀντωνίου ὁ λόγος αὐτοῦ ἐστὶν, ἢ τὸ εἴδομεν, οὐ τὸ ἑωράκαμεν σημαίνει, ἀλλὰ τὸ ἠκούσαμεν, ἢ τὸ παρελάβομεν.

ἐάν τις ἀγαπήσῃ, καὶ κατὰ τάξιν αὐταῖς χρήσηται, ἐξ ἀνάγκης αὐτῷ γίνεται τὸ τῶν πολλῶν ἀνθρωπίνων πραγμάτων ὑπεξελθεῖν, τουτέστι τὸ σῶμα ἀπεκδύσασθαι, καὶ ἔξωθεν αὐτοῦ γενέσθαι, ὡς εἰπεῖν, οὐ τὴν φύσιν, ἀλλὰ τὴν χρείαν. οὐκ ἔστι τὶς ἐν τῷ τρόπῳ τοῦ νομοθέτου ἀναστρεφόμενος, καὶ ταῖς ἐντολαῖς τούτου χρώμενος, καὶ ἀπέμεινεν ἡ ἁμαρτία ἐν αὐτῷ. διὰ
» τοῦτο ὁ Κύριος μονὴν παρ' αὐτῷ ποιεῖν τῷ τὰς ἐντολὰς φυ-
» λάξαντι ὑπέσχετο ἐν τῷ εὐαγγελίῳ. Ἰωάν. ιδ. κγ.

Ποία ἐστὶν ἡ τελειότης τῶν πολλῶν καρπῶν τοῦ πνεύματος; Ἐρώτ. 27

Ὅταν τὶς ἀξιωθῇ τῆς τελείας ἀγάπης τοῦ Θεοῦ. Ἀπόκρ.

Καὶ πόθεν γινώσκει τὶς, ὅτι ἔφθασεν εἰς ταύτην; Ἐρώτ. 28

Ὅταν κινηθῇ ἡ μνήμη τοῦ Θεοῦ ἐν τῇ διανοίᾳ αὐτοῦ, εὐθέως ἡ καρδία αὐτοῦ κινεῖται ἐν τῇ ἀγάπῃ αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ καταφέρουσι δάκρυα δαψιλῶς. ἔθος γὰρ ἔχει ἡ ἀγάπη ἐκ τῆς μνήμης τῶν ἀγαπητῶν ἐξάπτειν δάκρυα. καὶ τοιοῦτος ὢν, οὐδέποτε ὑστερεῖται ἐκ τῶν δακρύων. διότι οὐ λείπει αὐτῷ ἀεὶ ὕλη φέρουσα αὐτὸν εἰς μνήμην τοῦ Θεοῦ. ὥστε καὶ ἐν τῷ ὕπνῳ αὐτοῦ συνομιλεῖ τῷ Θεῷ. ἔθος γὰρ τῇ ἀγάπῃ πράξαι τὰ τοιαῦτα. καὶ αὕτη ἐστὶν ἡ τελειότης τῶν ἀνθρώπων ἐν τῇ ζωῇ αὐτῶν ταύτῃ. Ἀπόκρ.

Ἐὰν μετὰ τὸν πολὺν κόπον, καὶ μόχθον, καὶ ἀγῶνα, ὃν ἐκτήσατο ὁ ἄνθρωπος ἀναιδεύνηται ὁ λογισμὸς τῆς ὑπερηφανίας προσβαλεῖν αὐτῷ, διότι ὕλην ἔλαβεν ἐκ τοῦ κάλλους τῶν ἀρετῶν αὐτοῦ, καὶ λογίζηται τὸν πολὺν κόπον, ὃν ὑπέμεινεν, ἐν τίνι κρατήσῃ τὸν λογισμὸν αὐτοῦ, καὶ ἀσφάλειαν τῇ ψυχῇ αὐτοῦ κλήσηται, τοῦ μὴ πειθῆναι αὐτῷ; Ἐρώτ. 29

Ἀπόκρ. Ὅταν γνῷ τὶς, ὅτι οὕτω πίπτει ἀπὸ τοῦ Θεοῦ ὡς φύλλον ξηρὸν ἐκ δένδρου, τότε γνωρίζει τὴν δύναμιν τῆς ψυχῆς αὐτοῦ. ἐν ἐν τῇ δυνάμει αὐτοῦ ἐκτήσατο τὰς ἀρετὰς ταύτας, καὶ ὑπέμεινεν ὅλους τοὺς ἀγῶνας τοὺς ὑπὲρ αὐτῶν, ἐν τῷ συστεῖλαι τὸν Κύριον τὴν οἰκείαν βοήθειαν ἐξ αὐτοῦ, καὶ αὐτὸν μόνον εἰσελθεῖν μετὰ τοῦ Διαβόλου παραχωρεῖ παλαίσαι, καὶ οὐ συνέρχεται αὐτῷ ὁ Κύριος, ὡς ἔχει ἔθος συνεισελθεῖν μετὰ τῶν ἀγωνιζομένων ἐν τῷ ἀγῶνι αὐτῶν, καὶ συνεργῆσαι· τότε φανεροῦται ἡ δύναμις αὐτοῦ, μᾶλλον δὲ ἡ ἧττα αὐτοῦ, καὶ ἡ ἀπορία αὐτοῦ. ἔστι γὰρ ἡ πρόνοια τοῦ Θεοῦ μετὰ τῶν ἁγίων ἐν παντὶ καιρῷ, φυλάττουσα αὐτοὺς καὶ ἐνισχύουσα. καὶ ἐν αὐτῇ νικᾷ πᾶν τάγμα τῶν ἀνθρώπων, ἐὰν τῷ ἀγῶνι τῆς μαρτυρίας, καὶ τοῖς πάθεσιν αὐτῆς γένηται ἄνθρωπος, καὶ ἐν τοῖς λοιποῖς δυσχερέσι τοῖς ὑπὲρ Θεοῦ γινομένοις, καὶ δι' αὐτὸν ὑπομενομένοις. καὶ ταῦτα δῆλα καὶ φανερά εἰσι, καὶ οὐκ ἔχουσι δισταγμόν. πῶς γὰρ δύναται ἡ φύσις, ἵνα νικήσῃ τὴν δύναμιν τῶν γαργαλισμάτων τῶν ἀπαύστως ἐν τοῖς μέλεσι τῶν ἀνθρώπων κινουμένων, καὶ λυπούντων αὐτοὺς, καὶ νικῆσαι δυναμένων κατὰ κράτος αὐτούς; καὶ πῶς ἄλλοι τὴν νίκην ποθοῦσι καὶ ἀγαπῶσι, καὶ αὐτοὶ οὐ δύνανται ἡνίκα ἀνταγωνίζονται σφοδρῶς, ἀλλὰ καθ' ἑκάστην ἡμέραν ἡττῶνται ἐξ αὐτῶν, καὶ ἐν πόνῳ, καὶ πάθει, καὶ μόχθῳ εἰσὶν ὑπὲρ τῶν ψυχῶν αὐτῶν, σὺ δὲ εὐκόλως δύνασαι βαστάζειν τὰς δυσκολίας τοῦ σώματος, τοσοῦτον δυσχερεῖς οὔσας, καὶ οὐ πολὺ στενοχωρεῖσθαι; καὶ πῶς ἐνδέχεται ἄλλως ἐμπαθὲς σῶμα πρὸς τὴν τομὴν τοῦ σιδήρου παλαίειν, καὶ σύνθλασιν μελῶν ὑπομένειν καὶ πᾶν εἶδος κολάσεως, καὶ οὐχ ἡττᾶσθαι ὑπὸ τῶν παθῶν, ὁ μηδὲ

πληγὴν

πληγὴν ὑπομένων ἀκάνθης κεντῆσαν τὸν ὄνυχα αὐτοῦ, καὶ ταύτης τῆς ποικιλίας τῶν βασάνων μὴ αἰσθανόμενος κατὰ τὸ ἔθος τῆς φύσεως, εἰ μὴ ἑτέρα δύναμις ἐκτὸς τῆς φυσικῆς δυνάμεως ἑτέρωθεν προσεσιν, ἀπείργουσα ἐξ αὐτοῦ τὴν ἰσχὺν τῶν βασάνων; καὶ ἐπειδὴ περὶ τῆς προνοίας τοῦ Θεοῦ διελέχθημεν, οὐκ ὀκνητέον καὶ ἱστορίας τινὸς ψυχωφελοῦς ὑπομνησθῆναι, ὑψούσης τὸν ἄνθρωπον ἐν τοῖς ἀγῶσιν αὐτοῦ.

Νεώτερός τις, ὀνόματι Θεόδωρος, βασανισθεὶς κατὰ παντὸς τοῦ σώματος αὐτοῦ, καὶ ἐρωτηθεὶς ὑπό τινος, πῶς ἤσθου τῶν βασάνων; ἀπεκρίθη, ὅτι ἐν προοιμίοις ᾐσθανόμην, ὕστερον δὲ εἶδόν τινα νεανίσκον, ἀποσπογγίζοντα τὸν ἱδρῶτα τοῦ ἀγῶνός μου, καὶ ἐνισχύοντά με, καὶ παρέχοντά μοι ἀναψυχὴν ἐν τῇ ἀθλήσει μου. ὢ τῶν τοῦ Θεοῦ οἰκτιρμῶν. πόσον ἐγγίζει ἡ χάρις αὐτοῦ τοῖς ἀθλοῦσι διὰ τὸ ὄνομα αὐτοῦ, τοῦ ὑπομένειν μετὰ χαρᾶς ὑπὲρ αὐτοῦ τὰ πάθη.

Διήγησις.

Μὴ ἀγνωμονήσῃς οὖν εἰς τὴν τοῦ Θεοῦ πρόνοιαν, τὴν πρὸς σὲ γινομένην ὦ ἄνθρωπε. ἐὰν δῆλον λοιπὸν ᾖ, ὅτι οὐχὶ σὺ εἶ ὁ νικῶν, ἀλλ' ὑπάρχεις ὥσπερ ὄργανον, καὶ ὁ Κύριός ἐστιν ὁ νικῶν ἐν σοὶ, καὶ σὺ λαμβάνεις τὸ ὄνομα τῆς νίκης δωρεὰν, τίς ἐστιν ὁ κωλύων σε ἐν παντὶ καιρῷ τὴν αὐτὴν δύναμιν αἰτεῖν, καὶ νικῆσαι, καὶ ἐγκωμιασθῆναι, καὶ τῷ Θεῷ ἐξομολογήσασθαι; οὐκ ἤκουσας ἄρα, ὦ ἄνθρωπε, πόσοι ἀθληταὶ ἀπὸ καταβολῆς κόσμου ἐκ τοῦ ὕψους τῶν ἡμερῶν, καὶ ἐκ τοῦ ὕψους τῶν ἀνταγωνισμάτων αὐτῶν πεπτώκασι, πρὸς τὴν χάριν ταύτην ἀγνωμονήσαντες; καθ' ὅσον πολλαὶ καὶ διάφοροί εἰσιν αἱ δωρεαὶ τοῦ Θεοῦ πρὸς τὸ ἀνθρώπινον γένος, κατὰ τοσοῦτον αἱ διαιρέσεις εἰσὶν ἐν τοῖς δεκτικοῖς, πρὸς ἀναλογίαν τῶν δεχο-

μένων αὐτάς. καὶ ἔτι σμικρότης, καὶ μεγαλειότης ἐν ταῖς δωρεαῖς τοῦ Θεοῦ, εἰ καὶ πᾶσαί εἰσιν ὑψηλαὶ καὶ θαυμασαί, ἀλλ᾽ ἐστι μία ὑπερβάλλουσα τὴν ἄλλην ἐν δόξῃ καὶ ἐν τιμῇ. καὶ βαθμός ἐστιν ὑπερέχων βαθμοῦ. καὶ πάλιν τὸ ἀφιερῶσαί τινα ἑαυτὸν τῷ Θεῷ, καὶ τὸ πολιτεύσασθαι ἐν τῇ ἀρετῇ, καὶ τοῦτο ἕν ἐστι τῶν μεγάλων χαρισμάτων τοῦ Χριστοῦ. πολλοὶ γὰρ τῆς χάριτος ταύτης ἐπιλαθόμενοι, ὅτι ἠξιώθησαν ἀφορισθῆναι ἀπὸ τῶν ἀνθρώπων, καὶ τῷ Θεῷ ἀφιερωθῆναι, καὶ τῶν χαρισμάτων αὐτοῦ μέτοχοι καὶ ἀντιλήπτορες γενέσθαι, καὶ ἐκλεχθῆναι, καὶ διακονίας καὶ λειτουργίας τοῦ Θεοῦ ἀξιωθῆναι, ἀντὶ τοῦ εὐχαριστῆσαι τῷ Θεῷ ἀδιαλείπτως ἐν τῷ στόματι αὐτῶν ὑπὲρ τούτων, ἐξέκλιναν εἰς ὑπερηφανίαν καὶ ὑψηλοφροσύνην· καὶ οὐχὶ ὡς λαβόντες τὴν χάριν τῆς λειτουργίας λειτουργῆσαι αὐτῷ ἐν καθαρᾷ πολιτείᾳ, καὶ πνευματικῇ ἐργασίᾳ εἰσίν, ἀλλ᾽ ὡς τῷ Θεῷ χάριν ποιοῦντες, οὕτω λογίζονται· ἀντὶ τοῦ λογίσασθαι, ὅτι προσελάβετο αὐτοὺς ἐκ τῶν ἀνθρώπων, καὶ οἰκείους αὐτοῦ ἀπειργάσατο εἰς γνῶσιν τῶν μυστηρίων αὐτοῦ. καὶ οὐ τρέμουσιν ἐξ ὅλης τῆς ψυχῆς αὐτῶν ταῦτα διαλογιζόμενοι, μάλιστα θεασάμενοι τοὺς πρὸ αὐτῶν ταῦτα λογισαμένους, πῶς ἐξαίφνης ἤρθη ἐξ αὐτῶν τὸ ἀξίωμα, καὶ πῶς ἀπέῤῥιψεν αὐτοὺς ὁ Κύριος ἐν ῥιπῇ ὀφθαλμοῦ ἐκ τῆς μεγίστης, ἧς εἶχον δόξης καὶ τιμῆς· καὶ ἐξέκλιναν εἰς ἀκαθαρσίαν, καὶ ἀσέλγειαν, καὶ εἰς αἰσχρουργίαν κτηνώδει τρόπῳ. ἐπειδὴ γὰρ οὐκ ἔγνωσαν τὴν ἑαυτῶν δύναμιν, οὐδὲ ἀδιαλείπτως ἐμνημόνευον τοῦ δεδωκότος αὐτοῖς τὴν χάριν τοῦ λειτουργεῖν αὐτῷ, καὶ ἔνδον τῆς βασιλείας αὐτοῦ γενέσθαι, καὶ ὁμοδιαίτους τῶν Ἀγγέλων εἶναι, καὶ τῇ ἀγγελικῇ πολιτείᾳ προσπελάσαι

αὐτῷ,

αὐτῷ, ἀπέῤῥιψαν αὐτὲς ἀπὸ τῆς ἐργασίας αὐτῶν, καὶ ἔδειξαν αὐτοῖς ἐν τῇ μεταβολῇ τῆς διαγωγῆς αὐτῶν ἀπὸ τῆς ἡσυχίας, ὅτι ἐκ αὐτῶν ἦν ἡ δύναμις ἐκείνη, τὸ ὑπομεῖναι ἐν ἀστάτοις πολιτείαις, καὶ μὴ ὀχληθῆναι παρὰ τῆς βίας τῆς φύσεως, καὶ τῶν Δαιμόνων, καὶ λοιπῶν ἄλλων ἐναντιωμάτων· ἀλλὰ δύναμις ἦν τῆς χάριτος αὐτῆ, ἐνεργῆσα ἐν αὐτοῖς ἅπερ ὁ κόσμος χωρῆσαι, ἢ ἀκῆσαι ἐ δύναται, διὰ τὴν δυσκολίαν αὐτῶν. ὅτοι δὲ πολὺν καιρὸν ὑπέμειναν ἐν αὐτοῖς, καὶ ἐχ ἡττήθησαν. ἐν οἷς ἦν πάντως δύναμίς τις ἀκολεθῆσα αὐτοῖς, ἱκανῆσα ἐν πᾶσι βοηθῆσαι αὐτοῖς, καὶ ἐν πᾶσι διαφυλάξαι αὐτές. ἐπειδὴ δὲ ἐπελάθοντο ταύτης τῆς δυνάμεως, ἐπληρώθη ἐν αὐτοῖς ὁ εἰρημένος λόγος τῆ Ἀποστόλε.

» καθὼς ἐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει τὸν δεσπότην αὐτῶν, τὸν συνάψαντα τὸν νῆν τῇ λειτεργίᾳ τῇ πνευ- (Ῥωμ. α. κη.)
» ματικῇ, παρέδωκεν αὐτὲς εἰς ἀδόκιμον νῆν, καὶ τὴν ἀτιμίαν,
» ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν αὐτοῖς ἀπέλαβον.

Ἐρώτ. 30

Εἰ ἄρα ἐςι τὶς ἡνίκα τολμήσει δι' ὅλε παραυτίκα ἀποταξόμενος τῇ συνοικήσει τῶν ἀνθρώπων, καὶ ἐξαίφνης ἐξερχόμενος εἰς ἔρημον ἀοίκητον καὶ φοβερὰν μετὰ ζήλε ἀγαθῆ, ἄρα τέτε χάριν λιμῷ ἀποθνήσκει διὰ τὴν ἔνδειαν τῆς σκέπης, καὶ τῶν λοιπῶν χρειῶν;

Ἀπόκρ.

Ὁ ἑτοιμάσας τοῖς ἀλόγοις ζώοις πρὸ τῆ πλάσαι αὐτὰ κατοικητήρια, καὶ ἐπιμέλειαν τῶν χρειῶν αὐτῶν ποιέμενος, ἐ μὴ παρίδῃ τὸ πλάσμα αὐτῆ, ἐξαιρέτως τὲς φοβεμένες αὐτὸν, τὲς ἁπλῶς καὶ ἀπεριέργως ἀκολεθήσαντας αὐτῷ. ὁ τῷ Θεῷ ἀνατιθέμενος τὸ θέλημα αὐτῆ ἐν ἅπασιν, ἐδέποτε μεριμνᾷ περὶ τῆς χρείας τῆ σώματος αὐτῆ, καὶ τῆς ταλαι-

πωρίας καὶ τῆς κακοπαθείας αὐτȣ̃, ἀλλὰ ποθεῖ τȣ̃ ἐμμεῖναι ἐν τῷ κρυπτῷ τῆς πολιτείας, καὶ ὑπομεῖναι τὴν ζωὴν τῆς ταπεινώσεως· ȣ̉χὶ ὡς δειλιῶν τὰς θλίψεις, ἀλλ᾽ ὡς ἡδέα καὶ γλυκέα λογίζεται τὴν ἀλλοτρίωσιν ὅλȣ τȣ̃ κόσμȣ, διὰ τὴν καθαρότητα τῆς πολιτείας, μοχθῶν μεταξὺ βȣνῶν καὶ ὀρέων, καὶ ὡς πλάνος γίνεται ἐν τῇ χώρᾳ τῶν ἀλόγων ζώων, καὶ μὴ καταδεχόμενος ἀναπαύεσθαι σωματικῶς, καὶ ζῆσαι ζωὴν πεπληρωμένην ῥύπων. καὶ ἡνίκα παραδώσει ἑαυτὸν εἰς θάνατον, καθ᾽ ἑκάστην ὥραν πάσχει καὶ προσεύχεται, ἵνα μὴ στερηθῇ τῆς καθαρᾶς πολιτείας τȣ̃ Θεȣ̃. καὶ τότε λαμβάνει παρ᾽ αὐτȣ̃ τὴν βοήθειαν. αὐτῷ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ αὐτὸς ἡμᾶς φυλάξαι ἐν τῇ καθαρότητι αὐτȣ̃, καὶ ἁγιάσαι ἡμᾶς τῷ ἁγιασμῷ τῆς χάριτος τȣ̃ ἁγίȣ πνεύματος, εἰς τιμὴν τȣ̃ ὀνόματος αὐτȣ̃, τȣ̃ δοξάσαι τὸ ἅγιον ὄνομα αὐτȣ̃ ἐν καθαρότητι εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΠΖ.

ΠΕΡΙ ΔΙΑΦΟΡΩΝ ΥΠΟΘΕΣΕΩΝ ΚΑΤ ΕΡΩΤΗΣΙΝ ΚΑΙ ΑΠΟΚΡΙΣΙΝ.

Ἐρώτ. Εἰ καλόν ἐστιν ἐκ πάντων τῶν ἐρεθιζόντων τὰ πάθη μακρύνεσθαι; καὶ εἰ νίκη νομίζεται ἡ τοιαύτη φυγὴ, ἢ ἧττα τῇ ψυχῇ, ἐν τῷ φεύγειν τȣ̀ς πολέμȣς, καὶ ἐπιλέγεσθαι ἑαυτῇ τὴν ἀνάπαυσιν;

Σιωπό-

Ἀπόκρ. Συντόμως πρὸς τοῦτο ἐροῦμεν. δεῖ τὸν Μοναχὸν, ἵνα φεύγῃ ὁλοτελῶς ἐκ πάντων τῶν ἐρεθιζόντων αὐτῷ τὰ πάθη τὰ πονηρὰ, καὶ ἵνα κόψῃ ἐξ ἑαυτοῦ μάλιστα τὰς αἰτίας τῶν παθῶν, καὶ τὴν ὕλην, ἐν ᾗ ἐνεργοῦνται καὶ αὐξάνονται, κἂν καὶ μικρά τινα γίνωνται. εἰ δὲ γίνηται καιρὸς ἀντιστῆναι καὶ παλαῖσαι πρὸς αὐτὰ, καὶ τοῦτο ποιήσωμεν, οὐχὶ ἐν παιγνίῳ, ἀλλὰ τεχνικῶς· ἡνίκα ἐνεδρευόμεθα ἐν τῇ θεωρίᾳ τοῦ πνεύματος, καὶ ἀποστρέψαι δεῖ τὴν διάνοιαν αὐτοῦ ἐξ αὐτῶν ἀεὶ εἰς τὸ φυσικὸν ἀγαθὸν, τὸ τεθὲν ἐν τῇ φύσει ὑπὸ τοῦ δημιουργοῦ, τὸν ἄνθρωπον, κἂν καὶ ὁ διάβολος καταστροφῇ κατέστρεψε τὴν ἀλήθειαν πρὸς πεῖραν πονηράν. καὶ εἰ πρέπον εἰπεῖν, ὅτι οὐκ ἐκ τῆς ὀχλήσεως τῶν παθῶν μόνον, ἀλλὰ καὶ ἐκ τῶν αἰσθήσεων τῶν ἑαυτοῦ φεύγειν αὐτὸν δεῖ, καὶ τοῦ ἐσωτέρου ἀνθρώπου ἑαυτοῦ ἐγγὺς καταδύεσθαι, καὶ ἐκεῖ ἐμμένειν μοναχικῶς ἐν τῇ ἐπιμόνῳ ἐργασίᾳ, τῇ ἐν τῇ ἀμπέλῳ τῆς καρδίας αὐτοῦ, ἕως ἂν συμφωνήσῃ τὰ ἔργα τῷ μοναχικῷ ὀνόματι, τῷ ἐπικληθέντι ἐπ' αὐτῷ ἐν τῷ κρυπτῷ αὐτοῦ, καὶ τῷ φανερῷ. καὶ ἴσως ἐν αὐτῇ τῇ διαμονῇ τῇ ἐγγὺς τοῦ ἔνδον ἀνθρώπου ἑνωθῶμεν ὁλοτελῶς τῇ γνώσει τῆς ἐλπίδος ἡμῶν, Χριστοῦ τοῦ ἐνοικοῦντος ἡμῖν. ὅσον γὰρ ὁ νοῦς ἡμῶν διαμένει ἐκεῖσε μοναστικῶς καὶ ἀναχωρητικῶς, οὐκ αὐτός ἐστιν ὁ πολεμῶν πρὸς τὰ πάθη, ἀλλ' ἡ χάρις. πλὴν ὅτι, οὐδὲ αὐτὰ τὰ πάθη κινοῦνται ἐν αὐτῷ εἰς πρᾶξιν.

Ἐρώτ. Ἐὰν ποιήσῃ ἄνθρωπος τι διὰ τὴν καθαρότητα τῆς ψυχῆς, ἕτεροι δὲ οἱ μὴ νοοῦντες εἰς τὴν πολιτείαν αὐτοῦ τὴν πνευματικὴν σκανδαλίζωνται, δεῖ ἀπέχεσθαι τῆς πολιτείας αὐτοῦ

τῆς

τῆς θεϊκῆς διὰ τὸ σκάνδαλον, ἢ ποιήσει ὅπερ ὠφέλιμον τῷ σκοπῷ τῷ ἑαυτȣ̃, κἂν τοῖς ὁρῶσιν ᾖ ἐπιζήμιον;

Ἀπόκρ. Λέγομεν δὲ καὶ περὶ τȣ́τȣ· ὅτι ἐὰν νομίμως, καθὼς ἐδέξατο παρὰ τῶν πρὸ αὐτȣ̃ πατέρων, ὁτιδήποτε ποιῇ, ὅπερ καθαίρει τὸν νȣ̃ν αὐτȣ̃, καὶ τȣ̃τον τὸν σκοπὸν ἔθηκεν ἐν ἑαυτῷ, τὸ φθάσαι τὴν καθαρότητα, ἕτεροι δὲ, οἱ μὴ ἐπιςάμενοι, εἰς τὸν σκοπὸν αὐτȣ̃ σκανδαλίζωνται, οὐκ αὐτός ἐςιν ὁ ὑπεύθυνος, ἀλλ᾽ αὐτοί. οὐχὶ διὰ τȣ̃το ἐγκρατεύεται, ἢ νηςεύει, ἢ ἐγκλείεται περισσοτέρως, καὶ ποιεῖ ὅπερ ὤφειλε τῷ σκοπῷ αὐτȣ̃, ἵνα ἄλλοι σκανδαλίζωνται, ἀλλ᾽ ἵνα καθαρεύσῃ τὸν ἑαυτȣ̃ νȣ̃ν. οὗτοι δὲ διὰ τὸ μὴ γινώσκειν τὸν σκοπὸν αὐτȣ̃ τῆς πολιτείας, καταμέμφονται αὐτȣ̃, καὶ ὑπεύθυνοι γίνονται τῇ ἀληθείᾳ· διότι οὐχ ἱκανοὶ ἐγένοντο, ἐν ἀμελείᾳ ὄντες, αἰσθηθῆναι τȣ̃ σκοπȣ̃ ἐκείνȣ τȣ̃ πνευματικȣ̃, ὃ ἔθηκεν οὗτος εἰς καθαρότητα τῆς ἑαυτȣ̃ ψυχῆς. περὶ ὧν ὁ μακάριος Παῦλος ἔγραψεν· ὁ λόγος „ ὁ τȣ̃ ςαυρȣ̃ λέγων, τοῖς μὲν ἀπολλυμένοις, μωρία ἐςί. τί οὖν „ ἄρτι, διότι μωρία ὁ λόγος ἐλογίζετο ἐκείνοις ὁ τȣ̃ ςαυρȣ̃, μὴ αἰσθανομένοις εἰς τὴν δύναμιν τȣ̃ λόγȣ, σιωπᾷν ἔδει τὸν Παῦλον κηρύξαι; ἀλλὰ καὶ ἰδȣ̀, ἕως τῆς σήμερον, ἡ ὑπόθεσις τȣ̃ ςαυρȣ̃ πρόσκομμα καὶ σκάνδαλον τοῖς Ἰȣδαίοις τε καὶ τοῖς Ἕλλησι. σιωπῶμεν τοίνυν ἐκ τῆς ἀληθείας, ἵνα μὴ σκανδαλισθῶσιν οὗτοι; Παῦλος γὰρ οὐ μόνον οὐκ ἐσιώπησεν, ἀλλὰ καὶ ἔκραξε λέγων, ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ ςαυρῷ τȣ̃ „ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριςȣ̃. ἡ καύχησις αὕτη ἡ ἐν τῷ ςαυρῷ, οὐχ ἵνα ἄλλȣς σκανδαλίσῃ, διηγήθη παρὰ τȣ̃ ἁγίȣ, ἀλλ᾽ ὡς κηρυττομένης τῆς μεγάλης δυνάμεως τȣ̃ ςαυρȣ̃. καὶ σὺ οὖν

α. Κορινθ. α. ιη.

Γαλ. ς. ιδ

ἀρτίως,

ἀρτίως, ὦ ἅγιε, τελείωσον τὴν πολιτείαν σου ἐν τῷ σκοπῷ, ὃν τέθεικας ἑαυτῷ πρὸς τὸν Θεὸν, ὥστε μὴ κατακρίνεταί σου ἡ συνείδησις, καὶ τὴν πολιτείαν σου κατέναντι τῶν θείων ἐξέτασον, καὶ κατέναντι ὧν ἐδέξω παρὰ τῶν πατέρων τῶν ἁγίων. καὶ ἐὰν μὴ ὑπὸ τούτων κατηγορηθῇς, ἐξ ἐκείνων, περὶ ὧν ἐσκανδαλίσθησαν ἕτεροι μὴ φοβηθῇς. οὐδεὶς γὰρ ἄνθρωπος τοὺς πάντας δύναται ἐπίσης πληροφορῆσαι, ἢ ἀρέσαι, καὶ τῷ Θεῷ ἐργάσασθαι ἐν τῷ κρυπτῷ ἑαυτοῦ.

Μακάριος ὁ Μοναχὸς, ὦ μακάριε, ὁ τρέχων ἐν ἀληθείᾳ ὀπίσω τῆς καθαρότητος τῆς ἑαυτοῦ ψυχῆς ἐν ὅλῃ τῇ ἰσχύϊ αὐτοῦ, καὶ τῇ ὁδῷ τῇ νοουμένῃ, ἐν ᾗ ὥδευσαν οἱ πατέρες ἡμῶν, ὁδεύοντες πρὸς αὐτὴν, καὶ ἐν τοῖς βαθμοῖς αὐτῆς, ἐν οἷς ὥδευσαν ἀναβαίνοντες κατὰ τάξιν καὶ κατὰ βαθμὸν, καὶ ὑψωθήσεται πρὸς τὸν πλησιασμὸν αὐτῆς ἐν σοφίᾳ, καὶ ὑπομονῇ θλίψεως, ἀλλ' οὐκ ἐν τοῖς βαθμοῖς τοῖς ἀλλοτρίοις τῶν μηχανημάτων.

Ἡ καθαρότης τῆς ψυχῆς χάρισμά ἐστι τὸ πρῶτον τῆς φύσεως ἡμῶν. καὶ ἐκτὸς καθαρότητος τῶν παθῶν, οὐ θεραπεύεται ἡ ψυχὴ ἐκ τῶν νόσων τῆς ἁμαρτίας, οὐδὲ κτᾶται τὴν δόξαν, ἣν ἀπώλεσεν ἐν τῇ παραβάσει. ἐὰν δέ τις ἀξιωθῇ τῆς καθάρσεως, ὅπερ ἐστὶν ὑγεία ψυχῆς, ἐν αὐτοῖς τοῖς πράγμασιν ἐνεργητικῶς ὑποδέχεται ὁ νοῦς αὐτοῦ χαρὰν ἐν αἰσθήσει τοῦ πνεύματος. γίνεται γὰρ υἱὸς τοῦ Θεοῦ, καὶ ἀδελφὸς τοῦ Χριστοῦ, καὶ οὐκ εὐκαιρεῖ αἰσθηθῆναι τῶν ἀγαθῶν καὶ τῶν κακῶν τῶν ἀπαντώντων αὐτῷ.

Ὁ δὲ ἔχων τὸν κανόνα τῆς ἡσυχίας αὐτοῦ ἐν ὥρᾳ ἑβδομάδων ἑπτὰ, ἢ καθ' ἑβδομάδα, καὶ μετὰ τὸ πληρῶσαι τὸν κα-

νόνα αὐτῷ ἀπαντᾷ καὶ συμμίσγεται τοῖς ἀνθρώποις, καὶ συμπαραμυθεῖται μετ᾽ αὐτῶν, καὶ ἀμελῶν εἰς τοὺς ἐν θλίψεσιν ὄντας ἑαυτοῦ ἀδελφοὺς, ἡνίκα δοκεῖ κατέχειν ἐν δεσμῷ τὸν ἑβδοματικαῖον κανόνα, οὗτος ἀνηλεὴς καὶ ἀπότομος. καὶ τοῦτο ἔκδηλόν ἐστιν, ὅτι διὰ τὸ μὴ ἔχειν ἐλεημοσύνην αὐτὸν, καὶ ἐκ τῆς οἰήσεως, καὶ ἐκ τῶν ψευδῶν λογισμῶν ἑαυτοῦ τοῖς τοιούτοις κοινωνῆσαι οὐ συγκαταβαίνει πράγμασιν.

Ὁ καταφρονῶν τοῦ ἀσθενοῦς, οὐκ ὄψεται φῶς. καὶ ὁ ἀποστρέφων τὸ ἑαυτοῦ πρόσωπον ἐκ τοῦ ἐν στενοχωρίᾳ ὄντος, ἡ ἡμέρα αὐτοῦ σκοτισθήσεται. καὶ τοῦ καταφρονοῦντος τῆς φωνῆς τοῦ ἐν μόχθῳ ὄντος, οἱ υἱοὶ τῶν οἴκων ἑαυτοῦ ἐν τῇ ἀορασίᾳ ψηλαφήσουσι. μὴ καθυβρίσωμεν τὸ ὄνομα τὸ μέγα τῆς ἡσυχίας ἐν τῇ ἀγνωσίᾳ ἡμῶν. πάσῃ γὰρ πολιτείᾳ καιρός ἐστι, καὶ τόπος, καὶ διαφορά. καὶ τότε τῷ Θεῷ ἔγνωσται, εἰ δὲ μὴ ἡ γενήσεται πᾶσα ἡ ἐργασία αὐτῆς. καὶ ἐκτὸς τούτων, ματαία ἡ ἐργασία αὐτῶν πάντων, τῶν τὸ μέτρον μεριμνώντων τῆς τελειότητος. ὁ προσδοκῶν παρακληθῆναι καὶ ἐπισκεφθῆναι τὴν ἀσθένειαν αὐτοῦ ἐξ ἄλλων, οὗτος ταπεινώσει ἑαυτὸν, καὶ συγκοπιάσει τῷ πλησίον ἑαυτοῦ ἐν τοῖς καιροῖς, ἐν οἷς πειράζεται· ἵνα γένηται ἡ ἐργασία αὐτοῦ ἐν χαρᾷ ἐν τῇ ἡσυχίᾳ ἑαυτοῦ, ἀπέχουσα ἀπὸ πάσης οἰήσεως καὶ πλάνης τῶν Δαιμόνων.

Ἐῤῥέθη τινὶ τῶν ἁγίων γνωστικῷ ὄντι, ὅτι οὐδεὶ δύναται λυτρώσασθαι τὸν Μοναχὸν ἐκ τοῦ τῆς ὑπερηφανίας Δαίμονος, καὶ συνεργῆσαι τῷ ὅρῳ τῆς ἑαυτοῦ σωφροσύνης ἐν τῷ καιρῷ τῆς ἐξάψεως τοῦ πάθους τῆς πορνείας, ὡς ἐκεῖνο, τὸ, τοὺς ἀνθρώπους τοὺς κατακειμένους ἐν ταῖς ἑαυτῶν στρωμναῖς,

μναῖς, καὶ τὰς κατατηχθέντας ἐν τῇ θλίψει τῆς σαρκὸς ἐπισκέπ]εσθαι.

Μεγάλη ἐςὶν ἡ πρᾶξις ἡ ἀγγελικὴ τῆς ἡσυχίας, ὅταν διάκρισιν τοιαύτlω συμμίξῃ ἑαυτῇ διὰ τlὼ χρείαν τῆς ταπεινώσεως. ἐνθα γὰρ ἐ γινώσκομεν, κλεπ]όμεθα καὶ πορθέμεθα. ταῦτα εἶπον ἀδελφοὶ, ἐχ ἵνα ἀμελήσωμεν καὶ καταφρονήσωμεν εἰς τὸ ἔργον τῆς ἡσυχίας. ἡμεῖς γὰρ εἰς ἕκασον τόπον περὶ τέτε πείθομεν, καὶ ἐκ ἐξ ἐναντίας τῶν ῥημάτων ἡμῶν ἀνθισάμενοι εὑρέθημεν νῦ. μηδεὶς λάβῃ, ᾗ ἐξαγάγῃ λόγον γυμνὸν ἐκ τῶν λόγων ἡμῶν, καὶ ἀφῇ τὸ ὑπόλοιπον, ᾗ κρατήσῃ αὐτὸ ἐν ταῖς ἑαυτε χερσὶν ἀνοήτως.

Ἐγὼ μνημονεύω, ὅτι ἐν τόποις πολλοῖς εἶπον παρακαλῶν, ὅτι καὶ ἐὰν συμβῇ τινὶ ἐν ἀργίᾳ τελείᾳ εἶναι ἐν τῷ ἑαυτε κελλίῳ, διὰ τlὼ ἀνάγκlω τῆς ἀσθενείας ἡμῶν τῆς ἐπερχομένης ἡμῖν χάριν τέτε, ἐ δεῖ ἐπιλέγεσθαι τελείαν ἔξοδον ἐξ αὐτε, καὶ τlὼ ἐξωτέραν ἐργασίαν κρείτ]ονα εἶναι τῆς ἐργασίας τῆς ἐκεῖσε λογίζεσθαι. ἔξοδον δὲ τελείαν εἶπον, ἐχὶ ἐὰν ἀπαντήσῃ ἡμῖν ἐν καιρῷ πρᾶγμα ἀναγκαῖον, ἵνα ἐξέλθῃς ἐν αὐτῷ ἑβδομάδας τινὰς τε ἐμπορεύσασθαι ἐν αὐταῖς τlὼ ἀνάπαυσιν καὶ τlὼ ζωlὼ τε πλησίον σε, ἤδη τετο ἀργίαν ψηφίσεις, καὶ σχολίαν λογίσῃ. ἐὰν δέ τις δοκήσῃ ἐν ἑαυτῷ, ὅτι τέλειός ἐςι, καὶ ἀνώτερος ἐκ πάντων τῶν ἐνταῦθα ἐν τῇ διαμονῇ αὐτε τῇ πρὸς τὸν Θεὸν, καὶ τῇ ἀποχῇ τῇ ἐκ πάντων τῶν ὁρωμένων πραγμάτων, εὐλόγως καὶ ἐκ τέτων παραιτεσάσθω.

Μεγάλη ἐςὶν ἡ ἐργασία τῆς διακρίσεως τῶν σωεργεμένων ὑπὸ τε Θεε. ὃς τῷ ἐλέει αὐτε δῴη ἡμῖν πληρῶσαι τὸν λόγον

Λυκ. ς. λα. αὐτοῦ, ὃν εἴρηκε λέγων· ἔτι θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρω-
» ποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. ὅπου δὲ οὐκ ἔχει ὁ ἄν-
θρωπος ἐν τοῖς πράγμασι τοῖς ὁρατοῖς, καὶ ἐν τῷ σώματι τε-
λειῶσαι τὴν ἀγάπην τοῦ πλησίον αὐτῷ, ἡ ἐν τῷ φρονήματι
ἡμῶν μόνη φυλαττομένη ἀγάπη τοῦ πλησίον, πρὸς τὸν Θεὸν
αὐταρκεῖ. μάλιστα ἐὰν τὸ μέρος ἐκεῖνο τοῦ ἐγκλεισμοῦ, καὶ τῆς
ἡσυχίας, καὶ ἡ ἐν αὐτῇ ὑπεροχὴ ἀρκούντως διαμένῃ ἐν τῇ
ἑαυτῆς ἐργασίᾳ.

Ἐὰν δὲ ἐξ ὅλων τῶν μερῶν τῆς ἡσυχίας ἐκείνης ὑστερώμε-
θα, πληρώσωμεν τὴν ἔλλειψιν αὐτῆς εἰς τὴν μετ᾽ αὐτὴν ἐντο-
λήν. ἥτις ἐστὶν ἡ πρᾶξις ἡ αἰσθητή. ἣν ὡς πλήρωμα τῆς ἀνα-
παύσεως τῆς ζωῆς ἡμῶν πληρώσωμεν ἐν τῷ σκοπῷ τοῦ σώμα-
τος ἡμῶν, ἵνα μὴ εὑρεθῇ ἡ ἐλευθερία ἡμῶν πρόφασις ὑποτα-
γῆναι τῇ σαρκί. ὁ Θεὸς δῴη ἡμῖν γνῶναι τὸ θέλημα αὐτοῦ· ἵνα
ἀεὶ ἐν αὐτῷ πορευόμενοι, καταντήσωμεν εἰς τὴν αἰώνιον αὐτοῦ
ἀνάπαυσιν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις νῦν, καὶ
εἰς τοὺς αἰῶνας τῶν ἀπεράντων αἰώνων. Ἀμήν.

ΤΟΥ

ΤΟΥ ΑΥΤΟΥ
ΙΣΑΑΚ ΤΟΥ ΣΥΡΟΥ.
ΕΠΙΣΤΟΛΗ Α.
ΓΡΑΦΕΙΣΑ ΠΡΟΣ ΤΙΝΑ ΑΔΕΛΦΟΝ ΑΓΑΠΩΝΤΑ ΤΗΝ ΗΣΥΧΙΑΝ.

Διότι γνωρίζωσε ἀγαπῶντα τὴν ἡσυχίαν, καὶ συμπλέκεισε ὁ Διάβολος ἐν πολλοῖς, προφάσει τοῦ ἀγαθοῦ, ὅτι γνωρίζει τὸ θέλημα τῆς διανοίας σου, ἕως ἂν διασκεδάσῃ σε, καὶ ἐμποδίσῃ ἐκ τῆς ἀρετῆς τῆς περιεκτικῆς τῶν πολλῶν τρόπων τῶν ἀγαθῶν, ὦ ἀδελφὲ ἀγαθὲ, ὥσπερ μέλας πρὸς τὸ ὁμόζυγον αὐτοῦ ἀντιλαβέσθαι τοῦ πόθου σου τοῦ ἀγαθοῦ ἐν τῷ λόγῳ τῆς ὠφελείας, ἐμερίμνησα ποιῆσαι ἃ παρὰ τῶν σοφῶν ἀνδρῶν ἐν τῇ ἀρετῇ, καὶ ἀπὸ τῶν γραφῶν, καὶ παρὰ τῶν πατέρων, καὶ ἐκ τῆς πείρας ἐκτησάμην αὐτά. ἐὰν γὰρ μὴ καταφρονήσῃ ἄνθρωπος τῶν τιμῶν, καὶ τῶν ἀτιμιῶν, καὶ ὑπομείνῃ ὑπὲρ τῆς ἡσυχίας ὄνειδος, καὶ μυκτηρισμὸν, καὶ ζημίαν, ἕως καὶ τυπτήματα, καὶ γένηται κατάγελως, καὶ νομισθῇ μωρὸς καὶ λῆρος παρὰ τῶν θεωρούντων αὐτὸν, οὐ δύναται ὑπομεῖναι ἐν τῷ ἀγαθῷ τῆς ἡσυχίας σκοπῷ. διότι ἐὰν προσάπαξ ἀνοίξῃ τὴν θύραν ταῖς αἰτίαις ὁ ἄνθρωπος, οὐχ ἡσυχάζει ὁ Διάβολος ἐπάγων αὐτῷ τινὰς διὰ πολλῶν προφάσεων μετὰ συνεχῶν ἀπαντήσεων τῶν ἀναριθμήτων. διὰ τοῦτο, ὦ ἀδελφὲ, ἐὰν ἀγαπᾷς ἐν ἀκριβείᾳ τὴν ἀρετὴν τῆς ἡσυχίας,

τῆς μὴ ἐχέσης διασκεδασμὸν, καὶ ἐκπηδασμὸν, καὶ διακοπὴν ἐν μέσῳ αὐτῆς, ἐν ᾗ ἐνίκησαν οἱ ἀρχαῖοι, ὅτως εὑρήσεις τελειῶσαι τὴν ἐπιθυμίαν σε τὴν ἐπαινεμένην, ἡνίκα ὁμοιωθῇς τοῖς πατράσι σε, καὶ λάβῃς ἐν τῇ διανοίᾳ σε τὴν δήλωσιν τε βίε αὐτῶν. οἵτινες ἠγάπησαν τὴν τελείαν ἡσυχίαν, καὶ ἐκ ἐμερίμνησαν ςῆσαι τὴν ἀγάπην τῶν ἰδίων αὐτῶν, ἢ ἐζήτησαν ἁπλῶσαι ἑαυτὲς πρὸς ἀνάπαυσιν αὐτῶν, ἐδὲ ἠδέσθησαν φυγεῖν ἐκ τῆς ἀπαντήσεως τῶν οἰομένων εἶναι τιμίων.

Καὶ ἔτοι ἔτως (1) ἦσαν ὁδεύοντες, κὶ ἐχ ὡς καταφρονεντες τῶν ἀδελφῶν παρὰ τοῖς σοφοῖς κὶ γνωςικοῖς ἐκρίνοντο. ἐδὲ ὡς περιφρονεντες, ἢ ἀμελεντες, ἢ ὑςερεντες ἐν διακρίσει, καθάπερ ἐῤῥέθη τινὶ αὐτῶν ἀπολογία τιμῶντι τὴν ἡσυχίαν καὶ τὴν ὑποχώρησιν, μᾶλλον τῆς ἀπαντήσεως τῶν ἀνθρώπων· ἄνθρωπός φησιν, ὃς μανθάνει ἐν πείρᾳ τὴν γλυκύτητα τῆς ἡσυχίας ἐν τῷ κελλίῳ αὐτε, ἐχ ὡς καταφρονῶν τε πλησίον φεύγει τὴν ἀπάντησιν αὐτε, ἀλλὰ διὰ τὸν καρπὸν, ὃν τρυγᾷ ἐκ τῆς ἡσυχίας. πῶς ἔφευγεν ὁ ἀββᾶς, φησὶν, Ἀρσένιος, καὶ ἐκ ἀνεπαύετο ἀπαντῆσαί τινι; ὁ δὲ ἀββᾶς Θεόδωρος ὑπῆρχε μὲν, ἀλλ᾽ ὡς ῥομφαία ἦν ἡ ἀπάντησις αὐτε. ὅμως ἐδὲ ἀσπασμὸν ἠσπάζετό τινα, ὅτε ηὑρίσκετο ἔξωθεν τε κελλίε αὐτε. ὁ δὲ ἅγιος Ἀρσένιος, ἐδὲ τὸν ἐρχόμενον πρὸς αὐτὸν πρὸς ἀσπασμὸν ἠσπάζετο. ἐν καιρῷ γάρ τις τῶν πατέρων ἀπῆλθε θεάσασθαι τὸν ἀββᾶν Ἀρσένιον, καὶ ἤνοιξεν ὁ γέρων δοκῶν, ὅτι αὐτός ἐςιν ὁ διακονητὴς αὐτε· καὶ ὅτε ἐθεάσατο

(1) Καὶ τέως ὅτως ἦσαν τὸ Ε. Χ.

σατο αὐτὸν τίς ἐςὶν, ἔῤῥιψεν ἑαυτὸν ἐπὶ πρόσωπον, καὶ πολλὰ παρακληθεὶς ὑπ' αὐτȣ̃ ἀναςῆναι, καὶ εὐλογηθῆναι ὑπ' αὐτȣ̃ καὶ ἀπελθεῖν, παρῃτήσατο ὁ ἅγιος λέγων, ȣ̓ μὴ ἀνας ῶ, ἕως ἂν ἀπέλθῃς. καὶ ȣ̓κ ἀνέςη, ἕως ȣ̃ ἀπῆλθε. καὶ τȣ̃το ἐποίει ὁ μακάριος, ἵνα μὴ δῷ αὐτοῖς προσάπαξ χεῖρα, καὶ πάλιν ςραφῶσι πρὸς αὐτόν.

Ὅρα τὸ ἀκόλȣθον τȣ̃ λόγȣ, ἵνα μὴ εἴπῃς, ἴσως διὰ τὴν ἐλαχιςίαν αὐτȣ̃ κατεφρόνησεν αὐτȣ̃, ἤ τινος ἄλλȣ· καὶ ἄλλου διὰ τὴν τιμὴν αὐτȣ̃ ἐπροσωπολήπτει, καὶ συνωμίλει αὐτῷ, ἀλλ' ἐξίσης ἐκτήσατο φυγὴν ἀπὸ πάντων τῶν μικρῶν, καὶ τῶν μεγάλων. οὐ εἶχεν ἐν τοῖς ὀφθαλμοῖς αὐτȣ̃, καταφρονεῖν τῆς ἀπαντήσεως αὐτῶν ὑπὲρ τῆς ἡσυχίας, τὸν μέγαν τε καὶ τὸν μικρὸν, καὶ βαςάσαι τὴν μέμψιν αὐτῶν ἐπάνω αὐτȣ̃ ἐκ πάντων, ὑπὲρ τῆς τιμῆς τῆς ἡσυχίας, καὶ τῆς σιωπῆς. ἐπιςάμεθα γὰρ, ὡς ἀπῆλθε πρὸς αὐτὸν ὁ μακάριος Θεόφιλος ὁ ἀρχιεπίσκοπος, ἔχων μεθ' ἑαυτȣ̃ καὶ τὸν κριτὴν τῆς χώρας πρὸς τιμὴν, καὶ πρὸς ἐπιθυμίαν τῆς θεωρίας τȣ̃ ἁγίȣ. ὅτε δὲ ἐκάθισε πρὸς αὐτȣ̀ς, ȣ̓δὲ πρὸς λόγον μικρὸν ἀνέπαυσεν αὐτȣ̀ς διὰ τὴν τιμὴν αὐτῶν, καίπερ ἐπιθυμȣ̃ντας πλεῖςα ἀκȣ̃σαι τȣ̃ λόγȣ αὐτȣ̃. καὶ ὅτε παρεκάλεσεν αὐτὸν ὁ ἀρχιεπίσκοπος περὶ τȣ́τȣ, ἡσύχασε μικρὸν ὁ καλόγηρος, καὶ μετὰ τȣ̃το λέγει· καὶ ἐὰν εἴπω ὑμῖν φυλάττετε; καὶ ὡμολόγησαν λέγοντες, ναί. καὶ εἶπεν αὐτοῖς ὁ γέρων· ὅπȣ ἀκȣ́σετε, ὅτι ἐςὶν ὁ Ἀρσένιος, μὴ ἐγγίσητε ἐκεῖσε. εἶδες τὸ θαυμαςὸν τȣ̃ γέροντος; εἶδες καταφρόνησιν τῆς συντυχίας τῶν ἀνθρώπων; ȣ̃τος ὁ τρυγήσας τὸν καρπὸν τῆς ἡσυχίας. καὶ ȣ̓κ ἐλογίσατο ὁ μακάριος, ὅτι ἀνὴρ ἐςὶ καθολικὸς, καὶ κεφαλὴ τῆς ἐκκλησίας·

ἀλλὰ

ἀλλὰ τῦτο διανοήσατο, ὅτι ἐγὼ προσάπαξ ἀπέθανόν τῷ κόσμῳ. τί ὠφελεῖ ὁ νεκρὸς τὺς ζῶντας; καὶ ἐμέμψατο αὐτὸν ὁ ἀββᾶς Μακάριος μέμψιν πεπληρωμένην ἀγάπης, λέγων· τί φεύγεις ἐξ ἡμῶν; καὶ ἀπελογίσατο ὁ γέρων ἀπολογίαν θαυμαςὴν καὶ ἀξιέπαινον, λέγων· ὁ Θεὸς οἶδεν, ὅτι ἀγαπῶ ὑμᾶς, ἀλλ᾽ ὐ δύναμαι εἶναι μετὰ τῦ Θεῦ, καὶ μετὰ τῶν ἀνθρώπων. καὶ τὴν γνῶσιν ταύτην τὴν θαυμαςὴν, ὐχ ἑτέρωθεν, ἀλλ᾽ ἐκ τῆς θεϊκῆς φωνῆς ἐξέμαθεν. Ἀρσένιε γάρ φησι φεῦγε τὺς ἀνθρώπυς, καὶ σώζῃ.

Μηδεὶς ἄνθρωπος τῶν ἀργῶν, ϗ ἀγαπώντων τὰς συντυχίας ἀναιδευθῇ, καὶ ἀναλύσῃ ταῦτα ἐν τῇ καταςροφῇ τῶν λόγων αὐτῦ, καὶ λαλήσῃ κατέναντι τύτων, ὅτι ἀνθρώπινον εὕρημά ἐςιν, ἐν τῇ ἀφορμῇ τῆς ἡσυχίας εὑρεθέν· διότι διδαχή ἐςιν ὐράνιος. ϗ ἵνα μὴ νομίσωμεν, ὅτι τῦτο ἐῤῥέθη αὐτῷ τῦ φυγεῖν, καὶ ἐξελθεῖν ἐκ τῦ κόσμυ, ἀλλὰ μὴ ἐξίσης καὶ ἐκ τῶν ἀδελφῶν φυγεῖν· μετὰ τὸ καταλιπεῖν αὐτὸν τὸν κόσμον, καὶ ἐλθεῖν καὶ οἰκῆσαι τὴν λαύραν, πάλιν ηὔξατο τῷ Θεῷ, πῶς καλῶς ζῆσαι δυνηθῇ· Κύριε, φησὶν, ὁδήγησόν με πῶς σωθῶ. καὶ ἐδόκει, ὅτι ἄλλοτι μέλλει ἀκῦσαι. καὶ φωνῆς δεσποτικῆς πάλιν ἤκυσεν ἐκ δευτέρυ τῆς αὐτῆς· Ἀρσένιε φεῦγε, σιώπα, ἡσύχαζε. καὶ ἐάν φησι πολὺ ὠφελῇ ἡ θέα, καὶ ἡ ὁμιλία τῶν ἀδελφῶν, ἀλλ᾽ ὕτως ὐκ ὠφελεῖ σοι τὸ συντυχεῖν αὐτοῖς, ὡς τὸ φυγεῖν ἐξ αὐτῶν.

Καὶ ὡς ἐδέξατο ταῦτα ὁ μακάριος Ἀρσένιος ἐν ἀποκαλύψει τῇ θεϊκῇ, ὡς ἦν ἐν τῷ κόσμῳ, καὶ ἐπετράπη φυγεῖν, καὶ μετὰ τῶν ἀδελφῶν δὲ πάλιν γενομένῳ τὸ αὐτὸ ἐῤῥέθη αὐτῷ,

αὐτῷ, τότε ἐβεβαίωσε καὶ ἔγνω, ὅτι ἐκ ἀρκεῖ αὐτῷ εἰς κλῆσιν ζωῆς ἀγαθῆς τὸ φυγεῖν μόνον ἀπὸ τῶν κοσμικῶν, ἀλλ᾽ ἐπίσης ἐκ πάντων. μὴ γὰρ δύναταί τις ἀντιστῆναι κ̀ εἰπεῖν πρὸς τὴν θείαν φωνήν; καὶ τῷ θείῳ δὲ Ἀντωνίῳ ἐῤῥέθη ἐν ἀποκαλύψει, ἐὰν θέλῃς φησὶν ἡσυχάσαι, ἐχὶ μόνον εἰς Θηβαΐδα ἀπέλθῃς, ἀλλὰ καὶ εἰς τὴν ἐσωτέραν ἔρημον. ἐὰν ἐν ὁ Θεὸς ἐπιτρέπῃ ἡμῖν φυγεῖν ἐκ πάντων, καὶ ἔτως ἀγαπᾷ τὴν ἡσυχίαν, ὁπότε ὑπομείνωσιν ἐν αὐτῇ οἱ ἀγαπῶντες αὐτὸν, τίς ἐστιν ὁ προφασιζόμενος προφάσεις, παραμένειν τῇ συντυχίᾳ καὶ τῷ πλησιασμῷ τῶν ἀνθρώπων; ἐὰν δὲ τῷ Ἀντωνίῳ, καὶ τῷ Ἀρσενίῳ ὠφέλιμος ἡ φυγὴ, καὶ ἡ φυλακὴ, πόσῳ μᾶλλον τοῖς ἀσθενέσι; καὶ ἐὰν τέτες, ὧν ὁ κόσμος ὅλος ἔχρῃζε καὶ τῦ λόγε, καὶ τῆς θέας, καὶ τῆς βοηθείας αὐτῶν, ἐτίμησεν ὁ Θεὸς τῦ εἶναι αὐτὲς ἐν ἡσυχίᾳ, πλέον τῆς ἀντιλήψεως πάσης τῆς ἀδελφότητος, μᾶλλον δὲ τῆς ἀνθρωπότητος, πόσῳ μᾶλλον τῷ μὴ δυναμένῳ ἑαυτὸν φυλάξαι καλῶς;

Οἴδαμεν καὶ ἄλλον τινὰ τῶν ἁγίων, ὅτι ὁ ἀδελφὸς αὐτῦ ἠσθένει, καὶ ἦν κεκλεισμένος ἐν ἄλλῳ κελλίῳ· καὶ ὅτε κατεκράτησε τὴν συμπάθειαν αὐτῦ ἐν ὅλῃ τῇ ἀῤῥωσίᾳ αὐτῦ, καὶ ἐκ ἐξῆλθε θεάσασθαι αὐτὸν, ἐν τῷ καιρῷ τῆς ἐξόδε αὐτῦ ἐκ τῦ βίε ἔπεμψε, λέγων αὐτῷ· εἰ καὶ ἐκ ἦλθες πρός με ἕως ἄρτι, ἀλλὰ νῦν ἐλθὲ, καὶ ἴδωσε πρὸ τῦ ἐξελθεῖν με τῦ κόσμε, ἢ κἂν ἐν νυκτὶ, ὅπως ἀσπάσωμαί σε, καὶ ἀναπαύσωμαι. καὶ ἐκ ἐπείσθη ὁ μακάριος, ἐδὲ ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἐν ᾗ εἴωθεν ἡ φύσις συμπάσχειν ἀλλήλοις, καὶ ὑπερβαίνειν τὸν ὅρον τῦ θελήματος· ἀλλ᾽ εἶπεν, ἐὰν ἐξέλθω, ἐ καθαρισθήσομαι ἐν τῇ καρδίᾳ με ἐνώπιον τῦ Θεῦ. ὅτι τὲς πνευματικὲς ἀδελφὲς ἠμέ-

λησα ἐπισκέψασθαι, τὴν φύσιν δὲ ἐτίμησα πλέον τοῦ Χριστοῦ. καὶ ἀπέθανεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ οὐκ εἶδον αὐτόν.

Μηδεὶς οὖν ἐν ῥαθυμίᾳ τῶν λογισμῶν προφασίσηται, ὡς ἀδύνατα εἶναι, καὶ καταλύσῃ αὐτὰ, καὶ καταργήσῃ τὴν ἡσυχίαν αὐτοῦ, ἀθετήσας τὴν περὶ αὐτὸν τοῦ Θεοῦ πρόνοιαν. καὶ ἐὰν τὴν φύσιν τὴν οὕτως ἰσχυρὰν ἐνίκησαν οἱ ἅγιοι, καὶ ὁ Χριστὸς ἡνίκα τὰ τέκνα αὐτοῦ ἀμελοῦνται ἀγαπᾷ, ὅτε τιμᾶται ἡ ἡσυχία, ποία ἀνάγκη ἄλλη δύναται γενέσθαι σοι, μὴ δυναμένη καταφρονηθῆναι ὑπὸ σοῦ, ἡνίκα ἐμπέσῃς ἐν αὐτῇ; ἡ ἐντολὴ

Ματθ. κβ. λζ.

„ ἐκείνη ἡ λέγουσα, ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς
„ καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δια-
„ νοίας σου, πλέον ὅλου τοῦ κόσμου, καὶ τῆς φύσεως, καὶ τῶν αὐτῆς, οὕτω πληροῦται, ἡνίκα ὑπομείνεις ἐν τῇ ἡσυχίᾳ σου. καὶ ἡ ἐντολὴ ἡ λέγουσα περὶ τῆς ἀγάπης τοῦ πλησίον ἔσωθεν ταύτης ἐστὶ κεκλεισμένη. θέλεις κτήσασθαι τὴν ἀγάπην τοῦ πλησίου κατὰ τὴν εὐαγγελικὴν ἐντολὴν ἐντὸς τῆς ψυχῆς σου; μάκρυνον σεαυτὸν ἐξ αὐτοῦ, καὶ τότε κατακαίεται ἐν σοὶ ἡ ἔκκαυσις τῆς ἀγάπης αὐτοῦ, καὶ χαρήσῃ ἐπὶ τῇ θέᾳ αὐτοῦ, ὥσπερ ἐπὶ Ἀγγέλου φωτός. θέλεις πάλιν ἵνα διψήσωσί σε οἱ ἀγαπῶντές σε; ὡρισμέναις ἡμέραις θέασαι τὰς ὄψεις αὐτῶν. ὡς ἀληθῶς ἡ πεῖρα διδάσκαλος πάντων. γίνου ὑγιής. τῷ δὲ Θεῷ ἡμῶν χάρις, καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΠΙ-

ΕΠΙΣΤΟΛΗ Β.

ΠΡΟΣ ΤΙΝΑ ΑΔΕΛΦΟΝ ΦΥΣΙΚΟΝ ΚΑΙ ΠΝΕΥΜΑΤΙΚΟΝ ΠΡΟΤΡΕΠΟΜΕΝΟΝ

καὶ παρακαλοῦντα ἐν γράμμασιν ἐνδημῆσαι πρὸς αὐτὸν, οἰκοῦντα ἐν τῷ κόσμῳ, καὶ διψῶντα θεάσασθαι αὐτόν.

Οὐχ ὡς αὐτὸς νομίζεις, ἡμεῖς δυνατοί ἐσμεν, ὦ μακάριε, καὶ ἴσως οὐ γινώσκεις τὴν ἀσθένειάν μου· δυσχερὴς οὖν σοι (1) ἡ ἀπώλειά μου, καὶ διὰ τοῦτο αἰτεῖς παρ᾽ ἐμοῦ ἀεὶ, ὡς ὑπὸ τῆς φύσεως κατακαιόμενος κατὰ τὴν συνήθειαν αὐτῆς, ὅπερ οὐκ ἔδει ἡμᾶς μεριμνῆσαι, καὶ σὲ ἐρᾶν. τοῦτο μὴ αἰτήσῃς παρ᾽ ἐμοῦ μόνον τὸ ἀναπαῦον τὴν σάρκα, καὶ τὸ φρόνημα αὐτῆς, ὦ ἀδελφὲ, ἀλλὰ τὴν σωτηρίαν τῆς ψυχῆς μου περιποίησαι. πρὸς μικρὸν χρόνον, καὶ παρερχόμεθα ἐκ τοῦ αἰῶνος τούτου. πόσοις προσώποις ἔχω ἀπαντῆσαι ὅταν ἔλθω ἐκεῖσε; καὶ πόσους τρόπους ἀνθρώπων καὶ τόπους, ἕως ἂν στραφῶ εἰς τὸν τόπον μου; καὶ πόσας αἰτίας λογισμῶν δέχεται ἡ ψυχή μου ἐν τῇ ἀπαντήσει αὐτῶν; καὶ πόσην σύγχυσιν ὑπομένει ἐν τοῖς πάθεσι τοῖς ἐξυπνιζομένοις ἐν αὐτῇ, ἐξ ὧν μικρὸν ἀνεπαύθη; καὶ ταῦτα μὲν οὐκ ἀγνοεῖς. βλάπτει γὰρ τὸν μοναστὴν ἡ θεωρία τῶν κοσμικῶν. καὶ τοῦτο σὺ γινώσκεις. καὶ βλέπε

(1) Τὸ Ε. Χ. ὅτι δυσχερὴς οὖν σοι.

πόσlω ἀλλοίωσιν δέχεται κατὰ διάνοιαν ὁ χρόνον πολιὼ ἡσυχάζων καθ' ἑαυτὸν, ὁπότε πάλιν ἐν τέτοις πέσῃ ἐξαίφνης, καὶ ὁρᾷ, καὶ ἀκέει τὶ παρὰ τὸ ἔθος ἑαυτῦ. ἐὰν δὲ ᾖ ἡ ἀπάντησις τῶν Μοναχῶν βλάπ]η τὸν ἐν ἀγῶνι ὄντα, καὶ ἀκμlὼ πολεμῦντα μετὰ τῦ ἀντιπάλυ αὐτῦ, ὁπότε ὐ συμφέρυσι τῇ καταςάσει αὐτῦ, ἐννόησον εἰς ποῖον φρέαρ πίπ]ομεν, ἵνα ῥυσθῶμεν τῦ σκόλοπος τῦ ἐχθρῦ ἡμῶν, μάλιςα οἱ ἐν πολλῇ πείρᾳ κ]ησάμενοι ἐπίγνωσιν; διὰ τῦτο ὖν χωρὶς ἀνάγκης ποιῆσαι τῦτο, μὴ ἐξαιτήσῃς παρ' ἐμῦ. μὴ ἀπατήσωσιν ἡμᾶς οἱ λέγοντες, ὐδὲν βλάψει ἡμᾶς ἔν τινι τὸ ἀκῦσαι καὶ τὸ ἰδεῖν. ἴσοι γάρ ἐσμεν ἐν τῇ ἐρήμῳ, καὶ ἐν τῷ κόσμῳ, καὶ ἐν τῷ κελλίῳ ἡμῶν, ᾖ ἔξω, τῷ λογισμῷ ἡμῶν, καὶ ὐ ταρασσόμεθα ἐκ τῆς ἐπιεικείας ἡμῶν, καὶ ὐ δεχόμεθα ἀλλοίωσιν καινlὼ, ὐδὲ αἰσθανόμεθα ἐν τῇ ἀπαντήσει τῶν προσώπων καὶ τῶν πραγμάτων τῆς ὀχλήσεως τῶν παθῶν. οἱ λέγοντες ταῦτα, ὔτε εἰ πληγῇ πλήσσονται γινώσκυσιν. ἡμεῖς γὰρ ἀκμlὼ ὐκ ἐφθάσαμεν εἰς τlὼ ὑγείαν ταύτlω τῆς ψυχῆς. ἔχομεν γὰρ τραύματα ὀζόμενα, καὶ ἐὰν ἀφεθῶσι κἂν μίαν ἡμέραν ἀνεπιμέλητα, καὶ μὴ ἐπιδεσμέμενα, καὶ μὴ ἐμπλασθῶσιν ἐμπλάςροις, καὶ μὴ ἐπιδεσμίοις ἐπισφιγχθῶσι, σκωληκιῶσιν.

ΕΠΙ-

ΕΠΙΣΤΟΛΗ Γ.

ΣΤΑΛΕΙΣΑ ΠΡΟΣ ΤΙΝΑ ΑΓΑΠΗΤΟΝ ΑΥΤΟΥ. ΔΙΔΑΣΚΕΙ ΔΕ ΕΝ ΑΥΤΗ ΤΑ ΠΕΡΙ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ ΤΗΣ ΗΣΥΧΙΑΣ.

καὶ πῶς πολλοὶ διὰ τὸ μὴ γινώσκειν αὐτὰ ἀμελοῦσιν εἰς τὴν ἐργασίαν ταύτην τὴν θαυμαστήν· καὶ ὅτι οἱ πλεῖστοι ἐκράτησαν τὸ κάθισμα τῶν κελλίων ἐκ διαδοχῆς, τῆς προβαλλομένης μεταξὺ τῶν Μοναχῶν, μετὰ συντόμου συναγωγῆς τῆς ὀφειλομένης τῇ διηγήσει τῆς ἡσυχίας.

Ἀδελφέ, ἐπειδὴ ἠναγκάσθην ἐκ τοῦ ὀφείλοντος ἐπιστεῖλαί σοι περὶ τῶν ὀφειλομένων ἐξ ἀνάγκης, γνωρίζω τῇ ἀγάπῃ σου ἐν τοῖς γράμμασί μου κατὰ τὴν ἐπαγγελίαν ἡμῶν, τὴν πρὸς σέ, ὅτι εὑρόν σε ἐν τῇ ἀκριβείᾳ τῆς πολιτείας τεθεικότα ἑαυτόν, προσδεθῆναι ἐν τῷ τῆς ἡσυχίας καθίσματι. ἐγὼ γοῦν ὅπερ ἤκουσα ἐκ τῶν διακριτικῶν περὶ τῆς ἐργασίας ταύτης, ἡνίκα κατὰ διάνοιαν λάβω τὴν συναγωγὴν τῶν ῥημάτων αὐτῶν μετὰ πείρας τῆς ἐγγύθεν, δι' ἧς ἐν αὐτοῖς τοῖς πράγμασιν ἐγὼ ἐπείρασα, τῇ μνήμῃ σου ἐντυπῶ ἐν συντόμῳ λόγῳ, ἡνίκα καὶ σὺ συνεργήσεις σεαυτῷ ἐκ τῆς ὁμιλίας τῆς ἐπιστολῆς ἐν σπουδῇ τῇ γινομένῃ ἐν σοί. διότι ἐν συνέσει τῆς σοφίας μέλλεις προσεγγίσαι τῇ ἀναγνώσει τῶν συναχθέντων λόγων, τῶν ἐν τῇ ἐπιστολῇ ἡμῶν ταύτῃ, ἔξωθεν τῆς συνήθους ἀναγνώσεως, καὶ ὡς φῶς τι λαβεῖν αὐτὴν ἐν τῇ λοιπῇ ἀναγνώσει, διὰ τὴν

πολλὴν δύναμιν τὴν κεκρυμμένην ἐν αὐτῇ, ἵνα μάθῃς τί ἐςι τὸ κάθισμα τῆς ἡσυχίας, καὶ τί ἐςιν ἡ ἐργασία αὐτῆς, καὶ ποῖα μυςήρια κέκρυπται ἐν τῇ ἐργασίᾳ ταύτῃ, καὶ διατὶ τινὲς τὴν δικαιοσύνην τὴν μεταξὺ τῶν ἀνθρώπων πολιτευομένην σμικρύνουσι, καὶ προκρίνουσιν αὐτῆς τὰς θλίψεις, καὶ τοὺς ἀγῶνας τοῦ καθίσματος τοῦ ἡσυχαςικοῦ, καὶ μοναςικοῦ βίου. ἐὰν θέλῃς εὑρεῖν ζωὴν ἄφθαρτον ἐν ταῖς ἡμέραις σου ταῖς μικραῖς, ὦ ἀδελφὲ, ἡ εἴσοδός σου ἡ ἐν τῇ ἡσυχίᾳ, ἐν διακρίσει ἔςω. ἐξέτασον περὶ τῆς ἐργασίας αὐτῆς, καὶ μὴ δράμῃς ἐξ ὀνόματος, ἀλλ᾽ εἴσελθε, καὶ βάθυνον, καὶ ἀγώνισαι, καὶ σπούδασον φθάσαι μετὰ πάντων τῶν ἁγίων τί ἐςι τὸ βάθος, καὶ τὸ ὕψος τῆς πολιτείας ταύτης. ἑκάςῳ γὰρ πράγματι τῶν ἀνθρώπων ἐν τῇ ἀρχῇ τῆς ἐργασίας αὐτοῦ ἕως τέλους, τρόπος τὶς, καὶ ἐλπὶς προσδοκᾶται ἐκ τοῦ ἔργου τοῦ πράγματος, κινοῦντα τὴν διάνοιαν πρὸς τὴν θέσιν τοῦ θεμελίου αὐτοῦ. καὶ ὁ σκοπὸς οὗτος κραταιοῖ τὴν διάνοιαν βαςάξαι τὴν ἐν αὐτῷ σκληρότητα, καὶ παράκλησίν τινα λαμβάνει ἐξ αὐτοῦ ἐν τῇ θεωρίᾳ τῇ πρὸς αὐτόν. καὶ ὥς τις κρατῶν κρατεῖ τὸν νοῦν ἑαυτοῦ, ἕως τοῦ τέλους τοῦ πράγματος, οὕτω καὶ τὸ τίμιον ἔργον τῆς ἡσυχίας λιμὴν τῶν μυςηρίων γίνεται τῷ διακριτικῷ σκοπῷ, ᾧ τινι προσέχει ἡ διάνοια ἐκ τοῦ πρώτου τῶν δόμων, ἕως τῆς τελειώσεως τῆς οἰκοδομῆς, καὶ ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ τοῖς μακροῖς καὶ σκληροῖς. καὶ κατὰ τοὺς ὀφθαλμοὺς τοῦ κυβερνήτου τοῦ προσέχοντος τοῖς ἄςροις, οὕτω προσέχει καὶ ὁ μοναςὴς ἐν τῇ ἐσωτέρᾳ θεωρίᾳ εἰς ἅπαντα τὸν δρόμον τῆς ἑαυτοῦ πορείας ἐν τῷ σκοπῷ, ᾧ ἔλαβεν ἐν τῇ ἑαυτοῦ διανοίᾳ ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ, ἐν ᾗ ἐξέδωκεν ἑαυτὸν πορεύεσθαι ἐν τῇ

σκληρᾷ

σκληρᾷ θαλάσσῃ τῆς ἡσυχίας, ἕως ἂν εὕρῃ τὸν μαργαρίτlω, δι' ὃν ἑαυτὸν ἐξέπεμψεν εἰς τὸν πυθμένα τὸν ἀψηλάφητον τῆς θαλάσσης τῆς ἡσυχίας. καὶ ἡ προσοχὴ τῆς ἐλπίδος κεφίζει αὐτὸν ἐπάνωθεν τοῦ βάρους τῆς ἐργασίας, καὶ τῆς σκληρότητος τῆς πλήρους κινδιώων τῶν ἀπαντώντων αὐτῷ ἐν τῇ πορείᾳ αὐτοῦ. καὶ ὅσις ἐν τῇ ἀρχῇ τῆς ἡσυχίας αὐτοῦ οὐ τίθησι τὸν σκοπὸν τοῦτον ἐν ἑαυτῷ, πρὸς τlὼ ὀφειλομένlω αὐτῷ ἐργασίαν ἀκρίτως ἐργάζεται, καθώς τις τῷ ἀέρι προσπαλαίων. καὶ ὁ τοιοῦτος οὐδέποτε λυτροῦται ἐκ τοῦ πνεύματος τῆς ἀκηδίας ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ. καὶ ἓν ἐκ τῶν δύω γίνεται αὐτῷ, ἢ ὅτι οὐχ ὑπομένει τὸ βάρος τὸ ἀνυπομόνητον, καὶ ἡττᾶται, καὶ ἐξέρχεται ἐκ τῆς ἡσυχίας τελείως, ἢ καρτερεῖ ἐν αὐτῇ, καὶ οἶκος εἰρήνης γίνεται τὸ κελλίον αὐτῷ, καὶ τηγανίζεται ἐν αὐτῷ, διὰ τὸ μὴ γινώσκειν ἐλπίζειν εἰς τlὼ παράκλησιν τlὼ τικτομένlω ἐκ τῆς ἐργασίας τῆς ἡσυχίας. διὰ τοῦτο, οὐδὲ αἰτεῖν ἐν πόνῳ καρδίας, καὶ κλαίειν ἐπὶ προσευχῇ ἐφιέμενος αὐτῆς δύναται. περὶ ὧν οἱ πατέρες ἡμῶν, οἱ πεπληρωμένοι ἐλέους, οἱ ἀγαπῶντες τοὺς υἱοὺς ἑαυτῶν, ἀφῆκαν σημεῖα ἐν ταῖς γραφαῖς εἰς τlὼ χρείαν τῆς ζωῆς ἡμῶν.

Α'. Καὶ εἷς ἐξ αὐτῶν, εἶπεν· ἐμοὶ μὲν κέρδος ἐκ τῆς ἡσυχίας ἐστὶ τοῦτο· ἡνίκα ἀποστήσω ἐμαυτὸν ἀπὸ τῆς οἰκίας ἐφ' ἧς κάθημαι, σχολάζει ἡ διάνοιά μου ἀπὸ τῆς παρασκευῆς τοῦ πολέμου, καὶ στρέφεται εἰς ἐργασίαν κρείττονα.

Β'. Ὁμοίως καὶ ἄλλος· ἐγὼ, ἔφη, διὰ τοῦτο εἰς τlὼ ἡσυχίαν τρέχω, ὅπως γλυκανθῶσί μοι οἱ στίχοι τῆς ἀναγνώσεως, καὶ τῆς προσευχῆς. καὶ ἡνίκα ἐν τῇ ἡδονῇ τῆς κατανοήσεως αὐτῶν ἡ γλῶσσά μου σιγήσει, ὡς ἐν ὕπνῳ τινὶ ἐμπίπτω εἰς τlὼ

συστολlὼ

συστολὴν τῶν αἰσθήσεών μου μετὰ τῶν νοημάτων μου. καὶ πάλιν, ὅταν ἐν τῷ μακρυσμῷ τῷ ἐν αὐτῇ τῇ ἡσυχίᾳ γαληνιάσῃ ἡ καρδία μου ἐκ τῆς ταραχῆς τῶν μνημῶν, ἐξαποστέλλονταί μοι ἀεὶ τὰ κύματα τῆς χαρᾶς, τὰ ἐκ τῶν ἐνθυμήσεων τῶν ἔσω ἀπροσδοκήτως ἐρχομένων ἐξαίφνης εἰς τὴν τρυφὴν τῆς καρδίας μου. καὶ ἡνίκα ταῦτα τῷ τῆς ψυχῆς μου προσεγγίσωσι πλοίῳ, βυθίζουσιν αὐτὴν ἐκ τῶν ῥημάτων τοῦ κόσμου, καὶ τῆς ζωῆς τῆς σαρκὸς ἐν τοῖς θαύμασι τοῖς ἀληθινοῖς, ἐν τῇ ἡσυχίᾳ τῇ ἐν Θεῷ.

Γ. Καὶ ἕτερος αὖθις, ἡ ἡσυχία, ἔλεξε, τὰς προφάσεις καὶ τὰς αἰτίας τὰς καινουργούσας τοὺς λογισμοὺς ἐκκόπτει καὶ ἔσωθεν τῶν τειχέων αὐτῆς παλαιοῖ, καὶ μαραίνει τὰς μνήμας τῶν προλήψεων. καὶ ὅταν παλαιωθῶσιν αἱ ὕλαι αἱ παλαιαὶ ἐν τῇ διανοίᾳ, εἰς τὴν ἑαυτοῦ τάξιν στρέφεται ὁ νοῦς, εὐθυνων αὐτάς.

Δ'. Καὶ ἕτερος πάλιν εἶπε· τὰ μέτρα τῶν κρυφίων σου ἐκ τῆς τῶν νοημάτων σου διαφορᾶς (1) σημήσεις, τῶν διηνεκῶν δὲ λέγω, οὐχὶ τῶν κινουμένων ἀπὸ τοῦ συμβεβηκότος, καὶ ἐν μιᾷ ὥρᾳ διαπορθουμένων. οὐκ ἔστι τὶς σῶμα φορῶν, (2) ὅστις οὐκ

(1) Τὴν κατάστασιν τῆς ἡμετέρας ψυχῆς ἐκ τῶν νοημάτων ἐπιγινώσκομεν. καὶ ἂν μὲν ἁπλᾶ καὶ καθαρὰ τὰ νοήματα τῆς καρδίας ὑπάρχωσιν ἐν ἀγάπῃ διατελοῦντα εὐφροσύνῃ γαληνιώδει καὶ ἀταράχῳ, τηνικαῦτα ἡ ψυχὴ ἐν ἀγαθῇ προκοπῇ ἐνυπάρχει, καὶ παῤῥησίαν ἔχει πρὸς τὸν Θεόν· εἰ δὲ τὰ νοήματά εἰσι ταραχώδη καὶ σκοτεινὰ ἐν πικρίᾳ, καὶ μίσει φερόμενα πρὸς τοὺς ἀδελφοὺς, ἀπόβλητος καὶ κατεγνωσμένη τότε ἐλέγχεται ἡ ψυχὴ ὑπὸ τοῦ συνειδότος κατακριθεῖσα.

(2) Ἕκαστος τῶν ἀνθρώπων δύναται νικῆσαι τὸ φρόνημα τῆς σαρκὸς, ἐπειδὴ ἔχει ἐν ἑαυτῷ γυμνὴν καὶ ἐλευθέραν θεωρίαν ἀπὸ τῆς ὑλικῆς προσπαθείας, κεχωρισμένην ἐκ τῆς νοήσεως καὶ καταλήψεως τῶν ἀγαθῶν

ὅτι ἀπαντᾷ τῷ ἑαυτοῦ οἴκῳ ἀπόδημος ἐκ τῶν δύο ἀλλοιώσεων τῶν ἀγαθῶν καὶ τῶν κακῶν· εἰ μὲν ἔστι σπουδαῖος, ἐκ τῶν ἐλαχίστων διὰ τὴν φύσιν· (οἱ πατέρες γάρ, τῶν τικτομένων εἰσὶ πατέρες.) εἰ δὲ ἔστι ῥάθυμος, ἐκ τῶν ὑψηλῶν διὰ τὴν ζύμην ἐκείνης τῆς χάριτος, τῆς γενομένης ἐν τῇ φύσει ἡμῶν.

Ε. Καὶ ἄλλος, ἔκλεξαι, ἔφη, σεαυτῷ ἐργασίαν τρυφῆς, ἀγρυπνίαν διηνεκῆ τὴν ἐν νυξίν, ἐν ᾗ ἀπεδύσαντο οἱ πατέρες πάντες τὸν παλαιὸν ἄνθρωπον, καὶ ἠξιώθησαν τοῦ ἀνακαινισμοῦ τοῦ νοός. ἐν ταῖς ὥραις ταύταις αἰσθάνεται ἡ ψυχὴ τῆς ζωῆς ἐκείνης τῆς ἀθανάτου, καὶ ἐν τῇ αἰσθήσει ταύτης ἀποδύεται τὸ ἔνδυμα τοῦ σκότους, καὶ ὑποδέχεται τὸ πνεῦμα τὸ ἅγιον.

Ϛ. Καὶ ἕτερος πάλιν ἔλεξεν, ὅτι ὅταν τὶς ἴδῃ ὄψεις διαφόρους, καὶ ἀκούσῃ φωνὰς πολυτρόπους παρηλλαγμένας τῆς μελέτης ἑαυτοῦ τῆς πνευματικῆς, καὶ ὁμιλῇ καὶ συντυγχάνῃ μετὰ τῶν τοιούτων, οὐ δύναται συνκαιρῆσαι κατὰ διάνοιαν, κατιδεῖν

ἀγαθῶν καὶ κακῶν, ὡς ἀπόδημος, τουτέστι μεμακρυμμένος διπλόης, ἤγουν πονηρίας, καὶ διανοητικῆς ἐγκρίσεως, καὶ αἰσθήσεως, ὡς ὁ Ἀδὰμ πρὸ τῆς παρακοῆς γυμνὸς ἁπλότητι, καὶ ἀναισθησίᾳ καλοῦ καὶ κακοῦ. διὸ καὶ ἐκ τῆς τοιαύτης ἀπαθείας, οὐδὲ τὴν ἑαυτοῦ γύμνωσιν ἐπεγίνωσκεν. ὅθεν οὐδὲ ᾐσχύνετο. καὶ εἰ μὲν ὑπάρχει σπουδαῖος, εὐχερῶς ἀποδημεῖ, καὶ ἐλευθεροῦται ἐκ τῶν μικρῶν κωλυμάτων τῆς αἰσθητικῆς προσπαθείας, ἐπειδὴ τῶν μεγάλων ὅλως οὐκ ἐπειράθη, οὐδὲ εἴσοδον ἔδωκε, διὰ τὴν τῆς φύσεως καθαρότητα ἐν ἑαυτῷ δεικνύων τὸ εὐγενὲς τῆς φύσεως καὶ ἁγνόν, ὡς γνήσιος υἱὸς τῆς θεοτεύκτου φύσεως, ἧς ὠνομάσθη τέκνον, ἐκείνη δὲ μήτηρ καὶ γεννήτωρ· εἰ δὲ ἔστι ῥάθυμος, ἀπὸ μεγάλων κωλυμάτων, καὶ αἰσθητικῶν πλανήσεων ἀποδημεῖ, καὶ ἐλευθεροῦται διὰ τῆς θείας χάριτος δεδομένης ἡμῖν κατὰ τὸν Ἀπόστολον, ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ χάρις. Ῥωμ. ε. κ.

Ταῦτα τὰ δύο σχόλια εὑρέθησαν ἐν τῷ ἑτέρῳ χειρογρ. νεωτέρᾳ χειρὶ γεγραμμένα.

κατιδεῖν ἑαυτὸν ἐν τῷ κρυπλῷ, καὶ μνημονεῦσαι τῶν ἁμαρτιῶν ἑαυτȣ͂, καθαίρειν τε τȣ̀ς ἑαυτȣ͂ λογισμȣ̀ς, ἢ προσέχειν πρὸς τὰ ἐπερχόμενα αὐτῷ, καὶ ὁμιλῆσαι κρυπλῶς ἐν τῇ εὐχῇ.

Ζ΄. Καὶ πάλιν. τὸ ὑποτάξαι τὰς αἰσθήσεις ταύτας ὑπὸ τἠὼ ἐξȣσίαν τῆς ψυχῆς ἐκτὸς τῆς ἡσυχίας, ἢ τῆς ἀλλοτριώσεως τῶν ἀνθρώπων, ȣ̓ δυυατόν. διότι ἐν αὐταῖς σωυωμένη, καὶ σωημμένη ὑποςατικῶς ἡ νοερὰ ψυχὴ, καὶ μετὰ τῶν ἑαυτῆς λογισμῶν ἄκȣσα καθέλκεται, ἐὰν μὴ ὁ ἄνθρωπος ἐγρήγορος γένηται ἐν τῇ προσευχῇ τῇ κρυπλῇ.

Η΄. Καὶ πάλιν. ὢ πῶς ἡ ἐγρήγορσις ἐν τῷ ἑαυτῆς ἐξυπνισμῷ σωὼ τῇ εὐχῇ καὶ τῇ ἀναγνώσει τρυφἠὼ ἐμποιεῖ, καὶ εὐφραίνει, καὶ χαροποιεῖ, καὶ καθαίρει τἠὼ ψυχἠὼ. ȣ̓͂τοι μάλιςα γινώσκȣσι ταῦτα οἱ ἐν αὐτοῖς ἐν παντὶ καιρῷ τῆς ζωῆς ἑαυτῶν σωαναςρεφόμενοι, ἢ πολιτευόμενοι ἐν τῇ ἀκριβεςάτῃ ἀσκήσει.

Σὺ ȣ̓͂ν, ὦ ἄνθρωπε, ὁ ἀγαπῶν τἠὼ ἡσυχίαν θȣ͂ τὰ νοήματα τὰ ἐκ τῆς γνώμης τῶν λόγων τῶν πατέρων ἔμπραθαί σȣ, ὡς σκοπόν τινα, ἢ πρὸς τὸν πλησιασμὸν αὐτῶν εὔθυνον τὸν δρόμον σȣ τῆς ἐργασίας. ἢ πρὸ πάντων σοφίσθητι ποῖόν ἐςιν ὅπερ μάλιςα καθήκει συμφωνεῖν τῷ σκοπῷ τῆς ἐργασίας σȣ. ἐκτὸς γὰρ τȣ́των γνῶναι τἠὼ γνῶσιν τῆς ἀληθείας ȣ̓ δυυάσαι σύ. ἢ ἐν αὐτοῖς σπȣδασον ὑπερεκπερισσȣ͂ δεῖξαι τἠὼ καρτερίαν σȣ.

Περὶ σιωπῆς.

Ἡ σιωπὴ μυςήριόν ἐςι τȣ͂ αἰῶνος τȣ͂ μέλλοντος. οἱ δὲ λόγοι ὄργανόν εἰσι τȣ́τȣ τȣ͂ κόσμȣ. ἄνθρωπος νηςευτὴς τῇ φύσει τῇ πνευματικῇ πειρᾶται τἠὼ ψυχἠὼ ἑαυτȣ͂ ἀφομοιῶσαι ἐκτε τῆς σιωπῆς, καὶ τῆς ἀδιαλείπλȣ νηςείας. ὅταν ἀφορίζηται ὁ ἄνθρωπος ἐν τῇ ἐργασίᾳ ἑαυτȣ͂ τῇ θεικῇ, διαμένειν

μένειν ἐν τῷ κρυπ]ῷ ἑαυτῦ, ἐν τέτοις τοῖς μυςηρίοις τελεῦται. καὶ ἡ λειτεργία αὐτῦ πεπληρωμένη τῶν θείων μυςηρίων, καὶ ἐξ ἐκείνων τῶν ἀοράτων δυνάμεων, καὶ τῦ ἁγιασμῦ ἐκείνης τῆς ἐξεσίας τῆς κυρίας τῶν κ]ισμάτων. καὶ εἴπερ τινὲς ἀφωρίσθησαν ἐν καιρῷ εἰσελθεῖν τῶν θείων μυςηρίων ἐντὸς, ἐν τῇ σφραγῖδι ταύτῃ ἐσημειώθησαν. καὶ τισιν ἐξ αὐτῶν τὰ κρυπ]ὰ τὰ κρυβέντα ἐν τῇ σιωπῇ τῦ Κυρίε τῇ ἀποκρύφῳ πρὸς ἀνακαινισμὸν τῶν ἐν μέσῳ, φανερῶσαι ἐνεπιςεύθησαν. ἐδὲ γὰρ ἔπρεπεν ἐν γαςρὶ πεπληρωμένη, καὶ νοῒ πεφυρμένῳ ἐκ τῆς ἀκρασίας διακονηθῆναι τὰ τοιαῦτα μυςήρια.

Καὶ οἱ ἅγιοι δὲ, ἐκ ἦσαν κατατολμῶντες τῆς ὁμιλίας τῆς πρὸς τὸν Θεὸν, ἐδὲ πρὸς τὰ κρυπ]ὰ τῶν μυςηρίων ἑαυτὲς ἀνύψεν, εἰ μὴ ἐν ἀσθενείᾳ τῶν μελῶν, καὶ ὠχρειάσει τῆς χροιᾶς, τῆς ἐκ τῦ πόθε τῆς πείνης, καὶ νῦ τῦ ἡσύχε, καὶ ἐν τῇ ἀποταγῇ πάντων τῶν λογισμῶν τῶν γηΐνων. ὅταν γὰρ ἐν καιρῷ μακρῷ ἐν τῷ σῷ κελλίῳ ἐν ἔργοις κόπε, καὶ φυλακῆς τῶν κρυπ]ῶν, καὶ τῇ συςολῇ τῶν αἰσθήσεων ἐκ πάσης ἀπαντήσεως ἐπισκιάσῃ σοι ἡ δύναμις τῆς ἡσυχίας, πρῶτον μὲν ἀπαντᾷς χαρᾷ τῇ ἐκτὸς αἰτίας κατακρατέσῃ ἐν καιρῷ, καὶ καιρῷ ἐν τῇ ψυχῇ σε, καὶ τότε ἀνοίγονται οἱ ὀφθαλμοί σε, τῦ ἰδεῖν τὴν ἰχὺν τῆς κ]ίσεως τῦ Θεῦ, καὶ τὸ κάλλος τῶν κ]ισμάτων κατὰ τὸ μέτρον τῆς καθαρότητός σε. καὶ ὅταν ὁ νῦς ὁδηγηθῇ ἐν θαύματι τῆς θεωρίας ταύτης, τότε καὶ ἡ νὺξ καὶ ἡ ἡμέρα ἓν ἔςαι αὐτῷ ἐν τοῖς θαύμασι τοῖς ἐνδόξοις τῶν κ]ισμάτων τῦ Θεῦ. καὶ ἐντεῦθεν κλέπ]εται ἐξ αὐτῆς τῆς ψυχῆς ἡ αἴσθησις τῶν παθῶν ἐν τῇ ἡδονῇ τῆς θεωρίας ταύτης. καὶ ἐν αὐτῇ εἰσέρχεται εἰς τὲς δύω

βαθμοὺς τῶν ἀποκαλύψεων τῶν νοητῶν, τοὺς ὄντας ἐν τῇ τάξει τῇ μετὰ ταύτην, ἐκ τῆς καθαρότητος ἢ ἐπάνω. ὁ Θεὸς ἀξιώσειεν ἡμᾶς αὐτῶν. Ἀμήν.

ΕΠΙΣΤΟΛΗ Δ.

ΠΡΟΣ ΤΟΝ ΟΣΙΟΝ ΠΑΤΕΡΑ ΣΥΜΕΩΝΗΝ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ. (1)

Ἡ ἐπιστολή σου ἅγιε, οὐχὶ λόγοι ἐγκεχαραγμένοι εἰσὶν, ἀλλὰ τὴν ἀγάπην σου τὴν πρὸς ἡμᾶς ἐν αὐτῇ ὡς ἐν ἐσόπτρῳ ἐζωγράφησας, καὶ ὑπέδειξας. καὶ ὡς νομίζεις ἡμᾶς εἶναι, οὕτως ἔγραψας, καὶ ἔδειξας ἐν αὐτοῖς τοῖς ἔργοις, ὅτι ὑπερβαλλόντως ἀγαπᾷς ἡμᾶς. ὥστε καὶ ἐκ τῆς πολλῆς ἀγάπης, ἐπιλαθέσθαι τοῦ μέτρου ἡμῶν. ὅπερ γὰρ ἔδει γράψαι ἡμᾶς τῇ σῇ ὁσιότητι, καὶ ἐρωτῆσαι, καὶ μαθεῖν τὴν ἀλήθειαν παρ᾽ ὑμῶν, εἰ πρόνοιαν τῆς σωτηρίας ἡμῶν ἐποιούμεθα, τοῦτο σὺ διὰ τὸ μέγεθος τῆς ἀγάπης προλαβὼν ἔγραψας ἡμῖν. καὶ τάχα τοῦτο ἐν τέχνῃ φιλοσοφίας πεποίηκας, ἵνα ἐν ταῖς σαῖς ἐρωτήσεσι ταῖς λεπταῖς καὶ πνευματικαῖς, ἐν αἷς ἐγὼ ἐρωτῶμαι παρ᾽ ὑμῶν, ἐξυπνισθῇ ἡ ψυχή μου ἐκ τῆς ἀμελείας, ἐν ᾗ ἐβυθίσθη πολύ. ὅμως κἀγὼ ἐν τῇ ἀγάπῃ ἐκείνῃ, ἐν ᾗ ἐπελάθου τοῦ μέτρου ἡμῶν, ἐπιλανθάνομαι τῆς ἱκανότητός μου,

(1) Τὸ Ε. Χ. οὕτως· ἐπιστολὴ τοῦ ἁγίου Ἰσαὰκ πρὸς τὸν Ἀββᾶν Συμεῶνα, τὸν ἀπὸ Καισαρείας.

μȣ, (1) ὥςε με μὴ προσέχειν τὶ δυύαμαι ἀρκέσαι, ἀλλὰ τὶ ἰσχύει ἡ εὐχή σȣ ποιῆσαι. ὅτε γὰρ ἐγὼ ἐπιλάθωμαι τȣ̃ μέτρȣ μȣ, καὶ σὺ τὸν Θεὸν ταῖς εὐχαῖς σȣ ἐκλιπαρήσεις, ὥςε τελειωθῆναι τὴν σὴν αἴτησιν, δοθήσεταί σοι πάντως ὑπὸ τȣ̃ Θεȣ̃ ὅπερ ᾔτησας ἐν τῇ εὐχῇ, ὡς αὐτȣ̃ γνησίῳ θεράποντι.

Ἡ πρώτη τοίνυν ἐρώτησις ἡ ἐν τῇ ἐπιςολῇ, ἐςὶν αὕτη. εἰ δεῖ πάσας τὰς ἐντολὰς τȣ̃ Κυρίȣ φυλάττεσθαι, καὶ εἰ ȣ̓κ ἔςι τρόπος σωτηρίας τῷ μὴ φυλάττοντι αὐτάς. Ἐρώτ.

Καὶ περὶ τȣ́τȣ καθώς μοι δοκεῖ, ȣ̓δὲ ἐρωτᾶν χρεὼν τινα. εἰ γὰρ καὶ πολλαί εἰσι, φυλάττεσθαι ὀφειλόμενον· εἰ δὲ μὴ, δοθῆναι παρὰ τȣ̃ Σωτῆρος ȣ̓κ ὤφειλον. περισσὸν γάρ τι, καὶ μὴ ἔχον αἰτίαν καὶ χρείαν, καθώς μοι δοκεῖ, ȣ̓κ ἐῤῥέθη, ȣ̓δὲ ἐπράχθη παρὰ τȣ̃ δεσπότȣ ἡμῶν. ὁ σκοπὸς γὰρ τῆς παρȣσίας αὐτȣ̃, ἵνα καθαρίσῃ τὴν κακίαν τῆς πρώτης παραβάσεως ἐκ τῆς ψυχῆς, καὶ μεταβάλῃ αὐτὴν πρὸς τὴν ἑαυτῆς ἀρχαίαν κατάςασιν, ἡνίκα τὰς ζωοποιȣ̀ς αὐτȣ̃ ἐντολὰς ὥσπερ φάρμακα καθαρτικὰ τῆς ἐμπαθείας ἡμῶν δέδωκεν ἡμῖν. ὅπερ γὰρ τὰ φάρμακα τῷ νοσερῷ σώματι, τȣ̃το αἱ ἐντολαὶ τῇ ἐμπαθεῖ ψυχῇ. καὶ δῆλόν ἐςιν, ὅτι αἱ ἐντολαὶ ἐξ ἐναντίας τῶν παθῶν ἐτέθησαν, πρὸς ἰατρείαν τῆς παραβεβηκυίας ψυχῆς, καθὼς ἀριδήλως ὁ Κύριος λέγει τοῖς ἑαυτȣ̃ μαθηταῖς· „ὁ ἔχων „τὰς ἐντολάς μȣ, καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐςιν ὁ ἀγαπῶν με, „καὶ ὁ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τȣ̃ πατρός μȣ. καὶ ἐγὼ „ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτὸν, καὶ πρὸς αὐ„τὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. καὶ πάλιν ἐν

Ἀπόκρ.

Ἰωάν. ιδ. κα.

Ἰωάν. ιγ. λε.

(1) Τῆς ἀνικανίας μȣ. Τὸ Ε. Χ.

„ ἐν τούτῳ γνώσεται ὁ κόσμος, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. καὶ δῆλον, ὅτι ἡ ἀγάπη μετὰ τὴν ὑγίειαν τῆς ψυχῆς προσκληθῆναι δύναται· ἡ δὲ ψυχὴ οὐχ ὑγιαίνει, ἡ μὴ φυλάξασα τὰς ἐντολάς.

Ἡ φυλακὴ τῶν ἐντολῶν ἀκμὴν ὑποκάτωθεν τῆς πνευματικῆς ἀγάπης ἐστί. καὶ διὰ τὸ εἶναι τοὺς πολλοὺς φυλάττοντας τὰς ἐντολὰς ἐκ τοῦ φόβου, ἢ χάριν ἀμοιβῆς τῶν μελλόντων, καὶ οὐχὶ διὰ τὴν ἀγάπην, πολλὰ παραινεῖ εἰς τὴν φυλακὴν τῶν ἐντολῶν τῶν ἐκ τῆς ἀγάπης, τῶν παρεχουσῶν τῇ ψυχῇ τὸ φῶς.

Ματθ. ε. ιϛ. καὶ πάλιν· ἵνα θεωρῶσιν οἱ ἄνθρωποι τὰ καλὰ ὑμῶν ἔργα, καὶ „ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ οὐ δυνατὸν ὁρᾶσθαι ἐν τῇ ψυχῇ τὰ ἀγαθὰ ἔργα, ἅπερ ὁ Κύριος ἐδίδαξεν, εἰ μὴ φυλαχθῶσιν αἱ ἐντολαί. καὶ ὅτι οὐκ εἰσὶν αἱ ἐντολαὶ βα-

Ματθ. ια. κη. λ. ρεῖαι τοῖς ἀγαπῶσι τὴν ἀλήθειαν, ὁ Κύριος εἶπε· δεῦτε, „ γάρ φησι, πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ „ ἀναπαύσω ὑμᾶς· ὅτι ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου „ ἐλαφρόν. ὅτι δὲ πάσας τὰς ἐντολὰς χρεὼν φυλάττεσθαι ὑφ'

Ματθ. ε. ιθ. ἡμῶν ἐπιμελῶς, καὶ τοῦτο αὐτὸς ἐνετείλατο λέγων· ὁ κατα- „ λύων μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάσκων „ τοὺς ἀνθρώπους, οὗτος ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν „ οὐρανῶν. οὐχὶ μετὰ ταῦτα πάντα τὰ νομοθετηθέντα πρὸς σωτηρίαν ἡμῶν δύναμαι εἰπεῖν, ὅτι οὐ δεῖ φυλάττειν πάσας τὰς ἐντολάς· ἀλλὰ οὐδὲ αὐτὴ ἡ ψυχὴ ἱκανοῖ καθαρθῆναι, ἐὰν μὴ φυλάξῃ αὐτάς. αἵτινες ὡς φάρμακα καθαίρειν τὰ πάθη καὶ τὰ πλάσματα παρὰ Κυρίου ἐδόθησαν.

Σὺ γινώσκεις, ὅτι ἡ κακία διὰ τῆς παραβάσεως τῶν ἐντολῶν ἐπεισῆλθεν ἡμῖν. λοιπὸν δῆλον, ὅτι ἐν τῇ φυλακῇ πάλιν

ἐπανέρ-

ἐπανέρχεται ἡ ὑγίεια. ἀλλ᾽ ἐδὲ ἐκτὸς τῆς ἐργασίας αὐτῶν δεῖ ἡμᾶς ἐπιθυμεῖν, ἢ ἐλπίζειν τὴν κάθαρσιν τῆς ψυχῆς· ἡνίκα ἐν πρώτοις ἐ βαδίζομεν ἐν τῇ ὁδῷ ἐκείνῃ τῇ ἀπαγέσῃ πρὸς τὴν τῆς ψυχῆς καθαρότητα. καὶ μὴ εἴπῃς, ὅτι ὁ Θεὸς δύναται καὶ χωρὶς τῆς ἐργασίας τῶν ἐντολῶν δωρήσασθαι ἡμῖν χάριτι τὴν κάθαρσιν τῆς ψυχῆς· ὅτι ταῦτα τὰ κρίματά ἐστι τῦ Κυρίε, καὶ ἐ παραγγέλλει ἡ ἐκκλησία τοιαῦτα ἐπερωτᾶν ἡμᾶς. καὶ οἱ Ἰεδαῖοι ἐν τῷ καιρῷ τῆς ἐπανόδε αὐτῶν, τῆς ἀπὸ Βαβυλῶνος πρὸς Ἰερεσαλὴμ, ἐν τῇ ὁδῷ τῇ τετριμμένῃ ὑπὸ τῆς Φύσεως ὡδεύσαν, ἢ ἕτως ἦλθον εἰς τὴν ἁγίαν πόλιν αὐτῶν, ἢ ἐθεάσαντο τὰ θαυμάσια Κυρίε. ἀλλ᾽ ὁ Ἰεζεκιὴλ ὑπὲρ Φύσιν ἐν τῇ ἐργασίᾳ τῆς ἀποκαλύψεως ἡρπάγη, καὶ ἦλθεν εἰς Ἰερεσαλὴμ, καὶ ἐν τῇ ἀποκαλύψει τῇ θεϊκῇ ἐγένετο θεωρὸς τῆς μελλέσης ἀνανεώσεως. κατὰ τῦτον τὸν τρόπον γίνεται καὶ ἐν τῇ τῆς ψυχῆς καθαρότητι. γίνονταί τινες, ὅτι ἐν τῇ ὁδῷ τῇ πατεμένῃ καὶ νομίμῳ τῇ διὰ τῆς Φυλακῆς τῶν ἐντολῶν ἐν πολιτείᾳ πολυμόχθῳ, ἐν τῷ αἵματι αὐτῶν εἰσέρχονται εἰς τὴν τῆς ψυχῆς καθαρότητα· καὶ εἰσὶν ἄλλοι, οἵτινες ἐκ τῆς δωρεᾶς τῆς χάριτος, αὐτῆς ἀξιῦνται. καὶ τῦτό ἐστι τὸ θαυμαστόν· ὅτι τὴν διὰ τῆς χάριτος δωρεμένην ἡμῖν, ἐκ ἐπετράπημεν αἰτήσασθαι ἐν τῇ προσευχῇ, ἢ παραιτήσασθαι τὴν πολιτείαν τῆς ἐργασίας. ἐκείνῳ γὰρ τῷ πλεσίῳ τῷ ἐρωτήσαν-
» τι τὸν Κύριον, πῶς κληρονομήσω τὴν ζωὴν τὴν αἰώνιον, εἶπε (Λεκ. ι. κα.)
» καθαρῶς· Φύλαξον τὰς ἐντολάς. καὶ ὅτε εἶπε ποῖαί εἰσιν αἱ ἐντολαί; εἶπεν αὐτῷ· ἐν πρώτοις ἀπέχεσθαι τῶν ἔργων τῶν κακῶν, καὶ ἕτως ὑπέμνησεν αὐτὸν τῶν Φυσικῶν ἐντολῶν. ὅτε
» δὲ ἐζήτησε περιεσόντι μαθεῖν, εἶπεν αὐτῷ· εἰ θέλεις τέλειος (Ματθ. ιθ. κα.)

εἶναι,

» εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἆρον
τὸν σταυρόν σου, καὶ ἀκολούθει μοι. τοῦτο δέ ἐστιν, ἵνα νεκρωθῇς
πᾶσι τοῖς ὑπάρχουσί σοι, καὶ οὕτω ζήσεις ἐν ἐμοί. ἔξελθε ἐκ
τοῦ κόσμου τοῦ παλαιοῦ τῶν παθῶν, καὶ οὕτως εἰσέρχῃ εἰς τὸν
κόσμον τὸν καινὸν τοῦ πνεύματος. ἆρον, καὶ ἀπόδυσον τὴν
γνῶσιν τῶν τρόπων, καὶ τῆς πανουργίας, καὶ οὕτως ἐνδύῃ τὴν
γνῶσιν τὴν ἁπλῆν τῆς ἀληθείας. ἐν τῷ εἰπεῖν γὰρ ἆρον τὸν (Ματθ. ιϛ. κδ.)
» σταυρόν σου, νέκρωσιν ἐκ πάντων τῶν ἐν τῷ κόσμῳ ἐδίδαξεν ὁ
Κύριος. καὶ ὅτε ἐνέκρωσεν ἐν ἑαυτῷ τὸν παλαιὸν ἄνθρωπον,
ἤτοι τὰ πάθη, τότε εἶπεν αὐτῷ· ἐλθὲ ὀπίσω μου. οὐκ ἔστι τῷ
παλαιῷ ἀνθρώπῳ πορευθῆναι ἐν τῇ ὁδῷ τοῦ Χριστοῦ, καθὼς ὁ
μακάριος Παῦλος εἶπεν· ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ (α. Κορινθ. ιε. ν.)
» κληρονομῆσαι οὐ δύναται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κλη-
ρονομεῖ. καὶ πάλιν· ἐκδύσασθε τὸν παλαιὸν ἄνθρωπον τὸν (Ἐφεσ. δ. κβ.)
» φθειρόμενον κατὰ τὰς ἐπιθυμίας, καὶ τότε δυνήσεσθε ἐνδύ-
» σασθαι τὸν νέον, τὸν ἀνακαινούμενον ἐν ἐπιγνώσει τῆς ὁμοιώσεως
τοῦ κτίσαντος αὐτόν. καὶ πάλιν· τὸ φρόνημα τὸ χοϊκὸν ἔχ- (Ῥωμ. η. ζ.)
» θρα ἐστὶν εἰς Θεόν. τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. οὐδὲ
γὰρ δύναται. οἱ γὰρ ἐν σαρκὶ ὄντες, τὰ τῆς σαρκὸς φρονοῦσι,
καὶ ἀρέσαι τῷ Θεῷ ἐν τῷ φρονήματι τοῦ πνεύματος, οὐ δύναν-
ται. σὺ δὲ, ὦ ἅγιε, ἐὰν ἀγαπᾷς τὴν καθαρότητα τῆς καρδίας,
καὶ τὸ φρόνημα τὸ πνευματικὸν, ὅπερ εἶπας, κολλήθητι ταῖς
δεσποτικαῖς ἐντολαῖς, καθάπερ εἶπεν ὁ δεσπότης ἡμῶν· ἐὰν (Ματθ. ιθ. ιη.)
» ἀγαπᾷς εἰσελθεῖν εἰς τὴν ζωὴν, φύλαξον τὰς ἐντολὰς, διὰ
τὴν ἀγάπην τοῦ τεθεικότος αὐτὰς, καὶ μὴ διὰ φόβον, ἢ ἀμοι-
βὴν τοῦ μισθοῦ. διότι οὐχ ὅτε πράξομεν τὴν δικαιοσύνην γευό-
μεθα τῆς ἡδονῆς τῆς κεκαλυμμένης ἐν αὐτῇ, ἀλλ᾽ ὅτε ὁ πάθος

τῆς

τῆς δικαιοσύνης ἐσθίει τὴν καρδίαν ἡμῶν. καὶ οὐχ ὅτε πράξομεν τὴν ἁμαρτίαν ἁμαρτωλοὶ γινόμεθα, ἀλλ' ὅτε μὴ μισήσωμεν αὐτὴν, καὶ μεταμεληθῶμεν ἐπ' αὐτῇ. καὶ ὃ λέγω ὅτι γέγονέ τις, ἢ τῶν ἀρχαίων, ἢ τῶν ἐσχάτων μὴ φυλάξας τὰς ἐντολὰς, καὶ φθάσας τὴν καθαρότητα τῆς καρδίας, καὶ τῆς θεωρίας τοῦ πνεύματος καταξιωθείς· ἀλλ' ὡς δοκεῖ μοι, ὅστις τὰς ἐντολὰς οὐκ ἐφύλαξε, καὶ κατ' ἴχνος μὴ ὥδευσε τῶν μακαρίων Ἀποστόλων, ἅγιος καλεῖσθαι οὐκ ἄξιος.

Ὁ μακάριος Βασίλειος, καὶ οἱ μακάριοι Γρηγόριοι, περὶ ὧν εἶπας, ὅτι ἦσαν ἀγαπῶντες τὴν ἔρημον, καὶ ἦσαν στύλοι καὶ φῶς τῆς ἐκκλησίας, καὶ ἦσαν ἐπαινοῦντες τὴν ἡσυχίαν, οὐχ ὅτε ἦσαν ἀργοὶ ἐκ τῆς ἐργασίας τῶν ἐντολῶν ἦλθον εἰς τὴν ἡσυχίαν, ἀλλὰ πρῶτον κατῴκησαν ἐν εἰρήνῃ, καὶ ἐφύλαξαν τὰς ἐντολὰς, ἃς ἔδει τοῖς οἰκοῦσι μετὰ πολλῶν φυλάξαι, καὶ οὕτως ἦλθον εἰς τὴν καθαρότητα τῆς ψυχῆς, καὶ ἠξιώθησαν τῆς θεωρίας τοῦ πνεύματος. ἐγὼ πιστεύω ἀληθῶς, ὅτι ὅτε ἦσαν οἰκοῦντες ἐν ταῖς πόλεσι, τοὺς ξένους ἦσαν ὑποδεχόμενοι, τοὺς ἀσθενεῖς τε ἐπισκεπτόμενοι καὶ τοὺς γυμνοὺς ἐνδύοντες, τοὺς τῶν κοπιώντων πόδας ἀπονίπτοντες· καὶ εἰ ἠγγάρευσεν αὐτούς τις μίλιον ἓν, δύω ἀπήρχοντο. καὶ ὅτε ἐφύλαξαν τὰς ἐντολὰς τὰς δεομένας μεταξὺ τῶν πολλῶν ἀναστρέφεσθαι, καὶ ἤρξατο ὁ νοῦς αὐτῶν τῆς πρώτης ἀκινησίας, καὶ τῶν θείων καὶ μυστικῶν θεωριῶν, ἔκτοτε ἐσπούδασαν, καὶ ἐξῆλθον εἰς τὴν ἡσυχίαν τῆς ἐρήμου, καὶ ἔκτοτε ὑπέμειναν μετὰ τοῦ ἔσω αὐτῶν ἀνθρώπου, ὥστε γενέσθαι αὐτοὺς θεωρητικοὺς, καὶ διέμειναν ἐν τῇ θεωρίᾳ τοῦ πνεύματος, ἕως ἂν ἐκλήθησαν ὑπὸ τῆς χάριτος, γενέσθαι αὐτοὺς ποιμένας τῆς ἐκκλησίας τοῦ Χριστοῦ.

Περὶ δὲ ὃ εἴρηκας, ὅτι ποτὲ μὲν ὁ μέγας Βασίλειος τὴν συνοίκησιν τῶν πολλῶν ἐπαινεῖ, ποτὲ δὲ τὴν ἀναχώρησιν, τοῦτό φημι· ὅτι δυσὶ τρόποις εὑρίσκεται τὸ κέρδος ἐν ἀληθείᾳ τοῖς σπουδαίοις, ἑκάστῳ κατὰ τὴν δύναμιν, καὶ τὴν διαφορὰν, καὶ τὸν σκοπὸν, ὃν ἔθηκεν ἐν ἑαυτῷ. γίνεται γάρ ποτε τοῖς δυνατοῖς ὠφέλεια τῇ τῶν πολλῶν συνοικήσει, ποτὲ δὲ καὶ τοῖς ἀσθενέσι, καὶ ἐν τῇ ἐρήμῳ δὲ τὸν αὐτὸν τρόπον ὡσαύτως. τῷ σαθέντι ἐν τῇ τῆς ψυχῆς ὑγιείᾳ, ᾧ καὶ ὁ νοῦς συνεκράθη τῷ πνεύματι, καὶ νεκρώσαντι τῇ πολιτείᾳ τῇ ἀνθρωπίνῳ ἑαυτὸν, οὐ γίνεται ἡ τῶν πολλῶν συνοίκησις βλαβερὰ, ἐὰν νήφῃ τοῖς ἑαυτοῦ, καὶ οὗτος οὐχ ἵνα ὠφεληθῇ, ἀλλ' ἵνα ὠφελήσῃ· ὅτι ἐκ τοῦ Θεοῦ ἐκλήθη ἐν τῷ ὀνόματι τῶν λοιπῶν πατέρων. καὶ τῷ ἀσθενεῖ δὲ, καὶ χρήζοντι ἀκμὴν τοῦ αὐξῆσαι τῷ τῶν ἐντολῶν γάλακτι, ὁμοίως ὠφέλιμον τὸ μετὰ τῶν πολλῶν συνοικεῖν, ἕως ἂν γυμνασθῇ, καὶ κατεργασθῇ, καὶ κολαφισθῇ ἐν τοῖς πειρασμοῖς, καὶ πέσῃ, καὶ ἀναστῇ μεταξὺ τῶν πλειόνων, καὶ κλήσηται τὴν ὑγιείαν τῆς ψυχῆς. οὐκ ἔστι βρέφος μὴ τραφὲν τοῖς τοῦ γάλακτος ῥεύμασι, καὶ οὐκ ἔστι μοναχὸς μὴ τῷ γάλακτι τῶν ἐντολῶν ἐντραφεὶς, κατορθῶν, καὶ νικῶν τὰ πάθη, καὶ τῆς καθαρότητος ἀξιούμενος. τὸν ὅμοιον δὲ τρόπον, ὡς ἔφημεν, καὶ ἡ ἔρημος, ποτὲ μὲν τοῖς ἀσθενέσι καὶ φεύγουσιν ὠφέλιμος, ποτὲ δὲ τοῖς δυναταῖς. τοῖς πρώτοις μὲν, ἵνα μὴ εὑρεθεῖσα ὕλη, ἐκκαυθῶσι αὐτοῖς, καὶ αὐξηθῶσι τὰ πάθη παρασκευάσεις· τοῖς ἰσχυροῖς δὲ, ἐν τῷ μεσάζειν ἐν ὕλῃ, καὶ καταντῆσαι πρὸς τοὺς πολέμους τοῦ πονηροῦ.

Ἐν ἀληθείᾳ γὰρ, ὡς εἶπας, ἡ ἐρημός ἐστιν ἡ κοιμίζουσα τὰ πάθη. ἀλλ' οὐ τοῦτο μόνον ζητεῖται, τὸ κατακοιμῆσαί τινα

τὰ

τὰ ἑαυτοῦ πάθη, ἀλλὰ καὶ ἐκτίλαι. τοῦτο δὲ ἐστι νικῆσαι αὐτὰ, ἡνίκα φιλονεικήσουσιν ἐξ ἐναντίας ἡμῶν. τὰ πάθη γὰρ τὰ κατακοιμιθέντα ἐξυπνίζεται, ὅταν ἀπαντήσῃ αἰτία ἐλθεῖν εἰς τὴν πρᾶξιν αὐτῶν.

Πῶς δὲ μαθήσῃ, ὡς οὐχ ἡ ἔρημος μόνη κοιμίζει τὰ πάθη, καθὼς ἔφης, κατανόησον ἐν τῷ καιρῷ τῆς νόσου, καὶ τῆς πολλῆς ἀσθενείας, ὅτι οὐ σφοδρῶς πολεμοῦσιν ἡμῖν. οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτὰ πολλάκις κατακοιμίζουσιν ἄλληλα, ὅτε δώσουσι τόπον ἀλλήλοις. τὸ πάθος γὰρ τὸ τῆς κενοδοξίας ὑποχωρεῖν τὸ τῆς πορνείας ποιεῖ. καὶ αὖ πάλιν τὸ τῆς πορνείας τὴν δοξομανίαν καταπραΰνει. λοιπὸν μὴ θελήσωμεν καταδιῶξαι τὴν ἔρημον, ὅτι κοιμίζει μόνον τὰ πάθη, ἀλλ᾽ ὅτι ἐν τῇ τῶν αἰσθητῶν ἀπορίᾳ, καὶ τῇ ἐκ πάντων ἀναχωρήσει, σοφιζόμεθα ἐν αὐτῇ, καὶ ἀνακαινίζεται ἡμῖν ὁ ἔσω ἄνθρωπος τοῦ πνεύματος ἐν Χριστῷ, καὶ πᾶσαν ὥραν γινόμεθα θεωρητικοὶ ἑαυτῶν, καὶ γίνεται ὁ νοῦς ἡμῶν γρήγορος, καὶ φυλάττει ἑαυτὸν καθ᾽ ὥραν, μήπως κλαπῇ ἐξ αὐτοῦ ἡ μνήμη τῆς ἐλπίδος αὐτοῦ. ταῦτα, ὡς δοκεῖ μοι, ἀρκεῖ πρὸς τὴν πρώτην ἐρώτησίν σου, εἰ τέως καὶ τούτων ἔχρῃζεν. εἴπωμεν δὲ λοιπὸν καὶ περὶ τῆς δευτέρας· ἡ δὲ ἦν.

Ὅτι διατί ὁ Κύριος ἡμῶν πρὸς τὴν ὁμοίωσιν ἐκείνης τῆς μεγαλωσύνης τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς, τὴν ἐλεημοσύνην ὥρισεν, οἱ Μοναχοὶ δὲ τὴν ἡσυχίαν προτιμῶσιν αὐτῆς; Ἐρώτ.

Ἡ δὲ ἀπόκρισις αὐτῆς, αὕτη. καλῶς, ὅτι ἐκ τοῦ εὐαγγελίου παράδειγμα ἤνεγκας, καὶ τύπον ἐξετάσεως τῆς πολιτείας τῆς μεγάλης τῆς ἡσυχίας. ἡμεῖς κατέναντι ταύτης ἱστάμεθα, καὶ οὐ ζητοῦμεν τοῦ καταργῆσαι αὐτὴν, ὡς πρᾶγμά τι περιττόν. Ἀπόκρ.

ὁ Κύριος τὴν ἐλεημοσύνην ὥρισε πρὸς τὴν ὁμοίωσιν τοῦ ἐπουρανίου πατρὸς, ὡς προσεγγίζουσαν αὐτῷ τοὺς τελοῦντας αὐτήν. τοῦτο ἀληθές. καὶ οὐδὲ ἡμεῖς οἱ Μοναχοὶ τὴν ἡσυχίαν χωρὶς τῆς ἐλεημοσύνης τιμῶμεν, ἀλλ᾽ ὅτι ἐκ τῆς μερίμνης, καὶ τῆς ταραχῆς καθ᾽ ὅσον οἷοί τε ἀπέχεσθαι σπουδάζομεν. οὐχ ὅτε ἐξ ἐναντίας τῶν ἀναγκαίων, ὅταν ἡμῖν ἀπαντήσωσιν, ἀντιστῆναι βουλόμεθα, ἀλλὰ φροντίζομεν τῆς ἡσυχίας, ἵνα ἐν τῇ ἀδολεσχίᾳ τοῦ Θεοῦ διαμείνωμεν. ἐν ᾗ δυνάμεθα ἐπὶ πλέον δαψιλευθῆναι τῆς θαλάσσεως, καὶ προσεγγίσαι αὐτῷ. ἐὰν δὲ ἅπαξ ποτὲ πρὸς ποσότητα καιρῶν ἐπέλθῃ ἡμῖν χρεία τις ἀναγκαία ἀδελφῶν, μηδὲ ταύτης ἀμελεῖν προσήκει. ἀναγκάσωμεν οὖν ἑαυτοὺς διηνεκῶς, ἵνα γενώμεθα ἐν παντὶ καιρῷ ἔσωθεν ἐλεήμονες ὑπὲρ πάσης τῆς φύσεως τῶν λογικῶν. οὕτω γὰρ ἐπιτρέπει ἡμῖν ἡ διδασκαλία τοῦ Κυρίου. καὶ αὕτη ἐστὶν ἡ διαφορὰ τῆς ἡσυχίας ἡμῶν, καὶ οὐχ ὡς ἔτυχε. καὶ οὐ μόνον ταύτην τὴν ἔσωθεν ἡμῶν φυλάξαι, ἀλλὰ καὶ ὅταν καλῇ καιρὸς τῶν ἔργων, καὶ ἀνάγκη τῶν πραγμάτων, μὴ ἀμελεῖν τοῦ δεῖξαι τὴν ἀγάπην αὐτοῦ φανερῶς χρή. καὶ μάλιστα ἐὰν τὴν παντελῆ ἡσυχίαν οὐκ ἔχωσιν καθ᾽ ἑαυτοὺς, τοῦ μὴ ἀπαντῆσαί τινι, ἀλλὰ τῷ κανόνι τῶν ἑβδομάδων, καὶ τῶν ἑπτάκις ἑπτὰ ποιούντων ἑαυτοῖς ἡσυχίαν στοιχῶσιν. οἱ γὰρ τοιοῦτοι ἐκ τῶν πραγμάτων τῆς ἐλεημοσύνης τῆς πρὸς τὸν πλησίον, οὐδὲ ἐν μέσῳ τῶν ὅρων τῶν κανόνων αὐτῶν ὄντες, πρὸς τὸ πληρῶσαι τούτους κατέχουσιν ἑαυτούς· εἰ μή τίς ἐστι πολὺ ἀπότομος, καὶ ὠμὸς, καὶ ἀπάνθρωπος, καὶ κατέναντι τοῦ προσώπου καὶ τῶν ὀφθαλμῶν κρατεῖ τὴν ἡσυχίαν. διό περ γινώσκομεν, ὅτι χωρὶς τῆς τοῦ πλησίον ἀγάπης, οὐδὲ ὁ νοῦς δύναται ἐν τῇ ὁμιλίᾳ, καὶ τῇ ἀγάπῃ τῇ θείᾳ φωτισθῆναι.

Τίς

Τίς γὰρ νῦν Μοναχὸς ἐκ τῶν σοφῶν, ἔχων διατροφὰς, καὶ ἐνδύματα, καὶ ὁρῶν τὸν αὐτοῦ πλησίον πεινῶντά τε καὶ γυμνητεύοντα, οὐ μεταδίδωσιν ὧν ἔχει, ἀλλὰ φείδεταί τινος ἐξ αὐτῶν; ἢ πάλιν τίς τινα τῶν ἀπὸ τῆς αὐτῆς σαρκὸς θεωρῶν νόσῳ τρυχόμενον, καὶ μόχθῳ ταλαιπωρούμενον, καὶ χρείαν ἐπισκέψεως ἔχοντα, αὐτὸς διὰ τὸν πόθον τῆς ἡσυχίας τὸν κανόνα τοῦ ἐγκλεισμοῦ τῆς ἀγάπης τοῦ πλησίον προτιμᾷ; ὅταν δέ τινα τοιαῦτα μὴ ᾖ, ἐν τῷ νοῒ τὴν ἀγάπην φυλάξωμεν, καὶ τὴν ἐλεημοσύνην τὴν εἰς τοὺς ἀδελφούς. τῶν γὰρ πραγμάτων ὄντων ἐγγὺς, καὶ ἔργῳ πληρῶσαι, καὶ τελειῶσαι ταύτην ἀπαιτεῖ παρ' ἡμῶν ὁ Θεός. δῆλον οὖν, ὅτι εἰ οὐκ ἐκτησάμεθά τι, οὐκ ἐπετράπημεν πεσεῖν εἰς μέριμναν καὶ ταραχὴν ἕνεκα τῶν πτωχῶν. ἐὰν γὰρ ἔχωμεν, ἀπαιτούμεθα. καὶ πάλιν ἐὰν ἀπέχωμεν ἐν τῇ διαγωγῇ ἡμῶν ἐκ τοῦ συγκαθῆσθαι, καὶ συναναμίγνυσθαι ταῖς θεωρίαις τῶν ἀνθρώπων, οὐ χρεὼν καταλιπεῖν ἡμᾶς τὸ κελλίον ἡμῶν, καὶ τὸ κάθισμα τὸ μοναστικὸν καὶ ἀναχωρητικὸν, καὶ ἐκδοῦναι ἑαυτοὺς πρὸς τὸ γυρεῦσαι εἰς τὸν κόσμον, καὶ ἐπισκέψασθαι τοὺς ἀῤῥώστους, καὶ ἀσχολεῖσθαι ἐν πράγμασι τοιούτοις. δῆλον γὰρ, ὅτι ἀπὸ τῶν μειζόνων εἰς τὰ ἐλάττω τὰ τοιαῦτα ἔρχονται. ἐὰν δέ τις συνοικῇ τοῖς πολλοῖς, καὶ πλησίον τῶν ἀνθρώπων ἢ εἰς τὴν διαμονὴν τοῦ καθίσματος αὐτοῦ τὴν μετ' αὐτῶν, καὶ ἀναπαύηται ἐν κόποις ἑτέρων, εἴτε τῷ τῆς ὑγιείας, εἴτε τῷ τῆς ἀῤῥωσίας καιρῷ, τὸ αὐτὸ καὶ αὐτὸς ὀφείλει ποιῆσαι. ἀλλ' οὐκ αὐτὸς μὲν ἐντελῶς ἐξ ἄλλων ἀπαιτεῖν τὴν ἀνάπαυσιν, ὅταν δὲ ἴδῃ τὸν υἱὸν τῆς ἑαυτοῦ σαρκὸς, καὶ τοῦ αὐτοῦ σχήματος ἐν στενώσει, μᾶλλον δὲ τὸν Χριστὸν ἐῤῥιμμένον, καὶ μοχθοῦντα, ὑποχωρεῖν καὶ κρύπτεσθαι ἐξ αὐτοῦ, ἡνίκα

κα φαντάζεται τὴν ψευδῆ ἡσυχίαν αὐτῦ. ἕκαςος δὲ τοιῦτος, ἀνελεήμων ἐςί.

Καὶ μή μοι εἰς μνήμην ἀγάγης Ἰωάννην τὸν τῆς Θηβαΐδος, καὶ τὸν Ἀρσένιον, ἢ εἴπῃς ὅτι τὶς τούτων εἰς τὰ τοιαῦτα ἐξέδωκεν ἑαυτὸν, ἢ ἐπεμελήσατο τῶν ἀῤῥώςων, καὶ τῶν πτωχῶν, καὶ ἠμέλησε τῆς ἡσυχίας αὐτῦ; μὴ ἐγγίσῃς πράγμασί τισι τοιούτων. ἐὰν γὰρ ἀπέχῃς ἀπὸ πάσης ἀναπαύσεως καὶ ἀπαντήσεως ἀνθρώπων, ὡς ἦσαν οὗτοι, ἐπιτρέπεταί σοι ὁ Κύριος καταφρονεῖν τῶν τοιούτων. ἐὰν δὲ ἐξ ἐκείνης τῆς τελειότητος ἀπέχῃς, καὶ ἐν τοῖς κόποις τοῦ σώματος, καὶ τῇ συντυχίᾳ τῶν ἀνθρώπων ὑπάρχῃς ἐν παντὶ καιρῷ, διατὶ ἀμελεῖς εἰς τὰς ἐντολὰς, (ἃς τὸ μέτρον σου δέον φυλάξαι) διατρίβειν προφασιζόμενος εἰς τὴν πολιτείαν τὴν μεγάλην τῶν ἁγίων, ἧ τινι οὐ προσήγγισας;

Ἐγὼ δὲ οὐκ ἀμελήσαιμι τῆς τοῦ ἁγίου Μακαρίου τοῦ μεγάλου χρήσεως ἀπομνημονεῦσαι. ἥτις πρὸς ἔλεγχον τῶν καταφρονούντων τῶν ἀδελφῶν αὐτῶν ἐσημάνθη. ἀπῆλθε γὰρ ἅπαξ ἐπισκέψασθαί τινα ἀδελφὸν ἀσθενοῦντα, καὶ ἐρωτήσαντος τοῦ μεγάλου, εἰ ἐπιθυμεῖ τινὸς ὁ ἀῤῥωςῶν, τοῦ δὲ ἀποκριναμένου, ὀλίγου τρυφεροῦ ἄρτου, διὰ τὸ τοὺς Μοναχοὺς ἅπαντας τότε ποιεῖν τὸν ἄρτον τοῦ ὅλου ἐνιαυτοῦ, ὡς ἐπὶ τὸ πολὺ, (οὕτω γὰρ ἦν τὸ ἔθος τοῦ τόπου ἐκείνου) εὐθέως ἀναςὰς ὁ ἀξιομακάριςος ἐκεῖνος ἀνὴρ, καίπερ τυγχάνων ἐτῶν ἐνενήκοντα, ἐκ τῆς σκήτεως εἰς τὴν Ἀλεξάνδρειαν ἐπορεύθη, καὶ ἠλλάξατο τοὺς ξηροὺς ἄρτους, οὓς ἔλαβεν ἐν τῷ μηλωταρίῳ, εἰς ἁπαλοὺς, καὶ ἤνεγκε τούτους τῷ ἀδελφῷ.

Ἀλλὰ

Ἀλλὰ καὶ ὁ ὅμοιος τούτῳ τῷ μεγάλῳ, ὁ ἀββᾶς Ἀγάθων, καὶ τούτου μεῖζον εἰργάσατο· ἀνὴρ ἐμπειρότατος πάντων τῶν κατ' ἐκεῖνον τὸν καιρὸν Μοναχῶν, καὶ τὴν σιωπὴν, καὶ τὴν ἡσυχίαν ὑπὲρ πάντας τιμῶν. οὗτος τοίνυν ὁ θαυμασὸς ἐν καιρῷ πανηγύρεως ἀπήει πωλῆσαι τὸ ἐργόχειρον αὐτοῦ, καὶ εὗρεν ἐν τῇ ἀγορᾷ ξένον τινὰ ἐῤῥιμμένον, καὶ ἀσθενοῦντα, καὶ ἐμισθώσατο οἶκον, καὶ ἔμενε παρ' αὐτῷ ταῖς ἰδίαις χερσὶν ἐργαζόμενος, καὶ τὸ τίμημα ὑπὲρ αὐτοῦ δαπανώμενος, καὶ ὑπηρέτει αὐτῷ μῆνας ἕξ, ἕως ἂν ὁ ἐν ἀσθενείᾳ οὗτος, γέγονεν ὑγιής. οὗτος (καθὼς διηγεῖται ἡ ὑπόθεσις) ἔλεγεν, ὅτι ἤθελον εὑρεῖν λωβὸν, καὶ δοῦναι αὐτῷ τὸ σῶμά μου, καὶ λαβεῖν τὸ αὐτοῦ. αὕτη ἐςὶν ἡ τελεία ἀγάπη.

Οἱ Φοβούμενοι τὸν Θεὸν, ὦ ἀγαπητὲ, εὐμαρῶς προθυμοῦνται, καὶ προνοοῦσι Φυλάξαι τὰς ἐντολάς. καὶ ἐὰν ἐπ' ἔργοις ἐγγένηται πεσεῖν εἰς τὰς χεῖρας αὐτῶν ἡ εὕρεσις αὐτῶν, καὶ κίνδυνον ὑποφέρουσι χάριν αὐτῶν. ἐδέσμησε τὴν τελειότητα αὐτῶν, καὶ ἐκρέμασεν ὁ ζωοποιὸς ἐν δυσὶν ἐντολαῖς περιεχούσαις πάσας, τῇ ἀγάπῃ τοῦ Θεοῦ, καὶ τῇ ὁμοίᾳ τῆς κτίσεως αὐτῆς, τῇ ἀγάπῃ τῆς εἰκόνος αὐτοῦ. καὶ ἡ μὲν πρώτη, τὸν σκοπὸν κατορθοῖ τῆς θεωρίας τοῦ πνεύματος· ἡ δὲ δευτέρα, θεωρίαν καὶ πρᾶξιν. διότι ἡ Φύσις ἡ θεϊκὴ ἁπλῆ ἐςὶ, καὶ ἀσιώθετος, καὶ ἀόρατος, καὶ ἀνενδεὴς κατὰ τὴν Φύσιν. οὐ χρήζει γὰρ ἡ συνείδησις κατὰ τὴν Φύσιν ἐν τῇ ἀδολεσχίᾳ αὐτῆς πράξεως σωματικῆς, καὶ ἐνεργείας τινὸς, καὶ ἐννοιῶν παχύτητος. ἁπλῆ γάρ ἐςιν ἡ ἐνέργεια αὐτῆς, καὶ ἐν τῷ ἑνὶ μέρει τοῦ νοὸς κατὰ τὴν ἁπλότητα τῆς προσκυνητῆς αἰτίας, τὴν ὑπὲρ αἴσθησιν τῆς αἰσθήσεως τῆς σαρκὸς ἐνεργεῖ· ἡ δευτέρα δὲ ἐντολὴ,

ἥτις

ἥτις ἐστὶν ἡ φιλανθρωπία κατὰ τὸ διπλοῦν τῆς φύσεως, οὕτω καὶ ἡ μέριμνα τῆς ἐργασίας αὐτοῦ ἐν διπλότητι ἐστί. λέγω δὲ, ὅτι ὅπερ ἐν τῇ συνειδήσει πληροῦμεν ἀοράτως, θέλομεν καὶ ἐν τῷ σώματι πληρῶσαι ὁμοίως, καὶ οὐ μόνον φανερῶς, ἀλλὰ καὶ κρυπτῶς. καὶ ἡ ἐν τοῖς πράγμασι τελειουμένη, καὶ ἐν τῇ συνειδήσει θέλει τελειοῦσθαι ὡσαύτως.

Καθάπερ γὰρ ὁ ἄνθρωπος ἐκ δύω μερῶν ἐγένετο, ἐκ ψυχῆς λέγω, καὶ σώματος, οὕτω τὰ αὐτοῦ πάντα διπλῶς φροντίζονται, κατὰ τὸ διπλοῦν τῆς καταστάσεως αὐτοῦ. καὶ ὅτι προηγεῖται ἡ πρᾶξις τῆς θεωρίας ἐν παντὶ τόπῳ, ἀδυνατόν τινα ὑψωθῆναι εἰς τὸ μέρος ἐκείνης τῆς ὑψηλῆς, εἰ μὴ πρῶτον τελειώσῃ τὴν ὑποδεεστέραν τῷ ἔργῳ. καὶ νῦν οὐδεὶς ἄνθρωπος τολμᾷ εἰπεῖν περὶ τῆς κλήσεως τῆς ἀγάπης τοῦ πλησίον, ὅτι ἐν τῇ ψυχῇ αὐτοῦ κατορθοῖ, ἐὰν ἀπολειφθῇ τοῦ μέρους ἐκείνου, ὅπερ ἐν τῷ σώματι πληροῦται κατὰ δύναμιν, καὶ κατὰ τὸν καιρὸν, καὶ τὸν τόπον τὸν παρέχοντα χεῖρα εἰς τὸ πρᾶγμα. τότε γὰρ πιστεύεται, ὅτι ἡ ἀγάπη ἡ ἐν θεωρίᾳ κατέχεται, καὶ γνωρίζεται. καὶ ὅτε ἐν τούτοις γινόμεθα πιστοὶ καὶ ἀληθινοὶ κατὰ τὸ δυνατὸν, τότε πρὸς τὸ μέρος τὸ μέγα τῆς θεωρίας τῆς ὑψηλῆς καὶ θεϊκῆς δίδοται τῇ ψυχῇ δύναμις, ἐκτείνεσθαι ἐν ταῖς ἐννοίαις ταῖς ἁπλαῖς καὶ ἀνομοίοις. ὅπου δὲ οὐκ ἔστι τῷ ἀνθρώπῳ τὴν τοῦ πλησίον ἀγάπην τελειῶσαι ἐν τοῖς πράγμασι τοῖς ὁρατοῖς, καὶ τῷ σώματι, ἀρκεῖ πρὸς τὸν Θεὸν ἡ ἐν τῷ φρονήματι μόνη τελειουμένη ἀγάπη τοῦ πλησίον ἡμῶν, μάλιστα ἐὰν τὸ μέρος ἐκεῖνο τοῦ ἐγκλεισμοῦ, καὶ τῆς ἡσυχίας, καὶ ἡ ἐν αὐτῇ ὑπεροχὴ ἀρκέντως διαμείνῃ ἐν τῇ ἐργασίᾳ αὐτῆς.

Ἐὰν

Ἐὰν δὲ ἐξ ὅλων τῶν μερῶν ἐκείνης τῆς ἡσυχίας ὑςερέμεθα, πληρώσωμεν τὴν ἔλλειψιν αὐτῆς εἰς τὴν μετ' αὐτὴν ἐντολὴν, ἥτις ἐςὶν ἡ πρᾶξις ἡ αἰσθητὴ, ἥντινα ὡς πλήρωμα τῆς ἀναπαύσεως τῆς ζωῆς ἡμῶν πληρώσωμεν ἐν τῷ κόπῳ τοῦ σώματος ἡμῶν· ἵνα μὴ εὑρεθῇ ἡ ἐλευθερία ἡμῶν πρόφασις ὑποταγῆναι τῇ σαρκὶ, ἡνίκα ἐν τῷ ἀναχωρητικῷ ὀνόματι ματαίως κοπιῶμεν. δῆλον γὰρ, ὅτι οὐκ ἐπετράπη ὁ ἐκ τῆς συντυχίας τῶν ἀνθρώπων ἀπορῶν τελείως, καὶ ἐν τῷ Θεῷ ἐννοῶν ὁλοτελῶς, ἡνίκα ἐςὶ νεκρὸς ἐκ πάντων ἐν τῇ ἀπ' αὐτῶν ἀποχῇ ὑπηρετεῖν, καὶ διακονεῖν τοῖς ἀνθρώποις. ὁ δὲ ἔχων (1) τὸν κανόνα τῆς ἡσυχίας αὐτοῦ ἐν ὅρῳ ἑβδομάδων ἑπτὰ, ἢ καθ' ἑβδομάδα, καὶ μετὰ τὸ πληρῶσαι τὸν κανόνα αὐτοῦ ἀπαντᾷ, καὶ συμμίσγεται τοῖς ἀνθρώποις, καὶ συμπαραμυθεῖται μετ' αὐτῶν, καὶ ἀμελῶν εἰς τοὺς ἐν θλίψεσιν ὄντας ἑαυτοῦ ἀδελφοὺς, ἡνίκα δοκεῖ κατέχειν ἐν δεσμῷ τὸν ἑβδοματιαῖον κανόνα, οὗτος ἀνηλεὴς, καὶ ἀπότομος. ἔκδηλον δὲ ἐςιν, ὅτι διὰ τὸ μὴ ἔχειν ἐλεημοσύνην αὐτὸν, καὶ ἐκ τῆς οἰήσεως, καὶ ἐκ τῶν ψευδῶν λογισμῶν ἑαυτοῦ τοῖς τοιούτοις κοινωνῆσαι οὐ συγκαταβαίνει πράγμασιν.

Ὁ καταφρονῶν τοῦ ἀσθενοῦς, οὐκ ὄψεται φῶς. καὶ ὁ ἀποςρέφων τὸ ἑαυτοῦ πρόσωπον ἐκ τοῦ ἐν ςενοχωρίᾳ ὄντος, ἡ ἡμέρα αὐτοῦ σκοτισθήσεται. καὶ τοῦ καταφρονοῦντος τῆς φωνῆς τοῦ ἐν μόχθῳ ὄντος, οἱ υἱοὶ τῶν οἴκων ἑαυτοῦ ἐν τῇ ἀορασίᾳ ψηλαφήσουσι.

Μὴ

(1) Τὰ ἀπὸ τοῦ, ὁ δὲ ἔχων, ἄχρι τοῦ, πάλιν ἐν τῇ ἐπιςολῇ σου κεῖνται καὶ ἐν τῇ 521. σελ.

Μὴ καθυβρίσωμεν τὸ ὄνομα τὸ μέγα τῆς ἡσυχίας ἐν τῇ ἀγνωσίᾳ ἡμῶν. πάσῃ γὰρ πολιτείᾳ καιρός ἐςι, καὶ τόπος, καὶ διαφορά. καὶ τότε τῷ Θεῷ ἔγνωςαι, εἰ δεκτὴ γενήσεται πᾶσα ἡ ἐργασία αὐτῆς. καὶ ἐκτὸς τέτων, ματαία ἡ ἐργασία αὐτῶν πάντων, τῶν τὸ μέτρον μεριμνώντων τῆς τελειότητος. ὁ προσδοκῶν παρακληθῆναι, καὶ ἐπισκεφθῆναι τὴν ἀσθένειαν αὐτῆ ἐξ ἄλλων, ἔτος ταπεινώσει ἑαυτὸν, καὶ συγκοπιάσει τῷ πλησίον ἑαυτῆ ἐν τοῖς καιροῖς, ἐν οἷς πειράζεται· ἵνα γένηται ἡ ἐργασία αὐτῆ ἐν χαρᾷ ἐν τῇ ἡσυχίᾳ ἑαυτῆ ἀπέχεσα ἀπὸ πάσης οἰήσεως, καὶ πλάνης τῶν Δαιμόνων. ἐῤῥέθη τινὶ τῶν ἁγίων γνωςικῷ ὄντι, ὅτι ἐδὰν δύναται λυτρώσασθαι τὸν Μοναχὸν ἐκ τῆ τῆς ὑπερηφανίας Δαίμονος, καὶ συνεργῆσαι τῷ ὅρῳ τῆς ἑαυτῆ σωφροσύνης ἐν τῷ καιρῷ τῆς ἐξάψεως τῆ πάθες τῆς πορνείας, ὡς ἐκεῖνο, τὸ, τὲς ἀνθρώπες τὲς κατακειμένες ἐν ταῖς ἑαυτῶν ςρωμναῖς, καὶ τὲς κατατηχθέντας ἐν τῇ θλίψει τῆς σαρκὸς, ἐπισκέπτεσθαι.

Μεγάλη ἐςὶν ἡ πρᾶξις ἡ ἀγγελικὴ τῆς ἡσυχίας, ὅταν διάκρισιν τοιαύτην συμμίξῃ ἑαυτῇ διὰ τὴν χρείαν τῆς ταπεινώσεως. ἔνθα γὰρ ἐ γινώσκομεν, κλεπτόμεθα καὶ πορθέμεθα. ταῦτα εἶπον ἀδελφοὶ, ἐχ ἵνα ἀμελήσωμεν, καὶ καταφρονήσωμεν εἰς τὸ ἔργον τῆς ἡσυχίας. ἡμεῖς γὰρ εἰς ἕκαςον τόπον περὶ τέτε πείθομεν, καὶ ἐκ ἐξ ἐναντίας τῶν ῥημάτων ἡμῶν ἀνθιςάμενοι εὑρέθημεν νῦν. μηδεὶς λάβῃ, καὶ ἐξαγάγῃ λόγον γυμνὸν ἐκ τῶν λόγων ἡμῶν, καὶ ἀφῇ τὸ ὑπόλοιπον, καὶ κρατήσῃ αὐτὸν ἐν ταῖς ἑαυτῆ χερσὶν ἀνοήτως. ἐγὼ μνημονεύω, ὅτι ἐν τόποις πολλοῖς εἶπον παρακαλῶν, ὅτι καὶ ἐὰν συμβῇ τινὶ ἐν ἀργίᾳ τελείᾳ εἶναι ἐν τῷ ἑαυτῆ κελλίῳ, διὰ τὴν ἀνάγ-

κην

κίω τῆς ἀσθενείας ἡμῶν τῆς ἐπερχομένης ἡμῖν, χάριν τούτου οὐ δεῖ ἐπιλέγεσθαι τελείαν ἔξοδον ἐξ αὐτοῦ, καὶ τὴν ἐξωτέραν ἐργασίαν κρείττονα εἶναι τῆς ἐργασίας τῆς ἐκεῖσε λογίσασθαι. ἔξοδον δὲ τελείαν εἶπον, οὐχὶ ἐὰν ἀπαντήσῃ ἡμῖν ἐν καιρῷ πρᾶγμα ἀναγκαῖον, ἵνα ἐξέλθῃς ἐν αὐτῷ ἑβδομάδας τινὰς τοῦ ἐμπορεύσασθαι ἐν αὐταῖς τὴν ἀνάπαυσιν, καὶ τὴν ζωὴν τοῦ πλησίον σου, ἤδη τοῦτο ἀργίαν ψηφίσῃ, καὶ ἀσχολίαν λογίσῃ. ἐὰν δέ τις δοκήσῃ ἐν ἑαυτῷ, ὅτι τέλειός ἐστι, καὶ ἀνώτερος ἐκ πάντων τῶν ἐνταῦθα ἐν τῇ διαμονῇ αὐτοῦ τῇ πρὸς τὸν Θεὸν, καὶ τῇ ἀποχῇ ἐκ πάντων τῶν ὁρωμένων πραγμάτων, εὐλόγως καὶ ἐκ τούτων παραιτησάσθω. μεγάλη ἐστὶν ἡ ἐργασία τῆς διακρίσεως τῶν συνεργουμένων ὑπὸ τοῦ Θεοῦ. ὃς τῷ ἐλέει αὐτοῦ δώῃ ἡμῖν πληρῶσαι τὸν λόγον ἑαυτοῦ, ὃν εἴρηκε λέγων· » εἴτι θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς » ὁμοίως. αὐτῷ ἡ δόξα, καὶ ἡ τιμὴ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λουκ. ϛ. λα.

Πάλιν ἐν τῇ ἐπιστολῇ σου ἔγραψας, ὅτι ὁ Μοναχὸς ὁ θέλων ἀγαπῆσαι τὸν Θεὸν πλέον πάντων, μεριμνῆσαι ὀφείλει περὶ τῆς καθαρότητος τῆς ἑαυτοῦ ψυχῆς. καὶ καλῶς εἶπας, ἐὰν ἱκανοῖς πρὸς τοῦτο. καὶ ἐπειδὴ ἔφης πάλιν, ὅτι οὐκ ἔχει ἡ ψυχὴ παῤῥησίαν ἐν τῇ εὐχῇ, ἡ μὴ ἀκμὴν τὰ πάθη νικήσασα, ἐμοὶ τὰ δύω ταῦτα ἐναντία δοκεῖ, καίτοι ἰδιώτης εἰμί. εἰ γὰρ τὰ πάθη οὐκ ἐνίκησε, πῶς μεριμνᾷ τὴν καθαρότητα; καὶ ἐπεὶ ἐκ τοῦ κανόνος τῆς δικαιοσύνης τῆς πνευματικῆς οὐκ ἐπιτέτραπται αὐτῇ, ὅτε τὰ πάθη αὐτῆς οὐκ ἐνίκησε, ζητεῖς ὅπερ ἐστὶν ὑψηλότερον αὐτῆς; οὐ γὰρ ἐξ ὧν ἐπιθυμεῖ τὶς, γνωρίζεται ὅτι ἀγαπᾷ, ἀλλ' ἐξ ὧν ἀγαπᾷ, καταλαμβάνεται ὅτι

ἐπιθυμεῖ. ὁ πόθος γὰρ κατὰ φύσιν προηγεῖται τῆς ἐπιθυμίας. εἰ μὴ ἀγαπήσειεν, ἐδὲ ἐπιθυμήσει. τὰ πάθη γὰρ θύρα εἰσὶ κεκλεισμένη ἐπὶ πρόσωπον τῆς καθαρότητος. καὶ ἐὰν τὴν κεκλεισμένην θύραν μὴ ἀνοίξῃ τὶς, εἰς χώραν ἁγνὴν καὶ καθαρὰν τῆς καρδίας ἐκ εἰσελεύσεται. καὶ ἐκεῖνο ὅπερ εἴρηκας, ὅτι ἐκ ἐν παῤῥησίᾳ γίνεται ἡ ψυχὴ ἐν τῇ ὥρᾳ τῆς προσευχῆς, ἀληθῶς ἔφης. ἡ παῤῥησία γὰρ ἐχὶ μόνον ὑπεράνω τῶν παθῶν ἐςὶν, ἀλλὰ καὶ τῆς καθαρότητος. καὶ ἕτω γίνεται ἡ τάξις τῆς παραδόσεως, καθὼς λέγω· ἡ μετὰ βίας ὑπομονὴ ἀντιπαλαίει τοῖς πάθεσιν ὑπὲρ τῆς καθαρότητος. ἐὰν ἓν νικηθῇ τὰ πάθη, προσκτᾶται ἡ ψυχὴ τὴν καθαρότητα. ἡ καθαρότης δὲ ἡ ἀληθὴς ποιεῖ κτᾶσθαι τὸν νᾶν παῤῥησίαν ἐν τῇ ὥρᾳ τῆς προσευχῆς.

Ἆρα ἓν καὶ αὐτὴν ἴσως, ἣν εἴπομεν καθαρότητα τῆς ψυχῆς, αἰτέμενοι ἐν προσευχῇ, ὑπὸ τὴν μέμψιν ἐσμὲν, ἢ αὕτη ἡ αἴτησις τῆς ὑπερηφανίας καὶ τῆς οἰήσεως, τὸ αἰτήσασθαι παρὰ τῷ Θεῷ ἐκεῖνο, ὅπερ ἡ θεία γραφὴ, καὶ οἱ πατέρες ἡμῶν παραγγέλλεσι, καὶ αὐτὸς ὁ Μοναχὸς ὀπίσω αὐτῷ ἐξῆλθεν εἰς τὴν ἀναχώρησιν; ἀλλ᾽ ἐγὼ νομίζω, ἅγιε, ὅτι ὥσπερ ὁ υἱὸς ἐ διςάζει εἰς τὸν πατέρα αὐτῷ, καὶ ἐκ αἰτεῖται παρ᾽ αὐτῷ ἕτω λέγων· δίδαξόν με τέχνην, ἢ δός μοι τὶ, ἕτω πρέπει τῷ Μοναχῷ μὴ διακρίνειν, καὶ αἰτεῖσθαι παρὰ τῷ Θεῷ, δός μοι τάδε, καὶ τάδε. διότι γινώσκει, ὅτι ὑπὲρ ὃ προνοεῖται ὁ πατὴρ τῷ υἱῷ, ἡ πρόνοια τῷ Θεῷ ἐςὶν εἰς ἡμᾶς. καὶ διὰ τῦτο λοιπὸν πρέπει ἡμῖν ταπεινῶσαι ἑαυτὲς, καὶ πενθῆσαι ὑπὲρ τῶν αἰτίων τῶν παραπτωμάτων, τῶν ἐκτὸς τῷ θελήματος ἡμῶν, εἴτε ἐν τοῖς λογισμοῖς, εἴτε ἐν τοῖς ἔργοις ἐπράχθη παρ᾽ ἡμῶν, καὶ

εἰπεῖν

„ εἰπεῖν ἐν καρδίᾳ συντετριμμένῃ τὸ τῦ Τελώνυ, ὁ Θεὸς ἱλάσθη- Λυκ. ιη. ιγ.
„ τίμοι τῷ ἁμαρτωλῷ, καὶ ἐργάσασθαι κρυπῖως, καὶ φανερῶς
„ ὅπερ ἐδίδαξεν ὁ Κύριος εἰπών· ὅταν ποιήσητε πάντα τὰ προσ- Λυκ. ιζ. ι.
„ τεταγμένα ὑμῖν, εἴπατε, ὅτι ἀχρεῖοι δῦλοί ἐσμεν, ὃ ὠφείλομεν
„ ποιῆσαι πεποίηκαμεν· ἵνα ἡ συνείδησίς συ μαρτυρῇ σοι, ὅτι
ἀχρεῖος εἶ, καὶ χρείαν ἔχεις ἐλέυς. γινώσκεις δὲ καὶ σὺ, ὅτι
ὐ τὰ ἔργα ἀνοίγυσι τὴν θύραν τὴν κεκλεισμένην τὴν ἐν καρδίᾳ,
ἀλλὰ καρδία συντετριμμένη, καὶ ταπείνωσις ψυχῆς, ὅτε νι-
κήσεις τὰ πάθη ἐν τῇ ταπεινώσει, καὶ ὐκ ἐν τῇ περιφρονήσει.
ἐκεῖνος γὰρ ὁ νοσῶν, ἐν πρώτοις ταπεινῦται, καὶ περὶ τῆς
ὑγιείας τῶν ἐν αὐτῷ παθῶν μεριμνᾷ, καὶ τότε ἐκζητεῖ γενέ-
σθαι βασιλεύς. ἡ καθαρότης γὰρ, καὶ ἡ τῆς ψυχῆς ὑγίεια
ἐςιν ἡ τῆς ψυχῆς βασιλεία.

Καὶ τίς ἐςιν ἡ βασιλεία τῆς ψυχῆς; ὥσπερ ὁ νοσῶν ὐ λέ-
γει τῷ πατρὶ αὐτῦ, ποίησόν με βασιλέα, ἀλλὰ μεριμνᾷ πρῶ-
τον περὶ τῆς ἀῤῥωςίας αὐτῦ, καὶ μετὰ τὴν ὑγείαν ἐκ παντὸς
ἡ βασιλεία τῦ πατρὸς αὐτῦ ἐκείνυ ἐςὶν, ὕτω καὶ ὁ ἁμαρτω-
λὸς, καὶ μετανοῶν, λαμβάνων τῆς ἑαυτῦ ψυχῆς τὴν ὑγίειαν,
εἰσέρχεται μετὰ τῦ πατρὸς εἰς τὴν χώραν τῆς φύσεως τῆς
καθαρᾶς, καὶ βασιλεύει ἐν τῇ δόξῃ τῦ πατρὸς αὐτῦ.

Ὅτε μνημονεύομεν τῦ ἁγίυ ἀποςόλυ Παύλυ τὰ ἑαυτῦ
πλημμελήματα διηγυμένυ, καὶ ἐν τῷ ἐσχάτῳ μέρει καὶ κατω-
„ τέρῳ τὴν ἑαυτῦ τιθεμένυ ψυχήν· Ἰησῦς Χριςός φησιν εἰς α. Τιμ. α. ιε.
„ τὸν κόσμον ἦλθεν ἁμαρτωλὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ·
„ ἀλλὰ διὰ τῦτο ἠλέησέ με, ἵνα ἐν ἐμοὶ πρῶτον ἐνδείξηται ἅπα-
„ σαν τὴν ἑαυτῦ μακροθυμίαν. διότι ἐξ ἀρχῆς διώκτης ἤμην,
καὶ λοίδορος, καὶ βλάσφημος, ἀλλὰ ἠλεήθην, ὅτι ἀγνοῶν

ἔπραξα ἐν ἀπιςίᾳ. ταῦτα πότε, καὶ ἐν ποίῳ καιρῷ ἔλεγε; μετὰ τὲς ἀγῶνας τὲς μεγάλες, καὶ τὰ ἔργα τὰ δυνατὰ, μετὰ τὸ κήρυγμα, ὃ ἐκήρυξεν ἐν ὅλῳ τῷ κόσμῳ, κατὰ τὸ εὐαγγέλιον τῦ Χριςῦ, μετὰ τὲς θανάτες τὲς συνεχεῖς, καὶ τὰς θλίψεις τὰς πολυτρόπες, ἃς ἔπαθεν ἐκ τῶν Ἰεδαίων, καὶ ἐκ τῶν ἐθνῶν. αὐτὸς ἀκμὴν ἐν τοῖς ἑαυτῦ πρώτοις ἐθεώρει, καὶ ὄχι μόνον, ὅτι ἐκ ἔφθασεν εἰς τὴν καθαρότητα ἐνόμιζεν, ἀλλ' ἐδὲ ψηφισθῆναι εἰς μαθητὴν ἐπενόησεν, ὅτι πρέπον ἐςίν.

α. Κορινθ. ιε. θ. ἔλεγε γὰρ ἐκ εἰμὶ ἄξιος καλεῖσθαι Ἀπόςολος, διότι ἐδίωξα τὴν „ ἐκκλησίαν τῦ Χριςῦ. καὶ ὅτε ὑπὲρ πάντας τὲς ἀνθρώπες τὴν

α. Κορινθ. θ. κζ. κατὰ τῶν παθῶν νίκην ἐκέκτητο, ἔλεγεν· ὑπωπιάζω με τὴν „ σάρκα, καὶ δελαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. εἰ δὲ εἴπῃς, ὅτι καὶ τὰ μεγάλα ἐν τόποις διηγεῖται περὶ ἑαυτῦ, αὐτὸς πειθέτωσε περὶ τέτε. λέγει γὰρ, ὡς ὄχ ἑκεσίως ἐποίησεν, ἐδὲ δι' ἑαυτῦ, ἀλλὰ διὰ τὸ κήρυγμα. καὶ ἡνίκα ὑπὲρ τῆς τῶν πιςῶν ὠφελείας διηγεῖται ταῦτα, τίθησιν ἑαυτὸν ἀπάσης διανοίας ἐςερημένον τῆς τοιαύτης χάριν

β. Κορινθ. ιβ. ια. καυχήσεως, βοῶν, καὶ λέγων, ὡς ὑμεῖς με ἠναγκάσατε. καὶ

β. Κορινθ. ια. ιζ. πάλιν, ὃ κατὰ Κύριον λαλῶ, ἀλλ' ἐν ἀφροσύνῃ ἐν τῷ τόπῳ τέτῳ τῆς καυχήσεως. ἰδὲ ὅτος ὁ κανὼν, ὃν ἔθηκεν ἡμῖν ὁ ἅγιος Παῦλος, ὁ δίκαιος καὶ εὐθύς. φυλάξωμεν λοιπὸν αὐτὸν, καὶ ζηλώσωμεν ἐν αὐτῷ. καὶ τὸ μὲν ζητῆσαι τὰ ὑψηλὰ παρὰ τῦ Θεῦ, καὶ ταῦτα αὐτῦ μὴ παρέχοντος, μηδὲ δωρεμένε, παραιτησώμεθα· διότι ὁ Θεὸς γινώσκει τὰ σκεύη τῆς ἐκλογῆς τῆς ὑπηρεσίας ἑαυτῦ. ὁ μακάριος γὰρ Παῦλος ἐδὲ μετὰ

Ῥωμ. θ. γ. ταῦτα ἠτήσατο τὴν τῆς ψυχῆς βασιλείαν, ἀλλ' εἶπε· ηὐ„ χόμην ἀνάθεμα εἶναι ἀπὸ τῦ Χριςῦ. πῶς ὖν ἡμεῖς τολμήσωμεν

μεν καὶ πρὸ τȣ͂ καιρȣ͂ τȣ͂ γινωσκομένȣ ὑπ' αὐτȣ͂, αἰτήσασθαι τὴν βασιλείαν τῆς ψυχῆς; μήπω μήτε τὰς ἐντολὰς τηρήσαντες, μήτε τὰ πάθη νικήσαντες, καὶ τὸ χρέος μὴ ἀποδόντες;

Παρακαλῶ ȣ͂ν ἅγιε, ἵνα μὴ ἐπὶ τῷ λογισμῷ σȣ ἀνέλθῃ τȣ͂το, ἀλλὰ κτῆσαι ὑπὲρ ἅπαντα ὑπομονὴν τῶν ἐπερχομένων. καὶ ἐν ταπεινώσει μεγάλῃ, καὶ συντριμμῷ καρδίας ἐν τοῖς καθ' ἡμᾶς, καὶ τοῖς λογισμοῖς ἡμῶν αἰτησώμεθα τὴν τῶν ἁμαρτιῶν ἡμῶν συγχώρησιν, καὶ τὴν ταπείνωσιν τῆς ψυχῆς.

Ἐγράφη ὑπό τινος τῶν ἁγίων, ὅτι ὅςις ȣ λογίζεται ἑαυτὸν ἁμαρτωλὸν, παρὰ τῷ Κυρίῳ ἡ εὐχὴ αὐτȣ͂ ȣ̓κ ἔςιν εὐπρόσδεκτος. ἐὰν δὲ εἴπῃς, ὅτι τινὲς τῶν πατέρων ἔγραψαν περὶ τȣ́των, τί ἐςι καθαρότης τῆς ψυχῆς, καὶ τὶ ὑγίεια, καὶ τὶ ἀπάθεια, καὶ τὶ θεωρία, ȣ̓χ ἵνα ζητήσωμεν αὐτὰ πρὸ καιρȣ͂ ἐν προσδοκίᾳ ἔγραψαν. διότι γέγραπται, ὅτι ȣ̓κ ἔρχεται ἡ βασιλεία τȣ͂ Θεȣ͂ ἐν παρατηρήσει προσδοκίας. οἱ γὰρ ἐν τȣ́τῳ τῷ σκοπῷ εὑρεθέντες, ὑπερηφανίαν καὶ πλάνην ἐκτήσαντο. ἀλλ' ἡμεῖς γε κατασήσωμεν τὴν χώραν τῆς καρδίας ἐν τοῖς ἔργοις τῆς μετανοίας, καὶ ταῖς πολιτείαις ταῖς εὐαρεςȣ́σαις τῷ Θεῷ, καὶ τὰ τȣ͂ Κυρίȣ ἀφ' ἑαυτῶν ἔρχονται, ἐὰν ὁ τόπος τῆς καρδίας καθαρὸς ϗ ἀμόλυντος γένηται. ἐκεῖνα δὲ ἅπερ ζητȣ͂μεν ἐν παρατηρήσει, τὰ ὑψηλά φημι δὴ τȣ͂ Θεȣ͂, ἀδόκιμόν ἐςι τȣ͂το τῇ ἐκκλησίᾳ τȣ͂ Θεȣ͂. καὶ οἱ λαβόντες, ὑπερηφανίαν ἐκτήσαντο, ϗ πλάνην. καὶ ȣ̓ σημεῖόν ἐςι τȣ͂το τȣ͂ ἀγαπᾷν τινὰ τὸν Θεὸν, ἀλλὰ νόσος ψυχῆς. καὶ πῶς ἡμεῖς ζητήσωμεν τὰ ὑψηλὰ τȣ͂ Θεȣ͂, ὅπȣ Παῦλος ὁ θεῖος καυχᾶται ἐν

Λȣκ. ιζ. κ.

ταῖς

ταῖς θλίψεσι, καὶ τὴν κοινωνίαν τῶν παθημάτων τοῦ Χριςοῦ ἡγεῖται εἶναι τὰ ὑψηλὰ τοῦ Θεοῦ;

Πάλιν ἐν τῇ ἐπιςολῇ σου ἔγραψας, ὅτι ἠγάπησα ἡ ψυχή σου ἀγαπῆσαι τὸν Θεὸν, ἀλλ' οὐκ ἔφθασας τὸ ἀγαπᾷν, εἰ καὶ ἐπιθυμίαν τοῦ ἀγαπᾷν ἔχεις πολλήν· καὶ πρὸς τούτῳ, ὅτι ἡ ἀναχώρησις τῆς ἐρήμου ποθητή σοί ἐςι, καὶ ἔδειξας ἐν τούτῳ, ὅτι ἡ καθαρότης τῆς καρδίας ἤρξατο ἐν σοὶ, καὶ ἡ μνήμη τοῦ Θεοῦ ἐπιμελῶς πυροῦται, καὶ θερμαίνεται ἐν τῇ καρδίᾳ σου. καὶ ταῦτα εἰ ἀληθῆ, μεγάλα εἰσὶ, γραφῆναι δὲ παρὰ σοῦ οὐκ ἤθελον. οὐκ ἔχουσι γὰρ μίαν ἐξ αὐτῶν τάξιν. εἰ δὲ διὰ τὴν ἐρώτησιν διηγήσω αὐτὰ, ἄλλως ἦν ἡ τάξις τῆς ἐρωτήσεως. ὁ γὰρ λέγων, ὅτι οὐκ ἔχει ἀκμὴν παῤῥησίαν ἡ ψυχὴ αὐτοῦ ἐν τῇ προσευχῇ, διότι οὐκ ἐνίκησε τὰ πάθη, πῶς τολμᾷ εἰπεῖν, ὅτι ἠγάπησεν ἡ ψυχὴ αὐτοῦ, τοῦ ἀγαπῆσαι τὸν Θεόν; οὐκ ἔςι τρόπος τοῦ κινηθῆναι ἐν τῇ ψυχῇ τὴν θείαν ἀγάπην, ἧς ὀπίσω ἐν ἀναχωρήσει μυςικῶς τρέχεις, εἰ οὐκ ἐνίκησε τὰ πάθη. σὺ δὲ εἶπας, ὅτι ἡ ψυχή σου τὰ πάθη οὐκ ἐνίκησε, καὶ τὸν Θεὸν ἀγαπῆσαι ἠγάπησεν, ὅπερ οὐκ ἔχει τάξιν. ὁ γὰρ λέγων, ὅτι τὰ πάθη οὐκ ἐνίκησε, καὶ ἀγαπῆσαι τὸν Θεὸν ἀγαπᾷ, ἐγὼ οὐκ οἶδα ὅπερ φησίν.

Ἀλλὰ σὺ λέγεις, ὅτι οὐκ εἶπον ἀγαπῶ, ἀλλ' ἀγαπῶ ἀγαπῆσαι. καὶ οὐδὲ τοῦτο τόπον ἔχει, ἐὰν ἡ ψυχὴ μὴ ᾖ ἐν καθαρότητι. ἐὰν δὲ λόγον ψιλὸν θέλῃς εἰπεῖν, τοῦτο οὐ σὺ μόνος λέγεις, ἀλλ' ἕκαςος λέγει, ὅτι ἐθέλει ἀγαπῆσαι τὸν Θεόν. καὶ οὐ μόνον οἱ χριςιανοὶ, ἀλλὰ καὶ οὗτοι οἱ μὴ προσκυνοῦντες τῷ Θεῷ ὀρθῶς. καὶ οὗτος ὁ λόγος οἰκεῖος ἐξ ἑκάςου λέγεται· ἀλλ' ἐν τούτοις τοῖς λόγοις ἡ γλῶσσα μόνον κινεῖται, τῆς ψυχῆς μὴ αἰσθα-

αἰσθανομένης τὸ τί λέγει. καὶ πολλοὶ νοσοῦντες, οὐδὲ αὐτὸ, ὅτι νοσοῦσιν ἐπίστανται. κακία γὰρ, νόσος ἐστὶ ψυχῆς. καὶ πλάνη, τῆς ἀληθείας ἀπώλεια. καὶ οἱ πλεῖστοι τῶν ἀνθρώπων ἐν τούτοις ἀῤῥωστοῦντες, ὑγείαν κηρύττουσι, καὶ ὑπὸ πολλῶν εὐφημοῦνται. ἐὰν γὰρ μὴ ὑγιάνῃ ἡ ψυχὴ ἐκ τῆς κακίας, καὶ σταθῇ ἐν τῇ ὑγείᾳ τῇ φυσικῇ, ἐν ᾗ ἐκτίσθη, ὅπως γεννηθῇ ἐκ τῆς ὑγείας τοῦ πνεύματος, ἐπιθυμεῖν ἄνθρωπον τὰ ὑπὲρ φύσιν τοῦ πνεύματος, οὐ δυνατόν ἐστι. διότι ὅσον ἐστὶν ἡ ψυχὴ ἐν τῇ νόσῳ τῶν παθῶν, οὐκ αἰσθήσει αἰσθάνεται τῶν πνευματικῶν, οὐδὲ ἐπιθυμεῖν αὐτὰ οἶδεν, ἀλλ' ἐκ τῆς ἀκοῆς τῶν ὤτων, καὶ τῶν γραφῶν μόνον ἐπιθυμεῖ. λοιπὸν δικαίως ἄνωθεν εἶπον, ὅτι χρὴ τοὺς ἐπιθυμοῦντας τῆς τελειότητος, φυλάττειν πάσας τὰς ἐντολάς. διότι ἡ ἐργασία ἡ κρυπτὴ τῶν ἐντολῶν ἰατρεύει τὴν δύναμιν τῆς ψυχῆς. καὶ αὕτη οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐγένετο. γέγραπται γὰρ, ὅτι χωρὶς ἐκχύσεως αἵματος, οὐκ ἔστιν ἄφεσις. ἀλλὰ ἐν πρώτοις ἐν τῇ ἐνανθρωπήσει τοῦ Χριστοῦ ἐδέξατο ἡ φύσις ἡμῶν τὸν ἀνακαινισμὸν, καὶ ἐκοινώνησε τῷ πάθει αὐτοῦ, καὶ τῷ θανάτῳ αὐτοῦ, καὶ τότε μετὰ τὸν ἀνακαινισμὸν τῆς ἐκχύσεως τοῦ αἵματος ἀνεκαινίσθη, καὶ ἡγιάσθη ἡ φύσις ἡμῶν, καὶ ἱκανὴ ἐγένετο δέξασθαι τὰς ἐντολὰς τὰς νέας, καὶ τελείας. εἰ γὰρ ἐδόθη αὐτοῖς πρὸ τῆς ἐκχύσεως τοῦ αἵματος, πρὸ τοῦ ἀνακαινισθῆναι καὶ ἁγιασθῆναι τὴν φύσιν ἡμῶν, τάχα καὶ αὗται αἱ ἐντολαὶ αἱ νέαι, κατ' ἐκείνας τὰς πάλαι τὴν κακίαν ἔκοπτον ἐκ τῆς ψυχῆς, μὴ δυνάμεναι τὴν ῥίζαν αὐτὴν τῆς κακίας τέλεον ἐκτῖλαι ἐκ τῆς ψυχῆς. νῦν δὲ οὐχ οὕτως· ἀλλ' ἡ κρυπτὴ ἐργασία ἡ ἐξακολουθοῦσα, καὶ αἱ ἐντολαὶ αἱ καιναὶ καὶ πνευματικαὶ, ἃς ἡ ψυχὴ φυλάττει

ἐν τῇ περιβλέψει τοῦ φόβου τοῦ Θεοῦ, ἀνακαινίζουσιν αὐτήν, καὶ ἁγιάζουσι, καὶ κρυπτῶς θεραπεύουσι πάντα τὰ μέλη αὐτῆς. ὅτι ἑκάστη ἐντολὴ ὁποῖον πάθος ἐξιᾶται ἐν τῇ ψυχῇ ἡσύχως, δῆλόν ἐστι. καὶ τῆς ἐνεργείας δὲ τούτων, ὅ,τε ἰατρεύων καὶ ἰατρευόμενος ἐπαισθάνονται καθ' ὁμοιότητα τῆς αἱμοῤῥόου γυναικός.

Σὺ γινώσκεις, ὦ ἀγαπητέ, ὅτι εἰ μὴ ἰατρευθείη τὸ ἐμπαθὲς μέρος τῆς ψυχῆς, καὶ ἀνακαινισθείη, καὶ ἁγιασθείη κρυπτῶς, καὶ δεσμευθείη ἐν τῇ πολιτείᾳ τοῦ πνεύματος, οὐ κτήσεται ὑγίειαν, οὐδὲ ἐλευθερωθήσεται τοῦ λυπεῖσθαι ἐκ τῶν ἀπαντώντων αὐτῇ πραγμάτων τῶν ἐν τῇ κτίσει. καὶ αὕτη ἡ ἰατρεία ἐστί, ταύτην γενέσθαι ὑπὸ τῆς χάριτος καθάπερ ἐπὶ τῶν μακαρίων Ἀποστόλων, ὅτι ἐν τῇ πίστει ἐτελειώθησαν ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ. καὶ ἐστινότε νομίμως ὑποδέχεται ἡ ψυχὴ τὴν ὑγίειαν. ἐκεῖνος γὰρ ὁ ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν, καὶ τοῖς σκληροτέροις ἔργοις τῆς πολιτείας τῆς ἀληθοῦς νικήσας τὰ πάθη, γινωσκέτω, ὅτι τὴν ὑγίειαν τῆς ψυχῆς νομίμως ἐκτήσατο, καὶ ἀπεγαλακτίσθη ἀπὸ τῆς σωματώσεως τούτου τοῦ κόσμου, καὶ ἐκόπη ἐξ αὐτοῦ τὸ ἔθος τῶν ἑαυτοῦ προλήψεων, καὶ ἀνεγεννήθη ὡς ἐξ ἀρχῆς ἐν τοῖς πνευματικοῖς, καὶ ἐνωράθη ἐν τῇ χάριτι ἐν τῇ χώρᾳ τοῦ πνεύματος ἐν ταῖς ἐννοίαις τοῦ ἐσωτέρου ἀνθρώπου, καὶ ὑπεδέξατο αὐτὸν κόσμος καινὸς ἀσύνθετος.

Ὅταν ἀνακαινισθῇ δὲ ὁ νοῦς, καὶ ἡ καρδία ἁγιασθῇ, πᾶσαι αἱ ἔννοιαι αἱ κινούμεναι ἐν αὐτῇ κατὰ τὴν φύσιν ἐκείνου τοῦ κόσμου, ἐν ᾧ εἰσέρχεται, κινοῦνται. πρῶτον κινεῖται ἐν αὐτῷ ὁ πόθος τῶν θείων, καὶ ἐπιποθεῖ τὴν κοινωνίαν τὴν μετὰ τῶν Ἀγγέλων, καὶ τὰς ἀποκαλύψεις τῶν μυστηρίων τῆς γνώ-

σεως τοῦ πνεύματος. καὶ αἰσθάνεται ὁ νοῦς αὐτοῦ τῆς γνώσεως τῆς πνευματικῆς τῶν ποιημάτων, καὶ ἀνατέλλει ἐν αὐτῷ ἡ θεωρία τῶν μυστηρίων τῆς ἁγίας Τριάδος σὺν τοῖς μυστηρίοις τῆς οἰκονομίας τῆς προσκυνητῆς, τῆς ὑπὲρ ἡμῶν, καὶ τότε εὐφραίνεται ὁλοτελῶς τῇ γνώσει τῆς ἐλπίδος τῶν μελλόντων.

Κατανόησόν μοι λοιπὸν ἐξ αὐτῶν τῶν πραγμάτων, ὧν σοι ἔγραψα τὰ σά. εἰ ἠδυνάτο ἡ ψυχὴ, ἡνίκα ἦν ἐγκεκλεισμένη ἐν τῇ χώρᾳ τῶν παθῶν, ἀγαπῆσαι τὸν Θεὸν ἐν ἀληθείᾳ, οὐ πολλὴν χρείαν εἶχε τοῦ ἐρωτῆσαι, καὶ μαθεῖν τὰ μυστήρια τοῦ κόσμου τοῦ πνεύματος. ἀλλὰ δῆλον, ὅτι οὐκ ὠφελοῦσιν αἱ μαθήσεις, καὶ ἡ γνῶσις ἐν τοῖς πάθεσιν, οὔτε δὲ ἱκανοῦσιν ἀνοῖξαι τὴν θύραν τὴν ἀποκεκλεισμένην τῆς καθαρότητος κατὰ πρόσωπον. ἐὰν δὲ ληφθῶσι τὰ πάθη ἀπὸ τῆς ψυχῆς, φωτίζεται ὁ νοῦς, καὶ συνίσταται ἐν τῷ τόπῳ τῷ καθαρῷ τῆς φύσεως, καὶ οὐ χρήζει ἐρωτήσεως· ὅτι τηλαυγῶς θεωρεῖ τὰ ἀγαθὰ τὰ εὑρισκόμενα ἐν τῷ τόπῳ αὐτοῦ. καθάπερ γὰρ αἱ αἰσθήσεις ἡμῶν αἱ ἔξω οὐκ ἐκ μαθήσεως, καὶ ἐρωτήσεως αἰσθάνονται τῶν φύσεων, καὶ τῶν πραγμάτων τῶν συγγινομένων ἐν αὐταῖς, ἀλλ' ἑκάστη τῶν αἰσθήσεων φυσικῶς, καὶ οὐ μετὰ ἐρωτήσεως αἰσθάνεται τοῦ πράγματος τοῦ ἀπαντῶντος αὐτῇ· (οὐ γάρ ἐστι διδαχὴ μεσιτεύουσα μεταξὺ τῶν αἰσθητικῶν, καὶ τῶν αἰσθητῶν. τῷ τυφλῷ ὁπόσον ἂν λέγηται αὐτῷ περὶ τῆς δόξης τοῦ Ἡλίου, καὶ τῆς Σελήνης, καὶ τοῦ χοροῦ τῶν Ἀστέρων, καὶ τῆς λαμπηδόνος τῶν λίθων τῶν τιμίων, ἐν ὀνομασίᾳ μόνον δέχεται, ἢ κρίνει; καὶ νοεῖ τὴν ὡραιότητα, ἣν ἔχουσιν· ἡ δὲ γνῶσις αὐτοῦ καὶ ἡ διάκρισις ἀπέχουσιν ἀπὸ τῆς ἡδονῆς τῆς ὁράσεως αὐτῶν.) οὕτω τὸν ὅμοιον τρόπον νόειμοι καὶ περὶ τῆς θεωρίας τοῦ

πνεύματος. ὁ νοῦς γὰρ ὁ θεωρητικὸς τῶν κρυπτῶν μυςηρίων τοῦ πνεύματος ἐὰν ᾖ ἐν τῇ ὑγείᾳ τῆς φύσεως αὐτοῦ, θεωρεῖ ἀρτίως τὴν δόξαν τοῦ Χριςοῦ, καὶ οὐκ ἐρωτᾷ καὶ μανθάνει, ἀλλὰ τρυφᾷ ἐν τῇ ἡδονῇ τῶν μυςηρίων τοῦ κόσμου τοῦ καινοῦ ὑπεράνω τῆς ἐλευθερίας τοῦ θελήματος, κατὰ τὴν θερμότητα τῆς πίςεως, καὶ τῆς ἐλπίδος τῆς εἰς τὸν Χριςὸν, καθὼς ἔγραψεν

Ῥωμ. η. κε. ὁ μακάριος Παῦλος. ὃ βλέπομεν, τί καὶ ἐλπίζομεν; δι' ὑπο-
» μονῆς ἀπεκδεχόμεθα.

Ὀφείλομεν λοιπὸν ἀπεκδέχεσθαι, καὶ ἐμμένειν μοναςικῶς, (1) καὶ μετὰ ἁπλότητος πρὸς τὸν ἔσω ἡμῶν ἄνθρωπον, ὅπου οὐκ ἔςιν ἐκτυπώματα τῶν λογισμῶν, οὐδὲ θεωρία τῶν συνθέτων. διότι ὥσπερ ὁ νοῦς βλέπει, οὕτω δέχεται τὰ παραδείγματα. ὅταν γὰρ βλέπῃ πρὸς τὸν κόσμον, κατὰ τὴν παραλλαγὴν τῶν σχημάτων, ἐν οἷς ἂν μετεωρίζηται, κατὰ τοσοῦτον δέχεται ἐξ αὐτῶν ὁ νοῦς τύπους, καὶ ὁμοιώματα. καὶ ταῦτα πρὸς τὸ μέτρον τοῦ πλήθους αὐτῶν, καὶ πρὸς τὴν διαφορὰν τῆς ἀλλοιώσεως αὐτῶν κινοῦσιν ἐν αὐτῷ λογισμούς. καὶ ὅταν κινηθῶσιν οἱ λογισμοὶ, σφραγίζουσι τὸν νοῦν. ἐὰν δὲ εἰς τὸν ἔσω ἄνθρωπον ὁ νοῦς ἀποβλέπῃ, ὅπου οὐκ ἔςι τὶ χρήσασθαι δυνατὸν ἐν τῇ ἀλλοιώσει τῶν σχημάτων, οὐδὲ σύνθετον τῶν συνθέτων διαιρεῖται ἐν τῇ ἀλλοιώσει τῶν τύπων, ἀλλ' ὅλον ἐξ ὅλου Χριςὸς, δῆλον ὅτι τὴν ἁπλῆν θεωρίαν δέχεται ὁ νοῦς, ἧς χωρὶς οὐδέν τι ἕτερον συνωδιάζει τὸν φάρυγγα τῆς ψυχῆς, καὶ κτήσασθαι αὐτὴν παῤῥησίαν ἐν τῇ ὥρᾳ τῆς προσευχῆς ποιεῖν πέφυκε. διότι αὕτη ἐςὶν ἡ τροφὴ τῆς φύσεως τῆς ψυχῆς. καὶ ἡνίκα ςῇ ὁ νοῦς

(1) τὸ Ε. Χ. μυςικῶς.

ὁ νοῦς ἐν τῇ χώρᾳ τῆς ἐπιγνώσεως τῆς ἀληθείας, οὐ χρήζει τῆς ἐρωτήσεως. ὥσπερ γὰρ ὁ σωματικὸς ὀφθαλμὸς οὐκ ἐρωτᾷ, εἶτα βλέπει τὸν Ἥλιον, οὕτως οὐδὲ ὁ τῆς ψυχῆς ὀφθαλμὸς ἐξετάζει πρῶτον, καὶ μετὰ τοῦτο θεωρεῖ τὴν γνῶσιν τοῦ πνεύματος. οὕτω καὶ ἡ θεωρία ἡ μυστικὴ, ἣν ἐπιθυμεῖς, ὦ ἅγιε, μετὰ τὴν τῆς ψυχῆς ὑγείαν ἀποκαλύπτεται τῷ νοΐ. ἐκείνη δὲ ἡ μετὰ ἐξετάσεως, καὶ ἀνακρίσεως μαθεῖν τοιαῦτα μυστήρια θέλουσα, ἀφροσύνη ψυχῆς ἐστί. καὶ γὰρ ὁ μακάριος Παῦλος, οὐκ ἐν μαθήσει, ἢ ἐν τρόπῳ ὑλικῷ εἶπεν, ὅτι εἶδε, καὶ ἤκουσε » μυστήρια, καὶ ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· » ἀλλ' ἁρπαγῇ ἡρπάγη εἰς τὴν χώραν τὴν πνευματικὴν, καὶ ἐθεάσατο τὴν ἀποκάλυψιν τῶν μυστηρίων.

β. Κορινθ. ιβ. δ.

Λοιπὸν καὶ σὺ, ὦ ἅγιε, ἐὰν ἀγαπᾷς τὴν καθαρότητα, κόψον ἐκ πάντων τὴν ἀγάπην τὴν ἐκκεχυμένην πρὸς πάντας, καὶ εἰσελθὼν ἐργάσαι ἐν τῇ ἀμπέλῳ τῆς καρδίας σου, ἔκτιλον ἐκ τῆς ψυχῆς σου τὰ πάθη, ἐργάσαι μὴ γνῶναι κακίαν ἀνθρώπου. ἡ καθαρότης βλέπει τὸν Θεὸν, οὐκ ἐξ αἰτήσεως ἀνατέλλει, καὶ ἀνθεῖ ἐν τῇ ψυχῇ, ἀλλ' ἐκ τοῦ μὴ γινώσκειν κακίαν ἀνθρώπου τινός. ἐὰν δὲ θέλῃς ἵνα γένηται ἡ καρδία σου τόπος μυστηρίων τοῦ καινοῦ κόσμου, πρῶτον μὲν πλούτησον ἐν ἔργοις σωματικοῖς, νηστείᾳ, ἀγρυπνίᾳ, λειτουργίᾳ, ἀσκήσει, ὑπομονῇ, καθαιρέσει τῶν λογισμῶν, καὶ τοῖς λοιποῖς. δέσμευσον τὸν νοῦν σου ἐν τῇ ἀναγνώσει τῶν γραφῶν, καὶ τῇ μελέτῃ τῇ ἐν αὐταῖς, γράψον τὰς ἐντολὰς κατέναντι τῶν ὀφθαλμῶν σου, καὶ ἀπόδος τὸ χρέος τῶν παθῶν, ἡνίκα ἡττᾶσαι καὶ ἡττᾷς. καὶ ἐν τῇ διηνεκεῖ ὁμιλίᾳ τῆς εὐχῆς, καὶ τῆς λιτῆς, καὶ τῇ μελέτῃ τῇ ἐν αὐταῖς ἔκτιλλον ἐκ τῆς καρδίας σου πᾶσαν εἰκόνα

καὶ πᾶν ὁμοίωμα, ὅπερ προληπτικῶς προεληφθῆς. ἔθισον τὸν νοῦν σου ἀεὶ ἐν τοῖς μυστηρίοις τῆς οἰκονομίας τοῦ Σωτῆρος μελετᾶν, καὶ ἄφες τὴν αἴτησιν τῆς γνώσεως, καὶ τῆς θεωρίας, ἅπερ ὑπερβάλλει τὴν διήγησιν τῶν λόγων εἰς τὸν τόπον, καὶ τὸν καιρὸν αὐτῶν, καὶ ἀκολούθησον τῇ ἐργασίᾳ τῶν ἐντολῶν, καὶ τοῖς ἔργοις τοῖς ὑπὲρ τῆς καθαρότητος, καὶ αἴτει σεαυτῷ παρὰ Κυρίου ἐν τῇ προσευχῇ λύπην πυρὸς πεπυρωμένην ἐν πᾶσιν, (ἣν καὶ ταῖς καρδίαις τῶν Ἀποστόλων, καὶ τῶν μαρτύρων ἐνέθηκε, καὶ τῶν πατέρων) ἵνα στάξῃ ἐν τῇ καρδίᾳ σου, καὶ ἀξιωθῇς τῆς πολιτείας τῆς διανοίας. ἡ ἀρχὴ, καὶ τὸ μέσον, καὶ τὸ τέλος τῆς πολιτείας ταύτης, ταῦτά ἐστιν· ἡ ἐκκοπὴ πάντων τῇ ἑνώσει τῇ ἐν Χριστῷ. ἐὰν δὲ ἐπιθυμῇς τῆς θεωρίας τῶν μυστηρίων, ἐν ἔργοις ἐργάσαι τὰς ἐντολὰς ἐν σεαυτῷ, καὶ μὴ ἐν τῇ καταδιώξει τῆς γνώσεως αὐτῶν. ἡ θεωρία ἡ πνευματικὴ ἐν τῇ χώρᾳ τῆς καθαρότητος ἐνεργεῖ ἐντὸς ἡμῶν. καὶ σὺ ζήτησον πρῶτον μαθεῖν, πῶς εἰσέρχῃ εἰς τὴν χώραν τῶν μυστηρίων τοῦ πνεύματος, καὶ οὕτως ἄρξαι.

Πρῶτον τῶν μυστηρίων καλεῖται ἡ καθαρότης, ἡ συνισταμένη ἐκ τῆς ἐνεργείας τῶν ἐντολῶν. θεωρία δέ ἐστιν ἡ θεωρία ἡ πνευματικὴ τοῦ νοὸς, τὸ ἐκπλήττεσθαι, καὶ κατανοεῖν ἐν πᾶσιν οἷς ἐγένοντο, καὶ γενήσονται. θεωρία ἐστὶν ἡ ὅρασις τοῦ νοὸς, ἐκπλήττεσθαι ἐπὶ τῇ οἰκονομίᾳ τοῦ Θεοῦ τῇ ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ, καὶ κατανοεῖν τὰς δόξας αὐτοῦ, καὶ τὰ δυσχερῆ τοῦ καινοῦ κόσμου. ἐν οἷς συντρίβεται ἡ καρδία, καὶ ἀνακαινίζεται, καὶ καθ' ὁμοιότητα τῶν ἐν Χριστῷ νηπίων ἐν γάλακτι τῶν ἐντολῶν ἀνατρέφεται τῶν καινῶν καὶ πνευματικῶν, καὶ γίνεται χωρὶς κακίας, καὶ ἐθίζεται ἐν τοῖς μυστηρίοις τοῦ πνεύματος,

τος, καὶ ἐν ταῖς ἀποκαλύψεσι τῆς γνώσεως, ἐπαιρόμενος ἀπὸ γνώσεως εἰς γνῶσιν, καὶ ἀπὸ θεωρίας εἰς θεωρίαν, καὶ ἀπὸ κατανοήσεως εἰς κατανόησιν, καὶ μανθάνει, καὶ κραταιοῦται μυστικῶς· ἕως ἂν ὑψωθῇ ἐν τῇ ἀγάπῃ, καὶ ἑνωθῇ ἐν τῇ ἐλπίδι, καὶ ἐνδομυχήσῃ ἐν αὐτῷ ἡ χαρὰ, καὶ ὑψωθῇ ἐν τῷ Θεῷ, καὶ στεφανωθῇ τῇ δόξῃ τῇ φυσικῇ τῆς ἑαυτοῦ δημιουργίας, ἐν ᾗ ἐκτίσθη.

Ἐν ταύταις ταῖς νομαῖς τοῦ πνεύματος ἀνέρχεται ὁ νοῦς ἐν ταῖς ἀποκαλύψεσι τῆς γνώσεως, καὶ πίπτει, καὶ ἐγείρεται, καὶ νικᾷ, καὶ ἡττᾶται, καὶ τηγανίζεται ἐν τῇ καμίνῳ τοῦ κελλίου, καὶ οὕτω καθαίρεται, καὶ γίνεται τὸ ἔλεος, καὶ πρακτικῶς ἀξιοῦται τῆς θεωρίας τῆς ἁγίας Τριάδος, ἧς ἐν ἐπιθυμίᾳ ὑπάρχεις. Θεωρίαι γὰρ τῶν φύσεων, ἐν αἷς ὁ νοῦς ὑψοῦται, καὶ ἐνεργεῖ, καὶ γυμνάζεται, τρεῖς εἰσί· δύω τῶν φύσεων τῶν κτιστῶν, τῶν λογικῶν, καὶ ἀλόγων, καὶ πνευματικῶν, καὶ σωματικῶν, καὶ ἡ ἄλλη τῆς ἁγίας Τριάδος. πρῶτον μὲν οὖν εἰς πᾶν κτίσμα ἐλθὸν, εἰς τὴν κτίσιν γίνεται ἡ θεωρία, καὶ διέρχεται δι' αὐτῆς ὁ νοῦς ἐν τῇ ἀποκαλύψει τῆς γνώσεως. τοῖς δὲ μὴ ὑποπίπτειν τῇ αἰσθήσει πεφυκόσι, θεωρία γίνεται ἐν αὐτοῖς νοητή. καὶ ὁ νοῦς ἔχει θεωρίαν τοῦ θεωρεῖν ἑαυτόν. ἐν ᾗ οἱ ἔξω φιλόσοφοι ἐμετεωρίσαντο τὴν διάνοιαν ἑαυτῶν ἐν τῇ φαντασίᾳ τῶν κτισμάτων.

Ἡ θεωρία οὖν τῶν υἱῶν τοῦ μυστηρίου τῆς πίστεως, μετὰ τῆς πίστεως συγκεκολλημένη ἐστὶ, καὶ ἐν τῷ λειμῶνι τῶν γραφῶν ποιμαίνεται. ἥτις συνάγει τὸν νοῦν ἀπὸ παντὸς μετεωρισμοῦ ἐξωτέρου, καὶ δεσμεύει αὐτὸν ἐν τῇ ἑνώσει τοῦ Χριστοῦ, καθ' ὁμοιότητα Βασιλείου, καὶ Γρηγορίου, καὶ εἰς τοὺς μυστικοὺς λό-

γους

γες τὲς τεθνῶτας ἐν τῇ γραφῇ γνέεται ἡ θεωρία αὐτᾶ. καὶ οἱ μὴ καταλαμβανόμενοι ὑπὸ τῆς γνώσεως λόγοι, δεκτοὶ διὰ τῆς πίςεως ὑφ' ὑμῶν γίνονται. καὶ ἐν τῇ θεωρίᾳ δεχόμεθα γνῶσιν ὑπὲρ αὐτῶν, ἥτις γίνεται ἐν ἡμῖν μετὰ τὴν κάθαρσιν. καὶ διὰ τὰ μυςήρια τᾶ πνεύματος τὰ ὑπὲρ τὴν γνῶσιν, ὧν αἱ αἰσθήσεις τᾶ σώματος ἐκ αἰσθάνονται, ἐδὲ τὸ λογικὸν τᾶ νοὸς, ἔδωκεν ἡμῖν ὁ Θεὸς πίςιν, ἐν ᾗ γινώσκομεν μόνον, ὅτι εἰσί. καὶ ἐξ αὐτῆς τῆς πίςεως γεννᾶται ἡμῖν ἡ ἐλπὶς ὑπὲρ αὐτῶν. ἐν τῇ πίςει ἐξομολογέμεθα, ὅτι ὁ Θεὸς, Κύριος, καὶ δεσπότης, καὶ κτίςης, καὶ δημιεργὸς τῶν ἁπάντων ἐςί. καὶ ἐν τῇ γνώσει διακρίνομεν, ὅτι δέον ἡμᾶς φυλάξαι τὰς ἐντολὰς αὐτᾶ, καὶ νοῆσαι τᾶτο, ὅτι τὰς ἐντολὰς τὰς παλαιὰς ὁ φόβος φυλάττει, καθὼς εἶπεν (1) αὐτός· τὰς δὲ ζωοποιὲς ἐντολὰς τᾶ Χριςᾶ ἡ ἀγάπη φυλάττει, καθὼς εἶπεν· ἐγὼ τετήρηκα τὰς ἐντο-

Ἰωάν. ιε. ι.

» λὰς τᾶ πατρός μα, καὶ μένω αὐτᾶ ἐν τῇ ἀγάπῃ. δῆλον ἂν, ὅτι ἐκ ἐν φόβῳ φυλάττει ὁ υἱὸς τὰς τᾶ πατρὸς αὐτᾶ ἐντολὰς, ἀλλ' ἐξ ἀγάπης. καὶ διὰ τᾶτο παραγγέλλει ἡμῖν, ἵνα καὶ ἡμεῖς ἐξ ἀγάπης τηρήσωμεν αὐτᾶ τὰς ἐντολὰς, καθὼς λέγει· ἐὰν

Ἰωάν. ιδ. ιε.

» ἀγαπᾶτέ με, τὰς ἐντολάς μα τηρήσετε, καὶ ἐγὼ ἐρωτήσω τὸν
» πατέρα μα, καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν. παρεσίαν τᾶ παρακλήτα καλεῖ τὰ χαρίσματα τῆς ἀποκαλύψεως τῶν μυςηρίων τᾶ πνεύματος, ὡς εἶναι ἐν τῇ ὑποδοχῇ τᾶ πνεύματος, ἣν οἱ Ἀπόςολοι ἐδέξαντο, τὴν τελείωσιν τῆς γνώσεως τῆς πνευματικῆς. καὶ τὸν παράκλητον ὁ Κύριος καθωμολόγησε, καὶ ὑπέχετο ἐρωτήσας τὸν πατέρα ἑαυτᾶ δᾶναι αὐτοῖς· ὅπως διαμένῃ

(1) „Οὐ γὰρ ἐλάβετε πνεῦμα δελείας πάλιν εἰς φόβον. Ῥωμ. η. ιε.

διαμένῃ μετ' αὐτῶν εἰς τοὺς αἰῶνας μετὰ τὴν ἐργασίαν τῶν ἐν-
τολῶν καὶ τὴν κάθαρσιν. ὁρᾷς, ὅτι ἐκ τῆς φυλακῆς τῶν ἐν-
τολῶν ἀξιοῦται ὁ νοῦς τῆς χάριτος τῆς θεωρίας τῆς μυστικῆς,
καὶ τῆς ἀποκαλύψεως τῆς γνώσεως τοῦ πνεύματος; οὐχ ὡς ἡ
σοφία σου ὑπενόησεν, ὅτι τὸ ἔργον τῆς φυλακῆς τῶν ἐντολῶν
ἀναχαιτισμὸς τῆς θεωρίας τῶν θείων μυστηρίων, τῶν ἐν τῇ
ἡσυχίᾳ τελειουμένων ἐστί.

Παρακαλῶ οὖν σε, ἐὰν αἰσθηθῇς ἐν τῇ ψυχῇ σου, ὅτι ἔφθα-
σας τὴν χώραν τῆς ἀγάπης, τήρησον τὰς ἐντολὰς τὰς νέας,
διὰ τὸν πόθον τοῦ τεθεικότος αὐτὰς, ἀλλὰ μὴ διὰ τὸν φόβον.
» καθὼς καὶ ὁ μακάριος Παῦλος ἡνίκα ἐπυροῦτο ἐν τῇ ἀγάπῃ
» τῇ θείᾳ, εἶπε· τίς χωρίσει με ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;
» θλῖψις, ἢ φυλακὴ, ἢ διωγμὸς, καὶ τὰ ἑξῆς. καὶ πάλιν προ-
» στίθησι· πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἐνε-
» στῶτα, οὔτε μέλλοντα δύνανταί με χωρίσαι ἀπὸ τῆς ἀγάπης
» τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. καὶ ἵνα μὴ νο-
μισθῇ, ὅτι τὸν μισθὸν τὸν πολὺν, ἢ τὴν τιμὴν, ἢ τὴν δόσιν τὴν
ὑπερβάλλουσαν τῶν πνευματικῶν ἐπιθυμεῖ, καθὼς ἡ σὴ ἁγιω-
» σύνη ἐπιθυμεῖ, εἶπεν· ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ, ἵνα
» οἱ ἀλλότριοι οἰκειωθῶσιν αὐτῷ. καὶ ἵνα γνῷς, ὅτι οὐ τὴν θεω-
ρίαν τὴν μυστικὴν καὶ ἀναχωρητικὴν ἣν καταδιώκων καθ' ὁ-
μοιότητα τῆς σῆς πατροσύνης, ἀλλ' ἐκείνην ἐπιθυμεῖ, ἧς πολ-
λάκις τινὲς διὰ τῆς χάριτος ἠξιώθησαν, ἄκουσον τί φησιν ἐν ἄλ-
» λῳ τόπῳ· ἐὰν ταῖς γλώσσαις τῶν Ἀγγέλων λαλῶ καὶ τῶν ἀν-
» θρώπων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμ-
» βαλον ἀλαλάζον· κἂν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστή-

Ῥωμ. η. λε. λη.

Ῥωμ. θ. γ.

α. Κορινθ. ιγ. α. β.

„ ρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω τὴν πίςιν, ὥςε
„ ὄρη μεθιςάνειν, ἀγάπην δὲ μὴ ἔχω, ὀδέν εἰμι. ὅτι ἡ θύρα ἡ νομίμη ἡ εἰσφέρεσα εἰς ταῦτα, ἡ ἀγάπη ἐςίν. ἐὰν κλησώμεθα ἀγάπην, αὐτὴ εἰσφέρει ἡμᾶς εἰς ταῦτα. ἐὰν δὲ ἐν χάριτι ἀξιωθῶμεν τέτων χωρὶς ἀγάπης, πάντως ποτὲ γενήσεται ἡμῖν ἀποκλήσασθαι αὐτά. ἡ κλῆσις γάρ, καὶ ὁ φρερὸς τῶν ὑψηλοτέρων ἀγίων, καὶ τῆς θείας πολιτείας, ἡ ἀγάπη ἐςίν. εὐθέως γὰρ ἡνίκα ἀποκλήσηται ὁ Μοναχὸς τὴν ἀγάπην, ἡ καρδία ἀποκλᾶται τὴν εἰρήνην, (αὕτη δέ ἐςι τὸ σκήνωμα τῦ Θεῦ) καὶ ἀποκλείεται αὐτῷ ἡ θύρα τῆς χάριτος, ἐν ῇ ὁ Κύριος

Ἰωάν. ι. 9. ἡμῶν, εἰσελεύσεται καὶ ἐξελεύσεται, καθὼς εἶπεν· ὅτι ἐγώ εἰμι
„ ἡ θύρα τῆς ζωῆς, καὶ ἐν ἐμοὶ ὁ ἄνθρωπος εἰσελεύσεται ζῆ-
„ σαι, (1) καὶ νομὴν εὑρήσει εἰς ἀνατροφὴν τῆς ἑαυτῦ ζωῆς
„ τῆς πνευματικῆς· ἔνθα μήτε ὑπὸ κακίας, μήθ' ὑπὸ πλάνης ἀναχαιτίζεται, ἀλλ' ἐν πάσαις ταῖς ἀναβάσεσι τῶν ἀποκαλύψεων τῆς γνώσεως, καὶ τῶν θεωριῶν τῶν μυςικῶν εἰσάγει αὐτόν, καὶ ἐξάγει ἡ θεία ἀγάπη κατὰ τὲς ἐλευθέρες τῦ Χριςῦ. καὶ ἵνα γνῷς τὴν ἀλήθειαν τέτων, ὡς ἐν ἀληθείᾳ ἡ πνευματικὴ ζωὴ τῦ νοὸς θεωρία θεία ἐςίν, ἄκεσον τῦ μεγάλε Παύλε. αὐτὸς γὰρ βοᾷ, ὅτι ἐκ εὐδοκῶ ἐν αὐτῇ χωρὶς τῆς ἀγάπης. καὶ ἐὰν εἰς τινὰ λύπην τὴν νομίμην τῆς ἀγάπης ἐκ εἰσελεύσωμαι, ἤτοι πρὸς θεωρίαν, ὀδὲ ἐπιθυμίᾳ ἐπιθυμήσω αὐτήν, καὶ ἂν δοθῇ μοι κατὰ χάριν, ἡνίκα ἐκ ἐκτησάμην τὴν ἀγάπην, ἐ ζητῶ αὐτήν· ἐπεὶ ἐκ εἰσῆλθον πρὸς αὐτὴν διὰ τῆς θύρας

(1) Τὸ Ε. Χ. εἰσελεύσεται, καὶ ζήσεται.

θύρας τῆς φυσικῆς, ἥτις ἐϛὶν ἡ ἀγάπη. δεῖ οὖν πρῶτον κτήσασθαι ἀγάπην, ἥτις ἐϛὶν ἡ θεωρία ἡ προτέρα τῆς ἁγίας Τριάδος, καὶ μετὰ ταῦτα χωρὶς δόσεως ἔϛαι μοι φυσικῶς ἡ τῶν πνευματικῶν θεωρία. κατανόησόν μοι τὴν σοφίαν τοῦ μακαρίου Παύλου, ὅπως κατέλιπε πάντα τὰ χαρίσματα τὰ μεταδιδόμενα ὑπὸ τῆς χάριτος, καὶ ᾐτήσατο τὴν ὑπόϛασιν αὐτὴν τῶν πραγμάτων, ἥτις ὑποδέχεται τὰ χαρίσματα, καὶ φυλάττει αὐτά, καθώς τις λέγει. τὸ χάρισμα τῆς θεωρίας τῶν κτισμάτων καὶ τῷ Μωσεῖ ἐδόθη, καὶ πολλοὶ αὐτῆς ἠξιώθησαν, ὅμως οὐκ ἐν βεβαιώσει, ἀλλ' ἐν ἀποκαλύψει. ἐγὼ δὲ ὁ βαπτισθεὶς ἐν τῷ πνεύματι τῷ ἁγίῳ, καὶ πεπληρωμένος χάριτος ὑπάρχων, θέλω δέξασθαι αἴσθησιν ἐντός μου, τοῦ ἐνοικοῦντος ἐν ἐμοὶ Χριϛοῦ. ὁ Χριϛὸς γὰρ ἐποίησε τὸν ἀνακαινισμὸν τῆς φύσεως ἡμῶν ἐν τῇ ἑαυτοῦ ὑποϛάσει. καὶ ἐνεδυσάμεθα αὐτὸν ἐξ ὕδατος καὶ πνεύματος, καὶ ἐν μυϛηρίῳ ἀῤῥήτῳ ἥνωσεν ἡμᾶς ἑαυτῷ, καὶ ἐποίησεν ἡμᾶς μέλη τοῦ ἑαυτοῦ σώματος. ἀλλ' ἐνταῦθα μὲν, ἐν ἀῤῥαβῶνι· ἐν δὲ τῷ καινῷ κόσμῳ, φυσικῶς μεταδιδοῖ τῆς ζωῆς τοῖς λοιποῖς μέλεσι. λοιπὸν τί θέλεις, καὶ ζητεῖς τὴν θεωρίαν πρὸ τῆς ἀγάπης, ὁπότε Παῦλος ὁ θεῖος ἀδόκιμον αὐτὴν ἐποίησεν ἐκτὸς ἀγάπης;

Ἐκεῖνο γὰρ ὃ εἶπας, ὅτι ἡ ἐργασία τῶν ἐντολῶν ἀναχαιτίζει με τῆς θεωρίας, δῆλον ὅτι ἔψεξας τὴν τοῦ πλησίον ἀγάπην, καὶ προέκρινας τὴν θεωρίαν, καὶ ἐπιθυμεῖς ἰδεῖν αὐτὴν, ἔνθα οὐ θεωρεῖται. ἕως ὅτε ἡμεῖς οὐ δυνάμεθα ἰδεῖν τὴν θεωρίαν, ὦ σοφώτατε, ἀλλ' ἡ θεωρία αὐτὴ δεικνύει ἡμῖν ἑαυτὴν ἐν τῷ ἑαυτῆς τόπῳ. καθάπερ ἐν τῇ αὐξήσει τῆς ἡλικίας τῆς

φύσεως δέχεται ἡ ψυχὴ τὴν διαφορὰν τῆς γνώσεως, καὶ αὐξάνεται τῶν τοῦ κόσμου, καὶ γυμνάζεται ἐν αὐτοῖς ἡμέραν καθ' ἡμέραν, οὕτω καὶ ἐν τοῖς τοῦ πνεύματος δέχεταί τις τὴν θεωρίαν τὴν πνευματικήν, καὶ τὴν θείαν αἴσθησιν, καὶ γυμνάζεται ἐν αὐτοῖς, καθ' ὅσον αὐξάνει ὁ νοῦς ἐν τῇ πολιτείᾳ τῆς διανοίας, καὶ προκόπτει ἐπὶ τὸ ἔμπροσθεν. ἐὰν δὲ φθάσῃ τὴν χώραν τῆς ἀγάπης, θεωρεῖ τὰ πνευματικὰ εἰς τὸν τόπον αὐτῶν· ἅτινα καθ' ὅσον ἄντις βιάσηται καταβιβάσαι πρὸς αὐτὸν, οὐ πείθονται. ἐὰν δὲ φανταθῇ τολμηρῶς, καὶ θεωρήσῃ, καὶ κατανοήσῃ ἐν αὐτοῖς ἐν οὐ καιρῷ, ἀμβλυωπεῖ εὐθὺς ἡ ὅρασις αὐτοῦ, καὶ φαντασίαι καὶ τύποι ἀντὶ τῶν ἀληθινῶν θεωροῦνται αὐτῷ. ταῦτα ἀρτίως ἡνίκα λάβῃς ἐν τῷ νοΐσου τῷ διακριτικῷ, μὴ ζητήσῃς τὴν θεωρίαν ἐν οὐ καιρῷ. ἐὰν δὲ καὶ νῦν δοκῇ σοι ὁρᾶσθαι τὴν θεωρίαν, σκιά ἐστι τῆς φαντασίας, καὶ οὐ θεωρία ἡ θεωρία. ὅτι παντὶ νοητῷ γίνεται ὁμοίωμα, καὶ τύπος φαντασίας. καὶ πάλιν γίνεται ἐν αὐτῷ καὶ θεωρία ἀληθινή. ἰδοὺ γὰρ καὶ ταῖς φύσεσι ταῖς συνθέτοις γίνεται φαντασία, καὶ ἐστινότε ἔχουσι καὶ θεωρίαν ἀληθινήν. ἐὰν δὲ ᾖ θεωρία ἀληθὴς, τὸ φῶς εὑρίσκεται, κἀκεῖνο τὸ θεωρούμενον πλησίον τῆς ἀληθείας θεωρεῖται. ὅταν δὲ γένηται ἐξ ἐναντίας τούτων, σκιὰν ἀντὶ τῆς ἀληθείας θεωρεῖ ὁ ὀφθαλμός. ὅτε θεωρεῖ ὕδωρ, ὅπου οὐκ ἔστιν ὕδωρ, καὶ οἰκοδομὰς ἐπηρμένας καὶ κρεμαμένας ἐν τῷ ἀέρι, καὶ εἰσὶν ἐν τῇ γῇ κείμεναι. ἐν τῇ τοιαύτῃ δηλώσει τῶν σωματικῶν, τὸ αὐτὸ νόειμοι καὶ ἐπὶ τῶν νοητῶν.

Ἐὰν μὴ καθαρισθῇ ἡ ὅρασις τοῦ νοὸς ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν, καὶ ἐν ταῖς πράξεσι τῶν πολιτειῶν τῆς ἡσυχίας, καὶ

κλήση-

κλήσηται τὸ φῶς τῆς ἀγάπης ἐν τελειότητι, καὶ αὐξηθῇ ἐν τῇ ἡλικίᾳ τῆς καινότητος τοῦ Χριςοῦ, καὶ ἐν τῇ διαφορᾷ τῆς γνώσεως πλησίον γένηται τῶν πνευματικῶν φύσεων ἐν τῇ τάξει, ἐν ᾗ ζητεῖ τὴν ἀγγελικὴν πολιτείαν τοῦ πνεύματος, οὐ δύναται θεωρητικὸς ἀληθινὸς γενέσθαι τῆς θείας θεωρίας. καὶ ὅσα ὁμοιώματά τινα νομίζει ὁ νοῦς ὑπὲρ αὐτῶν ποιεῖσθαι, φαντασία λέγεται, καὶ οὐκ ἀλήθεια. καὶ τοῦτο τὸ θεωρεῖν ἄλλοτι ἀντ᾽ ἄλλου τὸν νοῦν, ἐκ τοῦ μὴ καθαρεύειν συμβαίνει αὐτόν. ἡ φύσις γὰρ τῆς ἀληθείας ἀναλλοίωτος μένει ἀεὶ, μὴ ἀλλοιουμένη ποτὲ εἰς ὁμοιώματα. ἡ αἰτία δὲ τῆς φαντασίας τῶν εἰκόνων, ἡ ἀσθένεια, καὶ οὐχ ἡ καθαρότης ἐςὶ τοῦ νοός.

Τοῦτο συνέβη καὶ τοῖς ἔξω φιλοσόφοις, ἐπειδὴ ταῦτα ἐνόμισαν εἶναι τὰ πνευματικὰ, περὶ ὧν διδαχὴν ἀληθινὴν ἐκ τοῦ Θεοῦ οὐκ ἐδέξαντο. ἐκ γὰρ τοῦ σφιγμοῦ, καὶ τῆς κινήσεως τοῦ λογιςικοῦ αὐτῶν, καὶ ἐκ τῶν ἐννοιῶν τῶν λογισμῶν αὐτῶν ἔδοξαν τῇ οἰήσει αὐτῶν, ὅτι εἰσί τι. καὶ μετὰ τοῦτο, καὶ πῶς εἰσὶ διελογίσαντο· ἵνα ἡ εὕρεσις τῆς γενέσεως αὐτῶν, καὶ ἡ ἀλλοίωσις τῆς ἀφομοιώσεως αὐτῶν αὐτοῖς γένωνται τὰ ἀμφότερα. καὶ διελάλησαν περὶ αὐτῶν ἐν οἰήσει τῇ μὴ καθηκούσῃ, καὶ τὸν ἕνα Θεὸν εἰς πολυθεΐαν κατεμερίσαντο, καὶ ἐλάλησαν, καὶ συνέθεντο ἐν τῇ ἀδολεσχίᾳ τῶν λογισμῶν αὐτῶν. καὶ ταύτην τὴν φαντασίαν τῆς παραφρονήσεως τῶν λογισμῶν αὐτῶν, θεωρίαν ἐκάλουν τῶν φύσεων.

Θεωρία οὖν ἡ ἀληθινὴ τῶν φύσεων τῶν αἰσθητῶν, καὶ ἀναισθήτων, καὶ αὐτῆς τῆς ἁγίας Τριάδος, ἐν τῇ τοῦ Χριςοῦ ἀπο-

καλύψει προσγίνεται. τὴν ἐδίδαξε, καὶ ἔδειξε τοῖς ἀνθρώποις, τὴν ἐν πρώτοις ἐποίησεν ἀνακαινισμὸν ἐν τῇ ἑαυτῦ ὑποςάσει τῇ φύσει τῇ ἀνθρωπίνῃ, καὶ ἔςρεψε, καὶ ἔδωκεν αὐτῇ τὴν πρώτην ἐλευθερίαν, καὶ κατέτριψεν ἡμῖν ὁδὸν ἐν ἑαυτῷ τῦ διαβιῶναι ἐν ταῖς ζωοποιοῖς αὐτῦ ἐντολαῖς πρὸς τὴν ἀλήθειαν. καὶ τότε ἱκανὴ ἡ φύσις γενέσθαι θεωρητικὴ τῆς ἀληθινῆς θεωρίας, ἀλλὰ μὴ τῆς φαντασικῆς, ὁπόταν ὁ ἄνθρωπος ἐν πρώτοις ἐν τῇ ὑπομονῇ τῶν παθῶν, καὶ τῇ ἐργασίᾳ, καὶ τῇ θλίψει ἀποδύσηται τὸν παλαιὸν ἄνθρωπον τῶν παθῶν, καθὼς ἀποδύεται τὸ βρέφος τὸ συνθυγενὲς τὸ τῆς μήτρας ἔνδυμα. τότε ἱκανὸς ὁ νῦς γεννηθῆναι πνευματικῶς, καὶ ὁραθῆναι ἐν τῷ κόσμῳ τῦ πνεύματος, καὶ δέξασθαι θεωρίαν τῆς πατρίδος αὐτῦ.

Ἡ θεωρία ὖν ἀρτίως τῶν ποιημάτων εἰ καὶ γλυκεῖά ἐςιν, ἀλλὰ σκιά ἐςι τῆς γνώσεως, ἢ ὐκ ἔςιν ἡ γλυκύτης αὐτῆς ἀφωρισμένη ἐκ τῆς τῶν ὀνείρων φαντασίας. θεωρία ὖν τῦ καινῦ κόσμυ ἐν τῷ πνεύματι τῆς ἀποκαλύψεως, ἐν ᾗ κατατρυφᾷ ὁ νῦς πνευματικῶς, τῆς χάριτός ἐςιν ἐνέργεια, ἀλλ' ὐ σκιὰ τῆς γνώσεως. καὶ ὐκ ἔςιν ἡ ἡδύτης αὐτῆς ἀφωρισμένη ἐκείνης, ἧς ἔγραψεν ὁ Ἀπόςολος· ἃ ὀφθαλμὸς λέγων ὐκ εἶδε, καὶ ὖς ὐκ ἤκυσεν, ὐδὲ ἐπὶ καρδίαν ἀνθρώπυ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. τοῖς ἁγίοις δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τῦ πνεύματος αὐτῦ. αὐτὸ γὰρ τὸ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τῦ Θεῦ. καὶ αὕτη ἡ θεωρία γίνεται τροφὴ τῷ νοΐ, ἕως ἂν ἰσχύσῃ δέξασθαι θεωρίαν ὑψηλοτέραν τῆς πρώτης θεωρίας. διότι ἡ θεωρία, τῇ θεωρίᾳ μεταδίδωσι, μέχρις ἂν εἰσαχ-

α. Κορινθ. β. θ.

α. Κορινθ. β. ι.

εἰσαχθείη εἰς τὴν χώραν ὁ νοῦς τῆς τελείας ἀγάπης. ἡ ἀγάπη γὰρ τόπος ἐςὶ τῶν πνευματικῶν, καὶ ἐν τῇ καθαρότητι τῆς ψυχῆς αὐλίζεται. καὶ ὅτε ςαθῇ ὁ νοῦς ἐν τῇ χώρᾳ τῆς ἀγάπης, ἐνεργεῖ ἡ χάρις, καὶ δέεται ὁ νοῦς τὴν θεωρίαν τοῦ πνεύματος, καὶ γίνεται θεωρητικὸς τῶν κρυπτῶν. εἶπον γὰρ, ὅτι ἐκ δύω δίδοται τὸ χάρισμα τῶν ἀποκαλύψεων τῆς θεωρίας τοῦ νοός.

Ἔςι γὰρ ὅτε διὰ τῆς χάριτος, ἐκ τῆς θερμότητος τῆς πίςεως δίδοται· ἔςι δ' ὅτε, ἐκ τῆς τῶν ἐντολῶν ἐργασίας, καὶ τῆς καθαρότητος. ἐκ τῆς χάριτος μὲν, καθὼς πρὸς τοὺς μακαρίους Ἀποςόλους, οὐκ ἐκ τῆς ἐργασίας τῶν ἐντολῶν τὸν νοῦν καθηραμένους, καὶ τῆς ἀποκαλύψεως τῆς θεωρίας ἀξιωθέντας, ἀλλ' ἐκ τῆς θέρμης τῆς πίςεως. διότι ἐπίςευσαν εἰς τὸν Χριςὸν ἐν ἁπλότητι, καὶ ἠκολούθησαν αὐτῷ ἐν καρδίᾳ διαπύρῳ ἀδιςάκτως. καὶ ὅτε ἐτελείωσε τὴν οἰκονομίαν αὐτοῦ τὴν προσκυνητὴν, ἀπέςειλεν αὐτοῖς τὸ παράκλητον πνεῦμα, καὶ ἐκάθηρε, καὶ ἐτελείωσε τὸν νοῦν αὐτῶν, καὶ ἐνεργητικῶς ἐνέκρωσεν ἐντὸς αὐτῶν τὸν παλαιὸν ἄνθρωπον τῶν παθῶν, καὶ ἐνεργητικῶς ἐζωοποίησεν ἐν αὐτοῖς τὸν καινὸν τοῦ πνεύματος ἄνθρωπον, καὶ ἐδέξαντο τὴν αἴσθησιν τῶν ἀμφοτέρων αὐτῶν. οὕτω καὶ ὁ μακάριος Παῦλος ἀνεκαινίσθη μυςικῶς, καὶ οὕτως ἐδέξατο τὴν θεωρίαν τῆς ἀποκαλύψεως τῶν μυςηρίων, καὶ σὺν τούτοις οὐκ ἐν τῷ πεποιθῶς εἰς αὐτήν. ἐνεργητικῶς ἐδέξατο τὴν χάριν, καὶ δωρεὰν, ἀλλ' ὅλον τὸν τῆς ζωῆς αὐτοῦ χρόνον ἐποίει τὸν δρόμον, ἵνα ἀνταποδώσῃ κατὰ τὸ δυνατὸν τῇ χάριτι, ἧς ἠξιώθη, ἐξ ὅτου συνωμίλησεν αὐτῷ ἐν τῇ ὁδῷ, ὡς οἰκείῳ, καὶ ἀπέςειλεν

αὐτὸν

αὐτὸν εἰς Δαμασκόν. ἐκ ἔγραφη, ὅτι ὡμίλησαν αὐτῷ φανερῶς ὁ Ἰησῦς, ἀλλ' ὡς καὶ ὁ Ἀνανίας γράφει, ὅτι εἶπεν αὐτῷ· Σαῦλ ἀδελφὲ, ὁ Κύριος ἡμῶν Ἰησῦς Χριςὸς, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ἀπέςειλέ με πρὸς σὲ, ὅπως ἀναβλέψωσιν οἱ ὀφθαλμοί σε, καὶ πληρωθῇς πνεύματος ἁγίε. καὶ ὅτε ἐβάπτισαν αὐτὸν, ἐνεπλήσθη πνεύματος ἁγίε, καὶ ἠξιώθη τῶν μυςηρίων τῶν ἀποκαλύψεων τῶν ἀποκρύφων, καθὼς ἀνηγγέλθη καὶ τοῖς ἁγίοις Ἀποςόλοις, ἡνίκα σὺν αὐτοῖς ἀνεςρέφετο ὁ Ἰησῦς εἶπεν· ὅτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' ἐ δύνασθε βαςάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ τὸ πνεῦμα τὸ ἅγιον, ἐκεῖνο ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ τὰ μέλλοντα ἀναγγελεῖ ὑμῖν.

Πράξ. θ. ιζ. — Ἰωάν. ιϛ. ιβ.

Καὶ ὁ μακάριος Παῦλος δηλονότι ἡνίκα ἐδέξατο τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἀνεκαινίσθη ἐν αὐτῷ, ἠξιώθη τῶν μυςηρίων τῆς ἀποκαλύψεως, καὶ ἐν τῷ πνεύματι τῶν ἀποκαλύψεων ἐθεώρει, καὶ ἐτρύφα ἐν τῇ θεωρίᾳ, καὶ ἤκεσεν ἄῤῥητα ῥήματα, καὶ ἐθεώρει θεωρίαν ὑψηλοτέραν τῆς φύσεως, καὶ ἀπήλαυσεν ἐν ταῖς θεωρίαις τῶν ἐρανίων δυνάμεων, καὶ τῶν πνευματικῶν πραγμάτων τῆς κατατρυφῶν. καὶ τῦτο μὴ γένοιτο, ὡς παραφρονῦσιν οἱ αἱρετικοὶ οἱ λεγόμενοι Εὐχῖται, ὅτι τὴν ἄνοδον ἐκείνην ἀνῆλθε θελήσει αὐτῦ, (ἐδὲ ὅλως δύναται ὁ νῦς ἀνελθεῖν ἐκεῖσε) ἀλλ' ἁρπαγῇ ἡρπάγη ἐν τῷ πνεύματι τῶν ἀποκαλύψεων, καθὼς γέγραφεν ἐν τῇ πρὸς Κορινθίες ἐπιςολῇ ἐξ ἐναντίας τῶν ματαίων ἀνθρώπων. οἵτινες ἀφωμοίεν ἑαυτὲς τοῖς ἁγίοις Ἀποςόλοις, καὶ ὡμολόγεν τὰς φαντασίας τῶν λογισμῶν αὐτῶν, καὶ ἐκάλεν αὐτὰς πνευματικὰς θεωρίας.

τῦτο

τοῦτο πρὸς αἱρετικοὺς πολλοὺς εὑρέθη, λέγω δὴ τοῦ Ὠριγένους ἐγγὺς, (1) καὶ τοῦ Οὐαλεντίνου, (2) καὶ τοῦ υἱοῦ τοῦ Διοσᾶν, (3) καὶ τοῦ Μαρκίωνος, (4) καὶ τοῦ Μάνεντος, (5) καὶ τῶν λοιπῶν παλαιῶν αἱρεσιαρχῶν τῶν κακῶν αἱρέσεων, τῶν ἀπὸ τῶν καιρῶν τῶν Ἀποςόλων ἀρξαμένων, καὶ ἕως τῆς σήμερον εὑρισκομένων ἐν τόποις τόποις.

Λοιπὸν διότι τινὲς ἐν τῇ φαντασίᾳ τῶν Δαιμόνων πεφθαρμένοι ἄνθρωποι ἠθέλησαν φθεῖραι τὴν διδαχὴν τῶν μακαρίων Ἀποςό-

(1) „Ὅσα δὲ εἰς δόγματα ἐδογμάτισε, καὶ περὶ πίςεως καὶ μείζονος θεωρίας, (ὁ Ὠριγένης) τῶν πάντων ἀτοπώτατα τῶν πρὸ αὐτοῦ, καὶ μετ' αὐτὸν εὑρίσκεται, πλὴν τῶν ἐν ταῖς αἱρέσεσιν αἰσχρουργιῶν. Ἐπιφάν. ἐν βιβλ. β. Τόμ. α. αἱρέσ. μδ. τῇ καὶ ξδ.

(2) Οἱ περὶ τὸν Οὐαλεντῖνον πρὸς ταῖς ἄλλαις αὐτῶν τερατολογίαις, καὶ ἑαυτοὺς ὑπερυψοῦσιν, ὥς φησιν Εἰρηναῖος, (παρὰ Ἐπιφαν. ἐν βιβλ. α. Τόμ. β. αἱρέσ. λα.) τελείους ἀποκαλοῦντες, καὶ σπέρματα ἐκλογῆς. ἡμᾶς μὲν γὰρ, ἐν χρήσει τὴν χάριν λαμβάνειν λέγουσι, διὸ καὶ ἀφαιρεθήσεσθαι αὐτῆς· αὐτοὺς δὲ, ἰδιόκτητον ἄνωθεν ἀπὸ τῆς ἀῤῥήτου καὶ ἀνωνομάςου συζυγίας συγκατεληλυθυῖαν ἔχειν τὴν χάριν.

(3) Ὁ τοῦ Διοσᾶν υἱὸς ἄσημος, καὶ ἄγνωςος, καὶ ἀνωνόμαςος.

(4) Ὁ Μαρκίων οὐ μόνον τρεῖς ἀρχὰς ὑποτιθέμενος ἐπίςευε, Θεὸν ἀγαθὸν, Θεὸν ὁρατὸν, καὶ Διάβολον, ἀλλὰ καὶ τὰς ἁγίας γραφὰς διέφθειρε, καὶ τὸ θεῖον λουτρὸν ἐπολλαπλασίαζε, καὶ ψυχῆς μόνης ἀνάςασιν ἐδογμάτιζεν. Ἐπιφάν. ἐν βιβλ. α. Τόμ. γ. αἱρέσ. κβ. τῇ καὶ μβ.

(5) Μάνης ὁ καὶ Μανιχαῖος Ἀπόςολον ἑαυτὸν ἐκάλει. Μάρκελλον γὰρ τὸν ἐν Καχάρῃ πόλει τῆς Μεσοποταμίας οἰκοῦντα, ἄνδρα ἐπ' εὐσεβείᾳ ἐπίσημον, καὶ ἐν ἔργοις ἀγαθοῖς θαυμασιώτατον πλανῆσαι μηχανώμενος, οὕτως αὐτῷ ἔγραφε. Μανιχαῖος Ἀπόςολος Ἰησοῦ Χριςοῦ, καὶ οἱ σὺν ἐμοὶ πάντες ἅγιοι, καὶ παρθένοι Μαρκέλλῳ τέκνῳ ἀγαπητῷ, χάρις, ἔλεος, εἰρήνη, κτ. ὅρα Ἐπιφαν. βιβλ. β. Τόμ. β. αἱρεσ. μς. τὴν καὶ ξς.

Ἀποςόλων, ἠναγκάσθη ὁ θεῖος Ἀπόςολος καταλῦσαι τὸ καύχημα τῶν αἱρετικῶν, τῶν καυχομένων ἐν τῇ σκιᾷ τῆς ἐργασίας τῶν Δαιμόνων τῶν φαινομένων αὐτοῖς, ἡνίκα διηγεῖται τὴν θείαν θεωρίαν τὴν ἑαυτῦ ἐν ταπεινώσει, καὶ φόβῳ πολλῷ, εἰς πρόσωπον ἄλλε ἀναφέρων αὐτήν. εἶδον γάρ φησιν ἄνθρω-
„ πον ἐν Χριςῷ πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐκτὸς τῦ σώματος,
„ εἴτε ἐν σώματι, ἐκ οἶδα· ὁ Θεὸς οἶδεν ἁρπαγέντα εἰς τὸν πα-
„ ράδεισον, καὶ ἀκέσαντα ῥήματα, ἃ ἐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. ἁρπαγῇ ἐν ἡρπάγη, λέγει, καὶ ἐχ ὅτι ἑκεσίως ἀνῆλθεν ἐν τῷ νοῒ αὐτῦ ἐν τῇ θεωρίᾳ εἰς τὸν τρίτον ἐρανόν. ἀλλ᾽ ὅτι εἶδε θεωρίας, ἔγραψε· καὶ ὅτι ἤκεσε ῥήματα, εἶπε. τίνες δὲ εἰσιν οἱ λόγοι, ἢ οἱ τύποι τῶν θεωριῶν, ἐκ ἠδυνήθη γράψαι. ὁ γὰρ νῦς ἡνίκα ἐν τῷ πνεύματι τῆς ἀποκαλύψεως εἶδεν αὐτὰ ἐν τῷ ἑαυτῶν τόπῳ, ἐκ ἐδέξατο παράθεσιν λαλῆσαι αὐτὰ ἐν τῷ τόπῳ τῷ μὴ ἰδίῳ αὐτῶν. ἔτε δὲ εἰ ἠθέλησε λαλῆσαι αὐτὰ ἠδυνήθη. διότι ἐκ ἐν ταῖς σωματικαῖς αἰσθήσεσιν εἶδεν αὐτά. ὅπερ γὰρ δέχεται ὁ νῦς ἐν ταῖς αἰσθήσεσι τῦ σώματος, δύναται πάλιν καὶ ἐν αὐταῖς ἑρμηνεῦσαι ἐν τῇ χώρᾳ τῶν σωμάτων· ὅπερ δὲ αὐτὸς ἑαυτῦ ἐν τῇ χώρᾳ τῦ πνεύματος αἰσθητικῶς θεωρεῖ, ἢ ἀκέει, ἢ αἰσθάνεται, ἡνίκα ςρέφεται πρὸς τὸ σῶμα, ἐχ ἱκανοῖ διηγήσασθαι, μνημονεύει δὲ μόνον, ὅτι εἶδεν αὐτά. πῶς δὲ, ἐ τρανῶς γινώσκει διηγήσασθαι.

β. Κορινθ. ιβ. β.

Καὶ ἐκ τέτε ἐλέγχονται αἱ γραφαὶ αἱ ψευδεῖς, αἱ καλέμεναι ἀποκαλύψεις, αἱ ἐκτιθεῖσαι ὑπὸ τῶν αἱρεσιαρχῶν τῶν πεφθαρμένων αἱρέσεων ἐν τῇ φαντασίᾳ τῶν Δαιμόνων περὶ τῶν μονῶν τῦ ςερεώματος, ἐν αἷς ἄγεσι τὸν νῦν εἰς τὸ μαθεῖν

ἑκεσίως

ἑκȣσίως καὶ περὶ τῶν εἰσόδων τῶν εἰς τὸν ȣ̓ρανὸν τȣ͂ νοὸς, καὶ περὶ τῶν τόπων τῶν ἀφωρισμένων τῇ κρίσει, καὶ περὶ τῶν πολυτρόπων τύπων τῶν ἄνω Δυνάμεων, καὶ περὶ τῆς ἐνεργείας αὐτῶν. ἅπερ πάντα σκιὰ τȣ͂ νοὸς τȣ͂ μεμεθυσμένȣ ἐν τῇ οἰήσει, καὶ παραπεπληγμένȣ ἐν τῇ ἐργασίᾳ τῶν Δαιμόνων. διὰ τȣ͂το ὁ μακάριος Παῦλος ἑνὶ λόγῳ ἀπέκλεισε τὴν θύραν εἰς τὸ πρόσωπον τῆς ἁπάσης θεωρίας, καὶ εἰσήνεγκε τὸν ἀποκλεισμὸν αὐτῆς ἐντὸς τῆς σιωπῆς. ἔνθα ȣ̓δὲ εἰ ἠδυνήθη ὁ νȣ͂ς δεῖξαι αὐτὰ, παράθεσιν ἐδέξατο ἄν. εἶπε γὰρ πάσας τὰς θεωρίας, ἃς ἱκανοὶ ἐν τῇ χώρᾳ δεῖξαι τῶν σωμάτων ἡ γλῶσσα, φαντασίαι εἰσὶ τῶν λογισμῶν τῆς ψυχῆς, ἀλλ᾽ ȣ̓κ ἐνέργεια χάριτος.

Λοιπὸν ἡ ὁσιότης σȣ ὡς μνημονεύȣσα τȣ́των, παρατήρησαί μοι τὰς φαντασίας τῶν λογισμῶν τῶν βαθέων. πρὸς Μοναχȣ̀ς γὰρ ἔχοντας ἀγχίνοιαν, καὶ ἐξετάζοντας τὰς κενοδοξίας, καὶ ἐπιθυμȣ͂ντας τὰς καινȣργίας, τȣ̀ς ἐν προσώπῳ διάγοντας, μάλιστα ὁ πόλεμος ȣ̓͂τος γίνεσθαι πέφυκε.

Μαλπᾶς γάρ τις ὀνόματι, ἐξ Ἐδέσης ἕλκων τὸ γένος, ἐν καιρῷ τινὶ ἦν εὑρηκὼς τὴν αἵρεσιν τῶν Εὐχητῶν ἐν πολιτείᾳ μεγάλῃ διάγων, καὶ ἔργοις βιαιοτέροις ἐγκαρτερῶν, καὶ ἐν θλίψεσι. λέγεται γὰρ ὅτι μαθητὴς ὢν τȣ͂ μακαρίȣ Ἰȣλιανȣ͂, τȣ͂ καλȣμένȣ Σαβᾶ, ἐν καιρῷ ὀλίγῳ ἀπῆλθε μετ᾽ αὐτȣ͂ εἰς τὸ Σίναιον, καὶ εἰς Αἴγυπτον, καὶ εἶδε τȣ̀ς μεγάλȣς πατέρας τȣ̀ς ἐν ἐκείνῳ τῷ καιρῷ, εἶδε τὸν μακάριον Ἀντώνιον, καὶ ἤκȣσεν ἐξ αὐτȣ͂ μυστικȣ̀ς λόγȣς, ȣ̔̀ς περὶ καθαρότητος ἐλάλει, καὶ

σωτηρίας ψυχῶν, καὶ ἤκεσαν ἐρωτήσεις λεπ]ὰς περὶ τῶν παθῶν, δἰ ὧν ἡρμλώσαν, ὅτι ἔχει ὁ νȣ̃ς θεωρίας περὶ τῶν μυςηρίων τȣ̃ πνεύματος μετὰ τὴν ἑαυτȣ̃ κάθαρσιν, καὶ ὅτι ἡ ψυχὴ δύναται διὰ τῆς χάριτος ἀξιωθῆναι τῆς ἀπαθείας, ὅταν ἀποδύσηται τῇ ἐργασίᾳ τῶν ἐντολῶν τὰ πάθη τὰ παλαιὰ, καὶ ςαθῇ ἐν τῇ ὑγιείᾳ τῆς φύσεως ἑαυτῆς τῆς πρώτης. καὶ ὅτε ἤκȣσε τȣ̀ς λόγȣς τȣ́τȣς ὁ Μαλπᾶς ἐν τῇ ἀκμῇ τῆς νεότητος αὐτȣ̃, ἐθερμάνθη καθάπερ πῦρ, καὶ ἦλθεν εἰς τὴν ἑαυτȣ̃ πόλιν, ἡνίκα ἐπυρώθη ἐν αὐτῷ τὸ πάθος τῆς φιλοδοξίας, καὶ ἐξελέξατο ἑαυτῷ σκήνωμα ἀναχωρητικὸν, ἢ ἀφώρισεν ἑαυτὸν εἰς ἔργα, καὶ θλίψεις σκληρὰς, καὶ εἰς ἀδιαλείπ]ȣς εὐχάς. καὶ ὅτε ἐξεκαύθη ἐν αὐτῷ τὸ πάθος τῆς δοξομανίας, ὅπερ ἦν ἐλπὶς αὐτῷ φθάσαι τὰ ὑψηλὰ, ἅπερ ἦν ἀκȣ́σας, ἡνίκα ȣ̓κ ἔμαθε τὴν τέχνην τὴν ἐναντιȣμένην τοῖς ἐχθροῖς τῆς ἀληθείας, καὶ ȣ̓κ ἐνόησε τὰς ἐνέδρας, καὶ τȣ̀ς δόλȣς, καὶ τὰς μηχανὰς τȣ̃ ἀντιπάλȣ, ἐν αἷς κλέπ]ει τȣ̀ς ἰσχυρȣ̀ς, καὶ τȣ̀ς κραταιȣ̀ς εἰς ἀπώλειαν, ἐθάῤῥησε δὲ μόνον ἐπὶ τὰ ἔργα, καὶ τὰς θλίψεις, καὶ τὴν ἀκ]ημοσιώην, ἢ τὴν ἄσκησιν, καὶ τὴν ἐγκράτειαν, μὴ τὴν ἑαυτȣ̃ κ]ησάμενος ἐξȣδένωσιν, καὶ τὴν ταπείνωσιν, καὶ τὸν συντριμμὸν τῆς καρδίας, (ἅπερ εἰσὶν ὅπλον ἀήτ]η]ον πρὸς τὰ ἐναντιώμα]α τȣ̃ πονηρȣ̃) μήτε δὲ μνημονεύσας τῆς γραφῆς τῆς λεγȣ́σης, ὅταν πληρώσητε τὰ ἔργα, καὶ φυλάξητε τὰς ἐντολὰς, καὶ ὑπομείνητε τὰς θλίψεις, λογίσαθε ἑαυτȣ̀ς δȣ́λȣς ἀχρείȣς· ἀλλ' ἐν τῇ οἰήσει τῇ ὑψηλῇ, τῇ ὑπὲρ ἑαυτȣ̃, τῇ ἐκ τῆς ἐργασίας τῶν πολιτειῶν αὐτȣ̃ γινομένῃ ἦν πυρȣ́μενος, καὶ κατακαιόμε-

Λȣκ. ιζ. ι.

νος

νος τῇ ἐπιθυμίᾳ τῶν ὑψηλῶν, ὧν ἤκȣσε. καὶ μετὰ καιρὸν πολιὺ ἰωίκα εἶδεν αὐτὸν ὁ Διάβολος κενὸν ἐκ τῆς ἐργασίας τῆς ταπεινώσεως, καὶ μόνον ἐπιθυμȣ̃ντα τῆς θεωρίας αἰσθηθῆναι τῶν μυςηρίων, ὧν ἤκȣσεν, ἔδειξεν αὐτῷ ἑαυτὸν ἐν φωτὶ ἀπείρῳ λέγοντα αὐτῷ, ἐγώ εἰμι ὁ παράκλητος, καὶ ἐπέμφθην παρὰ τȣ̃ πατρὸς πρὸς σὲ, ὅπως ἀξιώσωσε ἰδεῖν τὴν θεωρίαν, ἣν ἐπιθυμεῖς χάριν τῶν ἔργων σȣ, καὶ δȣ̃ναί σοι τὴν ἀπάθειαν, καὶ τῶν ἔργων ἀνέσαι σε τȣ̃ λοιπȣ̃. ἀντὶ δὲ τȣ́των ὁ κακομήχανος ἠτήσατο προσκυνησιν τὸν δείλαιον ἐκεῖνον. ἐκεῖνος δὲ ὁ μωρὸς, διὰ τὸ μὴ αἰσθηθῆναι αὐτὸν τȣ̃ πολέμȣ τȣ̃ πονηρȣ̃, εὐθέως μετὰ χαρᾶς ἐδέξατο αὐτὸν, καὶ προσεκύνησεν αὐτῷ, καὶ παραχρῆμα ὑπὸ τὴν ἐξȣσίαν αὐτȣ̃ ἐγένετο. καὶ ἀντὶ τῆς θείας θεωρίας, ἐπλήρωσεν αὐτὸν φαντασίας Δαιμόνων, καὶ ἐποίησεν αὐτὸν ἀργῆσαι ἐκ τῶν πράξεων τῶν ὑπὲρ τῆς ἀληθείας, καὶ ὕψωσεν αὐτὸν, καὶ ἐχλεύασεν ἐν τῇ ἐλπίδι τῇ κενῇ τῆς ἀπαθείας, λέγων αὐτῷ· νῦν ȣ̓ χρῄζεις τῶν ἔργων, καὶ τῶν κολαφισμάτων τȣ̃ σώματος, καὶ τȣ̃ ἀγῶνος τȣ̃ ἀντικειμένȣ τοῖς πάθεσι, καὶ ταῖς ἐπιθυμίαις, καὶ ἐποίησεν αὐτὸν αἱρεσιάρχην τῶν Εὐχιτῶν. ὅτε δὲ ἐπληρώθησαν, καὶ ἐφανερώθη ἡ διδαχὴ ἡ βέβηλος καὶ νόθος, ἐδιώχθησαν παρὰ τȣ̃ κατ' ἐκεῖνον τὸν καιρὸν ἐπισκόπȣ.

Πάλιν δὲ ἄλλος τὶς, ὀνόματι Ἀσινᾶς ἐν αὐτῇ τῇ Ἐδέσῃ ποιήσας πολλὰ τριλέξια ψαλλόμενα ἕως τῆς σήμερον, ἐν πολιτείᾳ μεγάλῃ διῆγε, καὶ ἐν ἔργοις σκληροτέροις ἀκρίτως ἐδέσμησεν ἑαυτὸν, ἕως ȣ̓ δοξασθῇ. τȣ̃τον ἐπλάνησεν ὁ Διάβολος, καὶ ἐξήνεγκεν αὐτὸν ἐκ τȣ̃ κελλίȣ αὐτȣ̃, καὶ ἔςησεν

ἐπάνω ὄρους καλουμένου Στορίου, καὶ συνέθετο, καὶ ἔδειξεν αὐτῷ σχήματα τῶν ἁρμάτων, καὶ τῶν ἱππέων, καὶ εἶπον αὐτῷ· ὁ Θεὸς ἔπεμψέ με λαβεῖν σε εἰς τὸν παράδεισον κατὰ τὸν Ἠλίαν. καὶ ὡς ἠπατήθη ἐν τῇ νηπιοφροσύνῃ αὐτοῦ, καὶ ἀνῆλθε καθίσαι ἐπὶ τὸ ἅρμα, κατελύθη ἐκείνη πᾶσα ἡ φαντασία, καὶ κατῆλθεν ἀπὸ ὕψους πολλοῦ, καὶ ἔπεσεν ἐκεῖθεν ἐπὶ τὴν γῆν, καὶ ἀπέθανε θάνατον γέλωτος.

Ταῦτα εἶπον ἐνταῦθα οὐ ματαίως, ἀλλ' ἵνα μάθωμεν τὸν ἐμπαιγμὸν τῶν Δαιμόνων, τῶν διψώντων τὴν ἀπώλειαν τῶν ἁγίων, καὶ μὴ ἐπιθυμήσωμεν ἐν οὐ καιρῷ τὰ ὑψηλὰ τῶν πολιτειῶν τῆς διανοίας, ἵνα μὴ καταγελασθῶμεν ὑπὸ τοῦ πονηροῦ καὶ ἀντιπάλου ἡμῶν. διότι ὁρῶ καὶ σήμερον, ὅτι νεώτεροι οἱ πλήρεις παθῶν βαττολογοῦσι, καὶ δογματίζουσι περὶ τῶν μυστηρίων τῆς ἀπαθείας ἀφόβως.

Ἐγράφη τινὶ τῶν ἁγίων, ἐξ ἀνθρώπων πεπληρωμένων παθῶν, ἐξεταζόντων περὶ λόγων τῶν σωματικῶν, καὶ ἀσωμάτων, οἱ οὐκ ἦσαν ἀφωρισμένοι ἀπὸ τῶν νοσερῶν τῶν δογματιζόντων περὶ ὑγιείας. ὁ μακάριος Παῦλος ἡνίκα ἠθήθη περὶ τῶν μαθητῶν τῶν καταφρονησάντων μου τὰς ἐντολάς, καὶ τὰ πάθη μὴ νικησάντων, τὴν δὲ μακαριότητα τῶν μυστηρίων τῆς θεωρίας τῆς μετὰ τὴν κάθαρσιν ἐπιθυμέντων, εἶπεν αὐτοῖς· πρῶτον ἀποδύσασθε τὸν παλαιὸν ἄνθρωπον τῶν „ παθῶν, καὶ τότε ἐπιθυμήσατε ἐνδύσασθαι τὸν καινὸν, τὸν ἀνακαινέμενον ἐν ἐπιγνώσει τῶν μυστηρίων, καθ' ὁμοιότητα τοῦ ποιητοῦ. καὶ μὴ ἐπιθυμήσητε ἐκείνην τὴν ἐμὴν καὶ τῶν Ἀποστόλων,

Ἐφεσ. δ. κβ.

» στόλων, τὴν ἐνεργητικῶς διὰ τῆς χάριτος γενομένην. διότι ὁ Ῥωμ. θ. ιη.
» Θεὸς ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει. τίς γὰρ κατὰ πρόσωπον αὐτοῦ στήσεται, ἢ ἐξ ἐναντίας τοῦ θελήματος αὐτοῦ; ἔστι γὰρ ὅτε, ποτὲ μὲν, δωρεὰν παρέχει ὁ Θεός· ποτὲ δὲ, τὰ ἔργα, καὶ τὴν κάθαρσιν ζητεῖ, καὶ οὕτω χαρίζεται· ἔστι δ' ὅτε, οὐδὲ μετὰ τὰ ἔργα καὶ τὴν κάθαρσιν παρέχει ὧδε, ἀλλὰ φυλάττει ἵνα δῷ αὐτὴν εἰς τὸν τόπον αὐτῆς. τοῦτο δὲ εὑρίσκομεν ὅτι ποιεῖ καὶ ἐν τῇ ἐλάττονι ταύτης, τῇ τῶν ἁμαρτιῶν, φημὶ, συγχωρήσει. ἰδοὺ γὰρ τὸ βάπτισμα δωρεὰν συγχωρεῖ, καὶ οὐ ζητεῖ ὅλως τὶ, ἀλλ' ἢ πίστιν· ἐν τῇ μετανοίᾳ δὲ τῶν ἁμαρτιῶν τῇ μετὰ τὸ βάπτισμα, οὐ δωρεὰν, ἀλλὰ ζητεῖ κόπους, καὶ θλίψεις, καὶ λύπας τῆς κατανύξεως, καὶ δάκρυα, καὶ κλαυθμὸν καιροῦ πολλοῦ, καὶ οὕτω συγχωρεῖ. τῷ λῃστῇ γὰρ δωρεὰν συνεχώρησεν, ἐν μόνῃ τῇ ἐν λόγῳ ἐξομολογήσει ἐν τῷ σταυρῷ, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἐπηγγείλατο. καὶ παρὰ τῆς ἁμαρτωλοῦ πάλιν πίστιν καὶ δάκρυα ἐζήτησεν. ἐκ τῶν μαρτύρων δὲ, καὶ ὁμολογητῶν, μετὰ τῆς πίστεως τῆς καρδίας αὐτῶν, ἐζήτει καὶ τὰς θλίψεις, τὰς βασάνους, τὸν κλονισμὸν, τὰς τιμωρίας, τοὺς θανάτους τοὺς πολυτρόπους.

Πεπεισμένη οὖν ἡ σὴ ἁγιωσύνη ἐν τούτοις καὶ τοῖς τοιούτοις, ὅρα ἐν τοῖς πρώτοις καὶ ταῖς ἐσχάτοις, καὶ μὴ ζητήσῃς τὴν θεωρίαν ἐν οὐ καιρῷ θεωρίας. καὶ ἐν ὅσῳ ἐν τῷ τόπῳ τοῦ σώματος κεκλεισμένος εἶ, γίνου σπουδαῖος τοῖς ἔργοις τῆς μετανοίας, καὶ παλαιστὴς πρὸς τὰ πάθη, καὶ ὑπομονητικὸς ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν, καὶ παραφύλαξαι ἐκ

τοῦ

τοῦ ἐμπαιγμοῦ τῶν Δαιμόνων, καὶ τῶν κηρυττόντων τὴν τελειότητα ἄτρεπτον ἐν τῷ κόσμῳ τῷ ἐμπαθεῖ, καὶ ἐκκλινομένῳ. καὶ ταῦτα μηδὲ τῶν Ἀγγέλων τῶν ἁγίων, τῶν λειτουργῶν τοῦ πατρὸς καὶ τοῦ πνεύματος ὄντων· οἵτινες ἐκδέχονται τὸν ἀνακαινισμὸν τῆς μεσότητος, τοῦ ἐλευθερωθῆναι τῆς δουλείας τῆς φθορᾶς ἐν τῇ ἐλευθερίᾳ τῶν τέκνων τοῦ Θεοῦ. (Ῥωμ. η. κα.) τελειότης γὰρ ἐνταῦθά ἐστιν; ἔνθα Ἥλιος ἀνατέλλων τε καὶ δύνων ἐστὶν ἐν μέσῳ τῶν νεφελῶν; ἐν καιρῷ εὐδία, καὶ ἐν καιρῷ αὐχμός. καὶ ποτὲ μὲν, χαρά· ποτὲ δὲ, κατήφεια. καὶ ὅπερ ἐναντίον τούτων, μέρος ἐστὶ τῶν λύκων, καθώς τις τῶν ἁγίων ἔφη. ὁ δὲ Θεὸς στηρίζοι τὴν βάσιν τῆς πολιτείας ἡμῶν ἐν τῇ βεβαιώσει τῇ ἀληθινῇ, καὶ τῇ διδαχῇ αὐτοῦ τῇ ἁγίᾳ. ᾧ πρέπει ἡ δόξα, τὸ κράτος, καὶ ἡ μεγαλοπρέπεια νῦν τε καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΕΛΟΣ

τῶν τοῦ ὁσίου πατρὸς Ἰσαὰκ τοῦ Σύρου λόγων.

ΠΙΝΑΞ

ΤΩΝ ΥΠΟ ΤΗΣΔΕ ΤΗΣ ΒΙΒΛΟΥ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΤΗΣ ΠΑΛΑΙΑΣ ΤΕ ΚΑΙ ΝΕΑΣ ΔΙΑΘΗΚΗΣ ΛΟΓΙΩΝ.

ἐν ᾧ ὁ μὲν ἀραβικὸς ἀριθμὸς καὶ ὁ ἑλληνικὸς, τὴν σελίδα δηλοῖ· τὸ δὲ στοιχεῖον σ, ὅπου ἂν ᾖ, τὴν ἐν αὐτῇ σημείωσιν.

Ψαλ.

Κεφ

Μάρκου.

Λουκᾶ.

Ἰωάννȣ.

Πράξεων.

Τῆς πρὸς Ῥωμ. Ἐπιστ.

Κεφ.

Τῆς πρὸς Κορινθ. Α. Ἐπις.

Τῆς πρὸς Κορινθ. Β. Ἐπις.

Τῆς πρὸς Γαλάτ. Ἐπις.

Τῆς πρὸς Ἐφεσ. Ἐπις.

ΠΙΝΑΞ
ΤΩΝ ΑΞΙΟΜΝΗΜΟΝΕΥΤΩΝ.

Ἐν ᾧ ὁ μὲν πρῶτος ἀριθμὸς, εἴτε ἀραβικὸς, εἴτε ἑλλίωικὸς ᾖ, τὴν σελίδα δηλοῖ· ὁ δὲ δεύτερος, τὸν σίχον· τὸ δὲ σ, ὅπου ἂν ᾖ, τὴν ἐν τῇ σελίδι σημείωσιν.

Α.

E.

Ἐλατ-

N.

Νοῦς

Σ.

Τ.

Φ.

Χ.

Ψ.

Ω.

ΟΙ ΥΠΟ

ΤΟΥ ΑΒΒΑ ΙΣΑΑΚ

ΕΝ ΤΟΙΣΔΕ ΤΟΙΣ ΕΑΥΤΟΥ

ΣΥΓΓΡΑΜΜΑΣΙ ΜΝΗΜΟΝΕΥΟΜΕΝΟΙ.

ΤΑ

ΤΑ ΥΠΟ

ΑΣΕΜΑΝΙΟΥ ΤΟΥ ΣΥΡΟΜΑΡΩΝΙΤΟΥ

ΕΚ ΤΩΝ

ΣΥΡΙΑΚΩΝ, ΚΑΙ ΑΡΑΒΙΚΩΝ, ΚΑΙ ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ

ΣΥΝΕΡΑΝΙΣΘΕΝΤΑ

ΤΕΣΣΑΡΑ ΒΙΒΛΙΑ

ΤΟΥ

ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΣΑΑΚ

ΤΟΥ ΣΥΡΟΥ,

τὰ περιέχοντα τὰς ἀρχὰς καὶ ἐπιγραφὰς τῶν ἀρτίως ἐκδεδομένων λόγων, καὶ τὰς τῶν νομιζομένων ἀνεκδότων, ἐκ τῆς Λατινίδος φωνῆς μεταφραθείσας.

ΒΙΒΛΙΟΝ Α.

Οἱ τοῦδε τοῦ βιβλίου λόγοι ἀραβιστὶ γεγραμμένοι σώζονται ἐν τῷ 20. τῶν ἀπὸ Νιτρίας εἰς Ῥώμην μετακομισθέντων κωδίκων, καὶ ἐν τῇ Οὐατικανῇ ἐναποκειμένων Βιβλιοθήκῃ.

1. Περὶ φυσικῆς διακρίσεως.

Διαφόρων κινήσεων, διακρίσεων, θελήσεων, καὶ διαφόρων μελῶν τε καὶ λογισμῶν ἐπιδεκτικός ἐστιν ὁ ἄνθρωπος. πολυειδὴς πάντως ἡ τοῦ σώματος, καὶ τῆς ψυχῆς, καὶ τῶν αἰσθήσεων τάξις κτ.

2. Μοναχοῦ καὶ λαϊκοῦ παράθεσις.

Μέγα, καὶ πάνυ ἐλεγκτὸν, καὶ ἐπιμεμπτὸν τὸ τοῦ Μοναχοῦ ὄνειδος, τοῦ ὅμοιον διάγοντος βίον τῷ ὑπὸ τὸν τοῦ γάμου ζυγὸν κοσμικῷ, τῷ τὸν Θεὸν φοβουμένῳ, καὶ δικαίῳ, καὶ τῶν τῆς δικαιοσύνης ἔργων ἀντεχομένῳ.

3. Περὶ Θεωρίας.

Ὁ τῇ θεωρίᾳ καὶ τῇ γνώσει τοῦ πνεύματος ἑπόμενος κτ.

4. Περὶ τῆς τοῦ ἔσω ἀνθρώπου Θεωρίας.

Ὅσῳ τις μᾶλλον προσπελάζει τῇ τῆς ἀληθείας ἐπιγνώσει, τοσούτῳ γε ἧττον ταῖς τῶν αἰσθήσεων ἐργασίαις ἀνασχολεῖται κτ.

5. Τί ἐστιν ἡ τοῦ Θεοῦ ἀγάπη, καὶ πῶς, καὶ πότε κτᾶται.

Ἡ ἀγάπη τοῦ Θεοῦ οὐκ ἔστι τι ἄδηλον, καὶ ἄγνωστον κτ.

6. Περὶ μοναδικοῦ βίου.

Ἐν πρώτοις δεῖ ἡμᾶς εἰδέναι, ὅτι διάφοροι αἱ τῶν χριστιανῶν ἐργασίαι κτ.

7. Περὶ Προσευχῆς.

Ὑπὸ οὐδεμιᾶς δραστικωτέρας φροντίδος κωλύεται ὁ νοῦς τῆς τοῦ αἰῶνος τούτου ἀγάπης, ἢ ἀβλαβὴς ἐκ τῆς ἁμαρτίας διασώζεται, ὡς ὑπὸ τῆς τοῦ Θεοῦ μελέτης καὶ θεωρίας.

8. Περὶ πάντων τῶν τῆς ἀρετῆς εἰδῶν. ἐν ᾧ ἐκδηλοῦται πᾶσα ἡ τοῦ πνευματικοῦ βίου διοίκησις, ἐν ᾗ συνίσταται ἡ τοῦ μοναδικοῦ ἐπαγγέλματος μέση τάξις. παραίνεσις τοῦ μὴ ἀμελεῖν τοὺς τοῦ ἡσυχαστικοῦ βίου κανόνας.

Ἀρχὴ πάντων ἐστὶν ὁ τοῦ Θεοῦ φόβος. ὁ αὐτὸς δὲ καὶ θεμέλιον πάσης χρηστότητος, καὶ θύρα τῆς τοῦ πνεύματος παρακλήσεως κτ.

9. Ὅτι δεῖ μάχεσθαι, καὶ βιάζειν ἑαυτόν.

Μακάριος ὁ πάντα τὸν χρόνον τῆς ζωῆς αὐτοῦ βιάζων ἑαυτὸν κτ.

10. Περὶ Προσευχῆς.

Ἐπίμενε τῇ προσευχῇ, ἢ καὶ τὰ χρηστὰ ἤθη πρόσθες κτ.

11. Περὶ τῶν τοῦ ἐπαγγέλματος ὡρῶν.

Ἑκάστην τῶν εὐχῶν ἐν διατεταγμέναις ὥραις, ὅσον οἷόν τε, χρὴ ἀποπληροῦν κτ.

12. Περὶ Ψαλμῳδίας.

Ἔχε ἔνθερμον καὶ ἀκόρεστον τὴν τοῦ ψάλλειν, καὶ δοξολογεῖν τὸν Θεὸν ἐπιθυμίαν κτ.

13. Περὶ Μετανοιῶν.

Ποτὲ μὲν ἵστασθαι δεῖ ἐνώπιον τοῦ Θεοῦ, ποτὲ δὲ κλίνειν ἑαυτὸν, ποτὲ δὲ λατρεύειν κτ.

Οὗτος ἐπιγραφὴν μὲν ἔχει τὴν αὐτὴν τῷ ΛΔ. τῆς ἐκδόσ. ταύτ. ἀρχὴν δὲ, ἄλλην.

14. Περὶ Σιωπῆς, καὶ Ἡσυχίας.

Μὴ νομίσῃς, ἀδελφὲ, χωρὶς ἔργων ἀπαλλαγῆναι δύνασθαι τῶν παθῶν τὸν ἄνθρωπον κτ.

Οὗτος ἐπιγραφὴν μὲν ἔχει τὴν αὐτὴν τῷ μη. λόγῳ τοῦ ἑτέρ. τῶν ἡμετέρ. χειρογρ. (μέρει ὄντι τοῦ Κ ς.) κειμένην ἐν σελ. 171. στίχ. 1. ἀρχὴν δὲ, ἄλλην. σώζεται δὲ καὶ ἐν τοῖς ἑλλην. κώδ. τῆς Οὐατικ. βιβλιοθ. ἔν τε τῷ 391. καὶ τῷ 605.

15. Διάφορα τὰ εἰς τὸν ἀσκητικὸν βίον ἀνήκοντα ἐκδηλοῦνται.

Ἐὰν τὴν καλὴν τῆς ψυχῆς κατήφειαν τῇ σιωπῇ ἐπισυνάπτῃς κτ.

Καὶ οὗτ. σώζ. καὶ ἐν τοῖς εἰρημ. ἑλλην. κώδ.

16. Περὶ

16. Περὶ μοναδικοῦ βίου, καὶ τῆς ἐν κελλίῳ ἐνοικήσεως.

Ὁ τοὺς τοῦ μοναδικοῦ βίου κανόνας τηρῶν ἀναχωρητὴς, οὗτος δυνήσεται ἐν τῇ μοναδικῇ πολιτείᾳ ἑαυτὸν διαφυλάξαι κτ.

17. Κανόνες, οὓς οἱ μονασαὶ φυλάττειν ὀφείλουσιν.

Οὗτοί εἰσιν οἱ τῆς ἡσυχίας κανόνες, οἷς ὁ μονήρης βίος σπουδαίως τε καὶ ἐπιμελῶς διαφυλάττεται· ἵνα ἡ ἀκολουθία ἐν διατεταγμέναις ὥραις ἐκτελῆται κτ.

18. Περὶ τῶν τοῦ Ἀναχωρητοῦ γυμνασμάτων.

Ἡ διηνεκὴς σιωπή ἐστιν ἡ τοῦ Ἀναχωρητοῦ καλλονὴ, καὶ ὁ κόσμος κτ.

19. Περὶ τοῦ διὰ τῶν λογισμῶν ὑπὸ τῶν Δαιμόνων ἐπαγομένου πολέμου.

Ὁ δὲ διὰ τῶν πονηρῶν λογισμῶν πόλεμος κτ.

20. Περὶ τῶν ἐν ταῖς καρδίαις ἡμῶν πολεμούντων ἡμᾶς πονηρῶν λογισμῶν.

Διὰ τοῦ ἐν τῷ Θεῷ προσηλωμένου νοὸς οὐ διήκουσιν αἱ πονηραὶ διαθέσεις κτ.

21. Περὶ τῶν κινήσεων τῶν τῆς πορνείας λογισμῶν.

Τοὺς ἐπὶ τὸν μονήρη βίον ἐφέλκοντάς σε λογισμοὺς, τούτους ἡγοῦ καὶ ἐπὶ τὴν σωφροσύνην καλεῖν σε κτ.

22. Περὶ τῆς τοῦ μονήρους βίου διοικήσεως.

Ἐν τοῖς παλαιοῖς καιροῖς ἐπέτρεπον ἑκάστῳ οἱ ἅγιοι πατέρες ἡμῶν τὸν ἀναχωρητικὸν βίον διάγειν κτ.

Ἐν τούτῳ ἐπαινεῖ (ὁ Ἰσαὰκ) τὸν Ἰωάννην τὸν Θηβαῖον, τὸν Μακάριον, τὸν Εὐάγριον, τὸν Ἡσαΐαν, τὸν Μάρκον, καὶ τὸν μέγαν Ἀντώνιον. ὧν ταῖς μαρτυρίαις χρᾶται.

23. Περὶ τῆς ἀληθοῦς μοναδικῆς τάξεως, καὶ περὶ τοῦ πῶς αὐτὴν τηρητέον.

Ὁ τοῦ Θεοῦ φόβος προηγεῖται τῆς ἀγάπης αὐτοῦ κτ.

Ἡ ἀρχὴ αὐτοῦ μέρος δοκεῖ τοῦ ΜΔ. κείμ. ἐν σελ. 271. στίχ. 4.

24. Παραίνεσις.

Οὐ δύναται ὁ ἄνθρωπος Θεῷ ἅμα καὶ ἀνθρώποις ὁμιλεῖν κτ.

25. Ὁποῖός ἐστιν ὁ Μοναχὸς, καὶ τίνες αἱ τούτου γυμνασίαι.

Μοναχός ἐστιν ὁ τὸν κόσμον ἀρνησάμενος κτ.

26. Περὶ μονήρους βίου.

Σπουδάσωμεν τὴν ἔρημον ἐν τῇ ἐρήμῳ κατέχειν κτ.

27. Τίς ἡ καθαρὰ καὶ ἀπερίσπαστος προσευχή.

Τὸν σοφὸν, τὸν ὁρίσαντα ἔπεσθαί τινι τῶν ἀναγκαίων, χρὴ κτ.

Ἡ ἐπιγραφὴ ὁμοία τῇ τοῦ ΛΒ.

28. Περὶ τῶν τριῶν τάξεων τῶν Ἀναχωρητῶν.

Πᾶσαι αἱ τοῦδε τοῦ ἀναχωρητικοῦ βίου γυμνασίαι ὑπὸ τριῶν τάξεων ἐμπεριλαμ-

ρὶ ϲμβαίνονλαι, τῆς τῶν Ἀρχαρίων, τῆς τῶν προκοπλόντων, καὶ τῆς τῶν τελείων κτ.

Ἡ ἀρχὴ ὁμοία τῇ τῦ ΙΑ.

ΒΙΒΛΙΟΝ Β.

1. Οὗτός ἐϛιν ὁ Α. 2. ὁ Λ.

3. ὁ ΠΒ. 4. ὁ ΠΓ.

5. Μέρος ἐϛὶ τῦ ΠΓ. κείμεν. ἐν σελ. 470. ϛίχ. 3.

6. Μέρος τῦ αὐτῦ ΠΓ. κείμεν. ἐν σελ. 471. ϛίχ. 11.

7. ὅμοιος τῷ ΜΕ. 8. ὁ ΛΕ.

9. ὁ ΜΗ. 10. ὁ ΛϚ.

11. Παραίνεσις.

Τί πρὸς ταῦτα ὦ ἄνθρωπε;

Οὗτος σώζεται ἐν μόνῳ τῷ ἀνόπιω εἰρημ. ἀραβικ. κώδ.

12. ὁ ΝΘ.

13. Οὗτος ἐπιγραφλὼ μὲν ἔχει τλὼ τῦ ΚΗ. λόγυ περίληψιν· ἀρχλὼ δὲ, μέρ. τῦ Α. κείμεν. ἐν σελ. 2. ϛίχ. 10. περιέχει δὲ ὁ αὐτὸς καὶ τλὼ ἀρχλὼ τλὼ ἐν τῷ ΚΗ.

14. ὁ ΟΕ. 15. ὁ ΟΔ.

16. Μέρ. τῦ ΟΘ. κείμεν. ἐν σελ. 444. ϛίχ. 10.

17. Τῦ αὐτ. ΟΘ. ἀποσπασμάτ. κείμεν. ἐν τῇ αὐτ. σελ. ϛίχ. 22.

18. Περὶ τῶν ἐπισυμβαίνειν ἐθιζόντων τοῖς ἐν κελλίῳ ἀδελφοῖς.

Πολλάκις ἐπισυμβαίνει ἐν ταῖς μέσαις τῆς ἡμέρας ὥραις κτ.

Καὶ ὗτος ἐν τῷ εἰρημ. Ἀραβικ. κώδ. κεῖται.

19. Οὗτός ἐϛιν ἡ Β. ἐπιϛολή.

20. Περὶ τῆς διαφορᾶς τῶν τῦ νοὸς δυνάμεων, καὶ περὶ τῶν πνδυματικῶν ἀποκαλύψεων.

Ὅρασις θεία ἐϛὶν ἀνεπαίσθητος τῦ νοὸς φωτισμός.

Καὶ ὗτος ἐν τῷ εἰρημ. Ἀραβικ. κώδ. κεῖτ.

21. ὁ ΛΑ.

22. Περὶ τῆς ἀληθῦς γνώσεως.

Πᾶν τὸ δι' αἰσθήσεως κατανοέμενον κτ.

Οὗτος καὶ ἐν τῷ 391. εἰρημ. ἑλλlυ. κώδ. σώζεται.

23. ὁ ΞΖ. 24. ὁ ΞΒ.

25. ὁ ΞϚ. 26. ὁ ΛΓ.

27. ὁ ΞΑ.

28. ὁ ΛΖ. ἀπὸ τῦ 13. ϛίχ. ἀρχόμ.

29. ὁ ΝΘ. 30. ὁ ΠΑ.

31. ὁ ΙΘ. 32. ὁ Ϛ.

33. ὁ ΟΑ. 34. ἡ Γ. ἐπιϛολή.

35. Ἡ τῶν νοητῶν διαφορὰ ἐκδηλῦται.

Νόησίς ἐϛιν αἴσθησις πνδυματική κτ.

Σώζεται καὶ ἐν τοῖς εἰρημ. ἑλλlω. κώδ.

36. ὁ ΙΒ. 37. ὁ Η. 38. ὁ ΜΘ.

39. Περὶ Μετανοίας.

Σκοπὸς τῦ δε τῦ λόγυ ἐϛὶ κτ.

Καὶ ὗτος ἐν τοῖς εἰρημ. ἑλλlω. κώδ.

40. Περὶ τῦ πονηρῦ τῆς Πορνείας πάθυς.

Ἐπιῤῥεπὴς ἐπὶ τὸ κακὸν ἡ ἀνθρώπινος φύσις κτ.

Ἐν τῷ εἰρημ. Ἀραβικ. κώδ. σώζεται.

41. Περὶ τῦ τῆς Μετανοίας πνδύματος, καὶ πῶς ταῖς ψυχαῖς ἐμπίπλει, καὶ διαμένει ἐν τοῖς ἀληθῶς μετανοῦσι, καὶ πῶς ἐν αὐτοῖς ἐνεργεῖ.

Ἐάν τις

Ἐάντις ὑπὸ τȣ̃ τῆς μετανοίας πνεύματος κάτοχος γένηται, αὐτὴ ἐν αὐτῷ ἐνεργεῖ κτ.

Καὶ ȣ̂τος ἐν τῷ Ἀραβ. κώδ.

42. Περὶ τῆς τῶν τάξεων Διαφορᾶς.

Πρῶτος τῶν νεωτέρων πόλεμός ἐςι τὸ πειθαρχεῖν ἐν ἁπλότητι πᾶσι τοῖς ἐπιτατ]ομένοις ἡμῖν.

Καὶ ȣ̂τος ἐν τῷ Ἀραβ. κώδ.

43. ὁ Κ.

44. Περὶ τῶν Κανόνων, ȣ̂ς δεῖ φυλάτ]ειν ἐν τῇ σιωπῇ.

Τέκνον βίασον σεαυτὸν ἐν ταῖς νυκ]ερεναῖς δεήσεσιν, αἷς καὶ τȣ̀ς ψαλμȣ̀ς πρόσθες κτ.

Ἐν τῷ Ἀραβ. κώδ.

45. Περὶ τῶν Κανόνων τῆς τῶν Ἀναχωρητῶν διοικήσεως.

Τέκνον ἐὰν μετὰ διακρίσεως ἐπιθυμῇς τὸν σὸν βίον σύμφωνον εἶναι τοῖς τȣ̃ Κυρίȣ λόγοις κτ.

Ἐν τῷ Ἀραβ. κώδ.

ΒΙΒΛΙΟΝ Γ.

1. ὁ ΚΓ. 2. ὁ Ε. 3. ὁ ΝϚ.

4. Περὶ Ταπεινώσεως.

Μακάριος ὁ γινώσκων ταῦτα κτ.

Τȣ́τȣ ἡ ἀρχὴ μέρ. τȣ̃ ΚΓ. κείμεν. ἐν σελ. 147. ςίχ. 9.

Σώζετ. καὶ ἐν τοῖς εἱρημ. ἑλλιω. κώδ.

5. ὁ ΠΕ.	6. ὁ Θ.	7. ὁ ΝΑ.
8. ὁ ΚΑ.	9. ὁ ΜΑ.	10. ὁ Ο.
11. ὁ Ι.	12. ὁ ΙΑ.	13. ὁ ΙΔ.
14. ὁ ΙΕ.	15. ὁ ΚΒ.	16. ὁ ΙΓ.
17. ὁ ΚΘ.	18. ὁ ΜΒ.	

19. Περὶ φυλακῆς καρδίας.

Μὴ λανθανέτωσε κτ.

Τȣ́τȣ ἡ μὲν ἐπιγραφὴ, ἡ αὐτὴ τῇ τȣ̃ ΞΗ· ἡ δὲ ἀρχὴ, ἄλλη.

Ἐν τῷ Ἀραβ. κώδ. σώζ.

20. Περὶ τῶν τῆς θείας ἀγάπης ἐνεργημάτων.

Ἐπειδὴ ἐκ τῶν ἑαυτȣ̃ κινήσεων καταναοεῖσθαι τὸ πνεῦμα ἀνωτέρω ἔφημεν κτ.

Οὗτος ἐπιγραφὴν μὲν ἔχει ὁμοίαν τῇ τȣ̃ ΚΔ· ἀρχὴν δὲ, ἄλλην. σώζεται δὲ ἐν τῷ εἱρημ. Ἀραβ. κώδ.

21. ὁ ΙϚ. 22. ὁ ΚϚ.

23. Μέρ. τȣ̃ ΚϚ. κείμεν. ἐν σελ. 171. ςίχ. 1.

24. ὁ ΚΖ. 25. ὁ ΜϚ.

26. Μέρ. τȣ̃ ΜϚ. κείμεν. ἐν σελ. 285. ςίχ. 21.

27. ὁ ΙΖ.

28. Μέρ. τȣ̃ ΙΖ. κείμεν. ἐν σελ. 91. ςίχ. 8.

29. Περὶ Πίςεως καὶ Μετανοίας.

Ἡ πίςις ἐςὶν ἡ θύρα τῶν μυςηρίων κτ.

Οὗτος ἀρχὴν μὲν ἔχει τὴν αὐτὴν τῷ ΟΒ· ἐπιγραφὴν δὲ, ἄλλην. σώζεται δὲ καὶ ἐν τοῖς εἱρημ. ἑλλην. κώδ.

30. ὁ ΙΗ. 31. ὁ ΟΓ.

32. ὁ ΛΘ. 33. ὁ ΝΖ.

34. ὁ ΝΗ.

35. Περὶ τῶν πονηρῶν λογισμῶν τῶν διὰ τὴν προϋπάρξασαν ἀμέλειαν καὶ τὸν μὴ βȣλόμενον ὑφαρπαζόντων.

Οἱ πονηροὶ λογισμοὶ οἱ ἐπὶ τὸν μὴ θέλοντα ἐφορμῶντες κτ.

Οὗτος ἐπιγραφὴν μὲν ἔχει ὁμοίαν τῇ τῦ Ξ· ἀρχὴν δὲ, ἄλλην. σώζεται δὲ καὶ ἐν τοῖς ἐρημ. ἑλλην. κώδ.

36. Μέρ. τῦ Ξ. κείμεν. ἐν σελ. 361. στίχ. 14.

37. Περὶ τῆς τῦ Θεῦ ἀγαθότητος.

Μὴ θελήσῃς καλέσαι δίκαιον τὸν Θεὸν, ἐὰν ἡ δικαιοσύνη αὐτῦ ἐν ταῖς σοῖς ἔργοις μὴ ἐπιφαίνηται κτ.

Ἡ ἀρχὴ αὐτῦ μέρ. τῦ Ξ, κείμεν. ἐν σελ. 362. στίχ. 27.

Σώζετ. ἐν τῷ ἐρημ. Ἀραβ. κώδ.

38. ὁ ΚΕ.

39. Ὅμοιος μέρ. τῦ ΛΔ. κειμέν. ἐν σελ. 219. στίχ. 14.

40. ἡ Α. Ἐπιςολή.

41. Μέρ. τῆς Δ. Ἐπις. κείμεν. ἐν σελ. 547. στίχ. 20.

42. Τίνι λόγῳ δύναταί τις διαθετῆσαι τὰ ἔργα αὐτῦ.

Ἡ μετάνοιά ἐςιν ἡ θύρα τῆς ζωῆς κτ.

Ἡ ἀρχὴ αὐτῦ ὁμοία μέρ. τῦ ΟΒ. κειμέν. ἐν σελ. 416. στίχ. 8.

Σώζετ. ἐν τῷ ἐρημ. Ἀραβ. κώδ.

43. Πόθεν γεννᾶται ἐν τῇ ψυχῇ ἡ πνευματικὴ αἴσθησις, ϗ μέχρι τίνος πρόεισιν.

Ἔςι καὶ ἄλλη πνευματικὴ αἴσθησις ἐκ τῆς μελέτης γιγνομένη κτ.

Σώζετ. ἐν τῷ ἐρημ. ἀραβ. κώδ.

44. Ἀπόκρισις πρός τινα.

Τὸ ζήτημά σου, φίλτατε ἀδελφὲ, ἐχ ἑκάςῳ ἀνήκει, ἀλλὰ μόνοις τοῖς τὰ τῦ πνεύματος κατανοῦσι κτ.

Ἐν τῷ ἐρημ. ἀραβ. κώδ.

ΒΙΒΛΙΟΝ Δ.

1. Κεφάλαια γνώσεως.

Ἀρχὴ τῦ τῶν ἀναχωρητῶν βίυ ἐςὶ τὸ εἰς τὴν ἔρημον μεταςῆναι, καὶ ὑπὸ μηδεμιᾶς φροντίδος ἀνθρώπων, ἢ κοσμικῶν πραγμάτων κατέχεσθαι κτ.

Σώζ. ἐν τῷ ἐρημ. ἀραβ. κώδ.

2. Περὶ τῶν διαφόρων εἰδῶν τῶν λογισμῶν.

Ὁ λογισμὸς ὁ ἐπὶ τὸ ἐλάττωμα, καὶ τὸ ἀνόλυθον τῦ πλησίον ἀεὶ φερόμενος κτ.

Οὗτος καὶ ἐν τῷ 605. ἐρημ. ἑλλην. κώδ. σώζ.

3. Περὶ τῆς γνώσεως τῆς ἀληθείας.

Ὁ συνεχῶς ἑαυτὸν βιάζων κτ.

Καὶ ὗτος ἐν τῷ αὐτ. κώδ.

4. Περὶ τῦ σκότυς τῦ ἐνίοτε ἐπισυμβαίνοντος τοῖς ἀναχωρηταῖς ἐν τῇ ἡσυχίᾳ.

Ὅταν ἐπισυμβαίνῃ τὸ σκότος, μετανοίας συνεχεῖς δεῖ σε ποιεῖν κτ.

Τύτυ καὶ ἡ ἐπιγραφὴ, καὶ ἡ ἀρχὴ ὁμοία τῇ τῦ ΙΔ.

5. Ἀποφθέγματα.

Ὁ Θεὸς ἀληθῶς ἐςὶν ὁ πατὴρ τῶν λογικῶν κτ.

Ἐν τῷ ἐρημ. ἀραβ. κώδ. σώζ.

6. ὁ ΠΔ.

7. Περὶ τῶν διαφόρων τρόπων τῶν ἐργασιῶν τῦ σοφῦ ἀσκητῦ.

Ἐπειδὴ πᾶσα σοφία ἐκ τῦ Θεῦ ἐςὶ κτ.

Οὗτος

Οὗτος οὔτε τῷ 21, καὶ 22. συριακῷ κώδ. τῶν ἐκ Νιτρ. εἰς Ῥώμ. μετενεχθ. σώζ.

8. Ἐν ποίῳ τόπῳ πολὺς ὁ ἐν τῷ ἀγῶνι κόπος, καὶ ὁ τῆς πλώσεως κίνδυνος.

Οἱ πονηροὶ λογισμοὶ νικηθῆναι οὐ δύνανται κτ.

Ἐν τῷ εἰρημ. συριακ. κώδ.

9. Περὶ τῆς διαφορᾶς τῶν τῆς γνώσεως κινήσεων.

Ἡ μικροψυχία σημεῖόν ἐστιν ἀπελπισμοῦ κτ.

Ἡ ἀρχὴ αὐτοῦ ὁμοία μέρ. τοῦ ΚϚ. κειμεν. ἐν σελ. 169. στίχ. 17.

Σώζ. ἐν τῷ εἰρημ. συριακ. κώδ.

10. Ὅμοιος μέρ. τοῦ ΜϚ. κειμ. ἐν σελ. 285. στίχ. 5.

11. Μέρ. τοῦ ΜϚ. κείμεν. ἐν σελ. 287. στίχ. 12.

~~12. Περὶ τῶν τοῦ αἰῶνος φροντίδων.~~

Μὴ νομίσῃς τὸν ὑπὸ τῶν σωματικῶν κατεχόμενον, παῤῥησίαν δύνασθαι ἔχειν ἐνώπιον τοῦ Θεοῦ ἐν τῇ προσευχῇ κτ.

Ἡ ἀρχὴ αὐτοῦ ὁμοία μέρ. τοῦ ΟΓ. κειμεν. ἐν σελ. 427. στίχ. 3.

Σώζ. ἐν τῷ εἰρημ. συριακ. κώδ.

13. ὁ ΔΖ.

14. Περὶ τῆς ἀγάπης τοῦ Θεοῦ.

Ἡ ἀρχὴ αὐτοῦ ἡ αὐτὴ τῇ τοῦ Δ.

15. ὁ ΛΗ. 16. ὁ ΚΗ.

17. Οὗτος ἐκ τεσσάρων ἐρωτήσεων σύγκειται· ὧν ἡ μὲν πρώτη, μέρ. τοῦ ΠΔ. λόγ. κείμεν. ἐν σελ. 481. στίχ. 14. ἡ δὲ δευτέρα, μέρ. τοῦ ΛΗ. ~~κείμεν. ἐν~~ σελ. 242. στίχ. 8. ἡ δὲ τρίτη, μέρ. τοῦ ΠΑ. κείμεν. ἐν σελ. 452. στίχ. 1. ἡ δὲ τετάρτη, αὕτη· ἠρώτησε μαθητὴς, εἰ ὁ Θεὸς ἀγαθός ἐστι, διατὶ λοιπὸν ταῦτα ἐποίησε, τὴν ἁμαρτίαν δηλαδὴ, τὴν γέενναν, τὸν θάνατον, καὶ τὸν διάβολον;

Σώζ. ἐν τῷ εἰρημ. συριακ. κώδ.

18. Ἐπιστολὴ πρός τινα Μοναχόν.

Ἡδέα εἰσὶν ἃ ὑπὲρ τοῦ ἀγαθοῦ ὑπομένομεν ἐναντία κτ.

Σώζ. καὶ ἐν τοῖς εἰρημ. ἄλλοις κώδ.

19. ὁ ΚΔ. 20. ὁ ΛΒ.

21. ἡ Δ. Ἐπιστ.

ΛΟΓ.

ΔΙΟΡΘΩΣΙΣ
ΤΩΝ ΠΑΡΟΡΑΜΑΤΩΝ.

Σελ. I. Στίχ. 5. ἀπεκδέχετο. γρ. ἀπεξεδέχετο.

Σελ. β. Στίχ. 12. Εὔα. γρ. Εὖα.
— ε. — 2. ἠρέμησεν. γρ. ἠρέμησεν. καὶ σίχ. 3. τίς. γρ. τις.
— η. — 4. ἀλλαλάξαι. γρ. ἀλαλάξαι.
— θ. — 20. αὐτε. γρ. αὐτῦ.
— ι. — 12. ἤρεμον. γρ. ἤρεμον. ὁμοίως καὶ σελ. ια. σιχ. 6.
— ια. — 1. ῥαθύμοις. γρ. ῥαθύμοις. ὁμοίως καὶ ἀλλαχῦ.
— ιε. — 14. Νινευΐ. γρ. Νινευὶ.
— ιθ. — 17. ῥαθυμίαν. γρ. ῥαθυμίαν. ὁμοίως καὶ ἀλλαχῦ.
— 8. — 5. προτερεύει. γρ. πρωτερεύει.
— 14. — 9. ποῖαν. γρ. ποίαν.
— 26. — 31. διπλὴν. γρ. διπλῆν.
— 33. — 18. χρήζει. γρ. χρήζει. ὁμοίως καὶ ἀλλαχῦ.
— 36. — 10. ἐκκλίναι. γρ. ἐκκλῖναι.
— 70. — 4. εὑρίσκης. γρ. εὑρίσκεις. καὶ σίχ. 9. διαμένει. γρ. διαμένῃ.
— 90. — 11. οτι. γρ. ὅτι.
— 101. — 19. ἐδάς. γρ. ἐδάς.
— 102. — 11. γενήσῃ. γρ. γένῃ. καὶ σίχ. 17. ψηφήσῃς. γρ. ψηφίσῃς. καὶ σίχ. 18. ἐάν. γρ. εἰ.
— 128. — 8. ὑπερήρθη. γρ. ὑπερήρθη. ὁμοίως καὶ σελ. 298. σίχ. 17.
— 158. — 22. ἠμήνατο. γρ. ἠμύνατο.
— 168. — 26. νήφα. γρ. νήφῃ.
— 178. — 4. ορη. γρ. ὄρη.
— 179. — 6. πρώτων. γρ. πατέρων.
— 186. — 16. ἀποδώσῃς. γρ. ἀποδῷς.
— 200. — 27. ἕτερα. γρ. ἑτερά.
— 231. — 10. ἀθενήσωσι. γρ. ἀθενήσωσι.
— 252. — 2. ἀνθέλκεται. γρ. ἀνθέλκηται.
— 308. — 10. ἀμεριμνάς. γρ. ἀμεριμνίας.
— 318. — 21. δάξα. γρ. δάξῃ.
— 319. — 25. ἀγαγῶσι. γρ. ἀγαπῶσι.
— 323. — 6. τῆ. γρ. τῇ.
— 340. — 13. ὁδε. γρ. ὁδῦ.
— 355. — 9. δύνῃ. γρ. δύναται.
— 362. — 15. ἐχ'. γρ. ἐχ. καὶ σίχ. 24. κῆρυξ. γρ. κήρυξ.
— 386. — 5. χάρτος. γρ. χάριτος.
— 432. — 5. ἀκινήτῳ. γρ. ἀκινήτῳ.
— 452. — 20. τετων. γρ. τέλων.
— 506. — 23. πλετῆσαι. γρ. πλετίσαι.
— 533. — 1. ὑσερέμεθα. γρ. ὑσερώμεθα.

[illegible]

[illegible]

[illegible]